οιμιάσασθαι πρὸς εὔνοιαν, διηγήσασθαι πρὸς πίστιν, ἀγωνίσασθαι πρὸς τὸ δεῖξαι,[41] ἀνακεφαλαιώσασθαι πρὸς ἀνάμνησιν· τέλος δὲ τῆς[42] ῥητορικῆς οὐ τὸ ἁπλῶς πεῖσαι, ἀλλὰ τὸ πιθαναῖς[43] χρήσασθαι μεθόδοις·[44] ὥσπερ γὰρ ὁ ἰατρὸς, κἂν μὴ ὑγιαίνῃ,[45] ταῖς δὲ ὑγιαστικαῖς χρήσηται μεθόδοις, ἐστὶν ἰατρὸς, καὶ ὁ φιλόσοφος, κἂν μὴ πάντας ποιήσῃ[46] καλοὺς καὶ ἀγαθοὺς, πάλιν ἐστὶ φιλόσοφος, οὕτω καὶ ὁ ῥήτωρ κἂν μὴ πείσῃ, πιθαναῖς δὲ χρήσηται μεθόδοις, ἐστὶ ῥήτωρ εἰκότως· συμβαίνει γὰρ[47] τῷ τε ἰατρῷ, μὴ ὑγιάζειν ἀεὶ, καὶ τῷ φιλοσόφῳ καὶ τῷ ῥήτορι, τῷ μὲν μὴ ποιεῖν, τῷ δὲ μὴ πείθειν· ὑπόκειται γὰρ ψυχὴ αὐτοπροαίρετος, αὐτοκίνητος, αὐτεξούσιος, παλίμβολος, θᾶττον ἀπὸ ἑτέρου εἰς[48] ἑτε-

---

ἐστιν ἡ μετὰ τὴν ἐνέργ. τέλος οὐ καταλιμπάνουσα, ὡς ἡ ὀ. omissis interiectis. 38 Mon. A. ὀρχιστική. 39 Coisl. αὐτῆς. 40 Taur. 1. addit ταῦτα. — Haec ab Isocrate inventa a Theodecte adscita et immutata sunt, quo factum, ut huic auctori tribuerentur. Vide Spengel. συναγωγ. τεχν. p. 156. 41 Coisl. πρὸς ἀπόδειξιν. Taur. 1. ἀγωνίσ. πρὸς τὸ δεῖξαι om. 42 Coisl. αὐτῆς, omisso sq. ἁπλῶς. 43 Taur. 1. πιθανῶς. Post μεθόδοις Coisl. pergit: ὥσπερ καὶ ἰατρικῆς οὐ τὸ ὑγιάσαι, ἀλλὰ τὸ ὑγιαστικαῖς χρήσασθαι μεθόδοις· καὶ φιλοσοφίας οὐ τὸ πάντως ποιῆσαι καλοὺς καὶ ἀγαθοὺς, ἀλλὰ τὸ καλὰ καὶ ἀγαθὰ συμβουλεῦσαι· καὶ εἰκότως· ὑπόκειται γὰρ κ. τ. λ. 44 ὥσπερ γὰρ ὁ ἰατρὸς usque ad πείθεσθαι ἢ ἑτέροις Taur. 1. om. ita pergens: Περὶ τοῦ ἕκτου κεφαλαίου. Εἴδη δὲ τῆς ῥητορικῆς τρία, τὸ συμβουλ. δικανικὸν καὶ πανηγ. 45 Monn. ὑγιάσῃ. 46 Med. ποιήσει Monn. ποιήσῃ. 47 γὰρ ex Mon. recepi. Med. om. 48 Coisl. ἐφ' ἕτ. καταπίπτουσα.

ρον μεταπίπτουσα καὶ μᾶλλον ἐπιῤῥεπῶς ἔχουσα πρὸς τὸ ἑαυτῇ [49] πείθεσθαι ἢ ἑτέροις.

Ἕκτον [1] ἐστὶ κεφάλαιον, ἐν ᾧ δεῖ ζητῆσαι, πόσα εἴδη τῆς ῥητορικῆς, καὶ εἰ εἴδη, ἀλλὰ μὴ μέρη, καὶ ἐκ ποίων μερῶν [2] ἕκαστον τῶν τῆς ψυχῆς προελήλυθε, καὶ εἰς ποῖον ἕκαστον ἀφορᾷ τέλος, καὶ ποῖον [3] ἕκαστον ἔλαβε χρόνον, καὶ τίς ἑκάστου τόπος, καὶ ποῖα τὰ ὑποβεβλημένα αὐτοῖς [4] πρόσωπα. Τρία τοίνυν τὰ ἀνωτάτω εἴδη τῆς ῥητορικῆς, τὸ [5] συμβουλευτικὸν, δικανικὸν, πανηγυρικόν· καὶ συμβουλευτικὸν μέν ἐστιν, δι᾽ οὗ συμβουλεύομεν τὰ πρόσφορα γενέσθαι, [6] δικανικὸν δὲ, δι᾽ οὗ τὰς ἀμφισβητήσεις διακρίνομεν, πανηγυρικὸν δὲ, δι᾽ οὗ τοὺς ἐπαινουμένους ἢ ψεγομένους [7] δημοσιεύομεν. Διαιρεῖται δὲ [8] τὸ συμβουλευτικὸν εἰς δύο, [9] προτροπὴν καὶ ἀποτροπὴν, τὸ δὲ [10] δικανικὸν εἰς δύο, κατηγορίαν καὶ ἀποτροπὴν, καὶ [11] τὸ πανηγυρικὸν εἰς δύο, εἰς ἔπαινον καὶ ψόγον. Ἀλλὰ [12] ταῦτα μὲν μέρη, εἴδη δὲ τὰ πρὸ αὐτῶν. Τοῦτο δὲ διοίσει μέρος εἴδους, ὅτι [13] τὸ μὲν εἶδος ὁλόκληρον ἀποτελεῖ τὸν [14] ῥήτορα, τὸ δὲ μέρος οὐχί. Ὅστις [15] γὰρ οἶδε μόνον τὸ συμβουλευτικὸν, μὴ μέν-

49 Coisl. αὐτῇ. 1 Ἕκτον — ζητῆσαι Monn. om., Coisl. ἕκτ. δ᾽ ἐστὶ κεφ. πόσα ἑ. 2 Coisl. μερῶν τῆς ψ. ἕκαστον προελήλυθεν. 3 Coisl. ποίους τόπους καὶ χρόνους καὶ πρόσωπα διενείμαντο. 4 Monn. αὐτῆς. 5 τὸ Coisl. Mon. om. 6 γενέσθαι et sq. δὲ Coisl. om. 7 Mon. B. λεγομένους. 8 Taur. 1. μέν. Coisl. δὲ τὸ μέν. 9 δύο Taur. 1. Coisl. h. l. et in sqq. om. 10 δὲ Med. Monn. om., recepi ex Taur. 1. Coisl. 11 καὶ Med. Mon. om., recepi ex Taur. 1. — Coisl. τὸ δὲ παν. 12 Coisl. καὶ ταῦτα μὲν τὰ μέρη, τὰ δὲ πρὸ αὐτῶν τὰ εἴδη. τούτῳ δὲ διαφέρει μέρος εἴδους τῷ τὸ μὲν εἶδος ὁλόκληρον ἀποτελεῖν ῥήτορα, τὸ δὲ μέρος μή· ὅστις γὰρ ἓν τῶν εἰδῶν οἶδεν, ῥήτωρ ἐστίν. οἷον Θηραμ. 13 Med. τὸ τὸ μὲν ε. ὁλ. ἀποτελεῖν. Taur. 1. Monn. ὅτι — ἀποτελεῖ. 14 τὸν Monn. om. 15 ὅστις γὰρ οἶδε usque ad τούτῳ διαφέρει μέρος εἴδους Taur. 1. om.

τοι τὸ δικανικὸν καὶ τὸ πανηγυρικὸν, οὗτος ῥήτωρ τέλειος, ὡς Θηραμένης ὁ κόθορνος· συμβουλεύειν γάρ[16] μόνον εἰδὼς, ὅμως ῥήτωρ ἐνομίζετο· ὁ[17] δὲ Ζήνων δικάζεσθαι μόνον εἰδὼς, ῥήτωρ ἤκουε.[18] Γοργίας τὸ πανηγυρικὸν,[19] ῥήτωρ ἤκουε καὶ αὐτός. Ὥσπερ γὰρ ὁλόκληρον[20] εἶδος ἀνθρώπου, εἰ ἐπιτηδείη λίθῳ ἢ χαλκῷ, εἶδος λέγομεν ἀποσώζειν τὸν ἀνδριάντα, ἐὰν[21] δὲ μέρος ἀνθρώπου, χεῖρα ἢ πόδα, οὐ λέγομεν ἅπαν ἀνειληφέναι τὸ εἶδος, ἀλλὰ μέρος ἀνθρώπου, οὕτως εἰ μέν τινι τῶν μερῶν ἐξήσκηταί τις, ῥήτωρ οὐ λεχθήσεται,[22] εἰ δέ τινι τῶν εἰδῶν ἀσκήσεται,[23] ῥήτωρ ἐξ ἀνάγκης[24] ὁ τοιοῦτος· ἀμέλει καὶ ἡ νουνεχεστάτη[25] Ῥωμαϊκὴ πολιτεία, τοὺς δικολόγους ἔχουσα δικάζεσθαι μόνον εἰδότας, ῥήτορας αὐτοὺς καλεῖ, ὥστε τούτῳ[26] διαφέρει μέρος εἴδους. Εἰδέναι[27] μέντοι[28] χρὴ, ὅτι τὸ μὲν δικα-

16 γάρ Coisl. Monn. om., Coisl. etiam sq. ὅμως om. 17 Coisl. καὶ Ζήν. omisso sq. εἰδώς. 18 Monn. ἠκούετο h. l. et paullo post. Tum Coisl. καὶ Γοργ. πανηγυρίζειν μόνον, ῥήτωρ ἐκαλεῖτο. 19 Monn. τῷ πανηγυρικῷ. 20 Mon. B. ὁλόκληρος. 21 Coisl. ἂν δὲ μ. ἀ. οἷον χεὶρ ἢ πούς. 22 Coisl. νομίζεται. 23 ἀσκήσεται Coisl. om. 24 Coisl. ἐστί. ἀμέλει καὶ οἱ δικολόγοι δικάζεσθαι μόνον εἰδότες ῥήτορες καλοῦνται· προελήλυθε δὲ τὸ μὲν συμβουλευτικὸν ἐκ τοῦ ἐπιθυμ. τῆς ψυχῆς μέρους, ἐξ ἐπιθυμίας γὰρ ἐπὶ συμβουλὴν τις προάγεται· τὸ δὲ πανηγυρικὸν ἐκ τοῦ λογιστικοῦ πᾶς γὰρ πανηγ. λόγῳ χρῆται· τὸ δὲ δικανικὸν ἐκ τοῦ θυμικοῦ· ᾧ γὰρ θυμοῦταί τις, τούτῳ καὶ δικάζεται· ἀπορῇς. κ. τ. λ. 25 Mon. συνετωτάτη. Taur. 2. καὶ συνεχεστάτως ὡς δισῇ ad marg. ἴσως ῥωμαϊκῇ. 26 Monn. τοῦτο. 27 Taur. 1. Καὶ τὸ μὲν δικανικὸν ἐκ τοῦ θυμικοῦ τῆς ψυχῆς μέρους γίνεται, τὸ δὲ πανηγυρικὸν ἐκ τοῦ λογικοῦ μέρους τῆς ψυχῆς γίνεται, τὸ δὲ συμβουλευτικὸν ἐκ τοῦ ἐπιθυμητικοῦ τῆς ψυχῆς μέρους γίνεται. Τέλος μὲν τοῦ δικανικοῦ τὸ δίκαιον, τοῦ δὲ συμβουλευτικοῦ τὸ συμφέρον, τοῦ δὲ πανηγυρικοῦ τὸ καλόν. 28 Monn. τοίνυν. ex iisdem recepi sq. ὅτι, quod Med. om.

νικὸν ἐκ τοῦ θυμικοῦ τῆς ἡμετέρας ψυχῆς προῆλθε, [29] πᾶς γὰρ ἄνθρωπος ἢ κατηγορεῖται ἢ ἀπολογεῖται, τὸ δὲ συμβουλευτικὸν ἐκ τοῦ ἐπιθυμητικοῦ τῆς [30] ἡμετέρας προῆλθε ψυχῆς, πᾶς γὰρ ἄνθρωπος συμβουλεύεσθαι θέλων, ἐξ ἐπιθυμίας προάγεται [31] ἐπὶ τὴν συμβουλὴν κινούμενος ὑπὸ τῆς ἐφέσεως· τὸ δὲ πανηγυρικὸν ἐκ τοῦ λογιστικοῦ προῆλθε τοῦ ἐν ἡμῖν· πᾶς γὰρ ἄνθρωπος πανηγυρίζων λόγῳ κέχρηται. Ἀπορήσειε δ' ἄν τις, πῶς λέγομεν τὸ πανηγυρικὸν ἐκ τοῦ λογιστικοῦ προελθεῖν, [32] καὶ ταῦτα καὶ τοῦ δικάζεσθαι καὶ τοῦ συμβουλεύειν διὰ λόγων [33] ἐχόντων τὴν κύρωσιν. [34] Ἐπιλυτέον οὖν [35] οὕτως, ὅτι ἐν ἑκάστῳ μὲν τῶν τριῶν εἰδῶν τῆς ῥητορικῆς κεχρήμεθα τῷ λογιστικῷ, ἀλλ' ὑπὸ τῆς κινησάσης ἕξεως τῆς κινούσης ἡμᾶς ἢ ἐπὶ τὸ δικάζεσθαι, ἢ ἐπὶ [36] τὸ συμβουλεύειν ἢ ἐπὶ τὸ πανηγυρίζειν ἔλαβεν ἓν ἕκαστον τὴν ὀνομασίαν. Ἐπειδὴ γὰρ πρώτη κίνησις γέγονεν ἀπὸ τοῦ [37] θυμοῦ, ὑπηρέτησε δὲ καὶ οἷον ὀργὴ γέγονεν ὁ λόγος τῷ θυμῷ, διὰ τοῦτο λέγομεν ἐκ τοῦ θυμοῦ ἔχειν τὸ δικανικὸν τὴν γένεσιν· ὁμοίως δὲ καὶ [38] ἐπὶ τῶν ἄλλων, ἐπειδὴ ἐν τῷ συμβουλευτικῷ ἡ ἐπιθυμία ἐκίνησε τὸν λόγον, καὶ ἐν τῷ πανηγυρικῷ τὸ λογιστικὸν, ἐκ τῆς κινησάσης [39] ἕξεως ἔλαβεν ἓν ἕκαστον τὴν προσηγορίαν. Τέλος δὲ δικανικοῦ μὲν τὸ δίκαιον, πρὸς γὰρ [40] τὸ δίκαιον ὁ δικαστὴς ἀφορῶν καθέζεται καὶ δικάζει· τοῦ δὲ συμ-

29 Monn. προῆλθε ψυχῆς, omissis sqq. πᾶς γὰρ — ἀπολογεῖται. 30 τῆς ἡμ. πρ. ψυχῆς Monn. om. 31 Med. προαγόμενος. Monn. προάγεται. 32 προελθεῖν recepi ex Coisl., Monn. et Med. om. Tum Coisl. καίτοι. 33 Mon. A. διαλόγων. 34 Coisl. τὸ κῦρος. 35 Coisl. δὲ οὕτως· ἐν ἑκ. μὲν τῶν τριῶν τῷ λόγ. κεχρήμ. ἀλλ' ἀπὸ τῆς κινούσης ἕξεως ἢ ἐπὶ κ. τ. λ. 36 ἢ ἐπὶ τὸ συμβ. et paullo post ἓν Coisl. om. 37 τοῦ Mon. om. Coisl. τοῦ θυμικοῦ, ὑπηρέτησε δὲ τούτῳ ὁ λόγος. 38 καὶ Monn. om. 39 Coisl. κινησάσης. 40 Coisl. πρὸς

βουλευτικοῦ τέλος τὸ συμφέρον, τοῦ δὲ πανηγυρικοῦ τὸ καλόν. Χρόνον [41] δὲ εἴληφε τὸ μὲν δικανικὸν τὸν παρεληλυθότα, τὸ δὲ συμβουλευτικὸν τὸν μέλλοντα, τὸ δὲ πανηγυρικὸν τὸν ἐνεστῶτα. Εἰ [42] γὰρ καὶ προϋπαρχούσας πράξεις τοῦ ἐγκωμιαζομένου [43] καὶ μελλόντων εὐχὰς προσαναφέρομεν [44] τῷ ἐγκωμιαζομένῳ, ἀλλ' οὖν [45] ὅμως τὸν ἐνεστῶτα χρόνον [46] θηρώμενοι· τὸ μὲν γὰρ ἔχει ἐκ τοῦ προεληλυθότος, [47] τὸ δὲ ἔχει ἐκ τοῦ μέλλοντος· τόποι δὲ τῷ μὲν δικανικῷ τὰ δικαστήρια, τῷ δὲ πανηγυρικῷ τὰ θέατρα [48] ἢ ὅπῃ ἂν ὑπάρχῃ πανήγυρις· τῷ

γὰρ τοῦτο ὁ δικ. ὁρῶν δικάζει, συμβουλ. δὲ τὸ συμφ. πανηγυρικοῦ δὲ τὸ καλόν· τόποι δὲ τῷ μὲν δικανικῷ τὰ δικαστήρια, τῷ δὲ συμβουλευτικῷ τὰ βουλευτήρια, τῷ δὲ πανηγυρικῷ αἱ ἐκκλησίαι. 41 Taur. 1. χρόνους δὲ εἰλήφασι. etiam Monn. εἰλήφασι. 42 εἰ γὰρ καὶ usque ad ἐκ τοῦ μέλλοντος Taur. 1. om. 43 τοῦ ἐγκωμ. Coisl. om. 44 Coisl. προσαναφέρ. 45 οὖν Coisl. om., mox Monn. θηρώμεθα. 46 Coisl. θηρ. χρόνον. πρόσωπα δὲ ἔχουσι, τὸ μὲν δικανικὸν τοὺς δικάζοντας καὶ τοὺς δικαζομένους, τὸ δὲ πανηγυρικὸν τοὺς πανηγυρίζοντας καὶ τοὺς ἀκροατάς, τὸ δὲ συμβουλευτικὸν τοὺς συμβουλεύοντας καὶ τοὺς πρὸς οὓς ἡ συμβουλή. 47 Monn. παρεληλ., τὸ δὲ ἐκ τοῦ μέλλ. 48 Med. τὰ θέατρα καὶ ἐκκλησίαι. Taur. 1. τὰ θέατρα· τῷ δὲ συμβουλ. αἱ ἐκκλησίαι, recepi lectionem Monn. In iisdem sequentia usque ad cap. VIII. ita leguntur: πρόσωπα δὲ, τὸ μὲν συμβουλευτικὸν ἀκροατὰς ἔχει τοὺς βουλευτάς, τὸ δὲ δικανικὸν τοὺς δικαστας, τοὺς πανηγυριστὰς δὲ τὸ πανηγυρικόν· τέλη δὲ, καθ' ὃ τοῦ μὲν δικανικοῦ τέλος τὸ δίκαιον, τοῦ δὲ συμβουλευτικοῦ τὸ συμφέρον, τὸ δὲ καλὸν τοῦ πανηγυρικοῦ. Εἰδέναι δεῖ [malim δὲ] καὶ τοῦτο ἄξιον, ὅτι περιεκτικώτερόν ἐστι τὸ τοῦ πανηγυρικοῦ τέλος, ὅ ἐστι τὸ καλόν, τοῦ τε συμφέροντος καὶ τοῦ δικαίου, ἤτοι τῶν δύο λοιπῶν τελῶν, τοῦ συμβουλευτικοῦ εἴδους τῆς ῥητορικῆς καὶ τοῦ δικανικοῦ· πᾶν μὲν γὰρ συμφέρον καλὸν, καὶ πᾶν δίκαιον καλὸν, οὐ πᾶν δὲ καλὸν δίκαιον ἢ συμφέρον, ὡς τὸ ἐν ἀνθρώπῳ κάλλος· τοῦτο γὰρ καλὸν, ἀλλ' οὐ συμφέρον καὶ δίκαιον. — Τρόποι τῆς ῥητορικῆς ἀναγνώσεώς εἰσι τρεῖς, ὧν πρῶτός ἐστιν ὁ σύντονος μάλιστα κ. τ. λ.

δὲ συμβουλευτικῷ ἡ ἐκκλησία καὶ τὰ βουλευτήρια· πρόσωπα τῷ μὲν δικανικῷ οἱ δικασταὶ, τῷ δὲ συμβουλευτικῷ οἱ βουλευταὶ, τῷ δὲ πανηγυρικῷ οἱ ἐκκλησιασταί.

Ἕβδομόν [1] ἐστι κεφάλαιον, ἐν ᾧ δεῖ ζητῆσαι, πόσαι ῥητορικαὶ καὶ ποῖαι καὶ ποίαν [2] σὺν θεῷ μετερχόμεθα. Εἰσὶ [3] δὲ πᾶσαι πέντε τὸν ἀριθμὸν, μία μὲν ἡ πρώτη καὶ κυριωτάτη, ἡ [4] ἀντίστροφος τῇ φιλοσοφίᾳ, ᾗ ἐχρήσατο Πυθαγόρας καὶ Σωκράτης καὶ Πλάτων. Εἰ γὰρ [5] καὶ περὶ τῶν ἀεὶ καὶ [6] ὡσαύτως ἐχόντων πραγμάτων τοὺς λόγους ἐποιοῦντο [7] οἱ φιλόσοφοι, ἀλλ' οὖν πειθοῖ τινι κεχρημένοι τοὺς λόγους ἐποιοῦντο· ἀμήχανον γὰρ, καὶ τὸ ἀληθὲς χωρὶς πειθοῦς καὶ τὸ ὁμολογούμενον ἀποδεῖξαι. Δευτέρα [8] ἡ ἀντίστροφος τῇ πολιτικῇ, ἧς ἡγήσατο [9] Μιλτιάδης καὶ Κίμων καὶ Θεμιστοκλῆς. Τοῦτο [10] δὲ διαφέρει πολιτικὴ τῆς ἀντιστρόφου κατὰ φιλοσοφίαν, ὅτι ἡ μὲν φιλοσοφίᾳ [11] ἀντίστροφος περὶ τῶν καθόλου διαλαμβάνει, ἡ δὲ πολιτικὴ περὶ τῶν τῇ πολιτείᾳ μόνον συμφερόντων πραγμάτων. Τρίτη δὲ ἡ ἀντίστροφος τῇ

---

1 Taur. 1. περὶ ἑβδόμου κεφαλαίου. Ἕβδομαν, ὅτι πέντε ῥητορικαὶ, μία μὲν κ. τ. λ. — Coisl. ἑβδ. ἐ. κεφ., πόσαι ῥητ. 2 Med. ποίας. Taur. 2. ποῖαν, ad marg. ποῖαι. 3 Coisl. εἰσὶν οὖν πᾶσαι πέντε, ἡ ἀντίστροφ. 4 καὶ Taur. 1. ἣ Med. 5 Taur. 1. εἰ γὰρ περὶ τῶν ἐχόντων ἀεὶ καὶ ὡσαύτως πραγμάτων.

6 ὡς Coisl. om. 7 Coisl. ὡς φιλ. ἐποιοῦντο, ἀλλ' οὖν τινι πειθοῖ κεχρ. καὶ τὸ ὡμολογημένον γὰρ χωρὶς πειθοῦς ἀποδεῖξαι ἀμήχανον. ἡ ἀντίστροφος τῇ πολ. 8 Taur. 1. δευτέρα δέ. 9 Coisl. ἡγήσαντο. id. sq. καὶ om. 10 Coisl. τούτων [leg. τούτω] δὲ διαφέρει ἡ ἀντίστροφος τῇ πολιτικῇ τῆς ἀντιστρόφου τῇ φιλοσοφίᾳ, τῷ τὴν μὲν τῇ φιλοσοφίᾳ ἀντίστροφον περὶ τῶν καθόλου διαλ., τὴν δὲ τῇ πολιτικῇ οὐχ οὕτως. ἡ ἀντίστρ. τῇ διαλεκτικῇ. τούτῳ δὲ διαφ. τῆς ῥητ. ἡ διαλ., τῷ τὴν μὲν διαλεκτικὴν κατὰ π. κ. ἀ. ποιεῖσθαι τὴν ζήτ., τὴν δὲ ῥητορικὴν διεξ. π. τ. πολ. διαλαμβάνειν πραγμάτων. 11 Med. Taur. 1. φιλοσοφία ἀντιστρόφως, scripsi φιλοσοφίᾳ ἀντίστροφος.

διαλεκτικῇ. Διαφέρει γὰρ διαλεκτικὴ ῥητορικῆς, ὅτι ἡ μὲν διαλεκτικὴ κατὰ πεῦσιν καὶ ἀπόκρισιν ποιεῖται τὴν ζήτησιν, ἡ ῥητορικὴ δὲ διεξοδικῶς περὶ τῶν πολιτικῶν πραγμάτων. Ἡγήσαντο δὲ καὶ ταύτης Δημοσθένης [12] τε καὶ Λυκοῦργος καὶ ἄλλοι. [13] Τετάρτη [14] ἡ ἀντίστροφος τῇ συκοφαντικῇ, ἧς ἡγήσαντο [15] Ἀριστογείτων καὶ Ἡγήμων. [16] Πέμπτη ἡ κολακευτική, ἧς ἡγήσαντο [17] Δημάδης καὶ Ἀριστόδημος. Τοσούτων [18] καὶ τοσούτων οὖν οὐσῶν ῥητορικῶν ἡμεῖς σὺν θεῷ μετερχόμεθα τὴν τρίτην, τὴν ἀντίστροφον τῇ διαλεκτικῇ, ἧς ἡγήσατο Δημοσθένης.

Ὄγδοόν [19] ἐστι κεφάλαιον, ἐν ᾧ δεῖ ζητῆσαι, πόσοι τρόποι ῥητορικῶν ἀναγνώσεων· οὔτε [20] γὰρ δεῖ ῥαψῳδεῖν ταῦτα, ὡς τὰ ποιήματα, ἢ τραγῳδεῖν ἢ κωμῳδεῖν ὡς τὰ δράματα, ἢ ᾄδειν ὡς τὰ λυρικὰ ποιήματα, [21] ἀλλ' ἑτέρως· εἰσὶ γὰρ [22] τρόποι ῥητορικῶν ἀναγνώσεων τρεῖς, ὧν [23] πρῶτός ἐστιν ὁ σύντονος, ὃ [24] μάλιστα ἐν τοῖς δικανικοῖς πρωτεύων ἀγῶσι, [25] κατὰ τὸ Ὁμηρικόν,

Καὶ ἔπεα νιφάδεσσιν [26] ἐοικότα χειμερίῃσιν,

---

12 Med. Δημήτριος. Taur. 1. Coisl. Δημοσθ. 13 Med. Coisl. καὶ ἄλλοι [Med. οἱ ἄ.] ῥήτορες. Taur. 1. ῥήτορες om. 14 τετάρτη Coisl. om. 15 Taur. 1. ἡγήσατο. 16 καὶ Ἡγήμων Coisl. om., restituit Ruhnk. histor. crit. Or. Gr. p. LXXVI. ex versione latina. Est in reliquis codd. — Post Ἀριστογ. Coisl. pergit: ἡ ἀντίστροφος τῇ κολακευτικῇ. 17 Med. ἡγήσατο. Taur. 1. Coisl. ἡγήσαντο. 18 Coisl. πέντε οὖν ῥητορικῶν οὐσῶν, ἡμεῖς τὴν πέμπτην μετερχόμεθα. Ὄγδ. ἐ. κεφάλ., πόσοι τρ. — Med. τοσούτων οὖν οὐσῶν τῶν ῥητ. recepi lectionem Taur. 1. 19 Taur. 1. περὶ τοῦ ὀγδόου κεφαλαίου. Πόσοι τρόποι κ. τ. λ. 20 Coisl. οὐδὲ γὰρ ῥαψ. δεῖ ὡς τ. π., καὶ κωμ. 21 ποιήματα Coisl. om. 22 Coisl. γοῦν. tum Med. τόποι. 23 ὧν πρῶτός ἐστιν Coisl. om. 24 Coisl. ὃ καὶ μ. 25 ἀγῶσι Coisl. om. 26 Monn. νιφάδεσιν. — Il. γ, 222. καὶ initio Monn. Med. Taur. 1. om., recepi ex Coisl.

ὁ γὰρ [27] σύντονος φράζεσθαι θέλει μετὰ σφοδροῦ τοῦ πνεύματος καὶ ζεούσῃ [28] τῇ προθυμίᾳ, τῆς πληγῆς τοῦ πνεύματος θᾶττον κατὰ [29] τὴν τραχεῖαν ἀρτηρίαν, καθάπερ πλῆκτρον, [30] ἐκτυπούσης· ὥστε προηγεῖσθαι τῆς φωνῆς τὴν ἀρτηρίαν. Δεύτερος [31] ὁ ἀνειμένος, ἔστι δὲ ἐπιεικὴς τὸν τρόπον ἠρέμα τοῦ πνεύματος πλήττοντος καὶ μελίχρουν τινὰ φωνὴν ἀποτελοῦντος, ὡς τὸ ποιητικόν·

Τοῦ καὶ ἀπὸ γλώσσης μέλιτος γλυκίων ῥέεν αὐδή. [32]

Τρίτος ὁ καλούμενος μέσος, [33] ὅς ἐστι καὶ συμβουλευτικὸς καὶ ἐξηγητικὸς καὶ ἐπιστολιμαῖος, [34] ὃς ἐκ τῶν προτέρων χαρακτήρων ἔχει τὸ σαφές· [35] φυσικώτατα [36] δὲ πνεῖ τὸ πνεῦμα ἐπὶ τούτου τοῦ χαρακτῆρος, [37] καὶ οὔτε ἄγαν ὑπερπηδᾷ, [38] ἵνα μὴ ἀποτελέσῃ τὸν σύντονον, οὔτε [39] πάλιν ἠρέμα τὸ πνεῦμα πλήττει, ἵνα μὴ [40] ἀποτε-

---

27 Coisl. οὗτος δὲ φράζει. 28 Coisl. ζεούσης προθυμίας. a Taur. 1. καὶ ζεούσῃ — πνεύματος absunt. 29 θᾶττον κατὰ Coisl. om. 30 Taur. 1. πλῆκτον, tum Taur. 1. 2. Med. Monn. ἐκτυποῦν προσηγεῖσθαι. In Taur. 1. post ἐκτυποῦν lacuna est. Coisl. κτυπούσης, ὥστε προηγεῖσθαι, quem secutus sum. 31 Coisl. ὁ ἀνειμ., ὅς ἐστι τὸν τρ. ἐπιεικής, ἠρ. τ. πν. τὴν ἀρτηρίαν πλήττοντος, καὶ μελ. τὴν φων. 32 Il. α, 249. — Coisl. pergit: ὁ μέσος, ὅς ἐστι κ. σ. 33 μέσος Mon. B. om. 34 In Med. sola terminatio αῖος apparet. Sqq. ὃς — σαφὲς Coisl. om. 35 ἔχει τὸ σαφὲς ex Monn. recepi. Ambr. 2. habet ἔλαβέ τε. In Med. et Ambr. 1. nihil est, nisi ἔ sq. lacuna, in loco ceterum illaeso. In Taur. 1. post χαρακτήρων lineae universae lacuna est et ad marg. notatum: λείπει. Taur. 2. lacunam neque notat neque supplet. 36 Monn. φυσικώτε tum omnes codd. ποιεῖ, solus Coisl. πνεῖ. 37 χαρακτ. Coisl. om. 38 Med. ὑπερπηδᾷν. In Taur. 1. post ὑπερπηδᾷ integrae lineae lacuna sequitur. ad marg. notatum: λείπει. — In Med. Ambr. 1. Monn. desunt: ἵνα μὴ ἀποτ. — πνεῦμα πλήττει. restitui ex Ambr. 2., qui μὴ ante ἀποτελέσῃ om., et partim ex Coisl. 39 Coisl. οὔτε ὑφειμένως λέγεται, ἵνα μὴ ποιήσῃ τὸν ἀν. 40. μὴ omnes

λέσῃ τὸν ἀνειμένον, ἀλλὰ μέσῃ τινὶ [41] χρῆται ὁδῷ, καὶ νομικὸς μέν ἐστι, καθ' ὃν τρόπον τοὺς νόμους ἀναγινώσκομεν, καὶ [42] ἐξηγητικὸς, καθ' ὃν τρόπον ἐξηγούμεθα τὰ μαθήματα.

Ἐννατόν ἐστι κεφάλαιον, ἐν ᾧ δεῖ ζητῆσαι, πόσαι [1] τε πολιτεῖαί καὶ οἷαι καὶ ποίαν σὺν θεῷ μετερχόμεθα καὶ [2] πολιτευόμεθα. Ἐπισκέψασθαι δὲ δεῖ πρότερον, τίς ὅρος πολιτείας. Πολιτεία τοίνυν [3] ἐστὶν ἀρχὴ καὶ συνήθεια πραγμάτων, καθ' ἣν ζῆν τε καὶ πολιτεύεσθαι πάντας τοὺς βιοῦντας ἢ [4] καὶ πεισθέντας ἀνθρώπους. Πολιτεῖαι δὲ [5] εἰσιν αἱ ἀνωτάτω τρεῖς, κατὰ ἔκπτωσιν δὲ ποιοῦσιν [7] ἑτέρας τρεῖς. Ἵνα δὲ ἡμῖν ἐκ διαιρέσεως φανερὸν γένηται, ἐν ἀρχῇ ἢ ἕνα ἄρχειν χρὴ [7] ἢ ὀλίγους, ἢ πάντας, καὶ οὗτοι ἢ καλοὶ ἢ κακοί εἰσιν. Ἀλλ' εἰ μὲν εἷς ἄρχει [8] ἀγαθὸς, ποιεῖ τὴν βασιλείαν, εἰ δὲ εἷς ἄρχει καὶ εἴη [9] κακὸς, ποιεῖ τὴν τυραννίδα, εἰ δὲ ὀλίγοι ἄρχουσι καὶ εἴησαν ἀγαθοὶ, ποιοῦσι τὴν ἀριστοκρατίαν, [10]

Codd. om., praeter Coisl. 41 τινὶ Coisl. om. — Sqq. καὶ νομικὸς — — τὰ μαθήματα non habet. 42 Med. ἐξηγ. δέ. Taur. 1. καὶ ἐξηγ.

1 Coisl. Ἐνατόν ἐστι κεφ., πόσαι πολ. καὶ ποῖαι, καὶ ποίαν μετερχόμεθα· δεῖ δὲ πρότερον εἰπεῖν, τίς ὁ ὅρος τῆς πολιτείας. πολ. τοίνυν ἐ. ἀ. κ. συνήθεια πραγμάτων. cetera usque ad finem folii iactura desunt; quo factum, ut Iriarte in catalogo bibl. Matritensis cap. IX. et X. ex codice Matrit. XLIII. cum nostra recensione consentiente imprimenda curaret. — Taur. 1. Περὶ τοῦ ἐννάτου κεφαλαίου. Πολιτεία ἐστὶν ἀρχὴ κ.τ.λ. Monn. incipiunt: Πόσαι πολ. καὶ οἷαι κ. τ. λ. 2 μετερχόμεθα καὶ Matr. om. 3 Matr. τινῶν. 4 ἢ Matr. om. 5 Matr. δ' εἰσιν. idem in sqq. constanter apostrophum servat, quod semel h. l. notatum volo. 6 Matr. ποιοῦσι ἕτεραι. 7 χρὴ in Med. Matr. Monn. deest; in Taur 1. manu recentiore insertum est. 8 Mon. Matr. καὶ ἀγαθός. Iriarte propter sqq. inseruit uncis septum καὶ (εἴη) ἀγ. 9 εἴη Monn. om. 10 Med. Monn.

εἰ δὲ ὀλίγοι ἄρχουσι καὶ εἴησαν κακοὶ, ποιοῦσι τὴν ὀλιγαρχίαν. Εἰ μὲν [11] πολλοὶ ἄρχουσι καὶ εἴησαν ἀγαθοὶ, ποιοῦσι τὴν δημοκρατίαν, εἰ δὲ πολλοὶ ἄρχουσι καὶ εἴησαν κακοὶ, ποιοῦσι τὴν ὀχλοκρατίαν. Ταῦτα [12] δὲ καὶ διαφέρει ἀλλήλων, καὶ ἡ μὲν ὀχλοκρατία διαφέρει τῆς δημοκρατίας, ὅτι ἐν μὲν τῇ δημοκρατίᾳ κατὰ νόμους καὶ ψηφίσματα καὶ ἀρχὰς καὶ τάξεις πολιτεύονται πάντες, ἐν δὲ τῇ ὀχλοκρατίᾳ ἀνόμως, ἀτάκτως, ἀνάρχως πᾶς ὁ δῆμος συμφέρει τὸ [13] κρατεῖν ἐθέλων τῶν πραγμάτων. Διαφέρει δὲ ὀλιγαρχία ἀριστοκρατίας, ὅτι ἐν μὲν τῇ ἀριστοκρατίᾳ οἱ ἄριστοι τὰς [14] γνώμας ἄρχουσι καὶ τὸ τῆς πολιτείας λυσιτελὲς οὐ τὸ ἑαυτῶν ἁπλῶς [15] ζητοῦσιν, ἐν δὲ τῇ ὀλιγαρχίᾳ οἱ πλουσιώτατοι καὶ δυνάσται, καὶ τὰ λυσιτελὲς [16] τὸ ἑαυτῶν ζητοῦσι, [17] καὶ οὐ τὸ τῶν ἀρχομένων. Διαφέρει δὲ βασιλεία [18] τυραννίδος, ὅτι ὁ μὲν βασιλεὺς νόμοις πείθεται [19] καὶ τὸ τῶν ἀρχομένων λυσιτελὲς, [20] οὐ τὸ ἑαυτοῦ ζητεῖ· ὁ δὲ τύραννος οὔτε [21] πείθεται τοῖς νόμοις τοῖς πρὸ ἑαυτοῦ, ἀλλὰ καὶ [22] τὸ [illegible]

ἀριστοκρατίαν. Matr. ἀριστοκρατείαν, ut mox Mon. B. δημοκρατείαν. 11 Med. Monn. εἰ δὲ πάντες ἄρχουσιν ἀγαθοὶ, ποιοῦσι τὴν δημοκρατίαν. εἰ δὲ πάντες ἄρχουσι κακοὶ, ποιοῦσι τὴν ὀχλοκρατίαν. Matr. inverso ordine: εἰ δὲ πάντ. ἄ. κακοὶ, ποιοῦσι τὴν ὀχλ., εἰ δὲ πάντ. ἄρχ. ἀγ. ποιοῦσι τὴν δημ. recepta lectio est in Taur. 1. 12 Monn. Med. Matr. ταύτῃ δὲ διαφέρει ὀχλοκρ. δημοκρατίας, secutus sum Taur. 1. 13 Taur. 1. Matr. Mon. τὸ [Monn. τε] δεῖν κρατεῖν ἐθέλει [Matr. ἐθέλων]. 14 Taur. 1. κατὰ τὰς γνώμας. 15 Matr. Med. Monn. τὸ τῆς πόλ., οὐ τὸ ἑαυτῶν [Med. ἁπλῶς. Monn. ἀπλῶς ἑαυτῶν] λυσιτελές. recepi lectionem Taur. 1. 16 Med. Taur. 1. λυσιτελέστατον τὸ [Taur. 1. τε] Matr. Monn. λυσιτελὲς τό. 17 Taur. 1. ζητοῦσι καί. Med. Matr. Monn. ζητοῦντες. 18 Matr. ὁ βασιλεὺς τυράννου. 19 Med. πεισθήσεται. Matr. Taur. 1. Mon. A. πείθεται. Mon. B. πείθεσθαι, lineola subducta et suprascripto τ. 20 Taur. 1. λυσιτελὲς ζητεῖ. 21 Med. οὐδὲ Matr. Monn. οὔτε. Taur. 1. οὐ.

ἑαυτοῦ χρήσιμον ζητεῖ, καὶ οὐ τὸ τῶν ἀρχομένων. Ἀθηναῖοι δὲ καὶ ἡ τῶν ῥητόρων δυὰς ἐπολιτεύσαντο [23] μέν, ὡς ἐν δημοκρατίᾳ. Λακεδαιμόνιοι δέ, [24] ὡς ἐν ἀριστοκρατίᾳ· ἡμεῖς δὲ νῦν εὐτυχῶς ἐν βασιλείᾳ πιστῶς [25] καὶ ὀρθοδόξως.

Δέκατόν [1] ἐστι κεφάλαιον, ἐν ᾧ δεῖ ζητῆσαι, κατὰ πόσους τρόπους ὀφείλει ὁ [2] ῥήτωρ ἐξηγεῖσθαι τὰ ῥητορικὰ μαθήματα. Ἐξηγήσεται τοίνυν κατὰ τρόπους ἑπτά· κατὰ ἀλληγορίαν, ὅταν [3] ἔξωθεν καὶ παρὰ τὸ κείμενον ἕτερόν τι νοούμενον ἐκ τοῦ κειμένου ἀγορεύσῃ· ἀλληγορία γὰρ [4] λέγεται ἡ ἄλλο ἀγορεύουσα παρὰ [5] τὸ κείμενον. κατὰ προϋφήγησιν, ὅταν τὰ κεφάλαια καὶ τὰ ἐνθυμήματα τῆς μελλούσης λέγεσθαι ὑποθέσεως συνοψίσας θεωρήσῃ καὶ προδιαστείληται πρὸς σαφεστέραν νόησιν τοῦ ἀκροατοῦ. κατὰ τέχνην, ὅταν εἴπῃ· ἐνταῦθα, εἰ τύχοι, [6] πρότασις, ἢ κατάσκευή, ἢ μεταληπτικόν, ἢ ὁρικὸν [7] κεφάλαιον, ἤ τι τῶν ἀπὸ τῆς [8] τέχνης παραδεδομένων. [9] κατὰ ἱστορίαν, ὅταν τὴν ὑποκειμένην ἱστορίαν ἀφηγήσηται, χρόνους τε λέγων τῆς ἱστορίας καὶ πρόσωπα καὶ αἰτίας, καὶ ὅσα αὐτὴν κοσμεῖ. κατὰ σχῆμα, ὅταν εἴπῃ· τόδε τὸ σχῆμα προθεωρία ἐστίν, ἢ παρ' ὑπόνοιάν [10] ἐστιν, ἢ παρὰ προσδοκίαν. κατὰ ἰδέαν, ὅταν

---

22 καὶ Med. Taur. 1. om., est in Matr. et Monn. 23 Med. Monn. ἐπολιτεύσατο. Taur. 1. Matr. ἐπολιτεύσαντο. sq. μὲν Matr. om. 24 δὲ Matr. om. 25 Taur. 1. εὐτυχῶς καὶ ὀρθοδόξως.

1 Δέκατον — ζητῆται Monn. om. Taur. 1. περὶ τοῦ δεκάτου κεφαλαίου. sed nullo subiecto argumento transit ad cap. ἡ διαίρεσις τῶν ιδ'. στάσεων. 2 ὁ Med. om. 3 Matr. ὅτε — ἀγορεύσει [etiam Ambr. 2. ἀγορεύσει]. 4 γὰρ Monn. om. 5 Med. περί. 6 Med. Matr. τύχῃ. 7 Matr. ὁριστικόν. 8 τῆς Ambr. 2. Matr. om. 9 Monn. A. παραδεδομένης. 10 Med. Monn. Ambr. 2. παρυπόνοιά ἐστιν [Monn. ἐστὶν om.], ἢ παραπροσδοκία. recepi lectionem Matr.

εἴπῃ· ἐνταῦθα γοργότης ἐστὶ, [11] σφοδρότης ἐστὶ, λαμπρότης ἐστί. κατὰ δὲ [12] σαφήνειαν, ὅταν τὸ ἐμπεσὸν [13] νόημα σαφηνίσῃ μὲν πρὸς ἓν, ἀλλὰ τῶν [14] κατὰ τὸ κείμενον. Τρία δὲ πρὸ πάντων δεῖ τὸν ἐξηγητὴν ζητεῖν τὸν ἀκροατὴν, [15] εἰ ἐνόησε τὸ ἐνθύμημα, εἰ συνῆκε τὴν λέξιν, εἰ ἐπίστησε τῇ συντάξει· πάντα [16] γὰρ πάντως ὁ ἀγνοῶν ἀκροατὴς, ἢ τρία ἀγνοήσει, ἢ δύο τῶν τριῶν, ἢ ἕν. [12] Ἀσχάλλοντος οὖν ὡς μὴ νοοῦντος τοῦ ἀκροατοῦ, δεῖ τὸν ἐξηγητὴν ἐρωτᾷν, κατὰ τί οὐκ ἐνόησεν; ἄρα τὸ ἐνθύμημα, ἄρα τὴν λέξιν οὐκ ἐνόησεν, [18] ἢ τὴν σύνταξιν; Καὶ οὕτω [19] μαθόντων ἡμῶν τὸ ἀγνοούμενον, σαφηνίσομεν καὶ πέμψομεν [20] τὸν ἀκροατὴν μαθόντα πάντα, καὶ οὐδὲν ἀγνοήσαντα.

Ὅρος [1] τοῦ ἁπλῶς προγυμνάσματος. Προγύμνασμά ἐστιν ἄσκησις μετρίων πρὸς μειζόνων ἐπίῤῥωσιν.

Ὅρος ῥητορικοῦ προγυμνάσματος. Ἄσκησις διὰ λόγου τῶν κατὰ ῥητορικὴν μερῶν ἢ εἰδῶν χρήσιμά τινα προασκουμένη.

---

11 Med. ἐστὶν ter. 12 δὲ Matr. om. 13 Ambr. 2. Matr. τὸ ἐμπεσόν τι νόημα σαφηνίσῃ ἢ ἀλλάττον [Matr. ἐναλλάττον] κατὰ τὸ κείμενον. 14 Monn. τῶν. Med. τοῖς. 15 Ambr. 2. Matr. τοῦ ἀκροατοῦ. 16 Med. Matr. Ambr. 2. πάντῃ. Monn. πάντα. 17 ἢ ἓν Med. Matr. Ambr. 2. om., recepi ex Monn. 18 οὐκ ἐνόησεν Med. Matr. Ambr. 2. ponunt post ἐνθύμημα, Monn. h. l. 19 Med. Monn. οὕτως. 20 Ambr. 2. Matr. παραπέμψομεν. Monn. Med. πέμψομεν.

1 Haec et sqq. usque ad finem in Med. et Taur. 1. Prolegomenis praecedentibus subiunguntur. a Matr. et Ambr. 2. absunt.

Ἡ διαίρεσις[2] τῶν ιδ´ στάσεων

κατὰ Ἑρμογένην καὶ Μητροφάνην, ἔτι τε κατὰ Εὐαγόραν καὶ Ἀκύλαν τοὺς φιλοσόφους.

Πᾶν κρινόμενον ἢ ἀφανές ἐστιν ἢ φανερὸν, κἂν μὲν ἀφανὲς, ποιεῖ τὸν στοχασμόν· εἰ δὲ φανερὸν, ἢ τέλειόν ἐστιν ἢ ἀτελές· κἂν μὲν ἀτελὲς, ποιεῖ τὸν ὅρον, ἐὰν δὲ φανερὸν καὶ τέλειον, ἡ ζήτησις περὶ τὴν ποιότητα. Τὴν δὲ ποιότητα τέμνουσιν εἰς δύο· εἰς πράγματα καὶ ῥητά· εἰ μὲν οὖν περὶ ῥητὰ, ποιεῖ τὰς τέσσαρας νομικὰς, τὴν κατὰ ῥητὸν καὶ διάνοιαν, τὸν συλλογισμὸν, τὴν ἀντινομίαν καὶ [3] τὴν ἀμφιβολίαν· εἰ δὲ περὶ πράγματα, τέμνεται εἰς δύο χρόνους, εἰς μέλλοντα καὶ εἰς παρεληλυθότα· εἰ μὲν οὖν περὶ τὸν μέλλοντα, ποιεῖ τὴν πραγματικὴν, εἰ δὲ περὶ τὸν παρεληλυθότα, ποιεῖ τὴν δικαιολογικήν. Αὕτη δὲ εἰς ἀνεύθυνον καὶ ὑπεύθυνον τεμνομένη, κατὰ μὲν τὸ ἀνεύθυνον τεμνομένη ποιεῖ τὴν ἀντίληψιν, κατὰ δὲ τὸ ὑπεύθυνον τὰς τέσσαρας ἀντιθετικάς· ἢ γὰρ ὁ φεύγων εἰς ἑαυτὸν ἀναδέχεται τὸ ἀδίκημα καὶ γίνεται ἀντίστασις, ἢ εἴς τινα τῶν ἔξωθεν· κἂν μὲν εἴς τινα παθόντα, γίνεται ἀντέγκλημα, ἂν δὲ εἰς ἄλλον τινὰ, ἢ ὑπεύθυνον ἢ ἀνεύθυνον· κἂν μὲν εἰς ὑπεύθυνον, γίνεται μετάστασις, εἰ δὲ εἰς ἀνεύθυνον, γίνεται συγγνώμη· εἰ δὲ περὶ τὸ εἰ ἔστιν ἢ τί ἐστιν, ἢ ὁποῖόν τί ἐστιν ἡ ζήτησις, ἀλλὰ περὶ τοῦ εἰ χρὴ τὸν ἀγῶνα εἰσελθεῖν ἢ μὴ, γίνεται μετάληψις, ἥτις εἰς δύο διαιρουμένη εἴς τε τὸ ἔγγραφον καὶ ἄγραφον ποιεῖ τήν τε παραγραφὴν καὶ τὴν μετάληψιν. Ἔτι ὑποδιαίρεσις·[4] τῶν γὰρ στάσεων αἱ μέν εἰσι λογικαὶ, αἱ δὲ νο-

---

2 Exstat etiam in Par. 817. in quo post hanc διαίρεσιν sequitur ὅρος ὁρισμοῦ. 3 καὶ Med. om., est in Taur. 1. 4

μικαί· καὶ [5] λογικαὶ μὲν ἐννέα, στοχασμός, ὅρος, πραγματική, ἀντίληψις, ἀντίστασις, ἀντέγκλημα, μετάστασις, συγγνώμη, μετάληψις· νομικαὶ δὲ πέντε, παραγραφὴ, ῥητὸν καὶ διάνοια, ἀντινομία, συλλογισμὸς, ἀμφιβολία. Ἔτι τῶν στάσεων αἱ μὲν ἀνάγονται ὑπὸ τὸ δικανικὸν, αἱ δὲ ὑπὸ τὸ συμβουλευτικὸν καὶ τὸ [6] δικανικὸν, ὑπὸ δὲ τὸ πανηγυρικὸν οὐδεμία. Ὡσαύτως αἱ στάσεις ἢ ὑπὸ τὸν μέλλοντα χρόνον ἀνάγονται, ἢ ὑπὸ τὸν παρεληλυθότα, ὑπὸ δὲ τὸν ἐνεστῶτα οὐδεμία. Ἔτι τῶν στάσεων αἱ μὲν ἀπὸ τοῦ κατηγόρου γνωρίζονται, αἱ δὲ ἀπὸ τοῦ φεύγοντος.

ΑΝΩ-

Med. ὑποδιαίρεσις (ἐπι supra). in Taur. 1. ἐπι ὑποδιαίρεσις. 5 καὶ Med. om., est in Taur. 1. 6 τὸ Med. om., est in Taur. 1.

II.

ΑΝΩΝΥΜΟΥ

ΠΡΟΛΕΓΟΜΕΜΑ ΤΗΣ ΡΗΤΟΡΙΚΗΣ.[1]

Initium vide p. 17. v. 13. — p. 30.

Ἰστέον, ὅτι διαφέρει ἡ ῥητορικὴ τῆς διαλεκτικῆς τῇ τε ὕλῃ καὶ τοῖς ὀργάνοις· τῇ μὲν ὕλῃ, ὅτι ἡ μὲν ῥητορικὴ ὕλην ἔχει τὰ πολιτικὰ, ἡ δὲ διαλεκτικὴ περὶ πάντων ἁπλῶς τῶν ὄντων, ὥς τισι δοκεῖ, διαλεχθήσεται· τοῖς δὲ ὀργάνοις, ὅτι τῆς μὲν ῥητορικῆς ὄργανα τὸ κεφάλαιον, τὸ ἐπιχείρημα, ἡ ἐργασία, τὸ ἐνθύμημα. Κεφάλαιον μὲν οὖν ἐστι μέρος λόγου, ἀπόδειξιν ἔχον τοῦ προκειμένου ζητήματος, ἐκ νοημάτων καὶ ἐπιχειρημάτων συγκείμενον· οἷον ὑποκείσθω ζήτημα· τοῦ Φιλίππου συνεχῶς Χαιρώνειαν κατατρέχοντος γράφει Δημοσθένης διορύξαι τὸν Ἰσθμόν· εἶτα πρὸς σύστασιν τούτου κεφάλαιον τὸ δυνατὸν, ὅτι ῥᾴδιον τὸ διορύξαι τὸν Ἰσθμόν. Ἐπιχείρημα δέ ἐστι λόγος κατασκευαστικὸς τοῦ προτεθέντος κεφαλαίου, ἐκ περιστάσεως ἔχων [2] τὴν γένεσιν· οἷον, ἵνα πρὸς κατασκευὴν τοῦ προτεθέντος ἐπάγωμεν ἐπιχείρημα ἀπὸ τῆς περιστάσεως, ἤγουν ἀπὸ τοῦ προσώπου, ἢ τοῦ τόπου, ἢ τῶν ἄλλων. Ἀπὸ μὲν τοῦ προσώπου, ὅτι ῥᾴδιον τοῖς Ἀθηναίοις τοῖς ἰσχυροῖς καὶ νεωτεροποιοῖς καὶ παρὰ τῶν ἐχθρῶν ἐπαινουμένοις. Ἀπὸ

---

1 Ex codd. 376. [A.] et 123. [B.] vide p. 2 Mon. A. B. ἔχον. scr. ἔχων.

δὲ τοῦ τόπου, ὅτι γῆν διορύξομεν· τὸ δὲ γῆν διορύττειν παιδιά. Ἐργασία δέ ἐστι λόγος κατασκευαστικὸς τοῦ προτεθέντος ἐπιχειρήματος ἐκ παραβολῆς ἢ παραδείγματος ἔχων τὴν γένεσιν. Ἐκ μὲν οὖν παραδείγματος, οἷον, ἐπεὶ καὶ ὁ Πέρσης ποτὲ διώρυξε τὸν Ἄθω. Ἐκ δὲ παραβολῆς, οἷον, ὡς εἴ τις εἰπών· δεῖ τοὺς γονέας τιμᾶν, εἶτα ἐργασίαν θήσει ἐκ παραβολῆς· καὶ γὰρ τῶν θηρίων ἔστιν ἃ τοῦτο ποιεῖ. Καὶ ταῦτα μέν ἐστι τῆς ῥητορικῆς ὄργανα· τὰ δὲ τῆς διαλεκτικῆς ἥ τε ἐπαγωγὴ καὶ ὁ συλλογισμός. Καὶ ὁ μὲν συλλογισμὸς ἐκ τῶν καθόλου τὰ μερικὰ πιστοῦται· ἡ δὲ ἐπαγωγὴ ἐκ τῶν μερικῶν τὰ καθόλου.

Τί παράδειγμα, καὶ τί παραβολή, καὶ τί διαφέρει παράδειγμα παραβολῆς.

Παράδειγμά ἐστι προγεγονότος πράγματος παράθεσις καθ' ὁμοιότητα τῶν ὑποκειμένων πρὸς παραίνεσιν προτροπῆς ἢ ἀποτροπῆς ἕνεκεν· προτροπῆς μέν·

Οὐκ ἀΐεις οἷον κλέος ἔλλαβε [3] δῖος Ὀρέστης,
— — — ἐπὴν ἔκτανε πατροφονῆα
Αἴγισθον δολόμητιν·

ἀποτροπῆς δέ·

Οὐδὲ γὰρ οὐδὲ Δρύαντος υἱὸς κρατερὸς Λυκόεργος [4]
Δὴν ἦν, ἐπεὶ ἀθανάτοισιν ἔριζε.

Τί διαφέρει παράδειγμα παραβολῆς; Διαφέρει, ὅτι τὸ μὲν παράδειγμα ἀπὸ προγεγονότων πραγμάτων παραλαμβάνεται· ἡ δὲ παραβολὴ ἐξ ἀορίστων καὶ ἐνδεχομένων γενέσθαι· παραβολὴ γάρ ἐστι πράγματος οἵου γενέσθαι ἀπομνημόνευσις εἰς ὁμοίωσιν τοῦ ζητουμένου. Ἰστέον, ὅτι ἔργα ῥήτορός ἐστι τὸ νοῆσαι, τὸ εὑρεῖν, τὸ διαθέσθαι τὰ εἰρημένα, τὸ ὑποκρίνασθαι. Ἔστι δὲ τῆς μὲν νοήσεως τὸ νοῆσαι, εἰ πολιτικὸν τὸ ζήτημα, ἢ μή,

---

3 Codd. λάβε. scr. ἔλλαβε. ex Od. α, 298. 4 Il. ζ, 130.

καὶ εἰ συνέστηκεν, ἢ μή· καὶ ποίου τῆς ῥητορικῆς εἴδους, ἢ χαρακτῆρος, καὶ τὴν στάσιν, ὑφ' ἣν ἀνάγεται τὸ πρόβλημα· τῆς δὲ εὑρέσεως τὸ εὑρεῖν τὰ εἰς τὰ κεφάλαια ἐπιχειρήματα πρὸς τῇ τῶν κεφαλαίων εὑρέσει, ἔτι καὶ τοὺς ἐμπίπτοντας τόπους, τά τε προοίμια καὶ τὰ νοήματα· ἡ γὰρ διήγησις οὐ τῆς εὑρέσεώς ἐστιν· οὐ γὰρ εὑρίσκει ὁ ῥήτωρ διήγησιν, ἀλλ' ἐκ τῆς ὑποθέσεως λαμβάνει, κἀκεῖ ποιεῖ τὰ νοήματα· διαθέσεως δὲ τὸ διαθέσθαι τὴν τάξιν καὶ τὴν οἰκονομίαν. Διαφέρει δὲ τάξις οἰκονομίας, ὅτι ἡ μὲν τάξις τῆς ἀκολουθίας ἐστὶ τῶν κεφαλαίων, καὶ τοῦ εἰδέναι κατὰ τάξιν χρήσασθαι αὐτοῖς, ποίῳ τινὶ πρώτῳ, ἢ ποίῳ δευτέρῳ. Ἡ δὲ οἰκονομία ἐστὶ τοῦ συμφέροντος· πολλάκις γὰρ διὰ τὸ συμφέρον ἀναστρέφομεν τὴν τάξιν, καὶ χρώμεθα τῷ πρώτῳ, εἰ συμφέρει, δευτέρῳ· ἔσθ' ὅτε δὲ καὶ παραλείπομέν τινα τῶν κεφαλαίων. Ἡ δὲ ὑπόκρισίς ἐστιν, ἵνα καὶ τῷ σχήματι, καὶ τῷ βλέμματι, καὶ τῇ φωνῇ, ὡς ἂν τραγῳδὸς ἄριστος καλῶς τοῖς λεγομένοις συσχηματίζηται. Λέγουσι δὲ σχηματίζεσθαι, ὅσον προσήκει ῥήτορι, καὶ μὴ διὰ τοῦ περιττοῦ πρὸς ἄλλο τι σχῆμα ἐκπεσεῖν· λέγουσι δὲ τούτου, τῆς ὑποκρίσεώς φημι, πρῶτον Ἀνδρόνικον εἰσηγητὴν γενέσθαι τὸν ὑποκριτὴν, τοῦ Δημοσθένους περὶ τὴν τῶν λόγων ἐπίδειξιν ἀποτυγχάνοντος, καὶ ὅτι μέγιστον τὸ ὑποκρίνεσθαι καὶ ῥητορικὸν ὄφελος, μαρτὺς αὐτὸς Δημοσθένης. Ἐρωτηθεὶς γοῦν ποτε, τί ἂν εἴη ῥητορική, [5] ὑπόκρισις ἔφη, ἣν δὴ καὶ τελεώτερον Πῶλος ὁ ὑποκριτὴς λέγεται αὐτὸν ἐκδιδάξαι. Τινὲς δὲ φασιν, ἀπὸ ὀργῆς Δημοσθένην τοῦτο εἰπεῖν, φημὶ δὴ τὸ, ῥητορική ἐστιν ὑπόκρισις, διὰ τό ποτε κακῶς ὑποκρινάμενον μὴ πεῖσαι δυνηθῆναι· πλὴν καὶ Θεόφραστος ὁ φιλόσοφος ὁμοίως φησὶν εἶναι μέγι-

5 Codd. ῥητορικοῦ, scripsi ῥητορική. Cfr. Theon. Progymn. p. 214. Arsen. Viol. p. 189.

στον[6] ῥητορικῇ πρὸς τὸ πεῖσαι τὴν ὑπόκρισιν, εἰς τὰς ἀρχὰς ἀναφέρων καὶ τὰ πάθη τῆς ψυχῆς καὶ τὴν κατανόησιν τούτων, ὡς καὶ τῇ ὅλῃ ἐπιστήμῃ σύμφωνον εἶναι τὴν κίνησιν τοῦ σώματος καὶ τὸν τόνον τῆς ψυχῆς.

Ὅτι στοιχεῖα νοήσεως ταῦτα· πρῶτον μὲν καὶ ἁπλοῦν νόημα, εἰ δεῖ βοηθῆσαι Ὀλυνθίοις· εἶτα τοὺς εἰς αὐτὸ λόγους εὑρεῖν, οἷον ἐν τῇ τῶν ἐπιχειρημάτων εὐπορίᾳ, ἃ εἰς κατασκευὴν τοῦ νοήματος λαμβάνουσι. Τούτων τὰ μέν ἐστι παραδειγματικά, τὰ δὲ ἐνθυμηματικά· καὶ δεῖ μὴ μόνον εὑρεῖν, ἀλλὰ καὶ καλῶς ἑρμηνεῦσαι. Ἑρμηνείας δὲ ἀρεταὶ τέσσαρες, ἑλληνισμός, σαφήνεια, συντομία, πιθανότης. Τὴν δὲ συντομίαν πρὸς τὴν ἀξίαν τῆς χρείας δοκιμάζεσθαι δεῖ. Οὐδὲ γὰρ φλυαρεῖν τὸν Δημοσθένην ἐροῦμεν ἐν τῷ περὶ τοῦ στεφάνου τοσαῦτα τιθέντα, οὐδὲ τῆς κατὰ τὴν συντομίαν ἀρετῆς ἐκπεσεῖν· Μακρὸν γὰρ οὐχ ἁπλῶς τὸ μακρόν, ἀλλ' ὅσον ἔξω τῆς χρείας· καὶ σύντομον, οὐχ ὅπερ τῇ βραχύτητι τῶν στοιχείων ἀδικήσει τὰ πράγματα, ἀλλ' ὅπερ τῶν ὑποκειμένων πραγμάτων τῇ χρείᾳ τὸ μέτρον ἐκτείνει. Δεῖ δὲ προσθεῖναι καὶ τὸ κυρίως κεχρῆσθαι ταῖς λέξεσιν. Ἄμεινόν δὲ ἀντὶ τῆς συντομίας τὴν συμμετρίαν εἰπεῖν· καὶ γὰρ πολλὰ καὶ ἐλάχιστα ἐροῦμεν ἀκολουθοῦντες τῇ ὕλῃ· ἀλλ' οὐδὲ τῆς σαφηνείας ἀεὶ φροντιοῦμεν, ἀλλὰ σαφῶς μὲν ἐροῦμεν ὑπὲρ ἡμῶν, ἀσαφῶς δὲ τὰ καθ' ἡμῶν, ὥσπερ καὶ Δημοσθένης ἐν τῷ περὶ τοῦ στεφάνου, οὐκ ἔχων λῦσαι τοὺς καθ' ἑαυτοῦ νόμους, οἷς Αἰσχίνης ἐχρήσατο κατ' αὐτοῦ, κατέφυγεν ἐπὶ τὸ ἀσαφὲς οὑτωσὶ λέγων· „τῶν μὲν οὖν λόγων,[7] οὓς οὗτος ἄνω καὶ κάτω κυκῶν ἔλεγε περὶ τῶν παραγεγραμμένων νόμων, οὔτε ὑμᾶς μὰ τοὺς θεοὺς οἶμαι μανθάνειν, οὔτε ἐδυνάμην συνεῖναι τὰ πολλά·“ ἀλλ' οὐδὲ ταῖς λέξεσι πανταχοῦ χρησόμεθα

---

6 Mon. A. super εἶναι litteram β. super μέγιστον litt. α. ponit. 7 Codd. νόμων. scr. λόγων ex or. pro cor. p. 263.

κυρίως· ἀλλ' ἔστιν ὅτε καὶ τροπικῶς, ὡς ὁ Δημοσθένης· [8] „μεθύει τῷ μεγέθει τῶν πεπραγμένων Φίλιππος." Δεῖ δὲ καὶ μνήμης τῷ ῥήτορι προσεῖναι, καὶ φύσεως καὶ ἐπιμελείας· καὶ ὅτι ἐπιμέλεια τὸ πᾶν δύναται κατορθοῦν, μάρτυς Δημοσθένης, ἐν οἷς μὲν ἐγυμνάσατο πάνυ εὐδοκιμῶν, τῷ συμβουλευτικῷ φημι καὶ δικανικῷ· ἐν δὲ τῷ πανηγυρικῷ τοῦ ἀκριβοῦς ἀστοχῶν διὰ τὸ ἀμελέτητον, ὡς ὁ ἐπιτάφιος αὐτοῦ δείκνυσι. Καίτοι εἰ καὶ τὸ συμβουλευτικὸν προτροπῇ [9] καὶ ἀποτροπῇ τὸ κράτος ἔχει, καὶ τὸ δικανικὸν κατηγορίᾳ καὶ ἀπολογίᾳ, ἃ διὰ τῶν ἐγκωμιαστικῶν τόπων πρόεισι, πολὺς δὲ τὸ συμβουλευτικὸν καὶ δικανικὸν ὁ Δημοσθένης, καὶ πάντως διὰ πολλῆς ἥκων πείρας, δι' ὧν ταῦτα κατασκευάζεται, ἀλλ' ὅμως διὰ τὸ ἀμελέτητον, ὡς φθάνομεν εἰπόντες, ὡς μὲν ὕλῃ ἐμπίπτων τῷ πανηγυρικῷ ἐπίσταται χρῆσθαι καλῶς· αὐτὸ δὲ καθ' αὑτὸ μετιέναι ἀδυνατεῖ διὰ τὸ ἀγύμναστον.

Ἰστέον, [10] ὅτι ταῦτά ἐστι τὰ τέσσαρα, δι' ὧν αἱ πίστεις γίνονται, συλλογισμός, ἐπαγωγή, ἐνθύμημα, παράδειγμα. Ὁ συλλογισμὸς μὲν οὖν ἀπὸ τῶν καθόλου ἐπὶ τὰ κατὰ μέρος χωρεῖ· οἷον, πᾶσα προδοσία κακόν, προδότης δὲ Αἰσχίνης· οὐκοῦν καὶ Αἰσχίνης κακός. Ἡ δὲ ἐπαγωγὴ ἀπὸ τῶν μερικῶν ἐπὶ τὰ καθόλου· οἷον ἄνθρωπος καὶ βοῦς καὶ ἵππος τὴν κάτω γένυν κινεῖ· οὐκοῦν καὶ πᾶν ζῶον. Τοῦτο δ' οὐκ ἀληθές· οὐ γὰρ καὶ ὁ κροκόδειλος καὶ ὁ φοίνιξ τὸ ὄρνεον· τὰ μὲν γὰρ καθόλου τῶν μερικῶν διϊκνεῖται· τὰ δὲ μερικὰ οὐ πάντως τὸ καθόλου περιέχει. Ταῦτα μὲν οὖν διαλεκτικῆς· τὰ δὲ λοιπὰ ῥητορικῆς· οἷον τό τε ἐνθύμημα καὶ τὸ παράδειγμα. Ἔστι δὲ τὸ μὲν ἐνθύμημα ἀτελὴς συλλογισμός, ὡς ἐκεῖνο· [11] „ἑ γὰρ οἷς ἂν ἐγὼ ληφθείην ταῦτα πράττων καὶ

8 Phil. I. p. 54. 9 Mon. 'A. προτροπὴ καὶ ἀποτροπῇ. 10 Cfr. Maximi Plan. Prolegomena T. V. p. 218. v. 15. — p. 219, v. 6. 11 Phil. III. p. 115,

κατασκευαζόμενος, οὗτος ἐμοὶ πολεμεῖ, κἂν μήπω βάλλῃ, μηδὲ τοξεύῃ." ἀτελὴς δέ· οὐ γὰρ καὶ τὸ συμπέρασμα ἔχει, ὃ τοιοῦτον ἂν ἦν. Οὐκοῦν καὶ Φίλιππος ταῦτα ποιῶν προδήλως ἡμῖν πολεμεῖ. Τὸ δὲ παράδειγμα ἡ ἐκ τῶν προλαβόντων ἐστὶν ὁμοίωσις, ὡς ἐν πρώτῳ Φιλιππικῶν· [12] „εἰ γὰρ ὅθ' ἥκομεν Εὐβοεῦσι βεβοηθηκότες." Εἰδέναι χρὴ, ὅτι τὸ μὲν ἐνθύμημα τῆς τοῦ ῥήτορος ἐντρεχείας [13] ἐστί· τὸ δὲ παράδειγμα ἐκ τῶν παρ' ἑτέροις γενομένων λαμβανόμενον τὴν πίστιν ἐργάζεται. Ἕπεται μέντοι τὸ παράδειγμα τῷ ἐνθυμήματι. Ἔσθ' ὅτε γοῦν καὶ προτάττεται, ὡς ἐν πρώτῳ Φιλιππικῶν· εἰ γὰρ ὅθ' ἥκομεν Εὐβοεῦσι βεβοηθηκότες."

Ἰστέον, ὅτι τέσσαρα ταῦτά ἐστι τὰ συνιστῶντα τὴν τέχνην, εἶδος, τέλος, ὕλη, ὄργανον. Τούτων δ' ἔσθ' ὅτε τινὰ διαλλάττει· οὐ μέντοιγε καὶ ἐλλείπει· εἰ γὰρ ἐλλείπει ἕν τι τούτων, οὐκέτι ἐστὶ τέχνη, οἷον· Σωκράτους φέρε εἰκὼν ἐκ λίθου καὶ ξύλου· τῇ μὲν ὕλῃ διαλλάττει, τοῖς δὲ λοιποῖς οὔ· καὶ γὰρ εἶδος ἀμφοῖν τὸ αὐτό· Σωκράτους γὰρ μίμησις ἄμφω. Ἔτι δὲ καὶ τέλος· Σωκράτης γάρ. Ἀλλὰ καὶ ὄργανα, οἷον σμίλη, τέρετρον, καὶ τὰ λοιπά. Πάλιν δ' ἰατροῖς φαρμακικῷ καὶ χειρουργικῷ [14] ὕλη μὲν ἡ αὐτή· τὰ ἡμέτερα γὰρ σώματα. Εἶδος δὲ οἱ λόγοι, τέλος δὲ ἡ ὑγεία, τὰ δ' ὄργανα διαλλάττει· ὁ μὲν γὰρ καίνων, ὁ δ' [15] ἐπαλείφων ὑγιάζουσι· καὶ ἁπλῶς, ἐὰν μὴ τὰ τέσσαρα ταῦτα συνέλθῃ, οὐ συνίσταται τέχνη, οὐδὲ σώζεται ἡ ὁμοιότης. Ἡ ἐπιστήμη ὕλην μὲν ἔχει τὸ περὶ τῶν ὄντων, ᾗ ὄντα, διαλέγεσθαι, εἶδος δὲ τὸ μετ' ἐπιστήμης τοὺς λόγους ποιεῖσθαι, τέλος δὲ τὸ ἀγαθὸν, ὄργανον δ' ὁ λόγος, ᾧ πείθεται. Ἡ διαλεκτικὴ ὕλην μὲν ἔχει τὸ πιθανὸν ἐν πᾶσιν. Εἶδος δὲ ἡ δύναμις· διὰ συλλογισμῶν γὰρ πρόεισι·

12 Ol. I. p. 11. 13 Mon. A. ἐντραχείας. 14 καὶ χειρουργ. Mon. A. om. 15 Mon. A. B. ὅδ. ἐπαλ.

τέλος δὲ ἡ πειθώ· ὄργανα δὲ τὰ ἔνδοξα πρόσωπα. Ἡ σοφιστικὴ ὕλην μὲν ἔχει τὸ περὶ πάντων δοκεῖν πιθανῶς διαλέγεσθαι, εἶδος δὲ τὸ παλίμβολον καὶ ἄστατον, τέλος τὸν χρηματισμὸν, ὄργανον τὴν ὁμωνυμίαν τῶν λέξεων καὶ τὰ παρακείμενα, εἶδος δὲ ἔχει καὶ τὸ μηδαμοῦ τοῖς αὐτοῖς ἐμμένειν· ἀμέλει εὑρίσκομεν τοὺς ῥήτορας καὶ ἀπολογίας καὶ κατηγορίας περὶ τῶν αὐτῶν ποιουμένους. Ἡ πολιτικὴ ὕλην μὲν ἔχει τὰ πολιτικὰ πράγματα, εἶδος δὲ τὸ πάντων ὁμοίως ἐπιμελεῖσθαι, τέλος δὲ τὸ σύμφερον, τὸ δίκαιον, τὸ καλόν· ὄργανον τοὺς κατὰ μέρος τεχνίτας.

Ὁ Ἑρμογένης [16] Ταρσεὺς μὲν ἦν τῷ γένει, υἱὸς δὲ Καλλίππου. Ἑπτακαίδεκα οὖν ἐτῶν γεγονὼς τὸ παρὸν βιβλίον ἔγραψεν, εἰς τρίτον δὲ καὶ εἰκοστὸν προελθὼν χρόνον τὸ περὶ ἰδεῶν ἐξέδωκε σύνταγμα, ἐν δὲ τῷ εἰκοστῷ πέμπτῳ ἐξελάθετο· καί φησιν ὁ Τύραννος, ὅτι ὑπὸ πολλῆς θερμότητος εἰς ἕξιν ἦλθε τῆς τέχνης ὅτι τάχιστα, μεταβληθείσης δὲ τῆς ἡλικίας εἰκότως καὶ τοῦ πλεονεκτήματος ἐστερήθη· αἱ γὰρ εἰς ἄκρον εὐεξίαι σφαλεραὶ καθ' Ἱπποκράτην· πρὸς ὃν καὶ Ἀντίοχος ὁ σοφιστὴς, ἀντίτεχνος ὢν αὐτῷ, ἐπεῖπε τάδε· Ἑρμογένης ὁ ἐν παισὶ μὲν γέρων, ἐν δὲ γέρουσι παῖς.

Σκοπὸς τῷ Ἑρμογένει, περὶ διαιρέσεως τῶν πολιτικῶν ζητημάτων τῆς εἰς τὰ κεφάλαια, ἤτοι τοὺς κυριωτάτους τῶν κατηγόρων καὶ τῶν φευγόντων λόγους διαλαβεῖν, καὶ ὅλως διδάξαι, ποίοις μὲν κατηγοροῦντες, ποίοις δὲ ἀπολογούμενοι κεφαλαίοις χρησόμεθα. Χρησιμεύει δὲ ἡμῖν τὸ παρὸν βιβλίον· εἴς τε τὸ εἰδέναι, ποῖα τῶν προβλημάτων μελετᾶται, καὶ ποῖα οὒ, καὶ

---

16 Cfr. Excerpta de vita Hermogenis, quae ex Cod. Barocc. 133. edidit Olear. ad Philostr. Vit. Soph. II. 7. p. 577. Iriartii catalogum codd. Graecc. bibl. Matrit. p. 151. et nostrum Vol. IV. pag. 30.

ποῖα μὲν ἀγωνιζομένοις, ποῖα δὲ γυμναζομένοις μόνον· καὶ εἰς τὸ γινώσκειν, τίνα λεκτέον ἐν παντὶ συνεστῶτι ζητήματι τὸν κατηγοροῦντα καὶ τίνα τὸν ἀπολογούμενον, καὶ ποίοις κεφαλαίοις χρηστέον ἐν ἑκάστῳ τῶν ζητημάτων. Ἀναφέρεται δὲ τὸ παρὸν βιβλίον ὑπὸ τὸ λογικὸν τῆς φιλοσοφίας μέρος. Εἰδέναι χρὴ, ὅτι οὐ πᾶν εἶδος τῆς ῥητορικῆς στασιάζεται, μόνον δὲ τὸ δικανικὸν, καὶ μέρος τοῦ συμβουλευτικοῦ, ὅπερ ὁμωνύμως τῷ γένει συμβουλευτικὸν καλεῖται· τὸ γὰρ εἶδος τὸ συμβουλευτικὸν, πῆ μὲν ἀμφιβαλλόμενον, πῆ δὲ ὁμολογούμενον, ὅταν μὲν ἀμφιβάλληται, ποιεῖ τὸ ὁμώνυμον αὐτῷ [17] συμβουλευτικὸν, ὅπερ ἀεὶ στασιάζεται· ὅταν δὲ ὁμολογούμενον ᾖ, ποιεῖ τὸ παραινετικόν. Τὸ οὖν παραινετικὸν οὐδέποτε στασιάζεται· ὁμολογούμενον γάρ ἐστιν· ἔτι δὲ καὶ τὸ πανηγυρικὸν ὅλον ἀστασίαστον μένει· αὔξησιν γὰρ ἔχει ὁμολογουμένων καλῶν ἢ κακῶν. Ἰστέον, ὅτι τὸ δικανικὸν καὶ μέρος τοῦ συμβουλευτικοῦ καὶ δυνάμει καὶ ἐνεργείᾳ στασιάζεται· τὸ δὲ παραινετικὸν καὶ πανηγυρικὸν δυνάμει μόνον. [18]

Addo initium Scholiorum:

Πολλῶν ὄντων — ἀλλ' οὐ περὶ τούτων νυνί. Πολλῶν, ἤτοι βιβλίων, οἷον τοῦ περὶ γυμνασμάτων, περὶ στάσεων, περὶ εὑρέσεων, περὶ σχημάτων, περὶ ἰδεῶν, περὶ μεθόδου δεινότητος, ἢ προοιμίων, διηγήσεων, ἀγώνων, ἐπιλόγων. Σοφῶς τὸ προοίμιον ἐνταῦθα ἔγραψε· τέχνην γὰρ βουλόμενος ἀποδεῖξειν, φανερῶς μὲν κατασκευάσαι ἀπέφυγεν αἰδοῖ Πλάτωνος, καὶ ἵνα μὴ αὐτῷ τούτῳ διαβάλῃ· πᾶν γὰρ κατασκευαζόμενον ἀμφιβάλλε-

---

17 Mon. B. αὐτό. 18 Quae sequuntur usque ad finem προλεγομένων vide T. VII. p. 36. v. 17.—p. 39. v. 24.

ται· οὐκ ἠβουλήθη οὖν ὅλως ἀμφίβολον ποιῆσαι τὴν ῥητορικὴν τέχνην εἶναι, ἀλλ' οὐδ' ἀκατάσκευον αὐτὴν παντελῶς εἴασε· λεληθότως δὲ τὸν ὅρον τῆς τέχνης αὐτῇ περιάψας ἐν τῷ προοιμίῳ κατεσκεύασεν, ὅτι τέχνη ἐστί· πᾶν γὰρ πρᾶγμα περιεχόμενον ὅρῳ τινὶ ἐκεῖνό ἐστιν, ου τῷ ὅρῳ ἐμπεριέχεται. Εἰ τὸ συνίστησιν ἐπὶ τοῦ τὰ ἠμελημένως ἔχοντα ἀνορθοῦν λέγεται, τὸ δὲ ποιεῖν ἐπὶ τοῦ τὰ μὴ ὄντα εἰς τὸ εἶναι παράγειν, πῶς τὰ αὐτὰ δύνανται καὶ συνιστᾶν καὶ ποιεῖν τὴν ῥητορικήν; Σημείωσαι, ὅτι τὸ μὲν συνίστησιν εἶπε, διότι ταῦτα τὰ πολλὰ καὶ μεγάλα δύναμιν οὖσαν τὴν ῥητορικὴν καὶ σκιᾶς δίκην παρεπομένην τῷ νοΐ τῶν ἀνθρώπων, εἰς ὑπόστασιν ἐναργῆ καὶ ὕπαρξιν ἤγαγον· τὸ δὲ ποιεῖν εἶπεν, ἐπεὶ πρὶν ἐφευρεθῆναι τοὺς συνιστῶντας καὶ ἀξιοῦντας τέχνην ὀνομάζεσθαι τὴν ῥητορικὴν κανόνας, οὐδὲ τέχνη ἦν ῥητορική, ἀλλὰ φύσεως δεξιᾶς ἔργον κατὰ Πλάτωνα· εὑρεθέντων δὲ τούτων τέχνη ἂν εἴη εἰκότως.

III.

ΤΡΩΙΛΟΥ ΣΟΦΙΣΤΟΥ
ΠΡΟΛΕΓΟΜΕΝΑ ΤΗΣ ΡΗΤΟΡΙΚΗΣ ΕΡΜΟΓΕΝΟΥΣ.[1]

Ἐπειδὴ σὺν θεῷ τῆς ῥητορικῆς ἀρχόμεθα τέχνης, τινὲς δὲ πέρα τοῦ δέοντος αὐτὴν ἐπαινοῦντες ἔλεγον ἐπιστήμην, ἕτεροι δὲ ἐπιτυγχάνοντες τοῦ σκοποῦ τέχνην ὠνόμαζον, ἄλλοι δὲ παρὰ τὸ προσῆκον μεμφόμενοι ἐμπειρίαν ἐκάλουν, φέρε ζητήσαντες μάθωμεν, τί ἐπιστήμη καὶ τί τέχνη καὶ τί ἐμπειρία ἐστὶ, καὶ ἕκαστον τούτων ἀπὸ τριῶν προσώπων διασαφηνίσωμεν, ἀπό τε ὅρου καὶ ἰδίου καὶ παραδείγματος. Ἐπιστήμη τοίνυν ἐστὶ γνῶσις τοῦ ὑποκειμένου πράγματος, καθὸ ἔχει φύσεως, γνῶσις δὲ διὰ τὸ γινώσκειν· ἀλλ᾽ ἐπειδὴ καὶ αἱ τέχναι τοῦτο ἐπίστανται, πρόσκειται τὸ, καθὸ ἔχει φύσεως, ἀποφαίνων, ὡς οὐ τὰ φαινόμενα, ἀλλὰ καὶ τὰ ἐν βάθει διερευνῶσα τὰς φύσεις ἐπίσταται κυρίως τῶν πραγμάτων· ἴδιον δὲ αὐτῆς ἐστι τὸ μετὰ λόγου πάντα ποιεῖν

1 Troilus, Sidetes, Socratis Scholastici praeceptor seculo quinto vixit. Vide Schoell. hist. litt. Gr. III. p. 140. Exile hoc opusculum passim ad verbum consentit cum Prolegomenis Maximi Planudae, sed utrum Planuda Troilum exscripserit, an ex communi fonte uterque hauserit, difficile est diiudicatu. Descripsi ex Mon. 8. et passim emendavi ex Par. 1983. Praeterea continetur in Parr. 2977. 2916. Farn. II. E. 5.

καὶ μηδέποτε σφάλλεσθαι, ἀλλ᾽ ἀεὶ τὰ [2] αὐτὰ περὶ τῶν αὐτῶν καὶ ὡσαύτως ἐχόντων λέγειν· οἷον οὐ σήμερον ὁ ἀστρονόμος φήσει [3] τὴν σελήνην τοὺς δώδεκα οἴκους τῶν ζωδίων διϊέναι, ἀλλὰ δι᾽ ὅλου τοῦ μηνὸς, αὔριον δὲ, οὐκ ἄλλα, ἀλλὰ ταῦτα μᾶλλον φθεγγόμενος ἑκάστοτε. Παράδειγμα δὲ αὐτῆς ὁ γραμματιστὴς ἤτοι ὁ χαμαιδιδάσκαλος· ἀεὶ γὰρ τὴν διδασκαλίαν ποιεῖται μηδὲν μετατρέπων τῶν εἰθισμένων, καὶ τοσαῦτα περὶ τῆς [4] ἐπιστήμης. Τέχνη δέ ἐστι σύστημα ἐκ καταλήψεων ἐγγεγυμνασμένων πρός τι τέλος εὔχρηστον τῶν ἐν τῷ βίῳ· σύστημα δέ ἐστι τῶν πολλῶν ὀργάνων συνδρομή· χωρὶς γὰρ αὐτῶν ἀδύνατον τέχνην συνίστασθαι· ἐκ καταλήψεων δὲ καλῶς τούτῳ πρόσκειται· κατὰ μικρὸν γὰρ ἐφευρέθησαν τὰ συστηματικὰ τῶν τεχνῶν· οἷον ἡ τεκτονικὴ πελέκει ἐκέχρητο, μετὰ ταῦτα δὲ καὶ σκεπάρνῳ, νομίζουσα λίαν ἐπιτηδειότερον εἶναι, καὶ ὅσα πρὸς τὴν τέχνην ὑπῆρχεν ἁρμόδια· κατάληψις δέ ἐστιν ἡ ἐξ αἰσθήσεως μετὰ λόγου τοῦ ὑποκειμένου μάθησις· ὅταν γὰρ αἰσθανώμεθα καὶ τὴν αἰτίαν γνῶμεν, τότε αὐτὴν τὴν κατάληψιν γνωσόμεθα, ἐμπειρίαις γεγυμνασμέναις οἱονεὶ μελέταις μεμελετημένοι· εἰ γὰρ ἐφεύρωμέν τι καὶ μὴ συνεχῶς μελετήσωμεν, ἀνόνητα γίνεται πρός τι τέλος εὔχρηστον τῶν ἐν τῷ βίῳ.

Τοῦτό φησι διὰ τὰς ματαιοτέχνας καὶ κακοτεχνίας· ἐκεῖναι γὰρ καὶ σύστημα ἔχουσι καὶ ἐκ καταλήψεών εἰσι καὶ ἐμπειρίαις γεγυμνασμέναι, ἀλλ᾽ οὐ κοινωφελεῖς· ματαιοτεχνία δέ ἐστιν ἡ τῶν θαυματοποιῶν ἤτοι ψηφοπαικτῶν, τοὺς μετιόντας ὠφελοῦσα, βλάπτει δὲ τὸν βίον τοὺς θεατὰς τῶν πρακτέων ἀποπλανῶσα· κακοτεχνία δέ ἐστιν ἡ τῶν φαρμάκων νομιζομένη τέχνη, βλάπτουσα τὸν μετιόντα δεινῶς καὶ τὸν βίον· ἴδιον δὲ τῆς τέχνης

---

2 τὰ, quod Mon. om., adieci ex coni. 3 Mon. φύσει. Par. φήσει. 4 Mon. τῆς τύχης ἐπιστήμης. Par. τύχης om.

τὸ μετὰ λόγου πάντα ποιεῖν καὶ μηδέποτε σφάλλεσθαι, μήτινος τῶν ἔξωθεν ἐμποδίζοντος· καὶ τὸ παράδειγμα φανερὸν τὸ λεγόμενον· οἷον ὁ τέκτων κατασκευάζει θρόνον, καὶ τὰ ἀπὸ τῆς τέχνης καταπληρώσας τοῦ ξύλου σεσηπότος διαφθείρει τὸ ἐγχείρημα. Ἐμπειρία [5] δέ ἐστιν ἄλογος τριβὴ ἐκ παρατηρήσεως γινομένη· ἴδιον δὲ αὐτῆς ἐστιν τὸ ἀλόγως πράττειν πάντα καὶ μηδέποτε ἐπιτυγχάνειν, εἰ μὴ ἐκ τοῦ παραδόξου· παράδειγμα δὲ αὐτῆς ἐστιν ὁ ἐπιδίφριος ἰατρός· θεασάμενος γὰρ λογικὸν ἰατρὸν νέῳ παρέχοντα ὕδωρ ψυχρὸν πυρέττοντι ἐπὶ κεκαυμένῃ χολῇ ἐν θέρει καὶ ὑγείαν ποιήσαντα κατὰ τὸν ἰατρικὸν λόγον τὸν λέγοντα, τὰ ἐναντία τῶν ἐναντίων ἰάματα, παρέσχεν ἀπαραφυλάκτως μὴ σκοπήσας τὴν αἰτίαν, καὶ πολλοὺς μὲν ἀναιρεῖ, ἕνα δὲ σώσει ἐκ τοῦ παραδόξου· καὶ τοσαῦτα περὶ τῆς ἐπιστήμης καὶ τέχνης καὶ ἐμπειρίας ἐμάθομεν. Μάθωμεν δὲ καί, τί ἐστι διαπόρισμα, καί φαμεν εἶναι κέρδος λογικὸν ἐκ τῶν φθασάντων ἀναφυόμενον, τουτέστιν ἐκ τῆς προλαμβανούσης ἐνθυμήσεως· ζητοῦμεν γάρ, διὰ τί πρώτην τετάχαμεν τὴν ἐπιστήμην, δευτέραν δὲ τὴν τέχνην, τρίτην δὲ τὴν ἐμπειρίαν· καὶ λέγομεν, ὅτι πρώτην μὲν τετάχαμεν τὴν ἐπιστήμην, ὡς ἄπταιστον καὶ μετὰ λόγου πάντα ποιοῦσαν, καὶ μηδέποτε ἁμαρτάνουσαν· τὴν δὲ τέχνην δευτέραν ἐτάξαμεν, ὡς ἄπταιστον καὶ αὐτὴν οὖσαν, ὅσον τὸ ἐφ᾽ ἑαυτῇ καὶ μετὰ λόγου πάντα ποιοῦσαν· διὰ δὲ τὸ συμβαίνειν αὐτήν ποτε ἁμαρτάνειν διά τινος τῶν ἔξωθεν προσπιπτόντων, τούτου χάριν δευτέραν αὐτὴν προτετάχαμεν, τρίτην δὲ τὴν ἐμπειρίαν, ὡς ἄλογον οὖσαν τριβὴν καὶ ἁμαρτάνουσαν. Γνόντες οὖν λοιπόν, τί ἐστιν ἐπιστήμη, καὶ τί τέχνη καὶ τί ἐμπειρία, μάθωμεν καὶ πόσαι διαφοραὶ τεχνῶν· καί φαμεν, ὡς τῶν τεχνῶν διαφοραί εἰσι τρεῖς· αἱ μὲν γάρ εἰσι λογι-

5 Cfr. Maximi Plan. Proleg. T. V. p. 219. v. 14.

καὶ αἵτινες θεωρητικαὶ λέγονται, αἱ δὲ πραγματικαί, αἱ δὲ μικταί· καὶ τῶν μικτῶν αἱ μὲν ἐπίσης δέονται λόγου καὶ πράξεως, αἱ δὲ πλείονος πράξεως, ἧττον δὲ λόγου, οἷον ἡ λογικὴ τέχνη ἐστὶ ποιητική· ὁ γὰρ ποιητὴς σκεπτόμενος μηδεμιᾶς παρεπομένης πράξεως τὴν οἰκείαν κατέστησε τέχνην· πρακτικαὶ δέ εἰσιν, ὡς ἡ οἰκοδομικὴ καὶ ἡ τεκτονική· ὁ γὰρ οἰκοδόμος καὶ ὁ τέκτων ἐν τῷ κατασκευάζειν τι [6] τῶν οἰκείων ἐγχειρημάτων οὐ φθέγγονται· καὶ μήτις εἴποι, τί οὖν οὐ μετὰ λόγου πάντα ποιοῦσι; καί φαμεν, ὅτι [7] ναί· ὁ γὰρ λόγος λέγεται καὶ ἐπ' αἰτίας, λέγεται καὶ ἐπὶ τοῦ προφορητικοῦ κατὰ τὸν κοινωνοῦντα τῆς αἰτίας τὸν τρόπον· αἱ δὲ πρακτικαὶ πάντα κατασκευάζουσι· μικτὴ δέ ἐστιν αἴσθησις μετὰ λόγου καὶ πράξεως καὶ ἡ κιθαρῳδία· ὁ γὰρ κιθαρῳδὸς ἃ λέγει τῇ φωνῇ, ταῦτα καὶ τῇ λύρᾳ φθέγγεται μηδὲν παραλιμπάνων, κιθαρῳδίαν δὲ εἶπον καὶ οὐ κιθαριστήν, διὸ πρακτική ἐστιν ἔχουσα πλεῖστον μὲν τῆς πράξεως, ἧττον δὲ τοῦ λόγου· καὶ ἡ ἰατρικὴ πλείστῃ κέχρηται τῇ πράξει, ὀλίγῳ δὲ λόγῳ, [8] διὰ τὸ τὰς αἰτίας ἀποδοῦναι· φλεβοτομῶν γὰρ καὶ τέμνων καὶ διακαίων πλείστῃ πράξει κέχρηται; ὀλίγῳ δὲ λόγῳ διὰ τὸ τὰς αἰτίας ἀποδοῦναι, καὶ τὰ πολλά, ἃ ποιεῖ μηχανώμενος πρὸς τὴν κτῆσιν τῆς ὑγιείας, πράξεώς εἰσι· πλείονος τοίνυν λόγου, ἥττονος δὲ πράξεως, ὥσπερ ἡ γραμματική· ὁ γὰρ γραμματικὸς πολλῇ χρησάμενος τῇ ἐξηγήσει ἔστιν ὅτε καὶ πράξει ὀλίγῃ κέχρηται, στίζων ἢ τονίζων· καὶ τοσαῦτα περὶ τῆς τῶν τεχνῶν ἐροῦμεν διαφορᾶς. [9] Ἰτέον δ' ἐπὶ τὸ ζητῆσαι, εἰ ἔστι ῥητορικὴ καὶ τί ἐστι καὶ ὁποῖόν τί ἐστιν· ἀλλ' ἐπειδή τινες ἀναιροῦσιν αὐτήν, χρὴ τὸν λόγον αὐτὸν ἐξετάσαι, ἐρωτῆσαι δὲ οὕτως· ἡ ῥητορικὴ πε-

6 τι Mon. om., adieci ex Par. 7 Mon. ὅτινας. Par. ὅτι ναί. 8 Mon. et Par. ὀλίγου δὲ λόγου. h. l. et paullo post, posui dativum. 9 Mon. διαφθορᾶς. Par. διαφορᾶς.

ρὶ ἰδίων διαλαμβάνει [10] ἢ περὶ κοινῶν; καὶ εἰ μὲν περὶ ἰδίων εἴποις, φασίν, ὡς οὐ πολιτική, διὰ μέσου γὰρ ἀναιροῦντες ὅπερ δοκεῖ εἶναι ἀναιροῦσιν· εἰ δὲ περὶ κοινῶν εἴποις, πάλιν λέγουσι, περὶ ἑνὸς κοινοῦ διαλαμβάνει ἢ περὶ [11] πάντων· καὶ εἰ μὲν περὶ ἑνὸς εἴποις, φασίν, ὡς οὐκ ἔστι τέχνη, εἰ δὲ περὶ πάντων, ἐρωτῶσιν, ἆρα ὡς ἀγνοοῦσα διαλαμβάνει, ἢ ὡς ἐπισταμένη; καὶ εἰ μὲν ὡς ἀγνοοῦσα, οὐ προσδεκτέον αὐτήν, εἰ δ' αὖ πάλιν ἐπισταμένη εἴποις, ἐροῦσιν, ὡς ἡ αὐτὴ περιττὴ ὑπάρχει, ἢ ἄλλαι τέχναι περιτταί· πρὸς οὓς ἐροῦμεν ἀναλύοντες αὐτούς, ὅτι ἡ ῥητορικὴ καὶ περὶ ἰδίων καὶ περὶ κοινῶν καὶ περὶ μικτῶν διαλαυβάνει, καὶ περὶ ταῦτα καταγίνεσθαι μάρτυς ὁ Δημοσθένης γράψας δημοσίους καὶ ἰδιωτικοὺς καὶ μικτὸν λόγον κατὰ Μειδίου· περὶ ἑνὸς τοίνυν ἢ περὶ πάντων διαλαμβάνειν πέφυκεν· εἰ δὲ ἐρωτήσουσιν ἡμᾶς τὸ πῶς πάλιν περὶ πάντων διαλαμβάνει, ἆρα οὐκ ἀγνοεῖ ἀλλ' ἐπίσταται, πρὸς τοῦτό φασιν, ὡς εἰ τοσαῦτα ἐπίσταται ἡ ῥητορική, ἢ αὐτὴ περιττὴ τυγχάνει ἢ ἄλλαι τέχναι περιτταί· ἐρωτηθεὶς δέ τις τὸ πῶς ἐπίσταται ταῦτα ἡ ῥητορική, εἰ μὲν εἴποι, δυνάμει, ὡς ὁ ποιήσας φιλοσόφων γνώμας, τὸ γὰρ δυνάμει παρ' αὐτοῖς διττόν ἐστιν· οἷον κατ' ἐπιτηδειότητα καὶ καθ' ἕξιν καὶ πάλιν τὸ ἐνεργείᾳ διττὸν ἢ καθ' ἕξιν ἢ κατ' ἐπιτηδειότητα, οἷόν τι, φιλόσοφον τὸ νεογενὲς παιδίον· αὐξανόμενον γὰρ [12] δύναται ἐπιτηδεῦον τὴν ἐπιστήμην ἀσκῆσαι· καθ' ἕξιν δὲ δυνάμει γραμματικὸς ὁ καθεύδων, ἔχει γὰρ ἐν τῷ νῷ μεμελετημένην τὴν τέχνην καὶ τὸ ἐνεργείᾳ τῷ καθ' ἕξιν ὅμοιόν ἐστι, καὶ τὸ καθ' ἕξιν τῇ δυνάμει· τὸ κατὰ προχείρησιν δέ ἐστιν, ὁπηνίκα τὸν ὕπνον ἀποκρουσάμενος ὁ γραμματικὸς ἐξηγήσεται· ἐρωτῶμεν οὖν, πῶς ἐπίστα-

10 Mon. λαμβάνει. Par. διαλαμβ. 11 περὶ Mon. om., sqq. καὶ εἰ μὲν περὶ ἑνὸς — — — εἰ δὲ περὶ πάντων desunt in eodem. Restitui ex Par. 12 γὰρ Mon. om. recepi ex Par.

ται δυνάμει, εἰ φύσει κατ' ἐπιτηδειότητα; φαμὲν, ὡς οὐκ ἐπίσταται, εἰ δὲ καθ' ἕξιν, φαμὲν, ὡς τοῦτο κατὰ προχώρησιν γίνεται· καὶ συμβαίνει τὴν ῥητορικὴν τῇ ἐπιστήμῃ τῶν πάντων καθ' ἕξιν ἐχούσῃ πρὸς ἐξήγησιν καὶ διδασκαλίαν τούτων ἐκφέρεσθαι, καὶ πάλιν ἐντεῦθεν ἡ αὐτὴ ἀπορία κατασκευάζεται, λέγουσα, ὅτι αὕτη περιττὴ ἢ ἄλλαι τέχναι· πρὸς τοῦτό φασιν· ὡς τὴν χρῆσιν αὐτῶν ἐπίσταται, οὐ μέντοι τὴν ἐργασίαν, καὶ τίνι διαφέρει τῆς πολιτικῆς φιλοσοφίας, εἴγε τὴν χρῆσιν γινώσκει τὴν ἐνέργειαν ἀγνοοῦσα· ἐπειδὴ δὲ πολιτικῆς ἐμνήσθημεν φιλοσοφίας, μάθωμεν, τί ἐστι, καὶ ἐροῦμεν, ὅτι ἐπιστήμη τοῦ πράττειν τά τε κοινὰ καὶ τὰ ἴδια ἐπ' ἐξουσίας ἐννόμου· τί δὲ ἐπίσταται; διοικεῖν τά τε κοινὰ καὶ τὰ ἴδια πράγματα ἐπ' ἐξουσίας ἐννόμου· εἰ γάρ τις ἔννομος καὶ ἐξουσίαν ἔχει, οὐ κέχρηται δὲ τοῖς νόμοις, τύραννος γίνεται, καλῶς τῶν φιλοσόφων λεγόντων, ὡς εἰ μὴ φιλόσοφοι βασιλεύσουσιν καὶ βασιλεῖς φιλοσοφήσουσιν, οὐχ ἕξει καλῶς τὰ πράγματα· διαφέρει τοίνυν ἡ πολιτικὴ φιλοσοφία τῆς ῥητορικῆς, ὅτι ἡ πολιτικὴ καθολικὰς ἔχει τὰς ἀρχὰς, καθολικὰ καὶ τὰ τέλη, ὥς φησιν, χρὴ την καλῶς οἰκουμένην πόλιν στρατηγοὺς ἔχειν, ταξιάρχας, ἱππάρχους καὶ ναυπηγοὺς καὶ ὅσα τοιαῦτα· ἡ δὲ ῥητορικὴ καθολικὰς ἔχει τὰς ἀρχὰς, μερικὰ δὲ τὰ τέλη· οἷόν φησιν ἡ ῥητορικὴ στρατηγῶν δεῖσθαι τὴν πόλιν, εἶτα τὸ γενικὸν ἀφεὶς διορίζει Πάχητα καὶ Ναυσικλέα, καί τινας τοιούτους. Καὶ τίνι διαφέρει τῆς ἐμπειρίας, εἴγε τὰ τέλη μερικὰ ἔχει; καί φαμεν, ὡς εἰ ἡ ἐμπειρία ἄλογός ἐστι καὶ μερικὰς ἔχει τὰς ἀρχὰς, μερικὰ καὶ τὰ τέλη. Ἐπειδὴ δὲ ἀνεμάθομεν, ὡς ἔστι ῥητορικὴ, ἀνελόντες τοὺς ἀνατρέποντας αὐτὴν, φέρε δὴ ζητήσωμεν, παρὰ τίνι καὶ πῶς γέγονε τέχνη· πᾶν γὰρ πρᾶγμα ἢ φύσει ἐστὶν ἢ φύσει καὶ τέχνῃ· τέχνῃ δὲ μόνον οὐδέποτε, οἷον ἡ πέτρα ἡ μὴ λατομηθεῖσα φύσει

ἐστί· λατομηθεῖσα δὲ καὶ καλλωπισθεῖσα πρὸς οἰκοδομίαν φύσει καὶ τέχνῃ ἐστίν· ἡ οὖν ῥητορικὴ φύσει ἦν παρὰ τῷ θεῷ καὶ τοῦτο Ὅμηρος προφητεύσας ἐδήλωσεν εἰπών·

Οἱ δὲ θεοὶ πὰρ Ζηνὶ καθήμενοι ἠγορόωντο.[13]

τὸ δὲ ἀγορεῦσαι καὶ ἐκκλησίαν συνάγειν ῥητορικῆς ἴδιόν ἐστιν· ἀπὸ δὲ τῶν θεῶν εἰς τοὺς ἥρωας ἦλθε, καὶ τοῦτο πάλιν ἐδήλωσεν Ὅμηρος προσάψας τῷ Μενελάῳ τὸ συμβουλευτικὸν διὰ τοῦ εἰπεῖν·

Παῦρα μὲν, ἀλλὰ μάλα λιγέως ἀγόρευε·[14]

τὸ δὲ πανηγυρικὸν τῷ Νέστορι, ἐν οἷς λέγει·

Τοῦ καὶ ἀπὸ γλώσσης μέλιτος γλυκίων ῥέεν αὐδή·[15]

ταῦτα δ' ἐγκωμιαστικά εἰσι· πλὴν δείκνυσιν, ὡς χρεία τὸν ἐγκωμιάζοντα καὶ γλυκὺν εἶναι κατὰ προφορὰν καὶ πειθήνιον, ἔνθα φησί·

Καὶ ἔπεα νιφάδεσσιν[16] ἐοικότα χειμερίῃσι·

τὸ δικανικὸν ἀποδιδοὺς τῷ Ὀδυσσεῖ, δεικνὺς ὡς τοὺς ἀγωνιστὰς δεῖ πολλῶν εὐπορεῖν δικαιωμάτων· καὶ διὰ τούτων ἀπέδειξε τὴν ῥητορικὴν ὡς ἐκ τῶν θεῶν κατελθοῦσαν. Δεῖ δὲ ἡμᾶς μαθεῖν τὸ πῶς γέγονε φύσει καὶ τέχνῃ· καί φαμεν, ὡς ἐκ τῶν περιστατικῶν· εἰσὶ δὲ ταῦτα, τόπος, χρόνος, τρόπος, αἰτία καὶ πρόσωπον· ἕτεροι δὲ προστιθέασι[17] καὶ τὸ πρᾶγμα, οἱ δὲ καὶ τὴν ὕλην· καὶ ποιοῦσι τὰ πέντε ἑπτὰ, οὓς οὐκ ἀποδεχόμεθα· φαμὲν οὖν, πῶς γέγονε φύσει καὶ τέχνῃ ἡ ῥητορικὴ οὕτως· Ἱέρων καὶ Γέλων Σικελίας γεγόνασι τύραννοι· ἔσχον δέ τινα Κόρακα τῷ ὀνόματι παραδυναστεύοντα, ὃς ἐποίει τὴν διοίκησιν τῶν πολλῶν παρ' αὐτοῖς· μεταπεσούσης δὲ τῆς τυραννίδος εἰς δημοκρατίαν, ἑώρα γὰρ, ὡς' οὐ δύναται πείθειν ἅπαντα τὸν δῆμον καθάπερ

---

13 Mon. ἠγορεύοντο. Par. ἠγορόωντο. Il. δ, 1. 14 Il. γ, 214. 15 Il. α, 249. 16 Mon. νιφάδεσιν. Il. γ, 222. 17 δέ, quod Mon. post προστιθ. repetit, delevi.

περ ἕνα τῶν τυράννων, ἐμηχανᾶτο τὰ προοίμια, ἵνα δι' αὐτῶν ἐφελκύσηται τὸν ἀκροατὴν πρὸς εὔνοιαν, εἶτα πρὸς κατασκευὴν, ἵνα ἀνέλῃ [17] αἰτίαν λυποῦσαν αὐτὸν, εἶτα τὴν προκατάστασιν, εἰσβολὴν καὶ ἀρχὴν, καὶ προοίμιον οὖσαν ἐπὶ τὴν κατάστασιν, τὴν δὲ κατάστασιν ψιλὴν τῶν πραχθέντων ἔκθεσιν, τοὺς δὲ ἀγῶνας ἀπόδειξιν καὶ πίστιν τῶν ψιλῶς διηγηθέντων, [18] εἶτα τὴν παρέκθεσιν ἀπόδειξιν οὖσαν τοῦ κρινομένου βίου· ἐσκόπει γὰρ ὡς ἐπὶ ἑνὶ καὶ μόνῳ ἐγκλήματι ποιήσασθαι τὴν κατηγορίαν, τὸ ὁ φεύγων ἀπολυθήσεται, καὶ διὰ τοῦτο τὴν παρέκβασιν ἐπενόησε, τοὺς δ' ἐπιλόγους ἀνακεφαλαίωσιν τῶν εἰρημένων διὰ τοῦτο ὡς εἰκὸς τοὺς δικαστὰς πολλὰ ἀκούσαντας εἰς λήθην ἐλθεῖν· καὶ οὕτω κατὰ μικρὸν τέχνην ἡμῖν φύσει οὖσαν ἀπέδειξε τὴν ῥητορικὴν διὰ τῶν πέντε περιστατικῶν· ὁ χρόνος γὰρ, μετὰ τὴν κατάλυσιν τῆς τυραννίδος τῶν τυράννων, εἶτα ὁ τόπος, ἡ Σικελία· τὸ πρόσωπον, ὁ Κόραξ· ἡ αἰτία, διὰ τὸ μὴ δύνασθαι αὐτὸν ὁμοίως πείθειν ἅπαντα τὸν δῆμον, [19] καθάπερ ἕνα τῶν τυράννων· ὁ τρόπος δὲ διὰ τῶν ἐπινοηθέντων αὐτῶν μερῶν τοῦ λόγου· ἐντεῦθεν προήει [20] βοῶν καὶ παρακαλῶν κ. τ. λ. T. V. p. 215. v. 24 — p. 216. v. 11. Ἐπειδὴ οὖν ἔγνωμεν ὅ τί ἐστιν ἡ ῥητορικὴ, μάθωμεν καὶ τί ἐστιν, ἀλλὰ πρότερον αὐτῇ ὁρισώμεθα τὸν περιεχόμενον ὅρον, τουτέστι τοῦ ὅρου τὸν ὁρισμὸν ὁρισώμεθα· ἰστέον γὰρ, ὡς αὐτὴν τὴν προσηγορίαν εἴληφεν ἀπὸ τοῦ διαχωρίζειν καὶ ἄρτια διαστέλλειν ἑτέροις τισὶν, ὥσπερ ὅρον καλοῦμεν τὰ ὀροθέσια

17 Mon. ἀνέλητο. Par. ἀνέλῃ. 18 Mon. ψιλῶν διηγημάτων. ad marg. θέντων. Par. ψιλῶς διηγηθέντων. 19 Mon. βίον. Par. δῆμον. 20 Par. προήει. Mon. προείη. tum T. V. p. 215. v. 26. Mon. ἠγνομόνησεν (sic) αὐτόν. p. 216. v. 7. Mon. ἐπετείχησεν, ὥστε τὰς ἡμετέρας ἐ. ἐν αἷς ἐπεδείξατο. v. 10. Mon. ἐκχροίεται.

σια τῶν χωρίων\ τὰ διαμετρούμενα καὶ ποιοῦντα γνῶναί τινα τῶν χωρίων. ὅρος τοίνυν ἐστὶ λόγος σύντομος, δηλωτικὸς τῆς ἑκάστου φύσεως· λόγος μὲν πρὸς ἀντιδιαστολὴν τοῦ ὀνόματος· τὸ γὰρ ὄνομα συστολή ἐστι τοῦ λόγου· ὁ δὲ λόγος ἐξάπλωσίς ἐστι τοῦ ὀνόματος, οἷον ὥσπερ ἐὰν εἴπω, τί ἐστιν ἄνθρωπος; ἐξαπλῶ καὶ λέγω, ζῶον λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικόν· εἰ δὲ συστεῖλαι ταῦτα θελήσω καὶ εἴπω, ὡς τί ἐστι ζῶον λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικόν, λέγω ἄνθρωπος· σύντομος, πρὸς ἀντιδιαστολὴν τῶν διαφηγηματικῶν· οἷον ὥσπερ ὁ Ὅμηρος φέρει τὸν Ὀδύσσεα λέγοντα·

Ἰλιόθεν με φέρων ἄνεμος Κικόνεσσι πέλασσε,[21]

καὶ τὰ ἑξῆς· ἐπειδὴ τὰ ἀποφθέγματα, οἷον τὸ γνῶθι σαυτόν, λόγοι εἰσὶ σύντομοι· τὸ τῆς ἑκάστου φύσεως δηλωτικός, τοῦ ὁρισμοῦ· τὰ γὰρ ἀποφθέγματα, σύντομα ὄντα, τουτέστι τῆς ἑκάστου φύσεως δηλωτικὰ οὐκ εἰσὶν ὅροι· καὶ τοσαῦτα περὶ τῆς ἐξηγήσεως τοῦ λόγου εἰπόντες ὁριζόμεθα τὴν ῥητορικήν, ὡς ἡ ῥητορική ἐστι δύναμις ἀνασκευαστικὴ καὶ κατασκευαστική, δικαίων τε καὶ ἀδίκων πραγμάτων, ἀλλὰ τοῦτον οὐ προσδεχόμεθα τὸν ὅρον· ἑκάστη γὰρ τέχνη ἐστὶ καὶ τὸ καλὸν καὶ τὸ κακὸν ἐπισταμένη, καὶ ᾧ τινι βούλεται κέχρηται τὴν οἰκείαν ἰσχὺν συνιστῶσα· ἀλλ' οὐκ ἀποδεκτέον τοῦτόν κοινὸν ὄντα οὐ μόνον τῆς ῥητορικῆς, ἀλλὰ καὶ ἄλλων· ὁ δὲ Ἀριστοτέλης[22] οὕτως ὁρίζεται, ῥητορική ἐστι δύναμις τοῦ περὶ ἑκάστου ἐνδεχομένου πιθανοῦ· ἰστέον γάρ, ὡς πᾶς ὅρος θέλει συνίστασθαι ἐκ γένους καὶ συστατικῶν διαφορῶν· διὰ τί; ἐπειδὴ πᾶν πρᾶγμα καὶ κοινότητα ἔχει καὶ διαφορὰν κατὰ τὸν φιλόσοφον λόγον, ἡ δὲ κοινότης ἐν τῷ γένει· καὶ τοῦτο διαλαβὼν ἐν ταῖς συστατικαῖς ἐμφέρεται διαφοραῖς· ἐνταῦθα οὖν δύναμίς ἐστι γένος, μάλιστα δὲ δύναμις, οἷον ὁ πλοῦτος, τὸ ξί-

21 Od. ι, 39. 22 Rhet. I, 2.

φος, τὸ κάλλος· δύναμις δὲ ἡ ῥητορική, διότι εἰς ἑκάτερον ἐπιχειρηματική [23] *ἐστιν, ἐπί τε τὸ δίκαιον, οὐ μὴν ἀλλὰ καὶ τὸ ἄδικον· τοῦτό ἐστι τὸ δύναμις τοῦ περὶ ἑκάστου πράγματος ἐνδεχομένου πιθανοῦ· καλῶς οὖν λέλεκται· οὐ γὰρ ἀδύνατος μεταχειρίζεσθαι, ἀλλ᾽ ἐνδεχομένη πεῖσαι· ἰστέον δὲ, ὡς ὅτι οὐκ ἀποδεχόμεθα οὐδὲ τὸν παρόντα Ἀριστοτελικὸν ὅρον, ἡμαρτημένος γάρ ἐστιν· ἄλλοι δὲ ὁρίζονται οὕτως· ὅτι ῥητορική ἐστιν ἐπιστήμη τοῦ εὖ λέγειν, ἀλλ᾽ οὐκ ἀποδεκτέον οὐδὲ τὸν ὅρον τοῦτον, καθότι εὐθέως περὶ τὸ γένος ἁμαρτάνει· οὐ γὰρ ἐπιστήμην δεῖ καλεῖν αὐτήν· ὁ δὲ Πλάτων διαβάλλων αὐτὴν καὶ κακίαν ἀποδεικνὺς οὕτως ὡρίζετο· ῥητορική ἐστι πολιτικῆς* [24] *μορίου εἴδωλον τοῦ δικαστικοῦ· ἐκ τοιαύτης προφάσεως ὁρμωμένην τὴν πολιτικὴν σοφίαν εἰς δύο τινὰ διαιρεῖσθαι ἔφη, ὧν τὰ δύο τὴν νομοθετικὴν καὶ δικαστικήν φημι περὶ τὴν ψυχὴν εἶναι, τὴν δὲ γυμναστικὴν ἰατρικὴν εἶναι περὶ τὸ σῶμα· τὴν δὲ νομοθετικὴν τὴν ἐνοῦσαν ἐν τῇ ψυχῇ φυλάττειν φησὶ τὴν δικαστικὴν, τὴν ἀποῦσαν ὑγείαν ἐκ τῆς ψυχῆς ἀνακαλούμενοι τῷ φόβῳ τῶν νόμων· τὰ γὰρ δέοντα ἀποτρεπόμεθα τῶν κακῶν· εἰ δέ τις παρεκτραπεὶς πλημμελήσει, ἡ δικαστικὴ εὐθέως διὰ σωφρονισμῶν καὶ κολάσεων περιποιεῖται τὴν διαφθαρεῖσαν ὑγείαν· οὕτως καὶ ἐπὶ τοῦ σώματος ἡ μὲν γυμναστικὴ τὴν ἕξιν τοῦ σώματος φυλάττει, ἡ δὲ ἰατρικὴ τὴν ἀποῦσαν ὑγείαν ἀνακαλεῖται· ἐκ τῶν τεττάρων οὖν τούτων ἔφασκεν εἶναι τὴν σοφιστικὴν, ἥτις ἐστὶν ἡ πολιτικὴ σοφία· καὶ τὴν μὲν σοφιστικὴν τῆς νομοθετικῆς, τὴν δὲ ῥητορικὴν τῆς δικαστικῆς, τὴν δὲ κομμωτικὴν τῆς γυμναστικῆς καὶ τὴν μαγειρικὴν τῆς ἰατρικῆς· ὥσπερ γὰρ ἡ νομοθετικὴ διὰ νόμων ἀποτρέπει τὰ ἄδικα, οὕτως καὶ ἡ σοφιστικὴ διὰ μύθων καὶ μαρ-*

---

23 Mon. *ἐπιχειρήματι τι.* Par. *ἐπιχειρηματική.* 24 Par. *πολιτικῆς.* Mon. *πολιτικοῦ.* Gorg. p. 463. D.

τυριῶν προδήλως τῶν ἀτοπημάτων ἐκτρέπουσα, καὶ πρὸς τὰ λυσιτελοῦντα τοὺς νέους ἐπάγουσα διὰ μύθων· ἔφησε γάρ [25] τὸν Ἡρακλέα ληφθέντα ὑπὸ τοῦ Ἑρμοῦ ἀπενεχθῆναι ἐπί τινα δύο ὄρη, ὧν τὸ μὲν ἄβατον καὶ τραχὺ καὶ ὑψηλὸν ἦν, ἐπὶ δὲ τοῦ ἀκροτάτου καθημένην γυναῖκά τινα δεῖξαι, ἥτις ἔσχε φυσικὸν κάλλος, ἐπὶ δὲ τῷ ἑτέρῳ ὄρει τόπος ἦν εὐδιάβατος, ἔνθα ἦν κόρη εὔμορφος, κεκαλλωπισμένη δέ· καὶ διὰ τούτων ἐδήλου τὴν ἀρετὴν καὶ τὴν κακίαν· διὰ μὲν τῆς ἀμόρφου τὴν κακίαν, διὰ δὲ τῆς εὐμόρφου τὴν ἀρετήν, ἣν ἤρατο καὶ Ἡρακλῆς· εἰ δέ τις παριδὼν τὸν μῦθον τὴν κακίαν προαιρεῖται, ἡ ῥητορικὴ παρεισδύνουσα τῷ τρόπῳ τῆς δικαστικῆς σωφρονίζειν πειρᾶται· οὕτως καὶ ἡ κομμωτικὴ δοκεῖ σώζειν τὴν εὐγένειαν τοῦ σώματος· εἰ δέ τι ἀῤῥώστημα συμβῇ, διαδεχομένη [26] ταύτην ἡ μαγειρευτικὴ τὸν τόπον ἐκπληροῖ τῆς ἰατρικῆς· ἐντεῦθεν οὖν ὁρμώμενος ὁ Πλάτων, ὡς εἴρηται ἀνωτέρω, ὡρίσατο τὴν ῥητορικὴν πολιτικῆς μορίου εἶναι εἴδωλον τοῦ δικαστικοῦ, ὃν οὐ παραδεχόμεθα εἶναι τῆς καθ' ἡμᾶς ῥητορικῆς. ἰστέον γάρ, ὅτι ῥητορικαί εἰσι τρεῖς· μία καὶ πρώτη ἡ πάντη ἀληθής, δευτέρα, ἡ ταύτης ἐναντία ἡ πάντη ψευδής, καὶ τρίτη ἡ μέση τούτων ἡ μετέχουσα καὶ ψεύδους καὶ ἀληθείας, ἥτις ἐστὶν αὕτη, ἣν μεταχειριζόμεθα· ἔστι γὰρ καὶ ψεῦδος ἀγαθόν, καὶ χωρὶς ψεύδους ἐπὶ [27] τὸ πλεῖστον πόλιν οὐκ ἔστιν εὑρεῖν εὐνομουμένην· ἄλλοι δὲ οὕτως ὁρίζονται· ῥητορική ἐστι δύναμις τεχνικὴ καὶ θεωρητικὴ καὶ ἑρμηνευτικὴ ἐν πράγματι πολιτικῷ τέλος ἔχουσα τὸ εὖ λέγειν, καλῶς δὲ ἔχει καὶ οὗτος ὁ ὅρος· οὐ γὰρ δύναμις ἡ ῥητορική, ἀλλὰ τέχνη. οἱ δὲ Ἑμαγόρειοι οὕτως ὡρίσαντο αὐτὴν λέγοντες, ῥητορική ἐστι περὶ λόγου δύναμις, τέλος ἔχουσα τὸ πείθειν ὅσον

---

25 Cfr. Proleg. T. V. p. 606. v. 25. 26 Mon. δεχομένη. Par. διαδεχομένη. 27 Mon. εἰ ἐπὶ, delevi εἰ.

ἐφ' ἑαυτῇ· παραλέλειπται δὲ καὶ οὗτος ὁ ὅρος· οὐ περιέχει γὰρ τὸ ὑποκείμενον, τουτέστι τὰ πολιτικὰ πράγματα· προστίθεμεν οὖν καὶ τέλειον τὸν ὁρισμὸν ἀποδεικνύομεν οὕτως λέγοντες, ῥητορική ἐστι τέχνη περὶ λόγου δύναμιν ἐν πράγματι πολιτικῷ, τέλος ἔχουσα τὸ πείθειν ὅσον ἐφ' ἑαυτῇ, καὶ τοσαῦτα μὲν περὶ τῶν ὅρων εἰρήσθω. ζητῆσαι δὲ λοιπὸν ἄξιόν ἐστι τὸ τρίτον κεφάλαιον αὐτῆς, τὸ ποῖόν τί ἐστιν ἡ ῥητορική, καί φαμεν, ὡς χρήσιμον τῷ βίῳ καὶ ἀγαθὸν, διαιρεῖται γὰρ εἰς τρία, εἰς συμβουλευτικὸν, δικανικὸν καὶ πανηγυρικόν· τὸ γὰρ συμβουλευτικὸν λόγος ἐστὶ προτρεπτικὸς ἢ ἀποτρεπτικὸς, τέλος ἔχον τὸ συμφέρον· δικανικὸν δέ ἐστι τὸ ἀμφισβητικὸν, τέλος ἔχον τὸ δίκαιον· τὸ δὲ πανηγυρικὸν αὔξησίς ἐστι τῶν προσόντων τινὶ καλῶν ἢ κακῶν· πράττομεν δὲ τὸ συμβουλευτικὸν ἐκ τοιαύτης αἰτίας· τῶν γὰρ πραγμάτων τὰ μέν εἰσι καθ' αἵρεσιν, τὰ δὲ κατὰ μάχην· προτρεπόμεθα τοίνυν τινὰ πολλάκις αἱρήσεσθαί τι· καὶ εἰ μὲν καταδέξεται, τὸ συμβουλευτικὸν κατεσκευάσαμεν, εἰ δὲ συστῇ καὶ μαχεσθῇ πρὸς τὸ λεγόμενον, τὸ δικανικὸν ἡμῖν εἶδος ἀνακύπτει, μετὰ δὲ ταῦτα λοιπὸν ἐπαινοῦμεν καὶ ψέγομεν καὶ ἀνακύπτει τὸ πανηγυρικὸν ἐκ τῶν προσόντων προσώπων τῶν ἀκροατῶν· διαιρεῖται δὲ τὸ δικανικὸν εἰς δύο, εἰς κατηγορίαν καὶ ἀπολογίαν, ὁμοίως καὶ τὸ συμβουλευτικὸν εἰς δύο, εἰς προτροπὴν καὶ ἀποτροπὴν, εἰς ὁμώνυμον, συμβουλὴν καὶ παραίνεσιν, τὸ δὲ πανηγυρικὸν εἰς ἐγκώμιον καὶ ψόγον· ἕκαστος γὰρ πανηγυρίζων ἢ ἐπαινεῖ ἢ ψέγει· χαρακτηρίζονται δὲ τὰ τρία εἴδη ταῦτα ἀπὸ τριῶν τινων· ἀπὸ τόπου, ἀπὸ προσώπου, καὶ ἀπὸ τέλους· τόπος γὰρ τοῦ δικανικοῦ τὸ δικαστήριον· πρόσωπον δὲ ὁ δικαστὴς, τέλος δὲ τὸ δίκαιον· καὶ τὸ συμβουλευτικὸν εἰς τρία· τόπος τὸ συμβουλευτήριον, πρόσωπον ὁ βουλευτὴς, τέλος δὲ τὸ συμφέρον· τοῦ δὲ πανηγυρικοῦ τό-

πος τὸ θέατρον, πρόσωπον ὁ πανηγυριστής, ἤτοι ὁ ἀκροατής, τέλος τὸ καλόν· τρία δέ εἰσιν εἴδη τῆς ῥητορικῆς ἐπειδὴ τρία εἰσὶν εἴδη τῆς ψυχῆς, θυμικόν, λογικόν, καὶ ἐπιθυμητικόν, καὶ τῷ μὲν θυμικῷ ἀναλογεῖ τὸ δικανικόν, τῷ δὲ ἐπιθυμητικῷ τὸ πανηγυρικόν, τῷ δὲ λογικῷ τὸ συμβουλευτικόν.

Τῶν [1] στοχασμῶν οἱ μέν εἰσιν ἁπλοῖ, οἱ δὲ διπλοῖ. καὶ τῶν ἁπλῶν οἱ μέν εἰσι τέλειοι, οἱ δὲ ἀτελεῖς, τῶν δὲ διπλῶν οἱ μὲν εἰσιν ἀτελεῖς, οἱ δὲ τέλειοι. —

α΄. Τέλειος ἁπλοῦς στοχασμός ἐστιν, οἷον σκηπτοῦ κατενεχθέντος ἐπὶ τὴν Περικλέους οἰκίαν εὕρηνται χίλιαι πανοπλίαι.

β΄. Ἀτελὴς ἐκ μόνων πραγμάτων, οἷον θάπτων τις νεοσφαγὲς σῶμα ἐπὶ ἐρημίας, ἀτελὴς δὲ ἐκ μόνων προσώπων ἁπλοῦς οὐ γίνεται κατὰ Ἑρμογένην στοχασμός· ὁ δὲ Μινουκιανὸς λέγει, ὅτι ἐκ μόνου προσώπου γίνεται ἀτελὴς στοχασμός.

γ΄. Διπλοῦς τέλειός ἐστιν, ὅταν δύο πράγματα καὶ δύο πρόσωπα κρινόμενα ἔχῃ, οἷον Αἰσχίνης καὶ Δημοσθένης.

δ΄. Διπλοῦς ἀτελὴς ἐκ μόνων τῶν πραγμάτων, ὅταν μόνα τὰ πράγματα κρίνηται· οἷον δύο ῥήτορες πρεσβεύσαντες παρὰ τύραννον καὶ ἐπανήκοντες ἀλλήλοις ἀντεγκαλοῦσιν δώρων, ἐπειδὴ ὁ μὲν χρυσίον εὕρηται κατορύττων, ὁ δὲ ἀπολογίαν παραπρεσβείας γεγραφώς.

ε΄. Διπλοῦς ἐστιν ἐκ μόνων προσώπων, οἷον ἐπὶ σημείοις φαρμάκων ἀριστεὺς ἐτελεύτα, μητρυιὰν ἔχων καὶ αἰχμάλωτον παλλακίδα· καὶ ἄλλως ἔστι παρὰ ταῦτα ἕτερα εἴδη στοχασμῶν διπλῶν τρία, οὓς καλοῦμεν συνεζευ-

---

1 Apospasma hoc non est Troili: reliquimus ei locum, quem obtinet in Mon.

γμένους, ὁ ἐμπίπτων, ὁ προκατασκευαζόμενος καὶ ὁ συγκατασκευαζόμενος.

ϛ΄. Καὶ ὁ μὲν ἐμπίπτων γίνεται, ὅταν ἐν τῇ μεταθέσει τῆς αἰτίας ὁλόκληρόν τι ζήτημα ἐμπέσῃ καὶ ἀναγκαῖον, γίνεται καὶ αὐτὸ διελεῖν τελέως, οἷον ἔδει τὸν ἁλόντα προδοσίας δεδέσθαι παρὰ τῷ στρατηγῷ.

ζ΄. Προκατασκευαζόμενος δὲ γίνεται, ὅταν πρὸ τοῦ ζητήματος ἀναγκαῖον ἕτερον ᾖ προκατασκευασθῆναί τι πρᾶγμα στοχαστικῶς ὡς ὂν ἢ οὐκ ἄν· Ἀλούσιος στρατηγὸς πένητος ἐχθροῦ παῖδας ὡς προδιδόντας συνέλαβε καὶ τὰ ἑξῆς.

ή. Συγκατασκευαζόμενος δὲ γίνεται, ὅταν τὰ σημεῖα δι᾽ ἀλλήλων κατασκευάζηται· οἷον ἔδει τοὺς δεσμώτας λελύσθαι τοῖς θεσμοφορίοις· μοιχείαν ὑπονοήσας τις πρὸς τὸν οἰκέτην τῆς γυναικός.

θ΄. Διαφέρει δὲ τοῦ προκατασκευαζομένου, ὅτι ἐκεῖ μὲν κεχώρισται ἀλλήλων τὰ ζητήματα, ἐνταῦθα δὲ δι᾽ ἀλλήλων κατασκευάζεται· πάντα ἔστι δὲ καὶ ὁ ἀπὸ γνώμης, ὃς ψιλῇ τῇ γνώμῃ ἐξετάζεται, φανεροῦ ὄντος καὶ τοῦ πράγματος καὶ τοῦ πράξαντος· οἷον ἐν δόξῃ μανίας μητρυιὰ τὸν υἱὸν ἔτρωσε, τὸν δὲ πρόγονον ἀπέκτεινε καὶ ἀνενεγκοῦσα φόνου φεύγει.

IV.

ΕΞΗΓΗΣΙΣ

ΕΙΣ ΤΑΣ ΙΔΕΑΣ ΤΟΥ ΕΡΜΟΓΕΝΟΥΣ

ΑΠΟ ΦΩΝΗΣ

ΙΩΑΝΝΟΥ ΦΙΛΟΣΟΦΟΥ ΤΟΥ ΣΙΚΕΛΙΩΤΟΥ.

Εἴπερ ἄλλο τι τῷ ῥήτορι, καὶ τὰς ἰδέας οἶμαι τοῦ λόγου τῶν ἀναγκαιοτάτων εἶναι γινώσκειν.

Τοῖς πολιτικῆς ἐπιστήμης ἐφιεμένοις καὶ τοῖς ἀπὸ ταύτης μεγαλονοίας τὸ γνωστικὸν τῆς ψυχῆς ἀποῤῥύπτειν τῆς ὑλικῆς γενέσεως ἐπειγομένοις, πρός τε τὴν ἀκριβῆ τοῦ συμφέροντος εὕρεσιν τῇ τῆς ἀμαθίας κρυπτομένου περιβολῇ εἰς τὴν ἀσφαλῆ τοῦ κοινοῦ βίου διεξαγωγὴν, ἐφ᾽ ὃν τῆς ἀπαθοῦς καὶ ἀδιαπνεύστου πληρώσεως ἀπεξάσθημεν, πρός τε μείωσιν ἢ ἐπίτασιν τῶν ἐν ἡμῖν ἀνωμάλων αἱρέσεων καὶ κινήσεων ἐπὶ τὴν σύμμετρον καὶ ἀῤῥεπῆ μεσότητα καὶ ἰσότητα τῶν ἀντιπεριαγομένων ἀκροτήτων, καθ᾽ ἣν ἅμιλλά τις ἐγγίνεται καὶ ἐπίδοσις τῶν τε καλῶν καὶ τῶν μὴ τοιούτων, ἐφ᾽ οἷς ἔπαινοι κροτοῦνται καὶ ψόγοι, ἔτι τε τοῦ δικαίου λῆψίν τε καὶ εὐθύτητα, ἐφ᾽ ἃ προκόπτειν δοκοῦσιν οἱ ἐναγόμενοι, ἀναγκαῖα τὰ τῆς πανδήμου ῥητορικῆς ὄργια καὶ μυστήρια, καὶ τῶν ἀδύτων μεθόδων τοῖς ἐξαγίστοις αἱ τελεταί· φιλοσοφίας γάρ ἐστι τὸ κάλλιστον ἄντικρυς, καὶ χαρακτὴρ

ὁ πρῶτος τοῦ κρείττονος τακτικὸς, εἴπερ θεὸν ὑποκρίνεται λογικῇ φύσει διαταττομένη καὶ κοινῇ καὶ καθ' ἕκαστον· ψυχῶν τε καὶ σωμάτων, οἴκων τε καὶ πόλεων ἐπιμελομένη· τῶν ἀμεινόνων τῇ ἐκπτάσει παρατραπέντων, καὶ φερομένων ἄτακτα καὶ ἀσύντακτα, ταῖς ἀσυναρτήτοις δυνάμεσι, καὶ πολὺ μᾶλλον, ἢ ὅσον ταῖς ἄλλαις θεωρίαις ἐπιβατεύει τῶν ὄντων τὰ ἀντιδιῃρημένα[1] τῇ πρακτικῇ· οὐ γὰρ τὸ λυσιτελὲς ἐπ' ὀλίγων μόνον ἱστᾷ, οὐδ' αὖ ἑτέροις ἐμπεριγράφεται, καθάπερ αἱ γραμμαὶ τοῖς σημείοις, καὶ τὰ τῶν φθόγγων τοῖς διαστήμασιν· ἀλλὰ κρηπῖδος οὖσα[2] καὶ βάσεως καὶ κοσμήσεως δημιουργός, τά τε τῆς νοερᾶς οὐσίας ἡμῶν διαστέλλουσα καὶ παντοίως διεξάγουσα καὶ ἰθύνουσα, πρὸς τὸ οἰκονομικὸν ἐφιστᾷ, μεθ' ἃ προάγουσα πολιτικοὺς φιλοσόφους ἀποτελεῖ, πόλεις ὅλας καὶ δήμους τῷ τῆς γλώττης ἄγοντας πείσματι. Τοιοῦτος Θεμιστοκλῆς,[3] καὶ ὃς Θεμιστοκλέους τοῖς τροπαίοις ἐνήγετο, οὐκ εἴατο καθεύδειν, οἱ μυριάδων πολλῶν γῆν ἀνθισταμένων καὶ θάλασσαν κατ' εὐτελοῦς σημείου τῆς Ἀττικῆς περιεγένοντο· τοιοῦτος Δημοσθένης τῶν Ἀθηναίων ὁ Νεῖλος πολλῷ μᾶλλον ἢ Κηφισός τε καὶ Ἰλισσὸς,[5] ὁ τοῖς Φιλίππου μηχανήμασι τοῖς ἀργυροῖς ἀντιβαίνων, ὃς εἴπερ εἶχε δύναμιν ὡς τοὺς λόγους τοὺς Ἀθηναίους ὑπείκοντας, ἔσβεστ' ἂν κοσμοφλεγὴς δαλὸς Ὀλυμπιάδος, Μακεδόνες δ' ἐκλύσθησαν καταῤῥάκταις Παιανιέως; ἔθνη δ' ἔχυσεν[6] δῆμον Ἐριχθόνιον· τοιοῦτοι Βασίλειος καὶ Γρηγόριος, καὶ ὁ χρυ-

1 Par. τὸ ἀντιδιῃρημένον. Med. τὰ ἀντιδιῃρημένα. 2 Med. et Par. οὖσαν. 3 Aut dormitavit Ioannes noster, aut lectio corrupta est, scribendumque Μιλτιάδης καὶ ὃς Μιλτιάδου. Nam de Themistocle hoc narrat Plut. Vit. Themist. c. 3. Apophtb. p. 113. Hutten. 4 Med. et Par. τρόποις. scribendum sine dubio τροπαίοις. 5 Par. Εἰλισσός. Med. Ἰλισσός. 6 Med. ἔχυσεν. Par. ἔχυσαν.

σοῦς ἡμῖν ὠκεανὸς καὶ γλυκύς, καὶ σύμπαντα τὰ ὁρμήματα τοῦ ποταμοῦ τοῦ μεγάλου, οἷς εὐφραίνονται αἱ τοῦ Θεοῦ ἐκκλησίαι· κατακλύζονται δὲ ψυχαί τε καὶ φύσεις πονηραὶ καὶ παράνομοι, ἀγχεμάχοις ῥείθροις καὶ τοῖς ἐκ μέλανος· μετατίθεται δὲ σύμπασα γῆ καὶ μετάγεται πρὸς εὐκοσμίαν τε καὶ ἐπίγνωσιν. Κἂν ἄλλως Πλάτων Πλάτωνος ἀναξίως κατεπαινῇ τὸ ῥητορικῆς πῦρ τὸ κοινωφελὲς καὶ πάνδημον, καὶ σκοτία τοὺς ἀμοίρους πιέζῃ, καθάπερ ἐκεῖνος τὸν Ῥαδάμανθυν τοὺς ἀσεβεῖς ὑποτίθησι, κἂν ἐροίμην ἂν Πλάτωνα καὶ τὴν σεμνὴν Ἀκαδημίαν, εἴπως τῷ ὄντι τὴν ἀληθινὴν ῥητορείαν κωμῳδεῖ, ἀλλὰ μὴ τὴν νόθον καὶ παρακεκινημένην, ὡς ἐξ ἄλλων αὐτοῦ Πλάτωνος ἔξεστι γνῶναι, ἃ μὴ συννοήσαντές τινες κατεῖπον Πλάτωνος· πλὴν ἐροίμην ἂν Πλάτωνα χάριν τῶν ἀντειπόντων, ἂν ἡ πόλις αὐτῷ καὶ πολιτεία τέχναις κοσμουμένη καὶ ἐπιστήμαις, ἣν ὑπὲρ γῆν τῷ λόγῳ συνέστησε, συσταίη ταῖς ἀνίσοις ἀνταλλαγαῖς τε καὶ [7] διαθέσεσι, καὶ ταῦτα πανουργίαις ἀεὶ τῶν τεχνιτῶν προσανεχόντων· εἰ μὲν γάρ, τίς οὐ χρεία τῶν κατὰ μέρος παρασκευῶν, ἀλλ' ἀποδοκιμάζεται μὲν ῥητορική, ὑφαντικὴ δ' ἀποκρίνεται, σκυτεύς τε μετ' ἀρτοκόπου καὶ οἰνοπώλης ἑξῆς ὁμοίως ἅπαντες ἄχρηστοι, ἀπαθείᾳ δὲ οἱ ἐν τῇ πόλει συμπολιτεύονται, καὶ τίς χρεία τῶν καθ' ἕκαστον; [9] ἃ διεξέρχεται· εἰ δὲ μή, τοῖς ἐν γενέσει διαγιγνομένοις πάλιν ὑπόκεινται, οἷς δ' ὑφέστηκε τὸ παθαίνεσθαι, τούτοις ἐπιθυμία τε καὶ θυμός, καὶ τὸ περὶ τὸ μέλλον τυφλὸν συνυφέστηκεν· οὐκοῦν ἢ μυρίοις ὀλέθροις ἡ πόλις οἰχήσεται, Πλάτωνος τῶν ῥικετῶν κατ' ἀλλήλων χωρούντων, ἢ κἀνταῦθα ῥητορικὴ βραβεύσει τὸ εὔνομόν τε καὶ ἀστασίαστον· εἶτα πῶς τῶν κάτω πόλεων

7 καὶ Par. om., est in Med. 8 Par. τεχνιτῶν. Med. τεχνι-ον κῶν. 9 Par. ἕκαστα.

τῆς δεκαπάτορος ἐξανίσταται, ὁπότε καὶ τῇ ἀερίῳ [10] συμπαραπέπηγε; καὶ μὴν εἰ μέρεσι τὸ ὅλον γινώσκεται, οὕτω γάρ ἡμᾶς ὁ Ἀρίστωνος καὶ τὸ ἀληθὲς πείθει διδάσκων, ἔστι δὲ πολιτικὸν μέρος ἡ ῥητορικὴ τὸ συνεκτικώτατόν τε καὶ κάλλιστον, μεταποιοῦσα τοὺς ἀνθρώπους εἰς τὸ πρᾳότερον οὐχ ἧττον, ἢ ὡς ὁ μύθου Προμηθεύς, [11] οὐκ εἴδωλον δήπουθεν, ἀλλ' εἰκὼν καὶ ὁμοίωμα μὴ κινουμένης ἰδέας τοῦ εὐταξίαν ὁρίσαντος· εἰ δ' οὖν, ἀλλ' εἴδωλον καὶ ἡ πολιτική, εἴπερ τὸ ὅλον τῷ μέρει [12] ταὐτὸν κατὰ τὴν φύσιν, καὶ τὸ ἕτερον ὁ ζητῶν πύθοιτο, τί ποτέ ἐστιν ἔργον πολιτικῆς, εἰ μὲν τὸ πόλεις ἤθη τε αὖ καὶ οἰκίας διατάττειν, ὡς εὖ τὸ οἰκεῖν [13] πρὸς ἡμῶν· τοῦτο γὰρ καὶ ὃ δοκεῖ Πλάτωνι ἀπήχημα, εἰ δ' ἕτερόν πού τί ἐστι, [14] δειξάτωσαν, καὶ ἡμεῖς στέρξομεν, καὶ εἰ βούλονταί γε αἰδοῖ τοῦ καθηγεμόνος, ἐν ἀποῤῥήτοις κείσεται· ἀλλ' ὡς ἔοικε Πλάτων ταῖς ὁμωνυμίαις ἀνέχων δοκεῖ Σωκράτους λελῆσθαι τοῖς τε τοῦ Μενεξένου καὶ οἷς ἐκεῖνος τὸν διακριτικὸν κανόνα τὴν διαλεκτικὴν παραδείκνυσιν, ἔνθεν τοι Σέξτοις καὶ Πύῤῥωσιν ὑποκλίνεται, σκιὰν ὡς ἀληθῶς τὸν Περίπατον καὶ τὴν Ἀκαδημίαν δεικνύουσι· καὶ πῶς ἄν, ὦ θεῖε Πλάτων, φιλοσοφεῖν ἐξέσται, τῆς πατρικῆς οἰχομένης, εἴπερ εἴδωλον τῆς θεωρίας ἡ κρηπὶς κατὰ τὰς σὰς ὑποθέσεις, ἐφ' αἷς θάτερον συμβαίνειν δυοῖν εἰκὸς, ἢ Πλάτων ἀφιλοσόφως φιλοσοφεῖ, οὐκ ἐφεστὼς βίου στάσεως στερεᾶς, ἢ τὰ τῆς ῥητορικῆς οὐ σκιᾷ; δεδεῖχθαι γὰρ ψυχῆς πάθεσιν ἐφι-

---

10 Par. τῇ ἀερίωσσον. Med. ἀερίω σου. uterque παραπέπηγε. scribendum putavi : τῇ ἀερίῳ συμπεραπέπηγε. Siciliae enim epitheton est ἀέριος, auctore Hesychio s. v. Θάσον τε τὴν νῆσον καὶ Αἴγυπτον καὶ Λιβύην καὶ Κρήτην καὶ Σικελίαν καὶ Αἰθιοπίαν καὶ Κύπρον οὕτως ἐκάλουν. cfr. epist. crit. p. 24. 11 Par. ὁ μύθου προμηθεύσων. Med. Προμηθεύς. 12 Par. μέτρος. 13 Med. οἰκεῖν. Par. νικᾶν. 14 Par. καί.

στάνοντα κἂν ἐν ἄλλοις ἡμῖν, ὡς ἐπιστήμη ἄρα; καὶ ὡς οὐκ ἄν τις εὐκόλως φήσειε τέχνη θεία τε καὶ θαυμασία, καὶ τὴν αἰτίαν ἐκμιμουμένη τὴν πρώτην, ἣ ἡ [15] τὸ πᾶν διεξάγει συμφυῶς καὶ ἐναρμονίως, τὸ ἐκ τῶν ἐναντίων συνεστηκὸς, πρὸς τὴν τοῦ κρείττονος σύννευσιν καὶ ὑπόκλισιν, ἀλλ' οὐ περὶ ψόφων [16] καὶ τῶν ἐν τούτοις τάσεών τε καὶ ἐπιτάσεων, καὶ πρὸς ἀλλήλας ἐχούσης λόγοις καὶ σχέσεσιν· ὥστε ἀσπαστέον μᾶλλον καὶ ἐραστέον δι' ἧς τὸ φιλοσοφεῖν εἶναι μὴ οὔσης ὀρθῶς οὐχ ὑπέστιν, ἢ γεωμετρίαν καὶ τὰς ἐκείνῃ συμφύλους τοὺς πολιτικοῖς ὄμμασιν καὶ [17] ἀπαθέσιν ἐνατενίσασι καταστραπτομένους τῷ ἀποθέτῳ κάλλει τῆς βασιλίδος· ἀλλ' οὐ δυσφημητέον βασκάνῳ δαίμονι προσκειμένους δι' ἔκπτωσιν τῆς αὐτῆς ἀχράντου συνοικειώσεως, ἴσα καὶ τῇ [18] τῶν μύθων ἀλώπεκι ἐπὶ τῷ βότρυϊ, ἧς καθάπερ κόρης ἐναποθέτου [19] κάλλους ὑπερφυῶς καὶ λογικῶς Ἑρμογένης ἔπλασε τὸ σῶμα, κἀνταῦθα τῆς ὕλης προϋποστάσης, ἰσότητα τῆς καθ' ἡμᾶς οὐσιώσεως, κατὰ τὰς συνουσιαστικὰς πάλας καὶ ἀγωνίσματα, τοσούτῳ κάλλιον τῷ τρόπῳ καὶ ἀκριβέστερον, ὅσῳ παίδων ἀνὴρ στοιχειωτὴς, προϋποθείς τε καὶ προστησάμενος λόγοις ἀναλογίαν· κεφαλῇ μὲν τὰ προοίμια, ὤμοις δὲ προκαταστάσεις, θώρακι δὲ διηγήσεις, προκατασκευὰς δὲ τῇ κατὰ τοὺς βραχίονας διαιρέσει τε καὶ τοὺς μηροῖς· ἐπιχειρήματά γε μὴν καὶ ἐργασίας πήχεσι καὶ ταρσοῖς, χερσί τε καὶ δακτύλοις καὶ ὄνυξι καὶ σύμπασι τοῖς ἄρθροις· κεφάλαιά τε δήπουθεν ὡς δραστικώτερα καὶ πρακτικώτερα, σὺν οἷς καὶ τὰ ἐνθυμήματα· σώσειαν δ' ἂν τὴν ἐπιλόγων χρείαν οἱ πόδες, ὀστέοις δ' ἂν ἐνειρμένοις [20] καὶ νεύροις ἀναλογήσαις ἂν

---

15 Par. ἢ τὸ πᾶς. 16 Med. ψόφων. Par. ψήφων. Sequentia, in quibus consentiunt codd. corrupta videntur. 17 καὶ Med. om., est in Par. 18 Med. et Par. τῷ. in Par. inscriptum τῇ. 19 Med. et Par. ἐν ἀποθέτου. 20 Med. ἐνειρ-

λέξεις καὶ τὰς ἐγκειμένας χρονικὰς ἐπιτάσεις καὶ ἀνατάσεις, δι' ἃν τουτὶ τὸ ζῶον ἄλλῳ τε ἑαυτῷ καὶ τοῖς μέρεσι τὸ κατάλληλον ἔχει πολλῷ πλέον μᾶλλον ῥήτορσιν ἢ ποιηταῖς, εἴπερ τούτοις μεγέθη τε καὶ μειώσεις μᾶλλον οἰκεῖα οὐκ ἀπρεπῆ οὐδ' ἀπᾴδοντα, οὐδ' ἡδονῆς ἐπιμελόμενα μόνης, ἀλλὰ καὶ ἀληθείας μετὰ πειθοῦς ἁρμόσαι· τούτοις μὲν τῆς ῥητορικῆς ὄργανον πλάστῃ τῷ σοφωτάτῳ μεθωδεύθη, καὶ διαπέπλασται, καὶ ἴδοις ἄν, ὡς ἡ τῶν κεφαλαίων εἰσαγωγὴ τῇ τῶν μορίων τοῦ σώματος συνθέσει τε καὶ τάξει πρὸς τὸ ἐπιβάλλον ἑκάστῳ καθυποφαίνεται· ἀλλ' ἐπειδὴ χρεία ψυχῆς ἀρεταῖς ἀστραπτούσαις εἰς ἐναργεστέραν κίνησιν τῆς ζωοπλαστίας καὶ ζώωσιν ἐμπνέει τῷ ὀργάνῳ, καθάπερ τις θεός, καὶ ταύτην ὃς ἔπρεπεν εἶναι τοιούτων δημιουργὸς τὴν εἰκόνα σώζουσαν καὶ ὁμοίωσιν τῆς ἀρχετύπου προϋποστάσεως, οὐχ ὡς ἄν τις κατεσπουδασμένος ὑπόθοιτο τὰς μερικὰς ἰδέας, αἷς δὲ κατ' αἴσθησιν λόγοι χαρακτηρίζονται, Λυσιακοί τινες ἢ Ἰσοκρατικοὶ καὶ ὅσοι καθ' ἕκαστον, ἀλλὰ τὴν τούτων περιεκτικὴν καὶ συνεκτικὴν καὶ τοῦ παντὸς καθ' ἑαυτὴν ἰδέαν καὶ φράσιν, καθ' ἣν ἕκαστος τῶν ἐκκρίτων ψυχοῖ τὸν αὑτοῦ λόγον, καὶ τῶν ὁμοειδῶν τοῖς ἑαυτοῦ χαρακτηριστικοῖς ὑπεξίσταται· ὥσπερ γὰρ ἡμῶν ἡ λογικὴ [21] ψυχή τε καὶ νοερὰ κατὰ μὲν τὸν οὐσιώδη λόγον μία τίς ἐστι καὶ ἀδιάφορος, κατὰ δὲ τὰς τῶν καθ' ἕκαστον γνώμας καὶ κράσεις διαπεφόρηται, οὕτω κἀνταῦθα· ταύτης γάρ, ὥσπερ οὐσίας τινὸς ὑποστάσεις, αἱ νῦν ἰδέαι καλούμεναι διαμορφοῦσι τὸν τῶν ἀρετῶν λόγον, ὡς πρὸς ψυχὴν σώζουσαι, μέρη μὲν ἔχουσαν τὰ ῥητορικὰ εἴδη, δυνάμεις τε γνωστικάς, ἀντὶ μὲν νοὸς τὰς ἐννοίας ταῖς αὐτῆς παρέχουσαν [22] ἀρεταῖς· ἀντὶ δὲ

μένοις καὶ νεύροις. Par. ἐνειμέ νοκα ἰνεύρον. 21 Par. ἡ λογιτικὴ ψυχή τε καὶ νοερά. 22 Med. terminationem om., Par. παρέχουσιν, scripsi παρέχουσαν.

δόξης τὴν μέθοδον παραδειγματικοῖς αἰτίοις, ἀλλ' οὐκ εἰδικοῖς ἢ ποιητικοῖς ἢ τελικοῖς, καὶ ὡς τὸ γεγραμμένον ζῶον τοῦ ὄντος ἀντὶ φαντασίας τὰς συνθήκας· σχήματα δὲ καὶ ῥυθμοὺς ἀντ' αἰσθήσεως, τὰ δ' ἄλλα ταῖς ζωτικαῖς παρεικάζονται, βάσεις, κῶλα καὶ λέξεις τὸ κοινὸν ἀμφοτέρων ἐνέργημα πᾶσαν τὴν τῆς ῥητορικῆς ἑρμηνείαν ὡς ἀλογίαν τινὰ ῥυθμίζοντα καὶ ἰσάζοντα, καὶ τοῖς συμπίπτουσι δι' ἀνάγκην ἐπισυμβαίνουσαν μαχόμενα, οἱονεί τινες ἀρεταὶ τοῖς ἐκ δυσκρασίας ἢ κακοηθείας ἐγγινομένοις πάθεσιν· αὐτίκα γὰρ σωφροσύνην μὲν διαλάμπουσαν διὰ τοῦ εἰκασμοῦ ταῖς καθαραῖς ἐννοίαις καὶ ταῖς λοιπαῖς ὥσπερ ἁγνὴν σύζυγον γνοίης ἂν τὴν καθαρότητα, διδακτικῷ δὲ καὶ ἐπιστρόφῳ τῶν οἱονεὶ συμβαινόντων ὡς κηρῶν τῇ ψυχῇ τὴν εὐκρίνειαν· παῤῥησιαστικῷ δὲ καὶ σὺν φρονήσει ἐγκληματικῷ [23] καὶ ὄντως ἀναγκαστικῷ εὐπραξίας [24] τινὸς τὴν τραχύτητα· σφοδρότητα δὲ μετὰ λόγου τὸ ἐπιπληκτικόν τε καὶ αὐστηρὸν πρὸς τοὺς βιοῦντας οὐκ ἀγαθῶς, μετά τινος ἐπιτιμήσεως καὶ παρακινήσεως· τῷ μεγαλοπρεπεῖ τὸ λαμπρόν· περιβολῇ τὸ φιλόθεόν τε καὶ ἐλευθέριον· ἀκμῇ τὸ ὀνειδιστικόν τε καὶ τιμωρητικόν· καὶ οὔτε γοργότης ὀξύτητος καὶ ἀγχινοίας διΐσταται, οὔτε κάλλος ἤθους ἐπαγωγοῦ τε καὶ θέλγοντος, ὁπότε τἀληθὲς ἀπαράδεκτον, ἢ τῶν θεωρημάτων τὸ μέγεθος ὑποκενοῦντος, πρὸς δὲ τὸ ταπεινὸν ἐκβιάζεται· δεῖται τηνικαῦτα φιλοσόφου τὰ τοιαῦτα φύκου καὶ ψιμμυθίου εἰς ἴυγγα τῶν ἐραστῶν τῶν οἰκείων, ὡς μὴ εἴησαν ἀχαριτώτατοι τῷ πιναρῷ καὶ κατεσκληκότι τῆς φύσεως, καὶ μόνοις θηρατὰ τοῖς ὑπὲρ τὴν αἴσθησιν βιοτεύουσι· καὶ ἡ δεινότης αὖ τὴν φρόνησιν ὑποκρίνεται, καιροῖς τε καὶ τόποις· ἔπειτα προσώποις, αἰτίαις, χρόνοις, ὁμοίως καὶ πράγμασι πρὸς τὸ συμφέρον οἰκονομοῦσα καὶ διατάττουσα τὰ κατάλληλα, συμφέ-

23 Par. ἐγκλατικῷ. ad marg. ἐλεγκτικῷ. 24 Par. εὐπραξία.

ρουσαν ἑαυτῇ τῶν ἄκρων τὴν τελειότητα· ἔστι δὲ καὶ τὴν ὑπερβάλλουσαν, οἷς παρείκοι καὶ ὅπου, κρύπτουσαν,[25] ἃ κρύπτειν εἰκὸς, λέγουσαν, ἃ λέγειν ὦσιν ἀκουόντων χρεών. Τί οὖν μόνοις τούτοις ὕπεστι τὸ ἀνάλογον, τοῖς δὲ τοῦ ἤθους ἥκιστα ἢ ἐπ' ἔλαττον; καὶ μὴν τὸ ταπεινόν τε καὶ μέτριον τῷ ἐπιεικεῖ καὶ ὄντως ὄντι ὑπὲρ τὸ δίκαιον ἀπαράλλακτον· ἀφελεῖ δὲ τοῦ ἀπεριέργου τε καὶ ἀπλάστου οὐκ ἀπεσχοίνισται δι' ἡλικίαν στοιχοῦσαν καὶ φύσιν· Γλυκύτητί γε μὴν καὶ ἡδύτητι συγκοινωνεῖ τὸ ἀστεῖον ἦθος, καὶ προσηνές τί ἐστι· δριμύτητα τοῦ μετὰ παιδείας σκώμματος ἀπαγάγης καὶ νουθεσίαν, ἀλλὰ τὸ ὥσπερ ἀμνηστικὸν τοῦ ἐνδιαθέτου καὶ ἀληθοῦς, καὶ μὴν τὸ δυσφορεῖν ἐφ' οἷς τις παρὰ τὸ εἰκὸς ἐναλγύνεται [26] τὴν βαρύτητα χαρακτηρίζει· ἤδη δέ που καὶ οἱ κατ' ἄνδρα σχηματισμοί τε καὶ χαρακτῆρες τὰς ἰδιότητας ἂν τῶν προσώπων χαρακτηρίσειαν· αἷς ὑποφαίνονται τῶν λόγων αἱ διαφοραὶ τῆς κατὰ μεγέθη ἡλικίας συστρατικῆς διαλλάξεως. Εἰ δὲ καὶ περὶ τὴν τῆς δεινότητος μέθοδον ἀποροίης, τὸ ἀναλογιστικόν τε καὶ τακτικὸν τῆς φρονήσεως ἐννοήσεις, προτρεπομένης τε καὶ διαταττούσης, ἃ δεῖ καὶ ἐφ' ἃ, ὅποι τε καὶ πότε ἓν ἕκαστον τῶν ὑποπιπτόντων τῷ λόγῳ τῆς ἀπραγμοσύνης ἀφέξῃ προὔχοντι διαστήματι ἐπιστάς που πάντως τὰς τῶν ἀρετῶν κινητικὰς δυνάμεις ταῖς ἰδέαις ταύταις ἀναλογούσαις· οὐ σαφηνείᾳ μὲν ταὐτὸν τῆς ψιλῆς τὸ ἀδιάστροφον καὶ ἀποίκιλον· μεγέθει δὲ τὸ ἀνδρικόν τε καὶ ἐπηρμένον μετὰ προμηθείας τῆς κρείττονος· ἤθει δὲ τῷ πεποιημένῳ καὶ ἀδόλῳ πρὸς τὰ προσήκοντα παιδεύματά τε καὶ μορφώματα, ἀλλ' οἷς μὲν ἔδει τὴν ἄσχετόν τε καὶ διαστηματικὴν φωνὴν ὑποστήσασθαι, καὶ δι' ἃ τῷ καλλίστῳ τῶν ὄντων εἰκάζεται, ταῦτά ἐστιν· ἐπεὶ δὲ μεθοδικὸν τὸ τεχνίτευμα καὶ προσῆκον εἰς [27] σα-

25 Eur. Hec. 568. 26 Par. ἀναλγύνεται. 27 Par. ἐς.

φήνειαν προεκθέσθαι, ὥσπερ τινὰ προλαμβανόμενα τῆς μουσικῆς, φέρε τὰ πρὸ παντὸς κανονιστικοῦ βιβλίου λήμματα προζητήσωμεν· ἅ εἰσιν, ὁ σκοπὸς, τὸ χρήσιμον, τὸ γνήσιον, ἡ αἰτία τῆς ἐπιγραφῆς, [28] ἡ τάξις τῆς ἀναγνώσεως, ὁ διδασκαλικὸς τρόπος, ἡ εἰς τὰ κεφάλαια διαίρεσις, καὶ ἡ ὑπὸ ποῖον μέρος τῆς φιλοσοφίας ἀναφορὰ, ὅτι μηδὲ ῥήτωρ ἁπλῶς ὁ σοφὸς Ἑρμογένης, ἀλλὰ μεθοδικὸς ῥήτωρ, τοὺς δὲ τοιούτους πάντας φιλοσόφοις ἐγκριτέον ἀληθεῖ κρίσει.

Σκοπὸς τοίνυν τὰς ἀρετὰς παραδοῦναι τοῦ πολιτικοῦ λόγου, εἰ δὲ καὶ παντὸς, οὐκ ἀπεικότως ἂν φαίημεν· ἐπεί τις ἐντεῦθεν ὁρμώμενος πᾶν εἶδος κατίδοι ἂν οὐκ ἔξω τούτων ἀπειργασμένον, τίνες τέ εἰσι καὶ ὁποῖαι καὶ πόσαι καὶ τί που δύνανται ποιεῖν, καὶ ὅπως ἂν κατορθοῖντο τοῖς φιλοπόνοις· εἰσὶ μὲν οὖν σαφήνεια, μέγεθος, κάλλος, γοργότης, ἦθος, προσέτι καὶ δεινότης· τὸ γάρ τοι ἀληθὲς ὑπὸ τὸ ἦθός ἐστιν, ὧν τινες μὲν περιέχονται ὡς εἰδικώτατα εἴδη, τινὲς δ' οὔ, ὡς προϊόντες δείξομεν· δύνανται γοῦν εὐειδῆ ποιῆσαι τὸν λόγον, ὡς κάλλος αὐτοφυὲς σῶμα καὶ ψυχὴν ἀρεταὶ, οὐχ ἑτέρως κατορθούμεναι ἢ μελέτῃ μνήμῃ τε καὶ ἀγχινοίᾳ, δι' ὧν προσγίνεται πάντα τὰ κάλλιστα. Ἀλλ' ὁ μὲν δὴ σκοπὸς οὗτος καὶ τὰ πλείω εἴρηται καὶ εἰρήσεται. Χρησιμεύει δὲ ἡμῖν πολλαχῶς· πρῶτον μὲν, ὅτι γνῶσίς [29] τίς [29] ἐστι τὴν ψυχὴν ὀξυτέραν ποιοῦσα, καλὸν δὲ πᾶσα γνῶσις, κἀκείνη αὐτὴ τῶν κακῶν, καθὸ μόνον γνῶσις πρὸς ἀποφυγὴν, καὶ ἵνα μὴ τοῖς ὀλεθρίοις ὡς σωτηρίοις λάθωμεν περιπίπτοντες. Δεύτερον, ὅτι λογικοὶ ὄντες καὶ δεκτικοὶ σοφίας καὶ ἐπιστήμης διὰ τούτων τοῦ κατὰ τέχνην λόγου μεταλαμβάνομεν τελεώτατα· ὧν

οἱ

σαφήνειαν. 28 Med. ἐπιβήσεως. Par. ἐπιβάσεως. Med. ad marg. τῆς ἐπιγραφῆς. 29 Par. τι.

οἱ μὴ μετασχόντες, μόνῳ δὲ τῷ φυσικῷ σεμνυνόμενοι, οὐδὲ κἂν ἐξ ἡμισείας πεφύκασι λογικοί· καὶ παῖδες[30] ὄντες λελήθασιν ἑαυτοὺς εἶναι καὶ τοῦ ἀνθρωπίνου μακρὰν ὁρισμοῦ, οὐκ ὄντας τοῦ τελειοτέρου νοὸς δεκτικοὺς, ὃς καὶ φῶς ἐστι ψυχῆς καὶ ὀνομάζεται· φωτίσωμεν γάρ, φησὶν, ἑαυτοὺς φῶς γνώσεως. Τρίτον εἰς τὸ παρεξετάζειν τούς τε καλῶς ἔχοντας τῶν λόγων καὶ κατὰ τέχνην ἐξειργασμένους, τούς θ' ἑτέρως διακειμένους· τοῦτο γὰρ τὸ πρώτιστον μέρος καὶ τελευταῖον. Τέταρτον οὐκ εἰς τὸ μόνον ἐκκρίνειν τὰ κίβδηλα, ἀλλὰ καὶ εἰς τὸ ἡμᾶς αὐτοὺς δύνασθαι ποιεῖν παρακολουθοῦντας ταῖς στάθμαις, ὡς μὴ τὸ τοῦ λόγου εἴημεν ἑτερόφθαλμοι, διδάσκοντες μὲν ἢ κρίνοντες, οὐκ ἐργαζόμενοι δέ. Πέμπτον εἰς τὸ δύνασθαι τοὺς αἰτουμένους τῶν λόγων ἐξακριβοῦν τε καὶ ἐπιμερίζειν, ποῦ τε καὶ πῶς ἐξείργασται εὖ, καὶ ποῦ καὶ πῶς ἐκτετύχηκε· πολλοὶ γάρ εἰσι τῶν μαθητευομένων περίεργοι καὶ ἐξεταστικοὶ, καὶ ταῦτα προσαπαιτοῦντες, οὐχ ἵνα τι κερδάνωσιν, ἦν γὰρ ἄν τι καὶ τοῦτο, ἀλλ' ἵνα διαβάλωσι, πολὺ διεστηκότες τοῦ καὶ τὰ παχέα τῶν προβλημάτων εἰδέναι, μᾶλλον δὲ γυμνασμάτων· οὐχ οὗτοι δὲ μόνοι, ἀλλ' ἤδη που καὶ αὐτῶν τῶν διδασκόντων πολλοὶ, οἳ τὰς μὲν μεθόδους ἀπαγγέλλουσι, τοὺς ἐξηγητὰς ἀποστοματίζοντες, λόγον δέ τινα μηδ' ὅσον δημιουργῆσαι δυνάμενοι· τοιοῦτοι δὲ μάλιστά εἰσιν οἱ περὶ τὴν νῦν γενεὰν ῥητορικοὶ διδάσκαλοι, οἱ τοὺς ἐξηγητὰς, ὡς ἔφην, ἀποστοματίζοντες, ὡς ἔφην, οὕτω καταβροντῶσι τὰς ἀκόνας τῶν ἐσφαλμένων· ἐπὰν δέ τις τὴν στάσιν αὐτοὺς αἰτήσειε, τούτων δὴ τῶν οὐ περιττῶν, ὄνος, φησὶν, ἐπὶ λύραν, κἀπὶ λίθον ἔλαιον. Κατίδοι γὰρ ἄν τις ὃ λέγομεν ἐκ τοῦ συντακτηρίου, ὃν[30*] οἱ μὲν στοχασμὸν εἰρήκασιν εἶναι, οἱ δὲ πανηγυρικὸν ἁπλῶς, οἱ δὲ μετριώτεροι τῆς ἀντιληπτικῆς ἰδέας, φιλάργυρος, ὥς φη-

30 Par. παῖδας ὄντας. 30* Med. ὢν. scr. ὄν.

σιν, ὀνείροις χρηματίζων· ἤδη δέ τινες καὶ ἐπιμερίζειν ἠξίωσαν, καὶ καταλελοίπασιν, ὥς φησιν Ἑρμογένης, βιβλία μάλα πολύστιχα, ἅ τινες ἀνελίττοντες πείθουσιν ὅμοιοι, φασὶν, ὁμοίους. Συμβάλλεται γοῦν ἡμῖν πρὸς ἅπαντα ταῦτα τὰ μαθήματα, εἰ μή πού τι κἀνὸν ἄλλως ὄνομα περιφέρειν ποθοῦμεν, ῥητορικῆς καὶ λόγων διδάσκαλοι κηρύττεσθαι, ἔργων δὲ χωρίς.

Περὶ δὲ τοῦ γνησίου οὐδεὶς ἀμφιβάλλει· οἵ τε γὰρ ὑπομνήσαντες ἔνδοξοι, παρ' οἷς τὸ ἀξιόπιστον κρίνεται, ἥ τε πρὸς τοῦτο τοῦ ἀνδρὸς τῶν ἄλλων ἀναφορὰ σαφὴς μάρτυς τῆς γνησιότητος, καὶ μὴν τὸ πρῶτον καὶ μόνον τὴν τοιαύτην ὑποστήσασθαι γνῶσιν κύριον αὐτὸν τοῦ ποιήματος ὑποφαίνει, πολὺ τὸ ἔντεχνον καὶ σαφὲς ἔχοντος. Τῆς γε μὴν ἐπιγραφῆς ἐνστάσεις οὐκ ἀγεννεῖς [31] καταφέρονται, φασὶ γὰρ ἠγνοηκέναι τὸν τεχνικὸν τὴν σημασίαν τοῦ ὀνόματος· ἐπὶ τῶν γενικωτέρων γὰρ λέγεσθαι τὴν ἰδέαν καὶ τῶν περιεχόντων τὰ ἄτομα, αἱ δὲ νῦν οὕτω λεγόμεναι οὐχ οὕτως φαίνονται, μόρια γὰρ ἀτόμων, ἐννοίας, μεθόδους καὶ τὰ λοιπὰ μᾶλλον ἐμπεριέχουσιν ἢ ἄτομα· καὶ ἔτι φασὶν, εἰ τὸ ὅλον ὡς γενικὸν ὑπὸ διδάσκαλον [32] πεσεῖν ἀδύνατον, τουτέστι τὰ γένη καὶ τὰ εἴδη, πῶς αὐτὸς γενικῶν καὶ τελείων ἐποιήσατο τὴν ἐπιγραφήν; Εἶτα διατί [33] μὴ περὶ χαρακτήρων ἐπέγραφεν, ὀνόματος σαφεστάτου; Αἱ μὲν ἀπορίαι αὗται. Ἐπανιτέον [34] δὲ πρὸς τὴν πρώτην πρότερον, ὡς οὐ γενικὴν ἐποιήσατο [35] τὴν ἐπιγραφήν· οὐ γὰρ οὕτω ταῦτα ταῖς φιλοσόφων φωναῖς παραπλήσια, ἔπειτα εἰ καὶ γένη, οὐδὲν ἄτοπον, εἰ γὰρ τὸ εἶδος περιέχει τὰ ὑπ' αὐτὸ ἄτομα, οἷον ὁ ἄνθρωπος Σωκράτην καὶ Πλάτωνα, καὶ τοὺς ἄλλους ἀνθρώπους, οὕτω καὶ αὗται, τουτέστι σεμνότης

31 Par. ἀγεννές. 32 Par. ὑπὸ διδασκάλου. 33 Par.
ἀπαντητέον
διατίμιον. 34 Med. et Par. ἐπανιτέον. 35 Par. ἐποιήσατε.

καὶ λαμπρότης, καὶ αἱ λοιπαὶ τὴν Βασιλικὴν τυχὸν ἰδέαν ἢ τὴν Θεολογικὴν ἢ Χρυσοστομικήν. Πρὸς μὲν οὖν τὴν πρώτην οὕτως, πρὸς δὲ τὴν δευτέραν τὴν φάσκουσαν, τί δήποτε μὴ περὶ χαρακτήρων ἐπέγραψεν, ὅτι μὴ σκοπὸς ἦν αὐτῷ, φησὶν ὁ Φοιβάμμων, περὶ τῶν τοιούτων διαλαβεῖν, [36] ἀλλὰ τῶν ποιουμένων· οἱ μὲν γὰρ χαρακτῆρες ποιοῦσιν, αἱ δὲ γίνονται ἐννοίαις, μεθόδοις, λέξεσι καὶ τοῖς λοιποῖς, οἷς οὐ δυνατόν τι χαρακτῆρας ὑποσημήνασθαι γενικωτέρους ὄντας καὶ μὴ δυναμένους ἐκ τῶν τοιούτων καταληφθῆναι. Ὥσπερ γὰρ ἡ ἰδέα περιεκτικὴ τῶν περὶ τὴν ἔννοιάν ἐστιν, ὑφ᾽ ὧν καὶ ἀποτελεῖται, οὕτω καὶ οἱ χαρακτῆρες περιέχουσί τε τὰς ἰδέας καὶ ἀπὸ τούτων τὴν σύστασιν ἔχουσιν· καὶ ἐοίκασιν οἱ μὲν ἀνδρικοῖς ἤθεσιν, οἱ δὲ μαλακοῖς, οἱ δὲ μέσοις· κατὰ τὸν ἀνθηρὸν καὶ σύντονον μετὰ τὸ τραχὺ καὶ μέσον· αἱ δὲ ἰδέαι ἀρεταῖς ψυχῆς ἢ σώματος, ὥστε προσηκόντως τὴν μὲν τῶν ἀκαταλήπτων ἐπιγραφὴν ἀπεκρούσατο, ὧν καὶ τὸ ποιοῦν καὶ τὸ ποιούμενον ἄδηλον, ταύτην δὲ προσήκατο μᾶλλον, ἧς καταληπτὸν τὸ ἀποτελοῦν, καὶ ταῦτα μὲν οὕτως. Ἔστι δὲ καὶ ἑτέρως κατασεῖσαι τὰς ἐνστάσεις, ὡς περὶ τὰς ὁμωνυμίας πλανωμένας· πολλαχῶς γὰρ τὸ εἶδος διανοητόν, ψυχικόν, σωματικόν· τὸ μὲν διανοητὸν εἴς τε τὸ πρὸ τῶν πολλῶν διαιροῦσι, καίπερ ὂν νοητὸν τοῦτό γε καὶ θεολογικόν· εἴς τε τὸ ἐν τοῖς πολλοῖς καὶ φυσιολογίαις ἁρμόδιον, καὶ ἐπὶ τοῖς πολλοῖς, ὃ καὶ ἐννοηματικὸν λέγεται καὶ φιλόσοφον καὶ ἐξ ἀφαιρέσεως· ἐννοηματικὸν μέν, ὡς κατὰ διάνοιαν τὴν ὑπόστασιν ἔχον, αὐτὸ καθ᾽ ἑαυτὸ μὴ ὄν· φιλόσοφον δέ, ὡς περὶ τοῦτο καταγινομένων τῶν λογικῶν φιλοσόφων, ἔνθεν τοι καὶ λογικὸν καλεῖται, καὶ πολλὰς ἔχει τὰς ἀντιλήψεις, ὥσπερ ἐν ταῖς εἰσαγωγαῖς καὶ ταῖς κατηγορίαις μανθάνομεν· ἐξ ἀφαιρέσεως δέ, ὡς ἀπὸ τῆς ὕλης κα-

36 In Par. supra syll. βεῖγ. scriptum est γ'.

τὰ διάνοιαν ἀφαιρούμενον, καθ' ἣν καὶ μόνην τοῦ ὑποκειμένου χωρίζεται. Τούτων γε οὐδεμία κοινωνία ταῖς τοῦ λόγου ἰδέαις οὐδενὸς, τῷ περὶ πράγματα φυσικὰ καταγίνεσθαι, ἀλλ' οὐ περὶ λόγους τεχνικούς· τὸ δὲ ψυχικὸν εἶδος διττὸν, τὸ μὲν εἰδοποιοῦν τὸ σῶμα, ὃ καὶ ψυχὴν εἶναί φαμεν, ἧς ἐξερχομένης ἢ διαλυομένης ὡς ἐπὶ τῶν ἀλόγων τὸ ζῶον ἀμόρφωτον καὶ ἀνείδεον καταλείπεται, τὸ δὲ μορφοῦν τὴν ψυχὴν, ὃ περὶ τὰς ἰδέας καὶ ὁρᾶται καὶ λέγεται, καὶ αἱ τοῦτο μὴ ἔχουσαι καὶ ἀνείδεοι καὶ ἀκαλλεῖς. Τὸ δὲ σωματικὸν εἶδος ἡ μορφή ἐστι τῶν ψυχικῶν σωμάτων καὶ τεχνητῶν, ὥστε δείκνυται διὰ τούτων, ὡς ἀναλογοῦσι μὲν ταῖς λογικαῖς ψυχαῖς αἱ πολιτικαὶ ἔννοιαι, αἱ τὴν ῥητορικὴν συνιστῶσαι· ταῖς δὲ τούτων δυνάμεσι τὸ συμβουλευτικὸν καὶ δικανικὸν καὶ ἔτι τὸ πανηγυρικόν· τῶν ψυχῶν δὲ τοῖς ἤθεσιν οἱ χαρακτῆρες, ἀφ' ὧν ἑκατέρων πλείους γίνονται οὗτοι κατὰ τὸ μᾶλλον καὶ ἧττον· οὐκοῦν αἱ ἰδέαι ἥ τε σαφήνεια καὶ αἱ λοιπαὶ ταῖς ἀρεταῖς ἐοικυῖαι ταῖς τῆς ψυχῆς καὶ τοῦ σώματος, καὶ συνεστηκυῖαι ὥσπερ τὰ πρόσωπα τῶν αἰσθητῶν ἰδιωμάτων, ἤτοι γρυπότητος, γλαυκότητος, λευκότητος καὶ τῶν τοιούτων· καὶ αἱ ψυχαὶ τῶν ἀρετῶν καὶ τῶν αὐταῖς ἑκάστη ἰδιωμάτων, οὕτω καὶ αὗται λέξεως ἐννοίας καὶ τῶν λοιπῶν. εἰκότως περὶ ἀρετῶν λόγου καὶ ἰδιότητος προθέμενος εἰπεῖν περὶ ἰδεῶν ἐπέγραψε τὸ βιβλίον, αἳ γινώσκονται καὶ συνιστῶσι τοὺς λόγους, καὶ εἰδοποιοῦσιν, ὥσπερ αἱ ἀρεταὶ τὴν ψυχὴν, χρησάμενος δείξει διαλλήλῳ τῇ τὰ ἀσαφῆ διδασκούσῃ ἐκ τῶν σαφῶν· σαφεῖς γὰρ οἱ χαρακτῆρες χωριζόμενοι τῶν ἰδεῶν τῷ καθ' ἑαυτοὺς λόγῳ, ἐν οἷς καὶ ἡ τάξις συνανεφάνη· προηγουμένης γὰρ τῆς τοῦ πράγματος ὑπάρξεως, ᾗ ἐοίκασιν αἱ στάσεις, ἕπεσθαι τὴν τῆς ἀρετῆς τοῦ λόγου μορφὴν ἀνάγκη, οὗ τὰ μὲν ἀγωνιστικὰ ῥώμῃ τε καὶ δυνάμει παρομοιοῦνται· τὰ δὲ χρώματα κάλλει τε καὶ μορφῇ.

Ἀλλὰ μετιτέον ἤδη ἐπὶ τὸν διδασκαλικὸν τρόπον, ὃς τετραχῶς ὁρώμενος, ὁ διαιρετικὸς καὶ ἀποδεικτικὸς νῦν χρήσιμοι μόνοι· τῷ μὲν γὰρ χρῆται διαιρῶν τὰς ἰδέας εἰς τὰς ὑποκειμένας αὐταῖς καὶ εἰς τὰ ἑκάστης μόρια καὶ στοιχεῖα· τῷ δὲ κατὰ τὰς ἐπακτικὰς καὶ παραδειγματικὰς ἀποδείξεις, αἳ τῶν μερικῶν τὰ καθόλου ἀποδεικνύουσι.

Διαιρεῖται δὲ τὸ μάθημα, ὅπερ ἦν τῶν ζητουμένων λημμάτων ἑπτὰ, εἰς κεφάλαια τέσσαρα. πρῶτον μὲν γὰρ προοιμιάζεται δεικνὺς τὸν σκοπὸν καὶ τὸ ἀναγκαῖον τῆς πραγματείας, καὶ προαριθμούμενος, πόσαι τέ εἰσιν αἱ ἰδέαι καὶ τίνες κἀκ τίνων γίνονται καὶ ὅπως, καὶ ὅτι μόνος αὐτὸς τῆς τούτων σαφηνείας ἐπεμελήθη, καὶ ἄλλα τινὰ μετὰ τῶν γενῶν εἰς τὰ εἴδη διαιρέσεως καὶ τῶν μορίων ἀπὸ τούτων· δεύτερον αὐτὰς ἐκείνας διηυκρινημένας ἐκτίθησι καὶ σαφῶς· τρίτον τὸν πολιτικὸν λόγον διατρανοῖ, διεξερχόμενος καὶ λέγων, τίς ὁ πανηγυρικὸς αὐτοῦ κάλλιστος, συμβουλευτικός τ᾽ αὖ καὶ δικανικὸς καὶ πρῶτος καὶ τίνες οἱ μετ᾽ αὐτοὺς κατὰ δεύτερον καὶ τρίτον καὶ ἐπέκεινα διαφόρους ἰδέας, καὶ πῶς ἂν γένοιντο, καὶ ἐκ πόσων καὶ τίνων ἰδεῶν· τέταρτον ἐπὶ τούτοις καὶ τελευταῖον, τίς τε ἡ ἰδέα ἑνὸς ἑκάστου τῶν κατὰ γένη ῥητόρων, εἴτε πολιτικοὶ εἴησαν, εἴτε διαλεκτικοὶ, εἴτε ἱστορικοὶ κατά τε ποίησιν καὶ τὴν ἄλλην λογογραφίαν· καὶ οὕτως τὸν περὶ ἰδεῶν λόγον καταπαύει λοιπόν· τὸ γὰρ περὶ μεθόδου δεινότητος ἰδίαν ἐσχηκὸς τάξιν καὶ πραγματείαν δείκνυται ἔχον καθ᾽ αὑτὸ τὴν πρὸς τὰ πάντα διαφορὰν, κοινὸν ὂν καὶ θέσεως καὶ διαιρέσεως καὶ κρίσεως καὶ λήψεως καὶ ἀφαιρέσεως· προοιμίων, προκαταστάσεων, διηγήσεων, προκατασκευῶν, εἰσαγωγῆς κεφαλαίων, ἐπιχειρημάτων, ἐργασιῶν, εἰδῶν· ἰδεῶν, ὅλων, μορίων καὶ ἁπλῶς πάντων τῶν τοῦ λόγου σωμάτων τε καὶ ὑπάρξεων· διδάσκει γὰρ ἕκαστον τούτων, πῶς καὶ

πότε καὶ δι' ἥντινα τὴν αἰτίαν εἰσαχθῆναι δεῖ. διὸ καὶ τελεωτέρας πέφυκεν ἕξεως καὶ μαθεῖν καὶ διδάξαι, ὡς τὴν πᾶσαν τεχνολογίαν καὶ οἰκονομίαν καὶ διοίκησιν τῆς πολιτικῆς χρείας καὶ ὑποθέσεως ἐν ἑαυτῷ διασῶζόν τε καὶ συνέχον.

Ἀναφέρεται δὲ τὸ τῶν ἰδεῶν βιβλίον, τοῦτο γὰρ ἡμῖν περιλείπεται, οὔτε εἰς τὸ θεωρητικὸν ἁπλῶς, οὔτε εἰς τὸ πρακτικὸν, ἀλλ' εἰς τὸ μέσον τούτων μεθοδικὸν καὶ ὀργανικὸν, ὡς ἐν ταῖς περὶ τῶν στάσεων καὶ εὑρέσεως εἴρηται· κανόνας γὰρ καὶ μεθόδους διδάσκει, ἀλλ' οὐχ ἁπλῶς ἢ θεολογεῖ ἢ φυσιολογεῖ, ἢ μαθηματικεύεται, ἀλλ' οὐ πῶς δεῖ κοσμεῖν τὰ ἤθη, καὶ τίς ἡ πρὸς φιλοσοφίαν ὁδὸς, ταῦτα γὰρ δι' ἀποδείξεων γίνεται· ἡ δὲ ἀπόδειξις ἐκ κανόνων, ὥστε οὐ περὶ τούτων ἀλλὰ περὶ κανόνων ποιεῖν ἰδέας, καὶ τοῦ πῶς ἂν γένοιτο καὶ τοῦ πολιτικοῦ λόγου ἡ ἀρετή. Κατὰ δὲ τὸ τῆς μεθόδου ἀποτέλεσμα καὶ τῶν κανόνων, τουτέστι τοὺς λόγους καὶ τὰς ὑποθέσεις αὐτὰς μετέχει μὲν τοῦ πρακτικοῦ, διότι οἱ λόγοι χάριν πολιτικῆς πράξεως γίνονται· πολιτικὸν δὲ δήπουθεν καὶ ἡ τῶν ἠθῶν κοσμιότης, εἴπερ ἑνὸς κακίας ξύμπασα πόλις ἀπηύρα[37] καὶ τοῦ ἐναντίου τῆς ἀρετῆς· μετέχει δὲ καὶ τοῦ θεωρητικοῦ κατὰ τὴν διάσκεψιν τῶν συμβουλευόντων καὶ τῶν ὑποταττομένων, καὶ τοῖς ἄλλοις εἴδεσι χρωμένων. Ἀλλὰ προσκείσθω τούτοις καὶ ὁ χαρακτὴρ, τουτέστιν ἡ διδασκαλία, ὁποία τίς ἐστιν, ὅτι σαφής τε καὶ εὐκρινὴς καὶ ἀπέριττος· μήτε κατὰ διάνοιαν, μήτε κατὰ λέξιν μήτε κατὰ σύνθεσιν διανοίας καὶ λέξεως καὶ τὴν ἄλλην τῆς ἁρμονίας διαπλοκὴν ἔχουσά[38] τι περιττὸν καὶ πάρεργον, καὶ εἰς τὸ νοηθῆναι δυσήκοον, ἔνθεν τοι καὶ θαυμάσαιτ' ἄν τις τὸν τεχνικὸν, ὅτι πέλαγος θεωρίας προεπιχειρησάμενος λέγειν πολὺ εἰς τὸ σαφὲς καὶ σύντομον περιέκλεισε καὶ συν-

---

37 Hes. Op. 238. — 38 Med. et Par. ἔχοντα, scr. ἔχουσα.

έστειλε, πᾶν τὸ ἀντιβαῖνον σοφῶς καὶ ἐντέχνως οἰακισάμενος καὶ περιαγαγὼν, οἷον εἰς τὸ γαλήνιον καὶ ἀτάραχον, οἰκείαις περιγραφαῖς ἕκαστα μεθοδεύσας, καὶ ὥσπερ ἐλλιμενίσας τῶν μεθοδικῶν ἀφηγήσεων, ὡς μήτε τι λαθεῖν διὰ τὸ πλῆθος, μήτε συγκεχύσθαι διὰ τὸ σύντομον καὶ δυσδιάκριτον ἔχειν τὴν εὕρεσιν· ἀλλὰ τούτων τῇδε ἐχόντων καὶ τοῖς τρισὶ συμπεριορισθέντων τῶν χαρακτήρων εἰ καὶ τὰ μάλιστα Δημήτριος ἐπεισάγει τὸν ἀνθηρὸν ὄντα, παρὰ τούτους μηδὲν, μᾶλλον δέ τι πολλοστὸν [39] μόριον, τῷ γὰρ κάλλει συντέτακται, εἰσί τινες κατὰ τὸν θεῖον χρησμὸν, μήτ᾽ αὐτοὶ τὸ τῆς ἐπιστήμης ἄδυτον εἰσιόντες, μήτε τοὺς βουλομένους παραχωροῦντες, μὴ δύνασθαι διατεινόμενοι μήτε τῶν χαρακτήρων ἐλθεῖν εἰς κατάληψιν, μήτε αὖ τῶν ἰδεῶν, ἑνὶ λόγῳ καὶ τῷ αὐτῷ τούτῳ γε· ὥσπερ γὰρ οὐχ οἷόν τε, φασὶ, τὴν τῶν προσώπων ἰδιότητα τῶν καθ᾽ ἕκαστον ἀνθρώπων γνῶναι, οὕτω δὴ καὶ τοὺς χαρακτῆρας· ἄπειρα γὰρ ἑκάτερα καὶ ἀόριστα· εἰ δὲ τὸ παρακολουθοῦν τούτῳ καὶ ἄλλῳ πρόσεστι, [40] πολλῷ μᾶλλον δυσδιάκριτον ἡ κατάληψις καὶ ἀμφίβολος, ὁποῖα τούτῳ καὶ ὁποῖα ἐκείνῳ ἴδια· ἀλλ᾽ εἰ καὶ καταλάβοις, ἄδηλον τὸ αἴτιον καὶ σημαντικὸν ταύτης τῆς ἰδιότητος, τυχὸν τῆς Πλάτωνος, καὶ ὅτι τὰ καθ᾽ ἕκαστα, φασὶν, ἃ ἂν λάβοι, πρὸς τὴν ἑαυτῶν μεταβάλλει φύσιν· αἱ γὰρ διάφοροι δίαιται πρὸς τὴν τοῦ διαιτωμένου κρᾶσιν συναλλοιοῦνται· τῷ ὑγιεινῷ τυχὸν οὐδὲν βλαβερὸν, τῷ δὲ κακῶς διακειμένῳ ἀσύμφορον καὶ τὸ εὔχυμον· [41] πρὸς γὰρ τὴν ἐκείνων μεταβάλλει κρᾶσιν· οὕτως οὖν καὶ τῷ ἐπιχειροῦντι μιμεῖσθαι τοὺς τῶν παλαιῶν χαρακτῆρας πρὸς τὴν ἑαυτῶν φύσιν μεθοδευθῆναι τὸν λόγον συμβήσεται· κἂν γὰρ διε-

---

39 Par. πολλόστημόριον. 40 In Med. et Par. superscriptum προσῆ (ᾶ). 41 In Par. εὔχυμον.

νοήθησαν αὐτούς τινες εἰς ὀλίγους συστεῖλαι, ἀλλ᾽ οὐδὲν ἧσσον ἀκατάληπτοί εἰσι· πολλοὺς γὰρ ἰσχνοὺς εὑρήσομεν ἐπίτασιν δεχομένους καὶ ἄνεσιν· ὅταν γὰρ ἐπὶ τὸν ἁδρὸν ὁ ἰσχνὸς προβαίη, ἴσης γινομένης τῆς κράσεως τῶν τριῶν χαρακτήρων, τοῦ κατὰ φύσιν ἐκπίπτει, οὔτε γὰρ ἰσχνός ἐστιν ἔτι, νένευκε γὰρ ἐπὶ τὸ ἐναντίον, οὔτε μέσος, ὑπερέβη γὰρ τοῦτον, ἀλλ᾽ οὐδ᾽ ἁδρὸς, οὐ γὰρ τούτου πάντα σώζει τὸν τύπον, κἀπὶ τῶν λοιπῶν ὁ αὐτὸς λόγος· ὥστ᾽ ἀμήχανον καταλαβεῖν τινα τούτων· ἀλλ᾽ εἰ καὶ συγχωρήσομεν αὐτοὺς εἶναι καταληπτοὺς, πόνων δεόμεθα καὶ ταλαιπωρίας πολλῆς πρὸς τὴν ἐπίγνωσιν, καὶ μετὰ τὴν κατάληψιν ἡ γνῶσις ἀσύμφορος. Ὅτι δὲ, φασὶν, οὐ διὰ τῶν χαρακτήρων ἡ κατάληψις, ἐντεῦθεν εἰσόμεθα. Τὰ κατὰ ζῆλον ἄλλων ὑφ᾽ ἡμῶν ἀποτελούμενα ἢ κατὰ φύσιν γίνεται, ἢ κατὰ τέχνην ἢ κατὰ τύχην· ἡ γὰρ φύσις δωρεῖται παραπλησίως τούτῳ κἀκείνῳ τὴν αὐτὴν φωνὴν, ὡς μὴ διαλλάττειν, ἢ τοῦτο μὲν οὐχὶ, κατά τινα δὲ τύχην τὴν αὐτὴν ἔχουσιν οἱ δύο δράσαντες πρᾶξιν, οὕτω δὲ καὶ κατὰ τέχνην· ὅταν μὲν οὖν κατὰ τέχνην γένηταί τι, ἄπεστι τὸ δυσχερὲς, ὅταν δὲ κατὰ φύσιν ἢ κατὰ τύχην προβῇ τις ἐναλλαγὴ τοῦ ἀποτελουμένου, εἶτα τοῦτο βουληθείημεν τέχνῃ καταλαβεῖν, τότε παγχάλεπος ἡ κατάληψις καὶ σχεδὸν εἰπεῖν ὑπὸ γνῶσιν πεσεῖν ἀδυνατοῦσα· οἷον καθ᾽ ὑπόθεσιν ἀφῆκέ τις λίθον, οὗτος πεσὼν εἰς πολλὰς, ὡς ἔτυχε, διεμερίσθη μορφώσεις, ἆρα γοῦν εἰ ταύτας ἀπαιτήσειέ τις τὸν πλαστουργὸν, τὸν Φειδίαν τυχὸν, ἐκτελέσαι, ῥᾴδιόν ἐστι ποιεῖν; οὐχ οἷός τ᾽ ἂν εἴη, καὶ ἐπὶ τῶν λοιπῶν ὡσαύτως, οἷον εἰ τὸν τῇ φύσει λαμπρόφωνον, ἢ τὴν ἀποτελεσθεῖσαν ἐκ Ζεύξιδος γραφὴν ἐκ τοῦ παρατυχόντος τις ἐθελήσειε ζηλοῦν· οὕτω φασὶ δυσχερὲς τὸ κατὰ φύσιν ἢ κατὰ τύχην γινόμενον τέχνῃ περιλαβεῖν· [42] εἰ δὲ καὶ καταλάβοι-

42 In Med. et Par. super λαβεῖν scriptum est βαλεῖν.

μεν, ἀσύμφορος ἡ γνῶσις, ἐπικρατεστέρα γὰρ ἡ φύσις ἑκάστου, καὶ τοὺς τῶν παλαιῶν χαρακτῆρας ζηλοῦν οὐχ οἷόν τε, βιαζομένου τοῦ χρόνου πῆ μὲν διὰ τὸ νέον τῆς ἡλικίας, πῆ [43] δὲ διὰ τὸ προβεβηκός· ἕως μὲν γὰρ εἴκοσι χρόνων προσμένομεν [44] ἐπὶ τῆς αὐτῆς φύσεως, καὶ οὐδεμίαν ἔχομεν ἐπιτηδειότητα πρὸς ζῆλόν τινος, εἰ δὲ πλησιάσομεν τοῖς τεσσαράκοντα, πάλιν τὸ παλαιὸν τῆς ἡλικίας ἀφαιρεῖται τὴν μίμησιν· ἐν δὲ τῷ μεταξὺ πρὸς μὲν ζῆλον ἔχομεν ἐπιτηδείως· ἀλλὰ πόσας οἴει περιστάσεις εὑρίσκεσθαι τὰς ἐμποδιζούσας τὴν ἐγχείρησιν; ὥστε συμβαίνειν καὶ τῆς τοιαύτης φύσεως ἐκπίπτειν ἡμᾶς· καὶ μὴ τὸν ἀρχαῖον καταλαβεῖν τύπον· τούτοις μὲν οὖν ἡ πεῖρα καὶ ἡ [45] ἀλογία τοὺς σπουδαίους εἰς ἀπόγνωσιν ὠθοῦσιν, οὓς ἀνατρεπτέον καὶ δεικτέον, ὡς παιδιάδεις, πρῶτον μὲν τοῖς ἀπὸ τοῦ Φοιβάμωνος τοῦ σοφοῦ, ἔπειτα καὶ τοῖς ἡμετέροις, ἂν ἄρα οἷοί τε ἐσόμεθα, τοσαύτην ἀναγωγίαν ἐπιστουίσαι. εἰρησόμεθα τοίνυν, ὡς πάντως τὰ ὄντα ἢ κατὰ θεωρίαν γινώσκομεν ἢ κατὰ πρᾶξιν· οὐκοῦν ἐπειδὴ καὶ οἱ χαρακτῆρες τῶν ὄντων, εἰ μὲν θεωρίᾳ θέλεις τούτους καταλαβεῖν, ἀπηλλάγης τοῦ ἀσυμφόρου καὶ δυσχεροῦς· ὥστε δεῖ τὸ ἀδύνατον μόνον ζητεῖν, ὃ γινόμενον καταφανὲς δείξει δηλαδὴ κἀπὶ τὸν τῆς πράξεως λόγον· φυλαττομένου κἀνταῦθα τοῦ ἀσυμφόρου καὶ χαλεποῦ· μικρὸν οὖν ἀναδράμωμεν ἐπὶ τὴν θεωρίαν, ἔνθα δείξομεν, κατὰ πόσον καταληπτοὺς εἶναι τοὺς χαρακτῆρας, εἴγε καὶ οἱ περὶ Διονύσιον εἰς ὡρισμένον αὐτοὺς ἀποδεδώκασιν ἀριθμόν· ἐκεῖνο γὰρ λῆρος, τὸ τὰς ἐπιτάσεις τούτων καὶ ἀνέσεις ἀντ' ἄλλων παρὰ τοὺς ἐξ ἀρχῆς ὑπολαμβάνειν· ὡρισμένοι γὰρ ὄντες τὴν ἀρχὴν, κἂν αὔξησιν ἢ μείωσιν δέξωνται, οὐδὲν ἧττον οἱ αὐτοί εἰσιν· ἐπεὶ καὶ τῶν σωμάτων οἱ χαρακτῆρες, ἄπειροι δοκοῦν-

---

43 Par. τῇ. 44 Par. ad marg. προσβαίνομεν. 45 Par. ἡ om.

τες, ἐκ λευκοῦ καὶ μέλανος συνεστήκασιν, ὧν ὁ μὲν πρὸς ἑκατέραν ἐπίτασιν λευκὸν λέγει τὸν χαρακτῆρα εἶναι, ἢ μέλανα, Σκύθην τυχὸν ἢ Ἰνδὸν, ἡ δὲ ἐκ τούτων μίξις κἂν ἐπὶ τὸ μᾶλλον καὶ ἧττον γένηται ὑπόλευκον ποιεῖ καὶ εἶναι καὶ λέγεσθαι, ἢ ὑπομέλανα, ἢ σιτόχρουν καὶ ἡ συνήθεια καλεῖ· κἂν μέν τοι ὑπέρυθρόν τι εἴη ἢ φοινικοῦν ἢ ἄλλο τι τῶν τοιούτων, οὐ διὰ τοῦτο ἐρυθρίας λέγεται ὁ ἔχων ἢ φοινικοῦς, ἀλλά τι τῶν ὡρισμένων, καὶ ἀπεῤῥίφθω τὰ ἐκ πάθους, παρατροπὴ γάρ ἐστι φύσεως· οὕτω τοιγαροῦν κἀνταῦθα ὄντος καταληπτοῦ τοῦ ποσοῦ, πρόδηλος αὐτῶν καὶ ἡ ἰδιότης τοῖς μὴ πλανωμένοις περὶ τὰ παρακολουθήματα· οὐ γὰρ ὡς ἐπὶ τῶν οὐσιῶν ἡ ἰδιότης δυσκατάληπτος, οὕτω καὶ ἐπὶ τούτων, ἐκεῖ μὲν γὰρ τὰ χρώματα οὐ δυσκατάληπτα, τὰ δὲ ἰδιώματα, ἅτε ἐκ συμβεβηκότων δυσκατάληπτα· ἐπὶ δὲ τῶν ἐν τοῖς χαρακτῆρσιν αὐτὸ τοῦτο τὸ παρακολούθημα καὶ συστατικόν ἐστι καὶ ῥᾷστα καταλαμβάνεσθαι δύναται, μὴ ἐχόντων τὸ μᾶλλον γρυπὸν ἢ σιμὸν, ἤ τι τοιοῦτον· ὅθεν ἐπ' ἐκείνων μὲν, εἰ ταῦτα ἀφαιρεθείη, μένει τὸ ὑποκείμενον, Δίων τυχὸν ἢ Πλάτων· ἐπὶ δὲ τούτων τὸ παρακολουθοῦν ἂν ἀφέλῃς, οἷον τὴν τροπικὴν ἢ τὴν κυρίαν ἢ τὴν περικαλλῆ ἢ τὴν τοιάνδε, τὸ ὅλον διέφθειρας, ἐφ' ὧν τὴν ὕπαρξιν εἰ καταλάβοις, ἔγνως τὰ ἰδιώματα· τὸ δὲ καὶ λέγειν οὐχ οἷόν τε ζηλοῦν τοὺς τῶν ἀρχαίων τύπους διὰ τὸ καταφέρεσθαι εἰς τὰ οἰκεῖα τὴν φύσιν, ἐγγὺς ἀληθείας· ζηλῶσαι γὰρ τὸν Δημοσθενικὸν χαρακτῆρα ἐς τἀκριβὲς ἢ ἄλλον τινὰ τῶν ἀδυνάτων ἐστὶ, πλὴν εἰ καὶ μὴ τελέως, ἀλλ' ὅσον τοῖς πονοῦσίν ἐστι καταληπτον· ἀγαπητὸν γὰρ καὶ τῶν ἄλλων ἐγγὺς ἐλθεῖν, μὴ ὅτι γε Δημοσθένους ἢ Πλάτωνος· μὴ οὖν ἀπεχόντων τῶν λόγων, εἰ μὴ δυνατὸς εἶ Δημοσθένης γενέσθαι, ἀλλὰ σπούδασον, ἵνα μὴ παντάπασιν ἐκπέσῃς· ἐπεὶ κἀκεῖνοι, εἰ ταῦτα ἂν ἐσκόπουν καὶ τὴν πρὸς τὸν

τοιόνδε μίμησιν ὅλως ἀδύνατον ᾤοντο, οὐκ ἂν τὴν ἀρχὴν ἀσκεῖν ἐπεχείρησαν· ἀλλὰ μήποτε ἄρα δυνατὸν, καὶ τούτους παρενεγκεῖν τὸν πλέω [46] τὴν σπουδὴν ἐπιδεδειγμένον, καὶ κρείττονος λαχόντα τῆς φύσεως· καὶ μάρτυς ὁ Θεολόγος, ὃς οὐ μόνον Δημοσθένην, ἀλλὰ καὶ πάντας ὑπερεβάλετο· κἂν τοὺς λόγους παραβάλῃς, παιδίον εἰρήσεις τὸν Δημοσθένην· καὶ τοῦτο δῆλον τοῦ μὲν ἐκ τοῦ πρὸς Λεπτίνην καὶ Ἀριστοκράτην, τοῦ δὲ ἐκ τοῦ περὶ τοῦ πάσχα· εἰς χρείαν γὰρ ἑκάτεροι πεσόντες καὶ τὸ διασαφῆσαι τοὺς νόμους, ὁ μὲν ἀηδὴς ἂν, εἰ μὴ τοῖς σχήμασιν ἐτέρπετο πωσῶς διὰ τὴν ἀσάφειαν, ὁ δὲ μεγάλην προχειρισάμενος ἔννοιαν, καὶ τῷ σαφεῖ καὶ τῷ κόσμῳ καὶ πᾶσι τοῖς καλοῖς, ἐπὶ κολοιόν φασιν ἀετός. Ἀλλ' ἴσως τις εἴπῃ, ὡς κράτιστος περὶ τὸ δικανικὸν Δημοσθένης, ἀλλ' ἀμύητος ὁ ταῦτα λέγων λόγων θεωρίας· ὁ μὲν γὰρ ἀντίστασιν οὐδόλως ἐμελέτησε κατὰ τελέαν ὑπόθεσιν, τὴν ἐργωδεστέραν πασῶν στάσεων· ὁ δὲ ταύτῃ διαιρήσας τὸν συντακτήριον, οὐκ ἄνθρωποι μόνον, ἀλλ' εἰ καὶ ἄγγελοι ἦσαν οἱ ῥήτορες, ὑπέπεισεν ἄν. Οὕτως ἐστὶν ὁ λόγος πρῶτος καὶ μόνος παρὰ πάντας τοὺς παλαιοὺς κατὰ πᾶσαν τὴν οἰκονομίαν ἀμίμητος· εἰς δὲ τὸ στοχαστικὸν ζήτημα τὸν ἀπολογητικὸν, τοσοῦτον μέγεθος ὄντα ἑνὶ κεφαλαίῳ περιεγράψατο· καίτοι Δημοσθένης σύμμαχον ἔχων τὸ ψεῦδος, ὃ μάλιστ' ἰσχύει κἂν τοῖς λόγοις, πόσον εἰς τὸν παραπρεσβείας ἐλείφθη Αἰσχίνου· καὶ ἐς τἄλλα, ἵνα μὴ δόξω γράφειν ἐγκώμια. Σπούδαζε τοίνυν καὶ αὐτὸς, καὶ πάντως τοῦ καλλίστου τύχῃς· ἔστι δὲ καὶ ἑτέρα τις αἰτία, ἡ ποιοῦσα τοὺς νῦν ὑποβαίνειν τῶν παλαιῶν, ὅτι ἐκεῖνοι μὲν πρὸς τὸ ζηλωτὰς ἔχειν καὶ ἀντιπάλους καὶ σπουδαστὰς τῶν λόγων, ἔτι καὶ πρὸς ἀγῶνας ἤθλουν, παρ' οἷς συνέβαινε τὸν ζῆλον εἰς μεῖζον διὰ τὴν εὔκλειαν ἐρεθίζεσθαι, παρ'

46 Par. πλείω.

ἡμῖν δὲ τούτων οὐδὲν, ἀλλὰ φθόνος πολὺς καὶ μελέτη κρίσεσιν ὀρθαῖς ἀπαράθετος, καὶ τὸ ἄδοξον καὶ ἀγέραστον καὶ τῶν εἰς τοὺς λόγους ἐπαίνων, καὶ τῶν εἰς τοὺς πόνους πραγμάτων· καὶ ἐῶ λέγειν, ὡς ἐκείνοις μὲν ἡ σπουδὴ περὶ ἕν τι καὶ μόνον, ἡμῖν δὲ περὶ πάσας τὰς ἐπιστήμας καὶ τὰ μαθήματα· καὶ ταῦτα μὲν διὰ ταῦτα. Περὶ δέ γε τοῦ δυσχεροῦς, ὅπερ οἱ αὐτοσχέδιοι σοφισταὶ προεβάλοντο, καὶ σπαρτοὶ μᾶλλον ῥήτορες λέγεσθαι ἄξιοι, περιττὸν ἐξετάζειν· φιληδόνων γὰρ τὰ λογύδρια, καὶ πάντα πόνων ἔχειν βουλομένων χωρὶς, ὧν οὐδὲ τὰ μοχθηρὰ τοῖς ἐργάταις κτητὰ, κἂν ἄλλως εὔληπτα· ὅτι δὲ οὐδὲ μετὰ τὴν γνῶσιν οἱ χαρακτῆρες ἀσύμφοροι, δῆλον ἐντεῦθεν· δυνατὸν γὰρ κατὰ ταὐτὸν καὶ τὴν οἰκείαν φύσιν φυλάξαι ἐῤῥωμένην, καὶ τύπους ἀρχαίους ζηλῶσαι· ὁ γὰρ περὶ τὸν ἰσχνὸν ἐπιτηδείως ἔχων κἂν τούτῳ δεόντως γυμνασθεὶς, ἅμα καὶ τὴν οἰκείαν φύσιν ἐῤῥωμένην φυλάττει καὶ τὸν Λυσίου χαρακτῆρα μιμεῖται· κἀπὶ τῶν λοιπῶν ὁμοίως· ἔνθα γὰρ ἕκαστος τὴν οἰκείαν φύσιν ὁρᾷ, ἐνταῦθα μάλιστα γυμναζόμενος καὶ εἰς ἀρχαίους πάντως ἀπενεχθήσεται τύπους, καὶ τῆς αὐτοῦ δεξιότητος οὐκ ἐκπεσεῖται.

Τούτων οὕτως ἐχόντων δεῖ τῶν παραδειγμάτων ἔχεσθαι, διὰ τὴν πρὸς τοὺς χαρακτῆρας ὁμοιότητα, τὸν αὐτὸν τρόπον, ὥσπερ κἀπὶ τῶν ἐμψύχων ἔχει σωμάτων· τὴν γὰρ σύστασιν αὐτῶν δυνατὸν κατὰ μέρος καταλαβεῖν, τὴν δὲ μῖξιν καὶ τὴν τοιάνδε κρᾶσιν ἀδύνατον. Ὅτι μὲν γὰρ ἐκ τεσσάρων στοιχείων ὁ ἄνθρωπος, πᾶσι δῆλον· τί δὲ τὸ αἴτιον τὸ ἀποτελεστικὸν τοῦ διαφόρου τῶν καθ᾽ ἕκαστον χρωμάτων, ἀπαγγελεῖν οὐ δυνατόν· αἰσθήσει γὰρ μόνον τὸ ὅλον ὡς ὅλον γινώσκεται, ἀλλ᾽ οὐ λόγῳ, πλὴν εἰ μὴ συμβολικῶς καὶ κατ᾽ αἴνιγμα καὶ εἰκασίαν· ἡ δὲ τοιαύτη γνῶσις οὐ καθάπτεται τῶν παρακολουθημάτων, μὴ ὅτι γε τῆς οὐσίας, οἷον

Πέτρον εἰ μὲν τύχοι τὸν Ἀπόστολον λέγειν, τότ' ἰσχύει· εἰ δ' ἄλλον τινὰ τῶν ἀγνοουμένων, ἀνίσχυρος ἡ ὀνομασία· οὕτω καὶ τῶν χαρακτήρων ἡ μίξις ἄδηλος, εἰ καὶ ἐκ τοιῶνδε [47] τῶν νοημάτων καὶ λέξεων σύγκειται· τοῦτο δ' ἂν κἀπὶ τῶν ζωγράφων εὕροις, τὰ μὲν συντελοῦντας δῆλα τὴν μόρφωσιν, ἡ δὲ αἰτία τῆς τοιαύτης διατυπώσεως ἄῤῥητος· εἰ μὴ ἄρα κατὰ συμβολικὸν λόγον, ὅτι ἡ εἰκὼν αὕτη τοῦ δεῖνός ἐστιν, ἀνδρὸς δ' ἄρα τεχνίτου, καὶ μάλα σοφοῦ μὴ συμβολικὰς τιθέναι τὰς ὀνομασίας· ἀλλὰ τῶν ὑποκειμένων φύσεων ἐκφαντικὰς, ὃ ποιεῖν μὲν ὁ τεχικὸς σπεύδων, ἀπορῶν δὲ διὰ τὴν αἰτίαν τὴν ἄῤῥητον, ἐπὶ τὴν ὁμοιότητα τῶν παραδειγμάτων ἀνέδραμε· καὶ ἣν ἐπὶ τῶν ἀτόμων ὀνομασίαν ἡ αἴσθησις ἐξ αὐτῆς τῆς ὄψεως ἔλαβε, ταύτην ἐπὶ τὸν τέλεον λόγον μετενεγκὼν μεταφορικῶς καὶ [48] ἰδίαν ὠνόμασεν, ὥσπερ προείπομεν, οἱονεὶ αἰσθήσει ὑποπίπτουσαν· καθὰ καὶ τῶν ἀτόμων αἱ μορφαὶ, ἐξ ὧν ὁρμώμενοι ἁδροὺς ἰσχνούς τε καὶ ἀνθηροὺς χαρακτῆρας ἐκάλεσαν οἱ παλαιοὶ τρόπῳ μεταφορᾶς· τῷ δὲ καὶ περὶ τοῦ ἀφεθέντος λίθου παραδείγματι ἀντιστῆναι λίαν ἀνόητον· αἱ γὰρ ἐπιστῆμαι καὶ τέχναι φύσιν μιμούμεναι περὶ τῶν κατὰ φύσιν ἀποβαινόντων διαλέγονται, ἀλλ' οὐ τῶν παρὰ φύσιν καὶ τύχην ἐπισυμβαινόντων· ταῦτα γὰρ τεράτων καὶ αὐτοματισμοῦ ἴδια, ἃ σφαλεῖσα ἡ φύσις διά τινα περιττότητα καὶ ἀταξίαν παρακατεργάζεται· καὶ ἔοικεν ἡ τεχνικὴ ἐπίσκεψις καὶ ἐμπειρία τῇ τῆς φύσεως ἀκολουθίᾳ, τὸ δὲ ἄσκεπτον καὶ ἄλογον ὡς λίθος τῇ παρατροπῇ, καὶ ἀναλογεῖ τοῦτο ζώῳ τεθνηκότι, οὗ τῇ σήψει πολλὰ ζῶα γίνεσθαι συμβαίνει ἀδιοργάνωτα καὶ ἀμόρφωτα καὶ παντὸς αἴσχους μεστά. Ἀλλά σε μὴ ξενιζέτω τὸ τῆς τύχης ὄνομα καὶ αὐτόματον, οὐ γὰρ τύχην φαμὲν τὴν ἀπρονόητον διοί-

47 Med. τῶνδε ad marg. εἰ ἐκ τοιῶνδε. Par. εἰ καὶ ἐκ τῶν νοημ. 48 καὶ Par. om.

κησιν τοῦ παντὸς καὶ εἱμαρμένην κατὰ τοὺς ἄφρονας, ἀλλὰ πραγμάτων ἀπόβασιν ἀνθρωπίνων παρ' ἔννοιαν, τουτέστιν ἐν οἷς οὐ προηγήσατο ἔννοια ἀνθρωπίνη, ὡς ἐπὶ τοῦ φρέαρ ὀρύσσοντος καὶ θησαυρῷ περιτυχόντος, οὔτε γὰρ ὁ κρύψας διὰ τοῦτο ἔκρυψεν, οὔτε ὁ ὀρύξας διὰ τοῦτο ὤρυξεν· καὶ ἐπὶ τοῦ αὐτομάτου δὲ ὁ αὐτὸς ὅρος, προσλαβὼν τὴν πρᾶξιν· οἷον αὐτόματόν ἐστιν πραγμάτων ἀψύχων ἀπόβασις, ἐν οἷς οὐ προηγήσατο πρᾶξις καὶ ἔννοια ἀνθρωπίνη, ὡς σεισμοῦ γενομένου ἀναβλῦσαι πηγήν· διαφέρει δὲ τῷ τὴν μὲν τύχην ἐπ' ἀνθρώπων λέγεσθαι, τὸ δὲ αὐτόματον ἐπ' ἀψύχων. ἀλλὰ τούτων μὲν ἅλις· ἀρκτέον δὲ τῆς ἑρμηνείας· καὶ ὁριστέον, τί ἐστιν ἰδέα.

Ἰδέα τοίνυν ἐστὶ ποιότης λόγου ἁρμόδιος τοῖς ὑποκειμένοις προσώποις καὶ πράγμασι κατά τε ἔννοιαν καὶ λέξιν καὶ τῆς ὅλης ἁρμονίας τὴν διαπλοκήν. Ὁ μὲν δὴ ὅρος οὗτος, ἡ δὲ σαφήνεια αὐτοῦ αὕτη· ἐπειδὴ γὰρ οἱ ὁρισμοὶ ἐκ γένους συνίστανται καὶ συστατικῶν διαφορῶν, καὶ ἰδίως τὴν ποιότητα γένος ῥητέον· πολλὰ γὰρ εἴδη περιέχει καὶ πάντων συνωνύμως κατηγορεῖται καὶ παρωνύμως ἐκφέρεται· ἔστι γὰρ ποιότης πραγμάτων καὶ ὁρατῶν καὶ νοητῶν· ὁρατῶν μὲν, ὡς λευκὸν, μέλαν, νοητῶν δὲ, ὡς ἀγαθὸν, κακόν· παρωνύμως δὲ εἴρηται, καθ' ἣν παρωνύμως τις λέγεται, ὡς ἀπὸ τῆς λευκότητος λευκὸς, ἢ ἀπὸ τῆς γραμματικῆς γραμματικός. Προστεθεῖσα δὲ διαφορὰ ἡ τοῦ λόγου διεχώρισε τοῦ ὁρισμοῦ τὴν τῶν πραγμάτων ποιότητα· διαφέρει γὰρ ποιότης λόγου καὶ πράγματος. τὸ δὲ ἁρμοδίως τοῖς ὑποκειμένοις προσώποις καὶ τὰ ἑξῆς, ἑτέρα ἐστὶ διαφορὰ, διαστέλλουσα τῆς ῥητορικῆς τὰς ἄλλας πάσας ἐπιστήμας, αἳ περὶ αὐτὰ τὰ πράγματα καταγίνονται· ἀλλ' οὐ τὴν ποιότητα διερευνῶσιν αὐτῶν· ἡ δὲ ῥητορικὴ τὴν ποιότητα ἐξετάζει, εἰ ἀγαθόν ἐστι τὸ πρόσωπον ἢ τὸ πρᾶγμα, ἢ εἰ κακὸν, ἢ

δίκαιον ἢ ἄδικον, συμφέρον ἢ ἀσύμφορον, μέγα ἢ μικρὸν, ἄξιον ἢ ἀνάξιον καὶ τὰ παραπλήσια, καὶ πρὸς αὐτὰ τὸν λόγον χρωματίζει. Τῶν μὲν οὖν προσώπων τὴν ποιότητα ἐν ταῖς στάσεσιν ἐδίδαξε, τῶν δὲ πραγμάτων ἐν ταῖς εὑρέσεσιν· ἐν μὲν γὰρ ταῖς στάσεσι τὴν δύναμιν αὐτῶν διακρίνας, ἐν δὲ ταῖς εὑρέσεσι τὴν τῶν πραγμάτων φύσιν· ἐνταῦθα δὲ ποίοις τῶν προσώπων καὶ τῶν πραγμάτων τίνας λόγους προσάψομεν; ὅτι τοῖς λαμπροῖς λαμπροὺς, καὶ τοῖς ἑτέρως ἔχουσιν ἑτέρως· οὕτω γὰρ ὁ ῥήτωρ πείθει· εἰ μὲν γὰρ Αἰθίοπα μεταχειρίζεται, ἀκαλλὴς αὐτῷ ἡ λέξις ἐν ταῖς ἑρμηνείαις, εἰ δὲ Νιρέα καὶ λειμῶνας, ὡς ἑτέρως· εἰ μὲν γὰρ ἁρμοδίως τοῖς ὑποκειμένοις πράγμασι καὶ προσώποις τοὺς λόγους ποιήσεται, θαυμασθήσεται, εἰ δὲ μὴ, πρὸς τῷ γελασθῆναι καὶ ἐξουδενωθήσεται. καθάπερ Δημοσθένης ἐν τῷ συμποσίῳ Φιλίππου πέπονθεν εἰς τὸν παραπρεσβείας, πλάττων [49] Αἰσχίνην ἀσχημονήσαντα πρὸς τὴν Ὀλυνθίαν γυναῖκα, ἀναξίως καὶ ἀναρμόστως τῆς τοῦ ῥήτορος ποιότητος, ὅπου καὶ τὸν Σάτυρον τὸν ὑποκριτὴν σωφρονέστερον ὑποτίθησι· διὰ τοῦτο καὶ τὴν ποιότητα τοῦ λόγου ἁρμοδίαν δεῖ εἶναι τοῖς ὑποκειμένοις προσώποις καὶ πράγμασι. Τὰ δὲ κατ' ἔννοιαν καὶ λέξιν καὶ τὰ ἑπόμενα καὶ ἴδια τοῦ ὁρισμοῦ· διὸ καὶ ἀντιστρέφει· ἁρμόδια γὰρ καὶ τὴν ἔννοιαν καὶ τὴν λέξιν καὶ τὰ σχήματα καὶ πάντα ὁμοῦ τὰ τοῦ λόγου τῷ ὑποκειμένῳ ποιεῖται προσώπῳ καὶ πράγματι· ἐν τούτοις γὰρ ἔχει τοῦ πείθειν τὴν ἰσχὺν καὶ τὸ κράτος. [50]

49 Codd. πλάτων. — de fals. leg. p. 402. 50 sequuntur: ἄλλως προλεγόμενα περὶ ἰδεῶν ἑτέρου [Par. ἑτέρα] ἐξηγητοῦ. eadem, quae sunt in Ald. Vide T. V. p. 437 — p. 438. v. 19.

Cap. I.

α'. Εἴπερ ἄλλο τι τῷ ῥήτορι. Πολλὰς ἐπιβολὰς ὁ συναπτικὸς οὗτος σύνδεσμος ἔχει· ἀλλ' ἐνταῦθα ἢ ἀντὶ τοῦ *ὡς* εἴληπται, οἱονεὶ λέγοντος τοῦ τεχνικοῦ, ὅτι ὥσπερ εἰσὶν ἀναγκαῖα τὰ τῆς ῥητορικῆς πάντα, οὕτω δὴ καὶ αἱ ἰδέαι, ἢ ἀντὶ τοῦ *ἐπειδή*· ἐπειδὴ γάρ, φησίν, ἀναγκαῖα τῷ ῥήτορι τὰ προβλήματα, τὰ κεφάλαια, τὰ προοίμια πάντα, ἀναγκαῖον καὶ τόδε, ἢ κατὰ παράθεσιν εἴρηται, ἀναγκαῖα ταῦτα τῷ ῥήτορι, ὡς οὐδὲν τῶν ἄλλων, διὰ τούτων γὰρ κἀκεῖνα τὸ τέρπον ἔχουσι, καὶ ὁ ῥήτωρ τὸ πιθανὸς εἶναι, ἢ ὡς ὁμολογούμενον καὶ αὐτόπιστον· ἐάν, φησίν, ἅπαντα τὰ τῆς ῥητορικῆς ἀναγκαῖα τῷ ῥήτορι, εὔδηλον, ὅτι καὶ τοῦτο· ἢ καθ' ὑπόθεσιν, εἰ ἀναγκαῖα τῷ ῥήτορι πρόσωπα καὶ πράγματα καὶ ἡ τούτων ποιότης, πολλῷ μᾶλλον ἡ τῶν λόγων ποιότης, διὰ γὰρ ταύτης κἀκεῖνα τὸ κράτος ἔχουσι. Το δὲ *γινώσκειν* ἀπὸ κοινοῦ, ὃ ζεῦγμα καλοῦσιν ἢ ἐπίζευξιν· τὸ δὲ *οἶμαι* πρόσκειται ἢ ἀφελῶς καὶ ἐπιεικῶς, μετριάζοντος τοῦ τεχνικοῦ ἢ διὰ τοὺς ἀντιλέγοντας ἀχρήστους εἶναι τὰς ἰδέας καὶ ἀκαταλήπτους· ἔχει δὲ καὶ ἔννοιαν ἀξιοπιστίας αὐτοῦ καὶ σύστασιν,[1] καὶ λεληθυῖαν διαβολὴν τῶν διαβαλλόντων· τοιγαροῦν δήλης οὔσης τῆς ἐπιγραφῆς καὶ τῆς τάξεως, πρὸς αὐτοὺς δοξαστικῶς καὶ τὸν σκοπὸν ἀποτείνεται, ἐπάγει δὲ καὶ τὸ[2] χρήσιμον· τὰ μὲν γὰρ ὑπὸ τῶν ὀνομάτων σημαινόμενα ἢ δοξαστικῶς ἢ κατὰ τύπον γινώσκεται, τουτέστιν ἁπλῇ καὶ ἐπιπολαίῳ σημασίᾳ, ὡς ἐπὶ τῶν ὀνομάτων ἔδειξε τῶν ἐν ταῖς κατηγορίαις· Ὡς γὰρ τὴν κατὰ τύπον γνῶσιν προτάξας Ἀριστοτέλης ὀνομαστὶ καὶ κατὰ ἀπαρίθμησιν τὴν κατ'

---

1 Par. συστάσεως. 2 τὸ Med. om., est in Par.

κατ' ἐπιστήμην ἐπήγαγεν, ἢ ἐπιστημονικὴν διὰ τῶν μεθόδων, ὧν μετὰ ταῦτα ποιήσει. Ἡ μὲν οὖν πρότασις τοῦ προοιμίου, ἀπὸ τοῦ πράγματος οὖσα, λεληθυῖαν ἔχει τὴν διαβολὴν, ὡς προείπομεν, τῶν μὴ δεχομένων τὰς ἰδέας, καὶ ἔστιν ὡς ἀληθῶς μεθόδου δεινότητος τὸ εἰς δέον καὶ κατὰ καιρὸν τῷ τε λόγῳ χρῆσθαι καὶ τοῖς μέρεσιν αὐτοῦ· εἰ γὰρ ἀντέτεινεν, ἀμφιβαλλομένην τὴν τέχνην ἔδειξεν· ὡς δὲ κἀν ταῖς στάσεσι τῆς ῥητορικῆς αὐξήσεως καὶ συστάσεως ἕνεκα ἦν πεποιηκὼς τὴν ἀρχήν· ὃ μὴ νοήσαντές τινες ὁρισμὸν εἶναι τὸ π ο λ λ ῶ ν κ α ὶ μ ε γ ά λ ω ν ὑπέλαβον, οὓς σὺν θεῷ διὰ πεντήκοντα λόγων ἀνετρέψαμεν. Ἡ δὲ ἔννοια [3] σεμνῆς ἰδέας πράγματος τοῦ πράγματος εἴδους τρίτου· ἥ τε λέξις καὶ τὸ σχῆμα περιβολῆς, πλάγιον γὰρ καὶ καθολικὸν καὶ ἀόριστον· τὸ δὲ κατὰ πεποίθησιν λαμπρότητος, καὶ οὐδὲν τῷ ἤθει λυμαίνεται ἀξιοπίστῳ ὄντι· τὸ δὲ κῶλον σχοινοτενὲς καὶ πνευματικόν· ἡ συνθήκη μεγαλοπρεπὴς καὶ σεμνὴ, πλείονας ἔχουσα τοὺς τοῦ μεγέθους ῥυθμοὺς, ἡ βάσις κατὰ μὲν τὴν λέξιν σεμνὴ, διὰ τὴν μακρολεξίαν, ἡ δὲ ἔννοια ἐκκρεμής. Ἔννοια δέ ἐστι ψυχῆς λογικῆς δύναμις γνωστικὴ, δηλωτικὴ πραγμάτων διὰ φωνῆς ἐνάρθρου· λέξις δὲ φωνῆς ἐνάρθρου μέρος ἢ μόριον, δι' ἧς τὰ νοήματα τοῖς πράγμασιν ἐφαρμόζει· μέθοδος δέ ἐστι τρόπος ἐπιστημονικὸς τοῦ πῶς δεῖ τὰ νοήματα ἐξάγειν, καὶ διὰ ποίων πτώσεων καὶ ἐγκλίσεων, καὶ διὰ θέσεων καὶ σχημάτων, καὶ γενῶν καὶ προσώπων· καὶ τῷ παραπλησίως πόῤῥωθεν ἄρχεσθαι ἢ ἐγγύθεν· ἐπιεικῶς ἢ παῤῥησιαστικῶς, ἢ κατὰ ποῖον πάθος καὶ ἦθος, καὶ καθ' ὅσους τρόπους ἡ φύσις τὴν φωνὴν προΐεται. Σχῆμα δέ ἐστιν ἐξάλλαξις λόγου ἐπὶ τὸ κρεῖττον κατὰ λέξιν καὶ διάνοιαν ἄνευ τρόπου· λόγου εἶπε,

3 Par. ἣ δὲ ἔννοιαν σεμνῆς τοῦ πράγματος εἴδους τρίτου, ἥτε λέξιν. Corrupta videtur etiam Medicei lectio, quam in contextu dedimus.

διότι καὶ πραγμάτων εἰσὶ μετασχηματισμοὶ καὶ ἐξαλλάξεις, ἐπὶ τὸ κρεῖττον δὲ διὰ τὸν σολοικισμὸν καὶ βαρβαρισμὸν καὶ ἐπὶ τὸ χεῖρον ἐξαλλάττοντας· ἄνευ δὲ τρόπου, ὅτι ἐκείνων ἡ ἐξάλλαξις διὰ μιᾶς γίνεται λέξεως κατὰ ἀλληγορίαν, κατὰ μεταφορὰν, κατὰ κατάχρησιν καὶ τοὺς ἄλλους· τὸ δὲ σχῆμα διὰ πολλῶν λέξεων γίνεται. Κῶλον δέ ἐστι στίχος ἢ κόμμα μερικὰς διανοίας ἀπαρτίζον, περὶ ὧν ἀκριβέστερον ἐν τῷ τετάρτῳ τόμῳ τῶν εὑρέσεων εἴρηται, οἷον, „πάλιν Ἰησοῦς καὶ πάλιν μυστήριον.“ κόμμα δὲ· „Χριστὸς γεννᾶται,“ τούτοις γὰρ ὁ ῥητορικὸς στίχος καταμετρεῖται. Συνθήκη δέ ἐστι ποιὰ λέξεων ἁρμογὴ καὶ ἕνωσις κατὰ τοὺς οἰκείους τῶν ἰδεῶν πόδας, ἰάμβους ἢ τροχαίους, δακτύλους ἢ σπονδείους καὶ τοὺς ἄλλους ἅπαντας, τοῦτο γάρ ἐστι τὸ ποιά. Ῥυθμὸς δὲ ποιὰ ἀπήχησις τοῦ λόγου, ἢ σεμνὸς ἢ τραχὺς ἢ λεῖος καὶ εὔηχος, ἢ γλυκὺς, καὶ ὡς ἂν οἱ πόδες συντεθείησαν. Λέγεται δὲ οὗτος [5] πολλαχῶς ἐπὶ πραγμάτων, εἰ ἴσος ὁ τοῖχος ἢ ἄνισος, καὶ λεῖος ἢ τραχὺς, καὶ ἐπὶ λόγων καὶ λέξεων καὶ ποδῶν· ῥυθμοὶ γὰρ καὶ οὗτοι λέγονται ἀπὸ τῶν ἡμετέρων ποδῶν, ἀφ' ὧν καὶ ἡ ὄρχησις· κριτήριον δὲ αὐτῶν ἡ ἀκοὴ, φημὶ δὴ τῶν κατὰ ψόφον καὶ μέλος καὶ λόγον· τῶν δὲ κατὰ τὰ πράγματα ὁ ὀφθαλμὸς καὶ ἡ χείρ. Βάσις δέ ἐστιν ἡ τοῦ κώλου συμπλήρωσις ἢ τοῦ κόμματος, καθ' ἣν βαίνει καὶ ἵσταται τῆς μερικῆς φωνῆς ὁ ῥυθμός· ταῦτα μὲν εἴρηται ἡμῖν, ὥσπερ ἐμπεσόντα τῷ λόγῳ, καὶ κατὰ τὸν ἐπιμερισμὸν τῆς προτάσεως, ἵνα μὴ ἐπὶ πολὺ ἀγνοῶμεν τὰ λεγόμενα, καὶ ἡ συνέχεια τῆς ἑρμηνείας ὡς μὴ διακόπτηται.

β. Ὅπῃ τε ἔχουσι καὶ ὅπως γίνονται. Περιφραστικῶς ἐξήγγελται ἀντὶ τοῦ, τίνες τέ εἰσι τὴν φύσιν μία ἑκάστη αὐτῶν, ὅτι ἡ μὲν σαφήνεια τοιάδε τίς ἐστι, καὶ ἡ σεμνότης καὶ αἱ λοιπαί· γίνονται δὲ ἰδικῶς ἡ μὲν σαφήνειά διὰ καθαρότητος καὶ εὐκρινείας, τὸ δὲ μέγεθος

4 καὶ Par. om. 5 Med. et Par. οὕτως. in Par. correct. οὗτος.

διὰ σεμνότητος, τραχύτητος, σφοδρότητος, καὶ ἑκάστη τῶν αὐτῆς ἰδίων· κατὰ μόρια δὲ ἐννοίας, μεθόδου, λέξεως καὶ τῶν ἄλλων στοιχείων· ὧν τινα μὲν ἴδια ἑκάστη, τινὰ δὲ καὶ πάσαις κοινὰ ἢ τισιν, ὡς μαθησόμεθα προϊόντες.

γ'. Καὶ γὰρ τὸ τὰ τῶν ἄλλων εἰδέναι κρίνειν, καὶ τὰ ἑξῆς. Διττὸν τὸ χρήσιμον καὶ τρανότερον· ἀναγκαία γάρ, φησίν, ἡ τούτων γνῶσις, εἴς τε τὸ τὰ τῶν ἄλλων εἰδέναι κρίνειν, εἰ καλῶς ἐξήσκηται καὶ ἀσφαλῶς. τὸ γὰρ ἀκριβῶς ἀντὶ τοῦ ἀσφαλῶς διὰ τοὺς φύσει θαῤῥοῦντας καὶ γράφοντας· ἐνδέχεται γάρ τινα καλὸν κατὰ τὴν αἴσθησιν λόγον δοκεῖν, μὴ μέντοι γε κατὰ τὴν τέχνην ἠκριβῶσθαι καὶ λανθάνειν, εἴτε τῶν ἀρχαίων τινός ἐστιν εἴτε τῶν νέων· οἱ γὰρ ἀρχαῖοι φιλοσοφοῦντες οὐ δόξῃ[6] ψιλῇ ἀλλ' ὀρθῇ κρίσει καὶ ἀληθεῖ τὰς ἐπιστήμας διεξερχόμενοι πολλὴν φροντίδα καὶ περὶ τὰς ἰδέας εἶχον· οἱ δὲ νεώτεροι, καὶ μάλιστα οἱ πλεῖστοι τῆς Ἀσίας, περιττήν τε καὶ ἀλυσιτελῆ καθάπερ καὶ πάντες σχεδὸν οἱ νῦν τὴν περὶ ταύτας περιεργίαν νομίζουσιν οὐ μόνον, ἀλλὰ καὶ τὴν Ἀττικὴν εὐστομίαν καὶ σύνταξιν ἕωλον κρίνοντες, αὐτοί τε τηνάλλως[7] φέροντες καὶ τοὺς εἰδότας νομίζουσιν, ὥσπερ δὴ καὶ τὸ ἀρχαῖον[8] τοῦτο· οἱ γὰρ Ἀττικοὶ ἐπὶ τῶν ἀψύχων τάττουσι, τὸ δὲ παλαιὸν ἐπὶ τῶν ἐμψύχων· ὅθεν οἶμαι μὴ εἶναι τοῦ τεχνικοῦ τὴν θέσιν αὐτοῦ, ἀλλά τινος τῶν τὰ βιβλία ἀνατρεπόντων. τὸ μὲν γὰρ λεῖον καὶ ὁμαλόν, ὃ καὶ ἐμπίπτον ταῖς ἀκοαῖς τὴν τῶν γερόντων ἀσθένειαν καὶ φύσιν ὑποσημαίνει, τὸ δὲ ἀρχαῖον σκληρὸν καὶ τραχὺ ταῖς αἰσθήσεσι, καὶ παρεμποδίζον τὴν γλῶτταν καταφορικὴν αἰνίττεται[9] κίνησιν καὶ ἄλογον· καὶ τοιοῦτοι ὄντες εὐδοκιμοῦσι παρὰ λημῶσι[10] τὸν νοῦν κριταῖς, καὶ πρώτοις τῆς

6 Par. δόξᾳ. 7 Codd. τηνάλως. 8 Med. ἀρχαίων. Par. ἀρχαῖον. 9 Codd. καταφορικὴν αἰνίττεται καὶ ἄλογον αἰνίττεται κίνησιν καὶ ἄλογον. 10 Codd. παραλημῶσι. in Par. ad marg. correctum: παρὰ λημῶσι.

πολιτείας, καὶ οἵοις οὐδεμία φορὰ χρόνων συνεσκιάσμασι, πάνθηρες, ὥς φασι, παρὰ λύκοις.

δ'. Εἴτε καὶ αὐτός τις γενέσθαι βούλοιτο λόγων ἐργάτης. Δεύτερον χρήσιμον οὐ μόνον φησὶν εἰς τὸ τὰ τῶν ἄλλων εἰδέναι κρίνειν ἀναγκαῖον τὸ μάθημα, ἀλλὰ καὶ εἰς τὸ ἡμᾶς αὐτοὺς γενναίους λόγους ποιεῖν· μεταφορικῶς δὲ τὸ γενναίους λόγους ποιεῖν εἴρηται ἀπὸ τῶν γενναίων ἀνδρῶν, καὶ ἀνδρικοὺς μεγαλόφρονάς τε καὶ λαμπροὺς δημιουργεῖν. Θαυμάσιος ἡ πρότασις καὶ διὰ τὸ ἄγαν συγγενὲς λανθάνουσα καὶ ὑπέρσεμνος πρὸς τῷ ἔχειν ἡδονὴν καὶ γλυκύτητα. Ὅπερ γὰρ, φησὶν, ὁ γενναῖος ἀνὴρ ἐν τοῖς συναγωνισταῖς καὶ ἀνδρείοις εἶναι δείκνυται, τοῦτο καὶ ὁ τοιοῦτος λόγος ἐν τοῖς ὁμογενέσι. Καθ' ὑπόθεσιν τὸ σχῆμα, εἴτε, φησὶ, τοῦτο εἴτε ἐκεῖνο μέλλεις ἐνδείξασθαι καὶ σεμνύνεσθαι, συμφέρει σοι τὸ σπουδάσαι, ὅτι ταῖς μαθήσεσι διττὴ ἡ ἐνέργεια, ἥ τε [11] εἰς τὸ τοὺς εἰδότας ποιεῖν καὶ τοὺς μὴ εἰδότας διδάσκειν. [12]

ε. Εἰ μέλλει μὴ σφόδρα πόῤῥω τἀκριβοῦς. Τὸ μὲν μὴ ἐξ ἴσου τοῖς παλαιοῖς εἰς ἄκρον φιλοπονίας ἐλθοῦσι καὶ φύσεως, ἅτε περὶ ἓν καὶ τοῦτο μόνον καταγινομένους, ὡς εἴρηται, πρόδηλον τοὺς νῦν τἀναντία τούτοις ἔχοντας πρὸς τῷ ἐπιφθόνῳ καὶ ἀκερδεῖ· τὸ δὲ μὴ πάνυ τοῦ ἀκριβοῦς ἐκπεσεῖν τὸ δεύτερον τῶν μακαριστῶν· τὸ δὲ παντάπασιν ἀπεσπᾶσθαι τῆς μιμήσεως, καταγέλαστον.

ς'. Ἡ γάρ τοι μίμησις καὶ ὁ ζῆλος. Μίμησις μέν ἐστι ψυχῆς δύναμις κατ' ἐνέργειαν, τὸ τοῦ κρείττονος παραδείγματος [13] ἀποματτομένη ἀγαθόν. Εἰδέναι μέντοι χρὴ, ὡς καὶ ἐπὶ τῶν φαύλων ἐστὶ ζῆλος καὶ μίμησις, καὶ πολλὰ τὰ μαρτύρια τοῖς ζητοῦσι. Ζῆλος δὲ ψυχῆς λογικῆς θερμότης ἐπ' ἀγαθῷ ἢ κακῷ διὰ παραδείγματος ἐξαπτομένη· ἀλλ' ἡ μὲν μετὰ λόγου καὶ κρίσεως ὀρθῆς ἐπ'

---

11 Par. ἡ εἴτε εἰς τό. 12 Par. διδάσκει. 13 Par. παραδείγματα.

ἀγαθῷ γίνεται ἡ θερμότης, ἐπὶ τὸ ἐναντίον δὲ θάτερον· καὶ σημαίνεται ὁ μὲν, ἤτοι ὁ ἐπὶ καλῷ, „ζήλῳ τῷ πρὸς ἀλλήλους λυπῶντες.“ καὶ „μὴ ζήλου τοὺς ποιοῦντας τὴν ἀνομίαν“ ὁ δὲ, ὁ ἐπ' ἀγαθῷ· „ζηλώσωμεν τοὺς ἁγίους μάρτυρας,“ καὶ, „ὁ ζῆλος [14] τοῦ οἴκου σου καταφάγεταί με,“ τοῦτο δὲ τὴν ἀγάπην σημαίνει· σημαίνει δὲ καὶ ὀργὴν εὔλογον μετὰ λύπης· ζηλῶν ἐζήλωκα τῷ οἴκῳ κυρίου παντοκράτορος, διὰ τὸν οἶκον τῶν βεβηλωθέντων εἰς ὀργὴν ἐξήφθην κατὰ τῶν ἀσεβῶν.“ Ζητητέον δὲ, εἰ μεσότης ἐστὶν ἢ ἄκρον, καὶ τίνων· σημαίνει δὲ καὶ τὸν φθόνον ἢ τὴν ἔριν καὶ τὴν μίμησιν· ὡς τὸ „ζηλοῖ δὲ τὸν γείτονα γείτων· [15] προσλαβὼν δὲ τὴν παρὰ, ἐπίτασιν σημαίνει ὀργῆς καὶ ἐξουθενισμὸν [16] καὶ μυκτηρισμόν· τὴν [17] μὲν, „παρεζήλωσαν καὶ παρωξύνθην δι' ὀργὴν υἱῶν αὐτοῦ καὶ θυγατέρων“ τοὺς δὲ, „αὐτοὶ παρεζήλωσάν με ἐπ' οὐ θεῷ“ διαφέρει δέ τι τῆς μιμήσεως, ὅτι ἡ μὲν ἠρεμαίαν καὶ κατ' ἐπίδοσιν ἔχει τὴν κίνησιν, ὁ δὲ ὀξεῖαν καὶ ἱσταμένην· καὶ ὁ μὲν ἀντὶ τῆς μιμήσεως λέγεται, ὡς εἶδος ἀντὶ γένους, ἡ δὲ ἀντ' ἐκείνου οὐ λέγεται, ἡ πρὸς τοὺς παλαιοὺς, φησὶ, μίμησις καὶ ὁ ζῆλος μετὰ ἐμπειρίας ψιλῆς καὶ ἀμελοῦς καὶ ῥαθύμου καὶ ἀνεξετάστου αἰτίας καὶ κανόνων τριβῆς, τοῦτο γὰρ τὸ ἄλογον καὶ ἡ τριβὴ, ποιοῦντα μὲν σπουδαῖον ἀπό τινος κινούμενον παραδείγματος, ἀγνοοῦντα δὲ τὴν αἰτίαν, δι' ἣν τοῦτο γέγονε τὸ γεγονὸς, ἢ ὑπ' αὐτοῦ τοῦ ποιοῦντος, ἢ ὑφ' οὗ τὴν μίμησιν ἔχει, κἂν τις ἰσχύῃ τῇ φύσει, σφάλλεται μᾶλλον ὑπ' αὐτῆς, εἰς ἃ μὴ θέμις ἀποφερόμενός τε καὶ ἐλαυνόμενος, ὡς ἵππος δυσήνιος τὸν χαλινὸν ἐνδακών, ὡς ὁ Μελιτηνῆς Θεοδόσιος, καὶ ὁ Νικαίας Θεόδωρος καὶ τῶν καθ' ἡμᾶς οὐκ ὀλίγοι· ὀκνῶ γὰρ εἰπεῖν, καὶ οἱ εὐφυέστατοι μὲν, ἄλλως δὲ ὀξεῖς τε καὶ ἀπερίσκε-

---

14 Ioh. II, 17. 15 Hes. Op. 23. 16 Med. ἐξουθενησμόν. Par. ἐξουθενησμένον. ad marg. ἐξουθενισμόν. 17 Codd. τόν. Par. ad marg. τήν, sc. ὀργήν.

πτοι, καὶ εἰς αὐτὸ ἐκεῖνο, εἰς ὃ τὴν ἐπωνυμίαν ἐπιφέρονται, καὶ ταῦτα μαθηματικοὶ καλούμενοι καὶ τῶν μειζόνων εἰς τεχνολογίαν κατατολμῶντες, νυκτερὶς φασὶν ἀετοῦ, καὶ διασπῶντες [18] καθάπερ αἱ βάκχαι τὰς τοῦ Πενθέως σάρκας, ἢ κατ' ἄρθρον [19] τῆς τέχνης ἐπιμερίζοντες, γέλωτα μὲν, μᾶλλον δὲ θρῆνον καταλιμπάνοντες τοῖς πεπαιδευμένοις, θαῦμα δὲ τοῖς ἀναγώγοις καὶ διεῤῥιμμένοις [20] καὶ τὴν φύσιν καὶ τὴν παιδείαν· οἳ καὶ τὰ βιβλία διεξερχόμενοι, κάνθαροι κόπρῳ, τοὺς μαργαρίτας συμφυρθέντας [21] σφαιρίζουσι, μὴ μαθεῖν ἐθέλοντες, ὡς κρεῖσσον λελογισμένη βραδυτὴς τέχνης ἀπεριςκέπτου· οὐκοῦν δεῖ τῇ φύσει θαῤῥεῖν· κύνα γὰρ σπουδάζουσαν τυφλὰ τίκτειν [22] καὶ τὴν παροιμίαν λέγειν γινώσκομεν· τὸ μὲν γὰρ λέγειν ἁπλῶς καί τι πράττειν παρὰ τῆς φύσεως ἔχομεν· τὸ δὲ εὖ λέγειν καὶ εὖ πράττειν καὶ πρὸς τὰ συντείνοντα ἡ τέχνη δίδωσι, κόσκινον οὖσα κατὰ τὸν Ἐρατοσθένην [23], ἢ ἰθμὸς ἢ πτύον τῶν τῇ διανοίᾳ ἐπεισρεόντων, καὶ τρύγοιπος ὑπὸ [24] τῆς φύσεως· ὅθεν καὶ οἱ ἀριθμητικοὶ τὰ διακριτικὰ τῶν συγκεχυμένων ἀριθμῶν διαγράμματα κόσκινα καλοῦσιν, ὡς διακρίνοντα καὶ διαχωρίζοντα τῶν πεφυρμένων τὰ ἰδιώματα καὶ τοὺς χαρακτῆρας.

ζ'. Ἐμπειρικοὺς οἱ φιλόσοφοι καλοῦσιν εἰκότως τοὺς μὴ τὰς αἰτίας τῶν ἑαυτῶν ἀποτελεσμάτων εἰδότας, αἰσθήσει δὲ μόνῃ τὴν ἀληθινὴν κρίσιν ἐπιτρέπουσι τῶν ἐπιστημῶν, ἣ κατὰ πολὺ προςπταίει τοῖς πράγμασι καὶ ἐπιβάλλουσα· οἷον τὸν πύργον ὁρῶσα πόῤῥωθεν κυλινδροειδῆ τετράγωνον ὄντα τυχὸν, καὶ τῷ ὕδατι κεκλασμένην τὴν κώπην καὶ πηχυαῖον τὸν ἥλιον, καὶ κύκλον ὑπάρχοντα σφαιρικὸν τὸν

18 Codd. καὶ δι sequente lacuna; supplevi διασπῶντες, quum hoc et sensui et lacunae longitudini respondeat. 19 Par. ἄρθρα. 20 Codd. διεῤιμμένοις. 21 Par. συμφυραθέντας. 22 Aesop. fab. 68. 23 Nicom. Arithm. p. 84. 24 Par. ad marg. dele ὑπό.

οὐρανόν· ὥστε εἰ δυσχερῶς οἱ φύσει ταχεῖς τῆς ἀκριβείας ἀντιλαμβάνονται, ταῖς αἰσθήσεσι τὸ ἀκριβὲς ἐπιτρέψαντες, πολλῷ μᾶλλον οἱ νωθεῖς τε καὶ ῥᾴθυμοι· εἰ γὰρ καὶ τὸ τελέως, ὡς οὗτοι λέγουσιν, αἰσθήσει καταλαμβάνεται, καὶ οὐδὲν διαφέρει τοῦ ἀκριβοῦς κατὰ ταύτην, ὥς τινες οἴονται· ἀλλ' ὁ μὲν τὸ ὅλον ταύτῃ ἀνεὶς, περὶ τὴν ταύτης τέχνην ἀλόγως ἔχει, καὶ τὴν ἐκείνης διοίκησιν ἀγνοεῖ, μᾶλλον δὲ καὶ πολὺ ῥαπίζεται καὶ ἀποῤῥίπτεται· ὥσπερ ἴσμεν τινὰ τοῖς θεολογικοῖς ἐπιστήσαντα, τοῦτο δὴ τὸ τοῦ λόγου ἡλίῳ νυκτάλωπα· ὁ δὲ κατὰ μέρος ἔχων ἐπιστημόνως καὶ ἐμβατεύων μετὰ λόγου ταῖς θεωρίαις, ὃ ἂν βούληται λογισμῷ καὶ τέχνῃ ποιεῖ, καὶ καθάπερ ὁ ἐπ' Ἀλεξάνδρου τοξότης Ἰνδός [25] καὶ μὴν καὶ ὁ Ὀδυσσεὺς, καὶ οὐκ ἂν ἐκπεσεῖται τοῦ σκοποῦ καὶ τοῦ πρέποντος, κἂν εἰς μικρόν τι δεήσοι καὶ στενὸν τὴν ἐπιστήμην ἐνδείξασθαι τὴν ἐκ μελέτης καὶ ἀσκήσεως ἀληθοῦς ἐγγινομένην αὐτῷ· εἰδὼς, ὡς οὐχ ἡ αἴσθησις μόνη γνωστὴ δύναμις, ἀλλὰ καὶ διάνοια καὶ νοῦς· ἡ μὲν γὰρ αἴσθησις τῶν αἰσθητῶν μόνων ἀντιλαμβάνεται, οὐχὶ καὶ τὰ τούτων ἐξεπίσταται πάθη, ἵνα καὶ κατὰ λόγον τὰ καλὰ κρίνῃ· διὸ καὶ οὕτως ὁρίζονται· αἴσθησίς ἐστιν ὄργανον σώματος φυσικοῦ, δύναμιν ἔχον ἀντιληπτικὴν τῶν αἰσθητῶν· οὔκουν περαιτέρω τούτων πρόεισι. Φαντασία δὲ δύναμις ἡ πάθος ψυχῆς κινούμενον ὑπὸ φανταστοῦ, ἢ νοῦς παθητικός· φανταστὰ δέ φασι [26] τὰς ἀπὸ τῶν αἰσθητῶν γενομένας [27] διατυπώσεις τῇ ψυχῇ, αἵτινες ὕλης χωρὶς διατυπωθῆναι οὐ δύνανται, διὸ καὶ παθητικὸς νοῦς καλεῖται· παθητικὸς δὲ ὡς μετὰ πάθους σωματικοῦ καὶ ὑλικοῦ νοῦ διορῶν καὶ γινώσκων τὰ φανταζόμενα, ὅθεν καὶ φαντασία λέγεται, οἱονεὶ τῶν φανέντων ὑπὸ τῶν αἰσθήσεων στάσις. Δόξα δέ ἐστι δύναμις ψυχῆς γνωστικὴ, τῶν ὑπὸ τῆς φαντασίας

25 Cfr. Arsen. Viol. p. 96. 26 Med. φησί. 27 In Codd. γενομ.

διατυπωθέντων δεκτική· διὸ καὶ τρανοτέραν ἔχει τὴν γνῶσιν· λέγεται δὲ οὕτως διὰ τὸ παρὰ τῆς φαντασίας δέχεσθαι· διάνοια δὲ ἡ διανύουσα καὶ ἀνάγουσα τὰ τῆς αἰσθητῆς φαντασίας τῆς δόξης εἰς τὸν νοῦν, ὅση [28] ἐστὶ γνωστικὴ καὶ ἀπαθής· οὐ γὰρ μεθ' ὕλης νοεῖται τὰ πράγματα, ἀλλὰ διακριτικωτάτη ἀληθείας καὶ ψεύδους ἐστὶ δύναμις, ὥστε δῆλον κἀκ τούτων, ὅτι ἡ μὲν αἴσθησις ἀδυνατοῦσα ὑπὲρ τὰ αἰσθητὰ διαβῆναι τῇ φαντασίᾳ δίδωσι τὴν τούτων ἐξέτασιν· ἡ δὲ πάθη τούτοις περιάπτουσα ἀδιάβλητον ὕλην καὶ ποσὸν καὶ ποιότητα σωματικήν, ὡς εἰς τελεωτέραν τὴν δόξαν διαβιβάζει· ἡ δὲ πρὸς τὴν διάνοιαν, ἡ δὲ πρὸς τὸν νοῦν, ὃς δεξάμενος καὶ διαρθρώσας ἐν ἑαυτῷ τὰ πάντα τὴν ἐπιστήμην τῶν ὄντων διοργανοῖ· καὶ ἀναλογοῦσιν ἡ μὲν αἴσθησις πύλῃ, δεχομένῃ τοὺς ἔξωθεν εἰσιόντας, ἡ δὲ φαντασία τῇ μετὰ τὴν εἴσοδον στάσει μέχρις ἂν ἀπαγγείλῃ ὡς πυλωρῷ τῇ δόξῃ τῶν ὧν ἔχει χρείαν· ἡ δὲ διάνοια τῷ θαλαμοφύλακι, ἣ καὶ μουσικαῖς συνεξήρμοσται μεσότησι, καθάπερ ἀφ' ὑπάτης εἰς νήτην διαχωροῦσα, καὶ ἀπὸ νήτης εἰς παρυπάτην πρὸς τὰ ἄκρα διανυστὰ ποιεῖ τὰ ζητούμενα· ὁ δὲ νοῦς τῷ οἰκοδεσπότῃ, ὃς κατὰ τὸ προσῆκον ἕκαστα διατάττει καὶ διοικεῖ. Ὅταν τοίνυν καὶ αἱ τῶν αἰσθήσεων κρείττους δυνάμεις ἀγνοῶσι, πῶς ἡ χείρων εἴσεταί τι καλῶς, αἰσθητῶν ὡς ἀληθῶς μᾶλλον δὲ σαρκικῶν καὶ φυτικῶν οἱ λόγοι τῶν τὴν αἴσθησιν οἰομένων κριτήριον ἀπλανὲς εἰς ἐπιστήμην ἤ τινος ἐπιστήμης, οἳ τοῖς ἑαυτῶν κακοῖς βοηθοῦσιν, ὁποῖα καὶ ὁ Ἐπίκουρος, καὶ βούλονται κατὰ τὴν θεολόγον φωνὴν εἶναι πάντας κατ' αὐτούς, ἵνα τὸ ἀναίσθητον αὐτῶν ἐν τῷ κοινῷ κρύπτηται, καὶ τοὺς τῆς ἀμαθίας ἐλέγχους διαδιδράσκωσιν. [29] Ἀλλ' ἐπειδὴ πείρας καὶ ἐμπειρίας ἐμνήσθημεν ἀνωτέρω, φέρε τρανοτέραν τὴν διαφορὰν

28 Par. ὅς. 29 Par. διαδιδράσκουσιν. ad marg. διαδιδρύσκωσιν.

λέξωμεν, καίτοι ἱκανῶς ἐν ταῖς διαιρέσεσι τῶν κεφαλαίων τετεχνολόγηται. Πεῖρα τοίνυν ἐστὶν ἑνὸς ἢ καὶ πλειόνων [30] τοῦ ἑνὸς ἐπιστασία καὶ γνῶσις πραγμάτων χωρὶς τοῦ τὴν αἰτίαν καὶ τὸν κανόνα ἀναδοῦναι [31] τοῦ γινωσκομένου· ὥσπερ εἰ ἰατρός τις πυρέξαντι πιεῖν ὕδωρ δοὺς ἐξάντη [32] πεποίηκε, τοῦθ' ἕτερος ἰδὼν καὶ μὴ διακρίνας τὴν ἕξιν τοῦ πάσχοντος δοὺς ἑτέρῳ ἀπέκτεινε· δῆλον γάρ, ὡς οὐκ ᾔδει τῶν παθῶν τὴν αἰτίαν· ὅτι τὸ μὲν ἦν ἐκ φλέγματος καὶ χολῆς μελαίνας καὶ διὰ τοῦτο ἀπέκτεινε· τὸ δὲ ἐξ ἄκρας ξηρότητος καὶ θερμότητος, καὶ διὰ τοῦτο ἔσωσεν· οὕτως ἄν τις ἀκούσας, ὡς τὰ [33] ἴδια ὀνόματα πάντα μεγάλα γράφεται, ὑπέλαβε καὶ τὰ προεκτεινόμενα, καὶ ὁμοίως διὰ πάντων χωρεῖ μεγαλογραφῶν. Ἔμπειρος δέ ἐστιν ὁ πολλὰς ἐπιστασίας πραγμάτων ἐν ἑαυτῷ συμφορήσας, ὃς ὡς ἐπὶ τὸ πλεῖστον τῆς ἀληθείας ἐπιτυγχάνει, καθάπερ οἱ ἀστρολόγοι· διὸ πολλῷ τῶν καιρίων ἀποτυγχάνουσιν, ὅτι αὐτοὶ ἐν ἑαυτοῖς τὰς ἐπὶ τῶν ἀστέρων θέσεις ὑπέστησαν, πόθεν γὰρ δῆλον, ὡς ὁ Ἄρης θερμὸς ὢν καὶ ξηρὸς τοὺς κατ' αὐτὸν γεννωμένους μιαιφόνους ἀποτελεῖ· καὶ ὁ Κρόνος ἠλιθίους, καὶ ἕκαστος τῶν ἄλλων κατὰ τὴν ἑαυτοῦ φύσιν, οἱ γὰρ ἀστέρες εἰσὶ πάντες πῦρ, τὸ δὲ πῦρ θερμὸν καὶ ξηρόν· διατί γοῦν ὁ Κρόνος καὶ ἡ σελήνη, ὁ μὲν ψυχρὸς καὶ ξηρός, ἡ δὲ ὑγρὰ καὶ θερμή, ἐκ διαμέτρου ὄντα ἀλλήλοις, ὁ μὲν τὴν ἀνωτάτω χώραν ἔχων, ἡ δὲ τὴν κατωτάτω λαχοῦσα· εἰ [34] γὰρ τῷ τόπῳ τὰς τοιαύτας κράσεις μεταλαμβάνουσιν, ἀλλοιώσεώς εἰσι δεκτικὰ τῆς καθ' ἕξιν· εἰ δὲ τοῦτο, καὶ φθορᾶς, καὶ πῶς τῷ χρόνῳ ἐπὶ τὸ μᾶλλον παθαινόμενα οὐ φθείρεται, ἀλλὰ τὰ αὐτὰ μένουσιν,

30 Codd. πλείω. corr. πλειόνων. 31 Codd. ἀναδοῦναι (ἀπο). 32 Par. ἐξανταπεποίηκε. ad marg. ἐξάντη πεπ. 33 Codd. τὰ διὰ τοῦ ὤτατα [Med. ο — τα] scripsi τὰ ἴδια ὀνόματα. 34 Par. οἱ ad marg. εἰ,

ἔπειτα εἰ τὰ μᾶλλον πλησιάζοντα τῇ γῇ ἐξίστανται τῆς ἑαυτῶν φύσεως, διατί τὸ διακονικὸν πῦρ καὶ ταῦτα ὑλικώτερον ὂν τῆς ἑαυτοῦ φύσεως οὐκ ἐξίσταται, ἀλλ' ἀεὶ ξηρόν ἐστι καὶ θερμὸν καὶ καυστικόν; ἀλλὰ λῆρος ταῦτα πλατὺς, καὶ δαιμόνων πλάσματα καὶ εὑρήματα, οἷς πείθοντες καὶ πεισθέντες πρῶτα μὲν τῆς εὐσεβείας ἐκπίπτουσι τῶν Χριστιανῶν, ἔπειτα συμφοραῖς περιπίπτουσι μυρίαις, ὥσπερ ὁ ἀποστάτης, καὶ κατὰ τὸν θεῖον Ἡσαΐαν οἱ Ἀσσύριοι. ἀλλ' οὐχ οὕτως ὁ ἐπιστήμων, ἀλλα κατ' ἔννοιαν καὶ λέξιν καὶ μέθοδον πάντα τὰ ἐπιῤῥέοντα τῷ νῷ διὰ τὴν πολυμάθειαν ἐξετάζει, καὶ ἕκαστον ἑαυτῷ τε καὶ τοῖς ὧν ἐστιν ἁρμόδιον προσώποις καὶ πράγμασι καταλλήλως συναρμόζει καὶ ἐφαρμόζει, καὶ οὐκ ἄν ποτε κύριος ὢν ἑαυτοῦ ἀνοίκειον φήσειε, κἂν εἰς τὸν ἔσχατον ἀφίκοιτο κίνδυνον, ὥσπερ οὐδ' ὁ Παρθυαῖος ἐκεῖνος τὸν οἰστὸν Ἀλεξάνδρου βιάζοντος, οὐδὲ κατὰ τὸν προῤῥηθέντα Θεοδόσιον, ὃς εἰπὼν τὴν παρθένον τὴν φυλαττομένην Χριστῷ οἷς ἐκεῖνος οἶδε τρόποις ἀπρεπῆ νοῦν ἐξεφώνησε σεμναῖς λέξεσιν· εἰ γὰρ ἦν σοφὸς, οὕτω πως ἂν εἶπεν· τὴν παρθένον τὴν φυλαττομένην ἐπ' ἀφθάρτῳ συναφείᾳ θεοῦ ἀπαγαγὼν ᾤχετο, φεῦ συλήσας· ἀλλὰ τοιοῦτός ἐστιν ἀσελγὴς πανταχοῦ· καί τις ἕτερος εἰς τὸν θεολόγον γράφων ἐγκώμιον τῇ φύσει πτηνὸν [35] χιόνος ψυχρότερον προοίμιον ὑπεστήσατο, ὡδί πως εἰπών· τὰ γὰρ πλείω ὡς ἴλιγγον ποιοῦντα ἀφίημι· θείας μὲν ὑπόστασις οὐσίας καὶ φύσεως· λόγῳ [36] δὲ Γρηγόριος οὗτος τὸ ὕδωρ ὡς ὁ Θαλῆς πῦρ ἐποίησε, καὶ τὸν οὐρανὸν εἰς γῆν ἔκλινεν, οὐ καταλλήλως μόνον, ἀλλὰ καὶ πάντη ἀνοήτως τῇ παραβολῇ χρησάμενος, οὗ τὰ πονήματά τινες ἐξελίττοντες, χαλκοκορώνη φασὶ τὰ μειράκια, καταβοῶσιν, οὐ γὰρ ἴσασιν, εἰ τὸ αἱρεθὲν φαίνεται μᾶλλον τοῦ παραιρεθέντος· ἢ τὸ ῥηθὲν τοῦ παρεθέντος, ἀλλὰ πάντα χύδην αὐτοῖς,

35 Par. πτηνός. 36 Par. λόγων.

καθάπερ ἐν τῷ λιμῷ Ἀθηναίοις ἡ πανσπερμία ἀλήθεται· ὡς εἰ τοῦτ' ἔδει, οὐκ ἂν ἦν μεθοδικὸν βιβλίον οὐδὲ ἕν, οὐδέ τις διδάσκαλος ἔμπρακτος τὰς ἐπιστήμας διδάσκων· ἀλλὰ μόνους τοὺς περιττοὺς τὴν φύσιν τὸ πρωτεῖον ἔχειν συμβαίνειν, καὶ εἶναι ῥήτορας καὶ φιλοσόφους αὐτοφυεῖς καὶ τὰ ἄλλα πάντα. Ἀλλὰ ταῦτα μὲν περὶ τῶν προτερούντων τῷ προτερήματι καὶ τῇ τέχνῃ μὴ ὑπαγόντων τὸν νοῦν. Δεῖ δὲ πρὸς τὰ ἐξ ἀρχῆς ἐπανελθεῖν, καὶ τὴν πρόκρισιν ἔχειν τὰς χρυσοκανθαρίδας καὶ τοὺς βατράχους ἐᾶν.

ή. Κράτιστον μὲν γὰρ, εἰ καὶ τὰ τῆς φύσεως. Ἀντιπίπτον λύει, ὡσανεί τινος ἀντικρούσαντος· τί οὖν περιττὸν, ἡ φύσις ἄν τινι προσῇ, οὔ φησι διὰ περιφράσεως, ἀλλὰ κράτιστον, εἰ καὶ τὰ τῆς φύσεως χαρίσματα συλλαμβάνεται, καὶ συναρήγει τῇ μελέτῃ καὶ σπουδῇ.

θ'. Πλεῖον [37] γὰρ ἂν οὕτω· ἢ ἀντὶ τοῦ πάνυ, ἢ πλειόνως καὶ μειζόνως [38] τις τοὺς ἐπιστημονικοὺς λόγους τούτους προσκτήσαιτο.

ί. Εἰ δὲ μὴ, ἀλλ' ὅ γε μαθητόν ἐστι καὶ διδακτόν. Εἰ μὲν γὰρ, φησὶ, μετὰ τῆς ἐπιμελείας καὶ σπουδῆς πλεονεκτεῖ, καὶ μετὰ ταῦτα [39] καὶ κατὰ [40] τὴν φύσιν πολλαπλοῦν τὸ καλόν· εἰ δὲ μὴ τοῦτ' εἴη, δῶρον γὰρ θεοῦ τοῦτ' ἐστι, διὰ τῆς ἀρίστης κράσεως ἐγγινόμενον, ἣν ἔχειν ἅπασιν οὐ συμβαίνει, ἢ διὰ τὸ ἀκόλαστον τῆς διαίτης καὶ τῆς συναφείας τῶν γονέων) ἐν οὐ προσήκοντι [41] γινομένης καιρῷ, καὶ καθ' ὃν καὶ τὰ τῆς γενέσεως τῶν ἄλλων διώρισται, ἢ διὰ τὴν ἡμῶν αὐτῶν ἀδδηφαγίαν, [42] καὶ τοὺς ἀκαταλλήλους τῶν ἐσθιομέ-

37 Codd. πλείονι. Par. ad marg. πλεῖον. 38 καὶ μειζόνως Med. om., id. legit: τοὺς ἐπιστήμονας. Par. ἐπιστημονικοὺς sine τούς. 39 Par. ταύτῃ. 40 Par. ad marg. καὶ τὰ κατὰ τὴν φύσιν. 41 Par. προσήκοντα. corr. ad marg. 42 Par.

νων[43] χυμοὺς, ἀφ' ὧν καὶ τὰ μύρια πάθη βλαστάνει,[44] καθὰ καὶ ὁ μέθυσος μεθύσους παῖδας προΐησι, καὶ ὁ παχὺς τὸ ἦθος ὁμοίους καὶ τοὺς λόγους ἀπογεννᾷ, καὶ ὁ χαρίεις χαρίεντας, καὶ ἕκαστος παραπλησίως. Μεταληπτικοὶ γὰρ γίνονται καὶ τῶν πατρικῶν νοσημάτων οἱ ἐκ τούτων, ὡς ἐν ταῖς ἐπιδημίαις Ἱπποκράτης φησὶ καὶ Γαληνὸς ἐν τοῖς περὶ κράσεως καὶ διαίτης.

ιά. Ἀλλ' ὅγε μαθητόν ἐστι καὶ διδακτόν. Μαθητὸν μὲν τὸ ἐκ τῆς ἡμετέρας φιλοπονίας καὶ σπουδῆς μανθανόμενον· διδακτὸν δὲ τὸ ἐκ τῆς τῶν διδασκάλων παραθέσεως καὶ διδασκαλίας· ἡ μὲν γὰρ φύσις οὐ τῶν ἐν[45] ἡμῖν προαιρετικῶν σπουδασμάτων, καὶ γὰρ τῶν πραγμάτων τὰ μέν εἰσιν ἐφ' ἡμῖν, τὰ δὲ οὐκ ἐφ' ἡμῖν· ταῦτα δὲ Ἰσοκράτης ἐν τῷ κατὰ σοφιστῶν διεξῆλθεν· ἀλλὰ μή ποτε ἄρα καὶ τὸ διδακτὸν οὐ πᾶσιν, ἀλλὰ τοῖς πλουσίοις, οἷς μετὰ τοῦ προαιρεῖσθαι καὶ τὸ δυνατὸν ὕπεστι· δέεται γὰρ τὸ διδακτὸν καὶ τῆς ἀπὸ τῶν ἔξωθεν δυνάμεως· πένητι δὲ τί ἂν εἴη δοῦναι τῷ διδασκάλῳ; καθάπερ αὐτὸς ἐγὼ καὶ μάλιστα τοῖς νυνὶ, οἳ μηδὲν ὄντες διατείνονται διδάσκειν, καὶ τοὺς τῆς ἀναγκαίας χρείας στερομένους διδόναι ἀναγκάζουσιν. Ἀλλὰ τὸ προνοητικὸν τοῦ θεοῦ ἐν τούτοις μάλιστα ἢ τοῖς πλουσίοις ἐνευδοκεῖ· ἔνθεν πλούσιον μὲν μόλις ἂν θεάσῃ τι τῶν καλλίστων εἰδότα· ἥ γάρ τοι τρυφὴ καὶ τὸ ταῖς ἡδοναῖς διαρρέειν εὖγε ποιοῦντα τὴν κρείττονα τοῖς πένησιν ἐμβραβεύονται, τοὺς δὲ πλουσίους καὶ αὐτοῦ τοῦ εἶναι λογικοὺς ἀπάγουσι.

ιβ'. Τάχα γὰρ οὕτω καὶ τοὺς εὖ πεφυκότας ἠθικὸς ὁ λόγος διὰ τὸ μὴ ἀποπεφάνθαι, καὶ ὅτι μὲν παρενεγκεῖν οἱ φιλόπονοι δύνανται τοὺς περιττοὺς τὴν

ἀδιδαφάγιαν. corr. ad marg. 43 Par. αἰσθιομένων. corr. ad marg. 44 Par. βλαστάνει. 45 Codd. ἐν.

φύσιν, μαρτυρεῖ Δημοσθένης, πόνοις καὶ τὸ μυριοπαθὲς μεταβαλὼν τὸ ἑαυτοῦ, καίτοι μέσος τὴν εὐμάθειαν ὤν· εἰ γὰρ σμικρὸν, φησὶν, [46] ἐπὶ μικρῷ καταθεῖο, καὶ θαμὰ τοῦθ' ἔρδοις, τάχα, φησὶ, μέγα καὶ τοῦτο γένηται, εἴπερ δὲ ῥανὶς [47] δύναται κοιλαίνειν πέτραν, τῷ συνεχεῖ τῆς καταῤῥοῆς· ὅτι δὲ τοῦτο σπάνιον, πλήρεις αἱ ἱστορίαι καὶ οἱ βίοι τῶν σοφιστῶν· μᾶλλον δ' ἐφ' ἑνὸς Μενελάου [48] τοῦ ποιητοῦ τοῦτο κατίδοι τις ἂν, δυσκολίαν φύσεως φιλοπονίᾳ μεταβαλόντος εἰς τὸ ἀκριβές τε καὶ ἄμωμον, ὥς φησι καὶ Λογγῖνος, διὸ εἴ τις ἐῤῥωμένου τύχῃ τοῦ σώματος, καὶ σπουδὴν κατάλληλον ἐπιδείξειεν, εἰκός τι κτήσασθαι, οὐ μὴν ἅπαντες· ὁ γὰρ νῦν τῆς διατριβῆς προϊστάμενος ταύτης, καὶ ῥώμῃ σώματος καὶ μελέταις ἀδιαλείπτοις ἐγκαρτερῶν, ὡς καὶ ῥᾳδίως, πᾶν ὃ βούλοιτο ἐκμανθάνειν, ὅμως ἔτι παῖς ἐστιν ἑξηκοντούτης, μηδὲν περαιτέρω τῶν ἀποστοματισμῶν προβαίνων, καὶ τοῦτ' οἴδασι πᾶσα ἡ πόλις, ὃ καὶ συννοήσας ὁ τεχνικὸς τὸ τάχα συνέπλεξεν, ἐπανορθούμενος τοὺς ἀμελεῖς καὶ οὐκ εἰς ἀπόγνωσιν ἄγων, ὡς ἂν φήσει· χρήσῃ τῇ κατ' ὀρθὸν ἀσκήσει καὶ μελέτῃ, θαῤῥῶν ἴσο· παρέλθοις γὰρ εὖ οἶδ' ὅτι τοὺς ταχεῖς τούτῳ τῷ τρόπῳ πάσαις ῥᾳστώναις ἀπεχθανόμενος· ὡς δήπου καὶ ὁ Μενέλαος, καὶ εἰκότως· εἰ γὰρ αἱ ἀλοιφαὶ καὶ αἱ διατρίψεις τὰ σκληρὰ καὶ τὰς ἀκόνας παραβιάζουσι, πολλῷ μᾶλλον ἐπείσακτα πάθη φύσις λογικὴ, καὶ τοῖς τοῦ κρείττονος ἐγκυμονοῦσα καλοῖς· μόνον ἑαυτῷ μὴ θάῤῥει, μηδὲ φρονηματίζου, μηδὲ αἰσχύνου διακοινοῦσθαι τοῖς ἐπιστήμοσιν εἰς διόρθωσιν, οὕτω γὰρ καὶ τοὺς κρατίστους παρέλθοις, εἰδὼς, ὡς οἱ μὴ τοῦτο ποιοῦντες καὶ τοῦτον τὸν τρόπον παρα-

46 Hes. Op. 359. 47 Arsen. Viol. p. 424. Boisson. Anecd. T. V. p. 61. 48 de Menelao poëta vide Ruhnk. Diss. de vit. et script. Longini p. LXXXXIII, ed. Weisk.

θηγόμενοι, κἂν πάνυ φύσεως ἔχωσιν [49] εὖ, τοῖς προῤῥηθεῖσιν αἰτίοις περιπεσοῦνται.

ιγ΄. Τοῖς δὲ ἄμφω καὶ πολὺ μᾶλλον. Ἀναγκαία μέν, φησίν, ἡ τῶν ἰδεῶν γνῶσις καὶ τοῖς πρὸς τὸ γράφειν ὁρμῶσιν καὶ τοῖς πρὸς τὸ κρίνειν τὰ τῶν ἄλλων ἐπειγομένοις, τοῖς δὲ καὶ τὰ ἀμφότερα ποιεῖν ἐφιεμένοις, πλέον συμβάλλεται· πῶς; ὅτι ὁ γράφων μέν, μὴ περὶ τὴν κρίσιν δὲ πραγματευόμενος ἑνὶ πτερῷ, φαίη τις ἄν, καὶ ὀφθαλμῷ ἐναβρύνεται, καὶ τοῖς τῶν ἑαυτοῦ [50] πονημάτων πταίσμασιν ἧττον ἐφιστάνει, ὥσπερ ὁ Πολέμων καὶ ὁ Ἀσπάσιος καὶ ὁ τῆς Γάζης Προκόπιος, ἀκαίρως μὲν καὶ κατακόρως [51] χρώμενος ταῖς τροπαῖς καὶ ἐπιθέτοις ἐν τοῖς λόγοις, ὑπεραττικίζων δὲ καὶ ἐν ταῖς ἐπιστολαῖς· τοιγαροῦν ἐν τοῖς μὲν ὡς ἐπίπαν ἀσαφής ἐστιν, εἰ καὶ γλυκύς, ἐν δὲ ταῖς ὑπόψυχρος καὶ ἀηδής· ὁ δὲ κρίνειν εἰδὼς καὶ τοῖς τῶν ἄλλων ἁμαρτήμασιν ἐπιβάλλων ἄριστ᾽ ἂν γράψειε, καὶ τὰς κακίας παραφυλάξειε· χρεία οὖν ἀμφοτέρων καὶ τὸ διεστάναι θάτερον θατέρου χωλόν, καὶ οὐκ ἀρτίπουν· εἴδομεν γὰρ καὶ κριτικὸν δοκοῦντα, καὶ πολλῷ μᾶλλον ἐν τοῖς αὐτοῦ συγγράμμασι πταίοντα· ὡς εἶναι δῆλον, ὡς φύσει τὸ πιθανῶς ἔχειν εἶναι δοκεῖν, ἀλλ᾽ οὐκ ἐπιστήμην. [52] Εἰς τὸ αὐτό. Τοῖς δὲ ἄμφω καὶ πολὺ μᾶλλον. Ἔοικεν αἰνίττεσθαι, ὡς δυνατὸν κατὰ τὰς ἰδέας γράφειν ἢ κρίνειν ἀλλήλων χωρίς· τοῦτο δ᾽ ἀπεδείχθη τῶν ἀδυνάτων εἶναι· εἰ γάρ τις μὴ κατὰ ταύτας γράφοι, οὐδὲ κρίνοι [53] ἄν· καὶ ἡ σὺν ἀντιθέσει ἀντιστροφή· καὶ εἰ μὴ κατὰ ταύτας κρίνοι, οὐδὲ γράφοι ἄν. Τίς ἡ τοῦ δοκοῦντος ἀτόπου λύσις; ἡ

---

49 Par. ἔχουσιν, scr. ἔχωσιν. 50 Par. ἐμαυτοῦ: ad marg. adscriptum: *A.* ἑαυτοῦ. 51 Cfr. Ruhnk. l. l. p. LXXX. 52 Par. ἐπιστήμων (η supra ω). 53 Par. κρίνειεν ἂν et paullo post γράφειεν ἄν. scripsi γράφοι et κρίνοι.

πρὸς τὸν τεχνικὸν πίστις· εὑρίσκεται[54] γὰρ εἰκότως Λογγῖνος, ὡς οἱ φιλολόγοι[55] δεικνύουσιν, ἄριστος ἐπιμερίσαι λόγων ἰδέας, δημιουργῆσαι δὲ τοιούτους ἥκιστα, καὶ Διονύσιος ὁ Ἁλικαρνασεὺς καὶ Σμυρναῖος ὁ Ἀριστείδης περὶ ἰδεῶν τι καὶ τέχνης γράψαντες, βάτα κάρας,[56] ἡ παροιμία φησί· δημιουργοὶ δὲ λόγων πολλῶν καὶ καλῶν εἰκότως· ἡ γὰρ πρὸς θάτερον σπουδή τε καὶ ἐπιμέλεια τὸ ἕτερον ὑφαιρουμένη παρευδοκιμεῖ· ὁ μὲν γὰρ Λογγῖνος περὶ τὸ διδάσκειν μόνον ἐνασχολούμενος καὶ περὶ τὸ γράφειν τελείας ὑποθέσεις οὐκ ἔχων καιρὸν, τὸ τῆς Ὁμήρου πέπονθεν ὄρνιθος, λιμώττουσαν τοὺς νεοττοὺς τρέφειν·[57] οἱ δὲ τὸ ἀνάπαλιν· οἱ δὲ μηδὲν τούτων ἔχοντες εἰς τὸ περικόπτεσθαι κατηγορίας ἐσμὲν ἄξιοι, τὸ ἕτερον παρωθοῦντες, καὶ μάλιστα μὴ διδασκάλους ἔχοντες ἀκριβεῖς καὶ ἀνεπιφθόνους· ἔξεστι γὰρ ἡμῖν[58] ἀπό τε τῶν κριτικῶν βιβλίων ἀπό τε τῆς γυμνασίας τοῦ μετρίου ἐπιτυγχάνειν, ἐπεὶ μὴ πρὸς ἀληθεῖς ἀγῶνας καὶ συναγωνιστὰς ἔχομεν, δι' ὧν τὴν ἄπταιστον ἐμπειρίαν πεφύκαμεν κτήσασθαι· διὸ καὶ Ἡράκλειτος ὁ φυσικὸς τὸ διατί θηρῶν[59] ἀνατέμνει κατὰ μέλος τὸ ζῶον ἐρωτώμενος, ἐπεὶ ἔχω τὸν διδάσκοντά με τὴν φύσιν τῶν ὄντων, ἀπεκρίνατο·[60] τοῦτο λέγων ὅπερ ἐγὼ, ὡς ἐπειδὴ τὸ ἀκριβὲς διδακτὸν οὐκ ἔχομεν, κἂν τοῦ μαθητοῦ μὴ ἀμελῶμεν.

ιδ'. Εἰ[61] μὴ ῥᾴδιον· ἀντιπίπτον τι λύει· οὐ χρὴ, φησὶ, θαυμάζειν, εἰ μὴ ῥᾳδίαν ἔχει καὶ τὴν διδασκαλίαν καὶ τὴν μάθησιν· οὐδὲν γὰρ τῶν ἀγαθῶν ἄπονον καὶ

εται

54 Par. εὑρίσκεσθαι. 55 de hoc libro vide Ruhnk. l. l. p. LXXXX. sqq. Weisk. ad Long. p. 547. 56 Par. βούτα κάρας. correxit Ruhnk. l. l. p. LXXXXI. cfr. interpr. ad Gregor. Cor. p. 125. Schaef. 57 Il. ι, 323. 58 Par. ὑμῖν. ad marg. ἡμῖν. 59 In Par. superscriptum: θηρεύων. 60 Par. ἀπεκρίνατε: ad marg. ἀπεκρίνατο. 61 Par. Ἐδὲ μὴ ῥᾳδ.

αὐτόματον· πόνοι γὰρ, φησὶ, γεννῶσι δόξαν, ὁ μέγας Βασίλειος, καὶ κάματοι προξενοῦσι στεφάνους, καὶ [62] ἀρετῆς ἱδρῶτα θεὸς προπάροιθεν ἔθηκεν, ἵνα λιχνότεροι γένωνται καθάπερ οἱ ἐρασταὶ, ἀπὸ διαφάσεώς τινος κάλλει καταστραφθέντες· πάντα γὰρ πόνος τεύχει θνητοῖς, κατ' Ἀρχίλοχον, μελέτη τ' ἀρίστη· εἰ οὖν χαλεπὴ καὶ τῶν φαύλων ἡ κτῆσις, πόσῳ μᾶλλον ὁ ἔντεχνος λόγος, δι' οὗ καὶ τὰς ἐπιφορὰς καὶ τοῦ βίου καὶ τῶν σωμάτων καὶ τῶν ψυχῶν ἐξασκούμεθα καὶ ἰθύνομεν.

ιέ. Οὐ χρὴ θαυμάζειν. Ἱκανῶς ἐπεξεργασάμενος καὶ παραστήσας τὸ χρήσιμον καὶ ἀναγκαῖον καὶ τοῖς γράφειν αἱρουμένοις καλῶς καὶ τοῖς κρίνειν ἐφιεμένοις ἀκριβῶς καὶ τοῖς ἀμφότερον σπουδάζουσιν, ἐπιδιορθοῦται τὴν κοινὴν δόξαν· καὶ προδιορθοῦται τὰ μέλλοντα· τὴν μὲν, ὅτι οὐδὲν ἀγαθὸν ἄπονον, τὰ δὲ ὅτι οὐχ ἁπλῆς καὶ εὐκόλου διδασκαλίας καὶ ἐκθέσεως ὁ περὶ τούτων λόγος ἐστί· γενναίων, ἀντὶ τῶν ὑψηλῶν καὶ πάσης ἁπλῶς ἰδέας αὐτῶν· θαυμάζοιμ' ἂν, εἰ ἔστι χρησιμώτερόν τι τοῖς λογικοῖς ἀνθρώποις· τὸ δὲ ἁπλῶς ἢ ἀντὶ τοῦ καθόλου καὶ περὶ πάσης ἰδέας λόγου, ἢ ἀντὶ τοῦ συντόμως εἰπεῖν, καὶ ἔστι τοῦτο ἐπεξεργασία τοῦ χρησίμου, ὡς ἂν εἰ ἔλεγεν, εἰ γὰρ ἐν θνητοῖς τοῦτο μόνον λογικὸν, εἰκότως αὐτῷ καὶ ἡ τελειότης τοῦ λόγου πάντων χρηστότερον· ἕκαστον γὰρ, φασὶν οἱ φιλόσοφοι, κατὰ τὴν ἑαυτοῦ φύσιν τοῦ ἀγαθοῦ καὶ οἰκείου τέλους ἐφίεται, καὶ πρὸς τοῦτο [64] ἐπείγεται· σώζει δ' ἕκαστον ἡ τελειότης· εἰ γοῦν καὶ ἀνθρώπου τελειότης ὁ κατ' ἐπιστήμην λόγος, πάντων ἄρα κρεῖττον ἀνθρώποις ἡ περὶ λόγους ἄσκησις.

ις'. Μέλλων δὲ ἤδη τοῦ σκοποῦ ἀπάρχεσθαι τε-

62 Hes. Op. 287. 63 Ruhnk. ad Xen. Mem. II. 1. 20. p. 301. ed. Schneid. emendat: πάντα πόνος τεύχει θνητοῖς μελέτη τε βροτείη. vide T. V. p. 441. 64 Par. τούτου ser. τοῦτο.

τελεώτερον δηλονότι· πληρώσας τὸ χρήσιμον καὶ ἀνελὼν λεληθότως τὰς ἐναντίας δόξας καὶ τὸ κατὰ ψιλὴν ὑπόνοιαν τοῖς πολλοῖς δοκοῦν, ὅτι οὐ περὶ τῶν ἑνὸς ἑκάστου τῶν ῥητόρων βούλεται ἐρεῖν ἰδεῶν, καὶ τοῦτο κατὰ προδιόρθωσιν ἀνελὼν καὶ ἄρσιν, καὶ ὑπόσχεσιν δὲ καὶ θέσιν, τὸν περὶ τῶν ἰδεῶν λόγον προκρίνει, καὶ ἀποροῦσι, διὰ τί τὰ πρὸ τοῦ σκοποῦ κατὰ ἄρσιν λαβὼν τὰ ἑπόμενα κατὰ θέσιν ἐπήγαγε, δέον ποιῆσαι τὸ ἐναντίον, τὴν μὲν οἰκείαν προαίρεσιν κατὰ θέσιν ἐκφαίνειν, τὰ δὲ κατὰ ἀναίρεσιν· καί φασιν, ὅτι διὰ τοὺς πρὸ αὐτοῦ τοῦτο πεποίηκε, κακῶς μεταχειρισάμενος τὸν περὶ ἰδεῶν λόγον· παραστῆσαι βουλόμενος, ὅτι τὴν μὲν ἐκείνων φεύγει προαίρεσιν, οἳ μικρὸν ἢ οὐθὲν περὶ τῶν ποιούντων φροντίσαντες περὶ τὰ ποιηθέντα τὴν σπουδὴν ἀνάλωσαν ἅπασαν, τὰ Πλάτωνος, Δημοσθένους καὶ τῶν ἄλλων· ἐῤῥέθη δὲ καὶ ἄλλη αἰτία, ὅτι τὰ δοκοῦντα τοῖς πολλοῖς ἀνεῖλεν· ἀλλὰ μήποτε ἡ ἀπορία προετάθη κακῶς· ταὐτὸ γὰρ συμβαίνει· εἴτε γὰρ ἡ ἄρσις προετάγη, ἡ θέσις κυρία τῆς ὑποθέσεως, εἴτε ἡ θέσις, ἔδει καὶ τὴν ἀναίρεσιν θεῖναι, ὡς ἀντιπίπτοντος λύσιν ἔχουσαν· ἔστιν οὖν κατ᾽ ἐμὲ τὸ τοῦ λόγου μηδεμίαν ἀπορίαν δεχόμενον, ἀλλ᾽ ἢ σχηματισμός ἐστι φράσεως, καὶ μόνον, ὡς ἐκ πολλῶν δῆλον, ἐκβάλλων τὸ περὶ ὃ τέως οὐκ ἔχω εἰπεῖν σκοπόν.

ιζ. Λελέξεται γάρ· πρὸς τῷ τέλει τῶν ἰδεῶν τοὺς κατὰ γένος τῶν ῥητόρων χαρακτῆρας διδάσκει.

ιή. Ὁποῖόν τί ἐστι σεμνότης· προϋπισχνεῖται τὸν σκοπὸν, λέγων ὡς μίαν ἑκάστην ἰδέαν θέλει διδάξαι, καὶ ἔστιν ἡ μέθοδος εὐκρινείας· ἐπειδὴ δὲ καὶ τοῦτο λύσις ἐστὶν ἀντιπίπτοντος· εἰ γὰρ μὴ τὰς ἰδέας βούλει τῶν ῥητόρων ἐρεῖν, φαίη τις ἄν, ὅπερ ἀνῄρηκας τοῖς πρὸ σοῦ ἐγκαλῶν, πῶς περὶ αὐτῶν λέγεις ἐν ὑστέρῳ λέξειν; ἀλλὰ γὰρ δύο προχειρισάμενος πράγματα τὰ ποιοῦντα καὶ τὰ ποιούμενα, εἰκότως καὶ οἱ περὶ αὐτῶν λόγοι διττοί· ἔφησε

γὰρ περὶ ἰδεῶν εἰπεῖν, καὶ πάλιν οὐκ ἔφησεν· οὐκ ἔφησε μὲν εἰπεῖν, ὡς οἱ παλαιότεροι, τοὺς τῶν ῥητόρων τύπους· ἔφησε δ᾽ εἰπεῖν αὐτοὺς οὐκ ἀπὸ τῶν ποιουμένων, ἀλλ᾽ ἀπὸ τῶν ποιουσῶν ἰδεῶν αὐτῶν καθ᾽ ἑαυτὰς, ὅταν λέγη περὶ σεμνότητος [1] καὶ τραχύτητος· περὶ τῶν ποιούντων λέγειν ἔχειν δοκεῖ τὸν σκοπόν· ὅταν δὲ τοὺς κατ᾽ ἄνδρα, περὶ τῶν ποιουμένων· ἀμφοτέρων οὖν χρεία, ὅτι μὴ πρὸς τὸ θεωρεῖν καὶ κρίνειν μόνον ἡ πραγματεία, [2] ἀλλὰ καὶ πρὸς τὸ δημιουργεῖν· τὸ μὲν γὰρ πρὸς τὸ τέλειον φέρειν, τὸ δὲ πρὸς τὸ ποιεῖν τὸ τέλειον, ἐκ τῆς περὶ αὐτὸ ἐπιστήμης τῶν καθόλου.

ιθ΄. Ἐπειδὴ δ᾽ ἐκείνων δήπουθεν ἕνεκεν· ἐπειδὴ δὲ, φησὶν, ἀποδιδοὺς, οὐ μόνον εἰς τὸ ποιεῖν, ἀλλὰ καὶ εἰς τὸ κρίνειν ἑκάστου τὸν χαρακτῆρα δεόμεθα τῶν ἰδεῶν, τὰ δὲ καθόλου καὶ διανοητὰ χωρὶς αἰσθητῶν παραδειγμάτων γνῶναι ἀδύνατον, ὅπου κἀπὶ τῶν αἰσθητῶν τοῦτό ἐστιν ἰδεῖν, ἀνάγκη προχειρισαμένους ἡμᾶς τὸν παρὰ πάντας καλῶς καὶ ποικίλως [3] καὶ τῶν καλῶν ἁπάντων ἕνα καὶ συμμιγῆ τὸν ἑαυτοῦ μορφωσάμενον λόγον, διὰ τούτου περὶ ἁπασῶν εἰπεῖν τῶν ἰδεῶν· τὴν αἰτίαν φησὶ τῆς Δημοσθένους προκρίσεως· χρησάμενος γὰρ τῷ Δημοσθενικῷ λόγῳ εἰς παράδειγμα, καθάπερ τινὶ κέντρῳ καὶ διαστήματι, διὰ τούτου τὰς ἰδέας ἁπάσας χαρακτηρίζει, ἐπακτικῷ λόγῳ καὶ τὰ καθόλου διδάσκων, οὗτος γὰρ ὁ ἀνὴρ ἓν τῶν τῆς ποικίλης συμμίξεως τὸ ἄριστον ἔχει, πανταχοῦ τὰ τοῖς λόγοις συμπίπτοντα ἁμαρτήματα ἀποφεύγων. Ὅθεν καὶ Ἰάμβλιχός φησιν ἐν τῷ περὶ κρίσεως ἀρίστου λόγου· δεῖ γὰρ, φησὶ, μήτε τὸ σύντομον ἀσαφὲς εἶναι, μήτε τὸ σαφὲς ἰδιωτικὸν, [4] καὶ τὸ μὲν σεμνὸν μὴ ἄγαν ἐξηλλαγμένον, τὸ δὲ κοινὸν [5] μὴ εὐκα-

1 Par. σεμνότητα. 2 Par. πραγματία, scripsi πραγματεία. 3 Par. ποικίλης. marg. ποικίλως. 4 Par. ἰδιατικόν. marg. ἰδιωτικόν. Praecedens σαφὲς de meo dedi. Cod. ἀσαφές. 5 Par. καινόν. marg. κοινόν.

ταφρόνητον· ἔχειν δέ τινα ἐξαίρετον ὑπεροχήν· τὸ γὰρ παντελὲς τούτων καὶ συμπεπληρωμένον τοῖς πολλοῖς κάλλεσι συνθήκην τοῦ λόγου· παρὰ μὲν τοῖς παλαιοῖς Ὅμηρός τε καὶ Πλάτων καὶ Δημοσθένης· καίτοι ὁ Πλάτων ἧττον περὶ τὴν σύνθεσιν, εἰ μὴ ἄρα φαίη τις, ὡς κατὰ τὰ ὑποπίπτοντα πρόσωπα μεταβάλλεται· παρ' ἡμῖν δὲ ὁ Θεολόγος, ὃς πολὺ τοὺς παλαιοὺς διήνεγκε· καὶ τοῦτο δῆλον ἔκ πάντων τε καὶ ἐκ τοῦ εἰς τὴν γέννησιν λόγου· νοήματα γὰρ ἔχων ὑπέρσεμνα παρὰ τοὺς ὑψηλοὺς τοσοῦτον τῷ κάλλει καὶ τῷ σαφεῖ καὶ τῷ συντόμῳ καὶ ταῖς ἁπάσαις τῶν λόγων ἀρεταῖς παρήλασε [6] Πλάτωνα, ὅσον καὶ ἡ τούτου θεολογία [7] τὴν ἐκείνου· Δημοσθένην τε ὁμοίως παῖδα ἀπέδειξε· τὰ γὰρ αὐτὰ νοήματα ἔχων Πλάτων ἐν [8] τῷ Τιμαίῳ ἀσύγκριτον τὸ διάφορον· τῶν μὲν γὰρ μόλις ἡ ἐπιβολὴ τοῖς σοφοῖς, καὶ μᾶλλον ἐν τῇ ψυχογονίᾳ προσούσης καὶ ἀηδίας τῷ τοῦ θεωρήματος ξενισμῷ καὶ ναυτίας, εἰ μὴ ἄρα τις εἴη μαθηματικὸς καὶ λόγον ἐπιμορίων καὶ ἐπιμερῶν ἐπιστάμενος· τοῦ δὲ πάντα τὰ κάλλιστα καὶ τοῖς πολλοῖς αὐτοῖς [9] δῆλα· οὕτω γοῦν κἂν τοῖς ἄλλοις καὶ σοφὸς καὶ σύντομος καὶ ὑψηλὸς καὶ λαμπρός. Ζητήσειε δ' ἄν τις εἰκότως, ἀνθότου Πλάτωνος Δημοσθένην προὐτίμησεν ἔχοντος καὶ αὐτοῦ τὸ ἐξαίρετον· ὅτι Πλάτων οὐκ ἐν ζητήμασι πολιτικοῖς, ἐν ἀγῶνι, οὐδὲ πρὸς ὕδωρ λαλῶν, οὐδ' ἀκριβὴς τὴν μῖξιν καὶ ἁρμονίαν, ὥσπερ καὶ τὴν τῶν ὀνομάτων εὕρεσιν, οὐδὲ μετρηταῖς κατεσπουδασμένος ἡμέραις· τριάκοντα γὰρ ἐφεῖτο τηνικαῦτα ῥήτωρ εἰς σκέψιν, ἐπεὶ καὶ ἕτερός τις, σπουδάζων ὑπογράψαι τὸν κρείττονα, τὸν ἄριστόν που πάντως εἰς παράδειγμα λήψεται, ὥσπερ τὸν ἀνδρεῖον Ὅμηρος ἐν τῇ διαλέξει Μηριόνου καὶ Ἰδομενέως, καὶ τὸν ἀρι-

6 Par. παρήλαβε. marg. παρήλασε. 7 Par. θεολόγοι marg. θεολογία. 8 Par. τῶν ἐν τῷ Τιμ. marg. delere iubet τῶν. 9 Lacuna est in Par. ad marg. ζήτει ποῦ.

στον ἡνίοχον καὶ τεχνίτην, καὶ Ξενοφῶν συνετὴν βασιλείαν ὑποτυπῶν τὸν Κῦρον παραλαμβάνει, καὶ ὁ Θεολόγος ἀρχιερέα μὲν τὸν Ἀαρών τε καὶ Σαμουὴλ, στρατηγὸν δὲ Μωσέα τε καὶ Ἰησοῦν.

κ'. Ἀνάγκη γάρ τά τε μέρη καθ' ἕκαστον καὶ τὸ ὅλον εἶδος. Μέρη τινὲς μέν φασι σεμνότητα, σαφήνειαν [10] καὶ τὰ λοιπά· οἱ δὲ τὸ πανηγυρικὸν καὶ συμβουλευτικὸν καὶ δικανικόν· ὅτι δικανικὸς ὁ [11] περὶ στεφάνου ὢν πανηγυρικῆς ἰδέας ἐστὶν, ὡς δῆτα καὶ ὁ συντακτήριος· ἐμοὶ δὲ δοκεῖ ἐκ τῶν ῥηθησομένων κρίνειν [12] τὸ λεγόμενον, οὐ γὰρ διδάσκει, ὡς οὗτος ὁ λόγος τυχὸν δικανικὸς ὢν πανηγυρικῆς ἐστιν ἰδέας, ἤ τινος τῶν ἄλλων καὶ τὸ ἀνάπαλιν· ἀλλ' εἶδος μὲν τὰς ἰδέας λέγειν ὁμωνύμως οἶμαι, ὡς κἀν ταῖς στάσεσιν εἴρηται· εἴδη οὖν τὰς ἰδέας ἀκουστέον· μέρη δὲ τὰ τούτων στοιχεῖα, ἐννοίας, λέξεις καὶ τὰ λοιπὰ, ἃ καὶ τίθησιν εὐθὺς τῇ ἀρχαίᾳ χρησάμενος ὀνομασίᾳ.

κά. Ὅθεν τε καὶ ἐξ ὧν συνέστηκεν. Ἀκολούθως τοῖς ἀνωτέρω ῥηθεῖσι καὶ τοῦτ' ἐδέξαντο, ἐκ ποίων εἰδῶν κεκίνητο τῆς ῥητορικῆς. τὸ δ' ἐξ ὧν, ἐκ ποίων ἰδεῶν κέχρηται· τὸ δὲ ποῖον ἠθικὸν ἢ πραγματικὸν ἢ παθητικόν· ἐμοὶ δὲ ἀκολούθως τὸ μὲν ὅθεν τὰς ἰδέας αὐτῶν λέγειν νομίζεται, πόθεν οὗτος ὁ λόγος καὶ ἐκ ποίας ὡρμήθη ἀρχῆς· τυχὸν ὁ κάλλιστος πολιτικός· τὸ δὲ ἐξ ὧν, ἐκ τίνων· τὸ δὲ ἐκ ποίων, ὅτι κατὰ πρῶτον λόγον σαφηνείας, γοργότητος καὶ περιβολῆς ἡ κρᾶσις· τὸ μὲν γὰρ ὅθεν τοπικὸν ὂν δηλοῖ τὸ πόθεν ὁρμώμενος καὶ ἐκ ποίων πραγμάτων καὶ προσώπων, ὅτι ἀπὸ λαμπρᾶς ἢ μὴ τοιᾶσδε ὑποθέσεως· τὸ δὲ ἐκ τίνων, ὅτι ἐκ σαφηνείας ἤ τι τῶν τοιούτων· τὸ δὲ ἐκ ποίων, ὅτι ἐκ τοίων καὶ τοίων τῶν μίξεων· ἢ τὸ ὅθεν, ὅτι ἀπὸ σαφηνείας ἢ μεγέ-

---

10 Par. σαφήνιαν. 11 Par. ἡ. marg. ὁ. 12 Par. κρίνοντα. scripsi κρίνειν.

θους· ἐκ τίνων ἢ ὅτι ἐκ τοῦ μεγέθους ὁ κάλλιστος τραχύτητός τε καὶ περιβολῆς καὶ ἐκ τῶν, ἂν ἐρεῖ πρὸς τῷ τέλει· ἢ ὅτι ἐξ ἐννοίας τοιᾶςδε, ἐκ μεθόδου λέξεων καὶ οὐ πασῶν· τὸ δὲ ἐκ ποίων, ὅτι ἐκ τῶν ἀναγκαιοτέρων καὶ ἰδίων, καὶ ἐξ ὧν ἑκάστη μᾶλλον χαρακτηρίζεται· ταῦτα γὰρ οἶμαι προσήκοντα τῷ σκοπῷ.

κβ. Καὶ τίς ἡ μίξις αὐτῶν. Εὑρίσκονται γὰρ τῶν ἰδεῶν αἱ μὲν κατά τινα μόρια ἀλλήλαις κοινωνοῦσαι, αἱ δὲ οὔ· εἰδοποιεῖται δὲ ἑκάστη καὶ χαρακτηρίζεται ἐκ τῶν ἰδιοτήτων, ὥσπερ καὶ ὁ τὶς ἄνθρωπος ἐκ τῶν ἰδίων ἰδιωμάτων, ἀλλ' οὐ τῶν τοῦ ἀνθρώπου τοῦ κοινοῦ· ἢ πόθεν ἐγένετο ὁ λόγος κάλλιστος· ἐκ τῆς ἀρίστης καὶ τῆς τῶν ἀρίστων μίξεως· ποία δὲ ἡ ἀρίστη [13] μίξις, κἀκ τίνων; ὅτι ἡ ἐκ τοῦ σαφοῦς τύπου καὶ ὧν μετὰ ταῦτα ἐρεῖ· ποῖα δὲ ταῦτα ποιεῖ; ὅτι ἡ σαφήνεια, καὶ ἥδε καὶ ἥδε.

κγ΄. Τοτὲ μὲν ποιητικός, τοτὲ δὲ οὐ ποιητικός. Ποιητικὸν μὲν γίνεσθαι τὸν λόγον ἀνάγκη, μᾶλλον δὲ δοκεῖν, ἢ ὅταν χωρὶς τραχύτητος καὶ σφοδρότητος καὶ πάθους τινὸς τῆς διανοίας ταρακτικοῦ· ὁ γὰρ τοιοῦτος ἀκαλλὴς καὶ ἄρρυθμος καὶ δύσηχος, ὡς τὰ τοῦ πονηροῦ πλήρωμα τῆς κακίας ὁ κολοφών· ποιητικὸς δὲ ὁ μὲν τοιοῦτος· ἢ ὅτι ποιητικὸν μὲν τὸν μέγεθος ἔχοντα καὶ ὕψος καὶ γλυκύτητα καὶ ἡδονὴν καὶ ἄριστα κεκραμένον, οὐ ποιητικὸν δὲ τὸν τὰ ἐναντία ἔχοντα. Ὁ μὲν γὰρ Ἰσοκρατικὸς εὔρυθμος ὢν καὶ συγκεκροτημένος ποιήσει ἔοικεν ἄντικρυς, ὁ δὲ Δειναρχικός τε καὶ Θουκυδίδειος σκληρὸς ὢν καὶ τραχὺς ἀποκναίει τὴν αἴσθησιν· ἢ ὅτι ποιητικὸς μὲν, ὅταν ἔμφασιν ἔχῃ ποιητικὸς εἶναι στίχος, τοῖς οἰκείοις τοῖς ποιήμασι ῥυθμοῖς ἐκφερόμενος· τοῦ γὰρ ἀναστάσεως ἡμέρα τὰ κατ' ἀρχὴν κῶλα ἡρωϊκῶς δοκοῦσι συντετάχθαι, δακτυλικὰ γάρ εἰσιν ἀκατάληκτα· τὸ δὲ λύσωμεν πάντα σύνδεσμον ἀδικίας, ἰαμβικόν ἐστιν

13 Par. ἄριστος, scr. ἀρίστη.

Ἱππωνάκτειον [14] κατὰ τὴν τομὴν ἀκατάληκτον σεμνὴν ἔχον καὶ βεβηκυῖαν τὴν βάσιν, καὶ ὅλα σχεδὸν τοιαῦτα κατὰ πᾶν εἶδος μέτρου, ὡς προϊόντες μαθησόμεθα.

κδ΄. Τοτὲ δὲ οὐ ποιητικός· οὐ ποιητικὸς δὲ

Ὁ ἔχων τὰ μὴ ἐμφαίνοντα ποιητικὴν τομὴν καὶ ῥυθμὸν, ὡς τά τε προῤῥηθέντα καὶ ἔτι ὡς τὰ τοιαῦτα, ὁ ἀόριστος, ὁ ἀπερίληπτος καὶ ἑξῆς, καὶ τὰ κατὰ ἀκμὴν καὶ καταφορὰν πνευματικὰ, ὅτι λύχνον ἧψε τὴν ἑαυτοῦ σάρκα καὶ τὴν οἰκίαν ἐσάρωσε καὶ τὰ ὅμοια, οὔτε γὰρ οἱ πόδες ἐν τοῖς τοιούτοις ποιητικοὶ, ὅτι ἑτερογενεῖς τε καὶ ἀσυνάρτητοι καὶ οὐχ ὁμοταγεῖς τὰς σημασίας, οὔτε ἡ ἔμφασις οὐκ ἐμφαίνουσα· ἐπεὶ δὲ τὰ πλείονα ἀντίγραφα ποιητικὸν ἔχουσι καὶ ὡς ποιητικὸν, ἀλλ' οὐ ποιητικὸν, οὕτως νοητέον· τὸν μὲν ἐπιτηδευόμενον εἰς ποιητικὴν ἔμφασιν ποιητικὸν εἶναι κριτέον, ὡς ποιητικὸν δὲ τὸν μὴ τοιοῦτον· τὸν μὲν γὰρ ἡ τροπικὴ φράσις καὶ μεταφορικὴ καὶ διθυραμβώδης, τουτέστιν ἰαμβικὴ συνθήκη, ποιεῖ, ὁποία ἡ τοῦ Γοργίου, ὃν πρῶτόν φασιν εἰς τοὺς ποιητικοὺς μετενεγκεῖν τὰ τοιαῦτα λόγους· ὡς ποιητικὸν δὲ τὸν εὐρυθμίας καὶ ἁρμονίας μὲν ὁμαλῆς εἰληχότα [15] καὶ ἠκριβωμένης συνθέσεως, τὴν δὲ διθυραμβώδη καὶ ποιητικὴν σύνθεσιν ἥκιστα ζηλώσαντα, ὁποῖα τὰ Ἰσοκράτους, τὸν τὰς παραλλήλους θέσεις τῶν φωνηέντων καὶ τὰ σκληρὰ τῶν συμφώνων, ὡς τὸ σκῆπτρον κρούει καὶ τὸ κράτος καὶ τὰ ὅμοια, ἐκκρούοντα, ὡς τὴν ἁρμονίαν τῶν ἤχων καὶ τὴν τελειότητα τῶν φθόγγων λυμαινομένας, περιόδῳ τε καὶ κύκλῳ πειρώμενον τὰ νοήματα περιλαμβάνειν, [16] ῥυθμοειδῆ πάνυ καὶ οὐ πολὺ ἀπέχοντα [17] τοῦ ποιητικοῦ τύπου, ὅθεν καὶ πλείστους ἰάμβους παρ' αὐτῷ καὶ Δημοσθένει ἐστὶν εὑρεῖν· οὕτως γὰρ ἂν ποιη-

14 Par. ἱππονάκτειον, scr. Ἱππων. 15 Par. εἰληφότα καὶ ἠκριβομένης. scr. εἰληχ. καὶ ἠκριβωμ. 16 in Par. supra λαμβάνειν scriptum λαβεῖν. 17 Par. ἀπέχον, scr. ἀπέχοντα.

τικὴ μὲν ἡ φράσις, οὐ μὴν ποίημα, καὶ ἐμμελὴς μὲν, οὐ μὴν μέλος κατὰ τὸν Διονύσιον·[18] ἀλλὰ τὴν μὲν Γοργίου εὐρυθμίαν[19] δεκτέον, καὶ πειστέον τῷ Διονυσίῳ, τὸ δὲ διθυραμβῶδες οὔ· ὑπόψυχρον γάρ· τί δέ ἐστι τοῦτο, προϊόντες εἰσόμεθα, Πλάτωνος διὰ τὰ ὑπερχορῆ πάρισα τούτῳ ἐπιτιμῶντος· ὁμοίως δὲ τὰ τοιαῦτα καὶ Ἰσοκράτους ἀποῤῥιπτέον τῷ αὐτῷ λόγῳ· ἄμετρα γὰρ καὶ ταῦτα, τὰ δ' ἄλλα κατὰ τὸ ἐγχωροῦν μιμητέον. Δημοσθένους δὲ πέρι οὐκ ἀποφηνάμενος, ἀλλ' εἰκάσας ὁ Διονύσιος·[20] φησὶ γὰρ οἰόμενος Δημοσθένην ἐν τοῖς μάλιστα ποιητικὴν ἐκμεμάχθαι φράσιν, καὶ τάχ' ἂν ὕποπτος δόξει μακροϊαμβεῖα διεξελθών· πλὴν οὕτως ἔχει· ἀληθῶς μὲν γὰρ ποιητικῇ συνθήκῃ καὶ ἁρμονίᾳ κέχρηται κατὰ τοὺς ῥυθμοὺς, διὸ καὶ Διονύσιος τὸ κατὰ Ἀριστοκράτους προοίμιον παραθεὶς καὶ τὸ ὑπὲρ τοῦ στεφάνου, ἐκ ποιητικῶν αὐτὰ ῥυθμῶν συνεστάναι φησί· καὶ οὐχ ἑτέρως ἔχει· ὥστε καὶ ἡμεῖς καλῶς ἔφημεν τὰ περὶ τοῦ θεολόγου διεξιόντες, ὅτι ποιητικὸς μέν ἐστιν ὁ λόγος, ὅταν ἐναρμόνιος ᾖ τῇ συνθέσει, καὶ τοὺς εὐγενεῖς καὶ εὐμεγέθεις πόδας λαμβάνων· οἱ δέ εἰσι σπονδειοδάκτυλοι· ἀνάπαιστος, παίων ἐπίτριτος, καὶ οὕτως ἂν ἔχοι καλῶς, ὡς ἡμεῖς λέγομεν· ἀπό τε τοῦ τεχνικοῦ, ἀπό τε τῆς τῶν ῥητόρων ἐπιστασίας, οἳ ἐπέλαττον τῆς τοῦ Γοργίου χρῶνται καὶ Ἰσοκράτους, καὶ εἰκότως· μιμητικὴ γὰρ οὖσα ἡ ῥητορικὴ προσώπων καὶ πραγμάτων, μουσικώτατον συγκεῖσθαι βούλεται τὸν ἑαυτῆς λόγον καὶ διαστηματικὸν ἔχειν μέλος, καὶ φθόγγον κατὰ λόγον· οὐ μέντοι παντάπασι μέλος, ὅτι οὐκ ἀκριβεῖς σῴζει τὰς ἁρμονίας τὰς μουσικὰς, καὶ τὰ ποιήματα πρὸς λύραν ᾄδοντα, ἀλλ' ὅσον μικρόν τι παρεκβαίνειν τῶν μουσικῶν· εἰ δὲ εὑρίσκονται ταύτῃ καὶ πόδες διάφοροι καὶ στίχοι, οὐ κα-

18 De comp. p. 382. Schaef. cfr. T. V. p. 446. 19 Par. εὐρυθμίας. 20 De comp. p. 378. Schaef.

τὰ τοῦτο διόλου τοιαῦτα καὶ μετὰ φροντίδος δεῖ ἐκφέρειν, ὅτι καὶ φορτικὸν καὶ ἀναιδὲς ἐν πολιτικοῖς ῥαψῳδεῖν· τὸ δὲ εἶναί τινας ὡς γλυκύτητος ποιητικὰς, ἀλλ' οὐ πάσας, ψεῦδος· πᾶσαι γὰρ ἁρμόζουσι, καὶ τοῦτο δῆλον ἐκ τῶν ποιημάτων, ἃ πάσαις πάντα συντιθέμενα ὁρῶνται· χρώμασι γὰρ ἐοικυῖαι ὥσπερ ἐκεῖνα παντὶ σώματι προσήκουσιν ἀνθρώπων, οὕτω καὶ αὗται τοῖς λόγοις· ἀπορῆσαι δὲ ἄξιον, πότερον ἅπαν τὸ ὕφος τοῦ λόγου συντεθεῖσθαι δεῖν ὡς ποιητικὸν, ἢ ἐν ἑκάστῳ τῶν μερῶν, ὃ καὶ μᾶλλον ἡγοῦμαι· ἐκείνως μὲν γὰρ συμβαίνει μονοειδῆ γίνεσθαι· οὕτως δὲ κατὰ κῶλον δηλαδὴ καὶ σχῆμα καὶ περίοδον ποικίλον καὶ διάφορον, οὐ γὰρ ἐνδέχεται μονόσχημον ἅπαντα εἶναι καὶ ἑνὶ μέτρῳ.

κέ. Τοτὲ μὲν πανηγυρικός. Ἤδη διήλθομεν, ὡς ἐν τῷ τέλει τῶν ἰδεῶν διδάξει, τίνες ἰδέαι τὸν ἄριστον πανηγυρικὸν καὶ τοὺς ἄλλους ποιοῦσιν.

κς'. Διὰ τοίνυν τούτου καὶ τῶν [21] παρὰ τούτῳ. Τούτου διχῶς ἐκφέρεται ἡ γραφή· ἡ μὲν γὰρ ἔχει τοῦτο, οἷον διὰ τοίνυν τοῦτο· ἡ δὲ διὰ τούτου γενικῶς. καὶ ἐννοεῖν διδόασιν ἡ μὲν προτέρα, διὰ γὰρ τὸ γνῶναι τοῦτο, τουτέστι τὴν ποικίλην μίξιν καὶ ἀρίστην κρᾶσιν τοῦ Δημοσθένους καὶ τῶν παρὰ τούτῳ δημιουργηθέντων λόγων, λεκτέον ἂν εἴη δήπουθεν καὶ περὶ ἁπασῶν τῶν ἰδεῶν, ἢ ἐπειδὴ εἶπε προθυμεῖσθαι δεῖξαι τὴν φύσιν ἑκάστης ἕνεκα τῶν κατ' ἄνδρα εὐδοκιμούντων, τῆς τούτων δεόμεθα διδασκαλίας, ἀνάγκη προχειρισαμένους ἡμᾶς τὸν κρείττονα διὰ τούτου καὶ τῶν τούτῳ πεπραγματευμένων λόγων τὰς ἰδέας διατυπῶσαι· ἢ διὰ τοῦτο διδάσκω τὰς ἰδέας αὐτὰς καθ' ἑαυτὰς, ἵνα τάς τε ἰδέας τῶν λόγων Δημοσθένους γνῶμεν, καὶ τὰς τῶν παρὰ τούτῳ, τουτέστι τὰς τῶν κατ' αὐτὸν ῥητόρων γνῶμεν· ἐπειδὴ γὰρ, φησὶ, προεθέμεθα τὰς ἰδέας αὐτὰς καθ' ἑαυτὰς θεωρῆ-

21 Par. τόν.

σαι, διὰ τὸ γνῶναι κατ' ἄνδρα ἕκαστον τῶν ῥητόρων, ποίας ἐστὶν ἰδέας, ταύτας δὲ χωρὶς παραδείγματος μαθεῖν ἀδύνατον, διὰ τοῦτο παράδειγμα ἐλάβομεν τὸν Δημοσθένην, κάλλιστα χρησάμενον τῇ μίξει, ἵνα δι' αὐτοῦ καὶ τῶν αὐτοῦ ἰδεῶν καὶ λόγων καὶ τὰς τῶν ἄλλων γνῶμεν, καὶ ἔστι τοῦτο αἰτία τοῦ [22] προκριθῆναι τὸν Δημοσθένην.

κζ. Ἐπιτιμήσει δὲ μηδείς. Ταῦτα προθέμενος καὶ προκαταστήσας τὸν σκοπὸν καὶ τὸ χρήσιμον, λοιπὸν τὴν ἀξίωσιν ποιεῖται μὴ ἐπιτιμηθῆναι, μήτε ἐν τῇ μεθόδῳ, μήτε ἐν τῇ κρίσει· ἐν τῇ μεθόδῳ μέν, διότι μέθοδον ἔφη παραδοῦναι προῃρῆσθαι, καθ' ἣν γνωσόμεθα τὰς ἰδέας ἁπάσας ἀλλήλων κεχωρισμένας, οὐ τὰς καθ' ἑαυτάς· ἡ δὲ μέθοδός ἐστιν ἡ τὰ ποιοῦντα ταύτας δεικνύουσα· τὰ δέ ἐστιν ἔννοιαι, λέξεις καὶ τὰ ἄλλα, ὧν ἑκάστη τὰ ἴδια ἔχουσα ἀπὸ τούτων εἰδοποιεῖται· κρίσει δέ, διότι ἔκρινε τὸν Δημοσθένην ὡς παρὰ τοὺς ἄλλους κρεῖττον τῇ μίξει καὶ κράσει χρησάμενον, δι' αὐτοῦ καὶ ταύτας καὶ τὰς κατ' ἄνδρα διδάξαι.

κή. Πρὶν ἅπασιν ὁμιλῆσαι. Διελθεῖν ἂν γνῶναι, ἀκριβῶς ἐπιστῆσαι τοῖς ῥηθησομένοις· ἐν οἷς σαφῶς εἴσεται καὶ πρὸς τὰ πρόσωπα καὶ πρὸς τὰ πράγματα καὶ πρὸς τὴν ποιότητα τῶν λόγων οὖσαν τὴν διδασκαλίαν· προπετοῦς γὰρ καὶ ἀπερισκέπτου πρὸ τῆς ἐπιστασίας ἐπιτιμᾶν τοῖς λεχθησομένοις· καὶ ἔστι τρόπος τοῦτο διδασκαλικός, τὸ προεκτίθεσθαι τὰ συντείνοντα πρὸς τὴν ὑπόθεσιν καὶ πάντα προκαθαίρειν τὰ ἀντιπίπτοντα, καὶ οὕτω ταύτην διεξιέναι καὶ διδάσκειν, ὃ πάντες ποιοῦσιν οἱ ἐπιστήμονες, καὶ διὰ τοῦτο καὶ προοιμιάζονται, καὶ ἀξιοῦσι καὶ προεκτίθενται καὶ συνιστῶσι τὰ ὑπὲρ ὧν ἡ ὑπόθεσις καὶ διαβάλλουσι καὶ αὔξουσι καὶ

---

22 Ita scripsi ex conj. Par. καὶ ἔστι τοῦ αἰτιάτου προκριθῆναι.

πάντα τὰ τοιαῦτα ποιοῦσι πρότερον, ἵνα κατὰ λόγον καὶ σαφὴς ἡ τῶν πραγμάτων φύσις ἀποδειχθεῖσα συμβαίη.

κθ'. Οἶμαι γὰρ θαυμάσεσθαι μᾶλλον. Δύο ἀναιρετικὴ περιεῖχεν ἡ ἀξίωσις κῶλα, τὸ μήτε τῇ μεθόδῳ ἐπιτιμῆσαι, μήτε τῇ κρίσει ἀξιωματικῶς προενεχθεῖσα, ὧν ἑκάστου ἐπάγει τὰς οἰκείας ἀποδόσεις ἕκαστα πάντοθεν διευκρινούμενος, ἐφ' οἷς ἀξιοῖ μὴ ἐπιτιμηθῆναι· καὶ πρῶτον μὲν ἡ πρὸς τὴν μέθοδον· ἠθικῶς καὶ ἐπιεικῶς αὕτη, οἶμαι γὰρ θαυμάσεσθαι ἂν εἰκότως ἡμᾶς· εἰ ἀπαθῶς τις ὁμιλήσοι, φησὶ, κατ' ἐξέτασιν καὶ κρίσιν ἀληθῆ τῇ μεθόδῳ, θαυμάσειεν ἂν εἰκότως ἡμᾶς διὰ τὴν ἀπλανῆ εὕρεσίν τε καὶ ἔκθεσιν, ἀλλ' οὔ τινος μέμψεως ἀξίους νομίσειε. Τὸ μὲν οὖν εἰκότως ἐπικρίσεως καὶ βεβαιώσεώς ἐστι σχῆμα· εἰκότως γὰρ, φησὶν, ἐπαινέσει ἐπὶ τῷ μεγέθει καὶ τῇ ἑρμηνείᾳ τῶν νοημάτων, τὸ δὲ μᾶλλον συγκριτικὸν πρὸς τὸ ἤ τινος μέμψεως ἀποδίδοται, ἀντὶ τοῦ θαυμάσει μᾶλλον ἤ τινος μέμψεως ἀξιώσει ἡμᾶς, εἶτα ἑτέρα δριμύτης καθ' ὑπέρθεσιν καὶ ἐπιβολήν.[23]

λ. Καὶ τὸ μέγιστον ἐπ' εὐκρινείᾳ· οὐ μόνον γὰρ οὐκ ἐπιτιμήσει, ἐφ' οἷς μέλλω διεξελθεῖν, ἀλλὰ καὶ τὸ μέγιστον καὶ πολλοῦ ἄξιον ἐπαίνου ἐπὶ τῇ σαφηνείᾳ καὶ εὐκρινείᾳ θαυμάσεται ὁ ἀπαθὴς ἐξεταστής· εὐκρινείας γὰρ ὡς ἀληθῶς τὸ σαφὲς ἀποδιδόναι τὰς τέχνας διακρίναντα καὶ διαχωρίσαντα, καὶ μὴ χύδην καὶ ὡς ἔτυχεν, ὥσπερ οἱ πρὸ αὐτοῦ· εὐκρίνειαν δὲ προετίμησε· πρῶτον μὲν, ὅτι αὕτη ζητεῖται ἐν τοῖς λόγοις, εἰ μηδὲν ἔχουσιν ἀσαφὲς καὶ ἄτεχνον· δεύτερον δὲ, ὅτι καὶ τὰς τῶν ἄλλων συγχύσεις καὶ εἰδῶν καὶ μερῶν καὶ ἰδίων καὶ κοινῶν καὶ μορίων καὶ ὅλων αὕτη διαρθροῖ· τρίτον, ὅτι οὐκ ἔστι λόγος οὔτε νόημα, ἐν οἷς οὐ ζητεῖται· τέταρτον, ὅτι ἐπαγωγός ἐστι πρὸς τὰς τῶν βιβλίων ἐκμαθήσεις· πέμ-

---

εμ
23 Par. ἐπιβολήν.

πτον, ὅτι αὕτη τὸν τεχνικὸν τούτου ζηλωτὸν παρὰ τοὺς ἄλλους ἐποίησε διὰ ταύτης εἰδοποιοῦντα· ἕκτον, ὃ ἤδη εἶπον, ὅτι οὐκ ἐχρήσαντο ταύτῃ οἱ πρὸ αὐτοῦ, καίτοι μόριά τινα καὶ σκιὰς ἰδεῶν, ἀλλ' οὐκ αὐτὰς καὶ ὅλα προθέντες· διὰ ταῦτα, φησὶ, πάντων γερῶν ἄξιοι ἡμεῖς, ἀλλ' οὐκ ἐπιτιμήσεως· εἶτα ταῦτα εἰπὼν καὶ μετρίως περιβαλὼν συμπερασματικῶς κατ' εὐκρίνειαν ἐπάγει καὶ τὴν δευτέραν τὴν περὶ τῆς προκρίσεως ἀπόδοσιν λέγων· ὁ τοίνυν Δημοσθένης· ἦν γὰρ ἀπερίβλητον οὕτω· ἐπιτιμήσει δὲ μηδεὶς μήτε τῇ μεθόδῳ, πρὶν ἅπαντα διεξέλθῃ, μήτε τῇ περὶ τὸν Δημοσθένην κρίσει, ὅτι Δημοσθένης τόδε καὶ τόδε ἦν· διὰ μέσου δὲ θεὶς τὴν ἀπόδοσιν καὶ κατασκευάσας αὐτὴν λέγει τὴν αἰτίαν ἐπιλαμβάνων μετὰ ταῦτα τῆς κρίσεως· συμπερασματικὴ δὲ γίνεται ἡ εὐκρίνεια, ὅταν τὰ τέλη τῶν φθασάντων ποιῶμεν τῶν μελλόντων ἀρχάς.

λά. Ὁ τοίνυν Δημοσθένης, ἕως, τοῖς οὐχ ἁπλῶς αὐτὸν μετροῦσιν· Οὐ πρῶτον δεῖ τὴν σύνταξιν τῶν λέξεων εἰπεῖν, περιβέβληται γὰρ, ἔπειτα τὴν διάνοιαν· ἔστι δὲ ἡ σύνταξις αὕτη· ἐπειδὴ τὸν διδασκαλικὸν προϋπέφαινε τρόπον, καὶ προὔθηκε τήν τε μέθοδον καὶ τὴν κρίσιν, ὡς ἔφην, ἐφ' οἷς ἠξίωσε μὴ ἐπιτιμᾶσθαι, καὶ εἰπὼν τὴν αἰτίαν ἐπὶ τῇ μεθόδῳ, πρὶν ἅπασαν τὴν πραγματείαν διελθεῖν, ἐπὶ τῇ κρίσει νῦν ἀπολογούμενος συνιστᾷ, λέγων καθ' ἣν αἰτίαν προὔκρινε Δημοσθένην· φησὶ γὰρ, ὁ τοίνυν Δημοσθένης, ὅ τι περ ἦν κεφάλαιον τῶν πολιτικῶν λόγων, ἠκριβωκὼς, δῆλον· τοῦτο γὰρ συνεξακούεται· τὸ δὲ ὅ τι περ ποτὲ μὲν ἄρθρον σημαίνει τὸ τί μόριον ἐφελκόμενον καὶ τόν περ σύνδεσμον ἀεὶ, καὶ μακρὸν ἂν εἴη, εἰ θείημεν παράδειγμα σαφοῦς ὄντος· ποτὲ δὲ τὸ πάνυ· διό φησιν ὁ Δημοσθένης, ὅπερ ἐστὶ κεφάλαιον κράτιστον καὶ ἄριστον τῶν πολιτικῶν λόγων, ἠκριβωκὼς ἦν τοῦτο· κεφάλαιον δέ φησι τὸ συνεκτικώτατον καὶ τιμιώτατον καὶ ἄριστον τῶν λόγων· ἢ καὶ οὕτως· ὁ

Δημοσθένης πάνυ ἦν ἠκριβωκὼς τὸν ἄριστον τῶν πολιτικῶν λόγων, εἶτα ταῦτα εἰπὼν, καὶ ὡς ἐξ ὁμολογίας λαβὼν τὴν πίστιν, ἐπάγει, πῶς ἐστι δῆλον· καὶ τὸ μὲν γνῶναι πῶς διὰ πάντων τῶν εἰδῶν διήκει πανταχοῦ ταῖς μίξεσι καὶ τὰ ἑξῆς. Τάχα ἂν οὐ τῶν σφόδρα γένοιτο χαλεπῶν εὑρεῖν τοῖς οὐχ ἁπλῶς αὐτὸν μετιοῦσι· τὸ μὲν οὖν ὡς ἀντὶ τοῦ πᾶς εἴληπται· τὸ δὲ ἁπάντων εἰδῶν, δηλονότι συμβουλευτικοῦ, δικανικοῦ, πανηγυρικοῦ· τὸ δὲ πανταχοῦ καὶ συμβουλεύων καὶ δικαζόμενος καὶ πανηγυρίζων ἀλλήλοις συμμίγνυσι· τὸ δὲ ταῖς μίξεσι ταῖς τῶν ἰδεῶν ἑκάσταις ἐφέλκεται· διδάξει γὰρ, τίνες ἑκάστῃ τῶν ἰδεῶν ἰδέαι προσήκουσιν· ἢ καὶ οὕτως· τὸ μὲν οὖν γνῶναι, ὅτι διὰ πάντων τῶν εἰδῶν,[23*] τουτέστι τῶν ἰδεῶν, λέγονται γὰρ καὶ οὐδετέρως, ἥκει πανταχοῦ ταῖς μίξεσιν αὐτῶν καὶ τὰ ἑξῆς· ἐν μὲν γὰρ τοῖς Φιλιππικοῖς τοῖς τῆς πραγματικῆς κεφαλαίοις διαιρουμένοις, ἥτις ἐστὶ τοῦ συμβουλευτικοῦ, κατηγορεῖ μὲν τῶν προδοτῶν τῷ δικανικῷ· ψέγει δὲ Φίλιππον, ὅ ἐστι πανηγυρικόν· ἐν δὲ τῷ παραπρεσβείας δικανικῷ ὄντι πολλὴν Αἰσχίνου καταφορὰν ποιεῖται· πανηγυρίζει δὲ οὐδέποτε καθ' αὑτὸ χρώμενος τῷ πανηγυρικῷ· ἀσθενὴς γάρ ἐστι καὶ ἀγύμναστος τούτου· ἀλλ' ὅταν ὡς κεφάλαιον ἐμπέσῃ αὐτῷ τὸ πανηγυρικὸν ἐν τοῖς λόγοις, τῶν ἄλλων τινὸς ἐχόντων τὴν ὑπόθεσιν, τούτοις αὐτὸ συμπλέκει, καθάπερ ἐν τῷ ὑπὲρ στεφάνου· ὁ γὰρ λόγος παρανόμων ἔχων κατηγορίαν τῷ συμβουλευτικῷ διαιρεῖται κατὰ ῥητὸν καὶ διάνοιαν, ἥτις ἐστὶ τοῦ δικανικοῦ· καὶ κατὰ ἀντινομίαν οὐ τελείως τὰς στάσεις, ἀλλὰ τοῖς συμπίπτουσι κεφαλαίοις, κατηγορίαν δὲ δωροδοκίας καὶ δυσνοίας, καὶ τοῦ ὑπεύθυνον εἶναι Δημοσθένην τοῖς νόμοις, δικανικῶς πάλιν κατὰ στοχασμὸν ἀπολογούμενος, τὰς ἑαυτοῦ[24] πράξεις ἐπαίρει, ὅπερ ἐστὶ πανηγυρικοῦ· οὕτω καὶ ὁ Θεολόγος δικανικῶς

23* Par. ἰδεῶν. scripsi εἰδῶν. 24 Par. ἐμαυτοῦ. marg. ἑαυτοῦ.

ἀπολογούμενος, ἐν τῷ συντακτηρίῳ τοῖς τῆς ἀντιστάσεως κεφαλαίοις, ἀλλ᾽ οὐ τοῖς τῆς ἀντιλήψεως, ὡς φλυαροῦσί τινες, πανηγυρικὴν ἔχει τὴν ἰδέαν· τὰς γὰρ πράξεις τὰς αὐτοῦ διέξεισι, καὶ ἐν τῷ ἀπολογητικῷ τοῖς τοῦ στοχασμοῦ ἀπολογούμενος κεφαλαίοις τὸ γεγονὸς συνίστησιν, ὅπερ ἐστὶ πανηγυρικοῦ· κἀν τῷ περὶ τοῦ βαπτίσματος, συμβουλευτικῷ ὄντι, τῷ κατὰ προτροπὴν καὶ τῷ περὶ φιλοπτωχίας συνέπλεξε τὴν μετάληψιν, ἥτις ἐστὶ δικανική· ὡμολόγηται γὰρ ἐν ἀμφοτέροις τὸ πρᾶγμα. Ζητεῖται δὲ ἐν μὲν τῷ ὁ χρόνος, εἰ τηνικαῦτα δεῖ βαπτίζεσθαι· ἐν δὲ τῷ τὰ πρόσωπα, εἰ καὶ τοὺς λωβοὺς δεῖ ἐλεεῖν, διὰ τὴν ἄλογον δόξαν τὴν τῆς νόσου μετάδοσιν· ἥτις στοχαστικοῦ [25] οὖσα, καὶ τὸ εἰ μεταδίδοται μεταληπτικῶς ἐλύθη κατὰ φυσικὴν καὶ παραδειγματικὴν θεωρίαν, ὡς οὐ μεταδίδωσιν· ἐν δὲ τῷ γενέθλιακῷ πάλιν καὶ τῷ τῶν φώτων πανηγυρικοῖς οὖσι καὶ ἐγκωμίων διαίρεσιν ἔχουσιν, ὅρα, πόση καταφορὰ καὶ τοπικαὶ ἐπιδρομαὶ καὶ ἀντιθέσεις, καὶ λύσεις δικανικαί, ὥσπερ καὶ τὸ τῆς ἐπιγραφῆς, ὃν οἱ ἀμαθεῖς πρὸς Ἰουλιανὸν [26] ἐπιγράφουσι πρὸς Ἑλλήνιον ἐκφωνηθέντα, ὡς ἀπὸ τῶν ἐπῶν ἔγνωμεν· συμβουλευτικῶς γὰρ διαιρούμενος τὰς ἐργασίας ἔχει δικανικάς· τί δ᾽ ἂν εἴποι τις πρὸς τοὺς καλέσαντας καὶ μὴ ἀπαντήσαντας; [27] ὡς συγγνώμης ὤν, οὐδὲ κεφάλαιον σχεδὸν ἔχει συγγνωμονικόν· οὕτως ἐστὶ νικῶν τῷ συμβουλευτικῷ, καὶ ταῖς ἀρίσταις ἁπανταχοῦ χρώμενος μίξεσι, ταῖς τὸν ἀκρότατον ἀποτελούσαις πολιτικόν· ἀλλὰ περὶ μὲν τούτων αὔταρκες, περὶ δὲ τὰ ἑξῆς βαδιούμεθα.

λβ'. Τάχα ἂν οὐ τῶν σφόδρα γένοιτο χαλεπῶν. Διστατικῶς ἐπήγαγεν ἀφ᾽ ἑαυτοῦ κρίνων [28] καὶ τὰ τῶν λοιπῶν· οἱονεὶ λέγων ὅτι ὥσπερ ἐγὼ οὐ χαλεπῶς ταῦθ᾽

25 Par. στοχαστικόν. marg. στοχαστικοῦ. 26 Par. πρὸς Ἰούλιον. marg. πρὸς Ἰουλιανόν. 27 Par. ἀπατήσαντας. marg. ἀπαντήσαντας. 28 Par. κρίνον. marg. κρίνων.

εὗρον, ὀλίγα κοπιάσας, οὕτω καὶ ἕτερός τις εἰ μὴ ῥαθύμως ζητήσειεν, εὕρῃ.

λγ'. *Οἷς μέντοι καθαπερεὶ στοιχείοις καὶ ἀρχαῖς.* Οἱ μερισμοὶ κατὰ μέστωσιν εἰσαχθέντες καὶ πνευματικῶς περιβολὴν ἀπειργάσαντο, ἀναπόδοτοι δὲ ὄντες ἐξαιρέτως ὁ πρῶτος καὶ μὴ ἀνταποδιδόμενος τῷ δὲ, ὧν [29] τὸ ὁμολογούμενον καὶ ἀναντίῤῥητον τῆς ἐννοίας ὑποσημήνας, καὶ τὸ οὕτως ἔχειν, ὡς διέξεισιν, ἀλλ' οὐχ ἑτέρως· ἐπὶ γὰρ τῶν μὴ δεχομένων ἀμφισβήτησιν τίθενται· στοιχεῖον δὲ καὶ ἀρχὴ διαφέρει· εἴ τι μὲν γὰρ στοιχεῖον, τοῦτο καὶ ἀρχὴ, οὐ τὸ ἀνάπαλιν· ἀρχὴ μὲν γὰρ ὁ θεμέλιος τῆς οἰκίας, στοιχεῖα δὲ τὰ πρῶτα γράμματα· στοιχεῖα μὲν γάρ ἐστιν, ἐξ ὧν τὰ πάντα συνέστηκε, καὶ εἰς ἃ ἀναλύεται, ὡς ὁ λόγος ἐκ τῶν γραμμάτων, καὶ τὰ ζῶα ἐκ τῶν τεσσάρων στοιχείων· καὶ ἀναλύεται ὁ μὲν εἰς τὰ στοιχεῖα τῶν γραμμάτων, τὰ δὲ εἰς τὰ τῶν ὄντων· λέγεται δὲ παρὰ τὸ στείχω τὸ κινοῦμαι, ἐξ οὗ τὰ ἐξ αὐτοῦ κινοῦνται καὶ προοδεύουσιν, ἢ παρὰ [30] τὰ στείχω, τὸ ἑδράζω, ἐξ οὗ καὶ τεῖχος ἐκβολῇ τοῦ σ, εἰς ὃ πάντα ἑδράζονται καὶ στάσιν ἔχουσιν· ἢ παρὰ τὸ ἵστημι, στήσω, ἕστηκε, καὶ ὁ μέσος μέλλων ἔστοιχε, καὶ ἐξ αὐτοῦ ἀλλαγὴ στείχω καὶ πλεονασμῷ [31] στείχω παρὰ τὸ στάσιν ἔχειν. Ἀρχὴ δὲ παρὰ τὸ ἄρχω, τοῦτο παρὰ τὸ ἀρκῶ, ἀρκὴ καὶ ἀρχὴ, οἱονεὶ τὸ εἰς αὐτάρκειαν ὂν καὶ ἱκανώτατον τῶν ὧν ἐστιν ἀρχή· οὕτω κἂν τῇ τῆς ῥητορικῆς καὶ τοῦ κατὰ ταὐτοῦ λόγου στοιχεῖον, ἔννοια, μέθοδος, λέξις καὶ τὰ λοιπὰ, ἃ καὶ ἀρχὴ λέγοιντ' ἂν εἰκότως, καὶ κυρίως αὐτοῦ ὄντος ἐκ τούτων, καὶ εἰς αὐτὰ ἀναλυομένου· οὐ κυρίως δὲ, ἀλλὰ κατὰ δεύτερον λόγον καὶ αἱ ἰδέαι· συνίσταται γὰρ καὶ ἐκ τούτων ὁ λόγος, ὥσπερ καὶ τὰ σώματα ἐκ τῶν κοσμικῶν στοιχείων, καὶ πάλιν ταῦτα ἐκ τῶν κράσεων τούτων οὐ-

---

29 Par. δεῶν. 30 Par. περί. marg. παρά. 31 Par. πλεονασμοῦ.

τως ἐχόντων. φησὶν ὁ τεχνικός· τὸ μὲν οὖν γνῶναι τὴν τῶν εἰδῶν καλλίστην μίξιν Δημοσθένους, ἴσως οὐκ ἐργῶδες, τὸ δὲ τὰς οἷον στοιχεῖα καὶ ἀρχὰς ἰδέας, καὶ τὰ ἐξ ὧν αὗται συνίστανται, οἷς ὡς εἴδεσι καὶ χαρακτῆρσι καὶ μορφαῖς χρησάμενος προσώπων τοιούτους εἰργάσατο λόγους, ἃ καὶ τὸ πανηγυρικὸν καὶ τὸ δικανικὸν, ἔτι γε μὴν καὶ τὸ συμβουλευτικὸν ποιεῖ συνάρασθαι πρὸς ἀλλήλους θαυμασίως· καὶ τίς ἡ τούτων αἰτία, καὶ πῶς εἰς τὸ εὐπρεπὲς, ἐξ ὧν ἀλλοιοῦται ὁ λόγος, οὐ μόνον χαλεπὸν εὑρεῖν, ἀλλὰ καὶ τὸ εὑρόντα διδάξαι τι περὶ αὐτῶν σαφὲς παγχάλεπον· τοῦτο γὰρ Ἰσοκράτης φησὶν ἐν τῇ κατὰ σοφιστῶν, [32] καὶ ἡ αἰτία διττὴ τῆς χαλεπότητος, ὅτι οὐκ ἀνερμήνευτος μόνον ἡ ἀλλοίωσις, καὶ ὡς εἰπεῖν ἀπροαίρετος κατὰ τὸν ἑαυτοῦ λόγον, ὥσπερ καὶ τῶν σωμάτων, ἀλλ' ὅτι καὶ τῶν πρὸ ἐμοῦ τις οὐδόλως ἐτόλμησεν εἰπεῖν· οἱ δὲ εἰπόντες τι ἀκριβὲς καὶ ἀληθὲς οὐδὲν εἰρήκασιν, ὥσπερ Βασιλικὸς καὶ Μινουκιανὸς καὶ ἄλλοι πλεῖστοι, ὥσπερ ἐφ' ὑδάτων τεταραγμένως καὶ τεθολωμένως καὶ χύδην καὶ συγκεχυμένως, καὶ τὸ ὅλον εἰπεῖν, ἕκαστος ἑαυτῷ ἀπιστῶν τε καὶ ἀμφιβάλλων, ἀλλ' οὐκ ἐκ διαθέσεως κρίνων, εἰ καλῶς εἴρηται, ὥστε αὐτοῖς συγκεχύσθαι καὶ ἰδέας μετὰ ἰδεῶν καὶ μόρια μετὰ μορίων, οὐ γὰρ ἠδυνήθησαν τὰ ἑκάστης ἴδια διαρθρῶσαι. [33]

λς'. Πρὸς γὰρ αὖ τοῖς ἄλλοις. Πρὸς γὰρ τοῖς χύδην καὶ ἀτάκτως εἰποῦσι καὶ οἱ δόξαντες ἀκριβέστερον περὶ Δημοσθένους εἰπεῖν, ὥσπερ καὶ οὓς εἴρηκε καὶ μετ' αὐτῶν ὁ Ζήνων τὸ κατὰ μέρη θεωρήσαντες, ὅτι τυχὸν τοῦτο σεμνότης ἢ ἀφέλεια, μᾶλλον δὲ ἔννοια ἢ λέξις ἤ τι τῶν ἄλλων, ὡς Ἀριστείδης καὶ Διονύσιος, καὶ τοῦτο μερικῶς καὶ ἀσαφῶς καὶ ἀπαραδειγματίστως· τῶν δὲ ὅλων

32 p. 16. p. 331. Bekk. 33 Sequitur expositio Συριανοῦ καὶ Φοιβάμωνος, quae continetur Vol. V. p. 447. v. 16 — p. 448. v. 7. et Vol. VII. p. 878. v. 1—13.

βραχέα μὲν, μᾶλλον δὲ οὐδὲν, τὸ γὰρ ὀλίγον πρὸς τὸ πᾶν οὐδέν ἐστι.

λζ. Τάχ᾽ ἂν περὶ Δημοσθένους τι διδάσκοιεν ἡμᾶς. Εἰρωνεία τὸ σχῆμα τῆς ἐννοίας κατὰ βαρύτητα ἀντὶ τοῦ, οἱ μηδὲν εἰπόντες, πῶς ἂν διδάξωσιν ἡμᾶς περὶ Δημοσθένους, καὶ τῆς τοῦ λόγου αὐτοῦ μίξεως καὶ τῶν μερῶν καὶ τῶν μορίων αὐτῶν· τὸ δὲ νὴ Δία ὀρκωμοτικόν ἐστιν ἐπίῤῥημα ἐνδιαθέτου λόγου καὶ ἀληθινοῦ, καὶ τὸ ἂν δὲ δυναμωτικὸν λέγουσιν οἱ ῥήτορες, ὡς δυναμοῦν μὲν τὸν λόγον καὶ εὐπρεπῆ ποιοῦν, οὐχ ὑποτακτικῷ [1] δέ, ἀλλ᾽ εὐκτικοῖς ἀεὶ συντασσόμενον. Προσέθηκε δὲ καὶ τὸ φασὶν, ἀντὶ τοῦ ἐπιστέλλουσιν, ἐξαιρέτως δὲ Διονύσιος πρός τινα, ὅτι τόδε καὶ τόδε συγγράψας ἀπέστειλα. [2]

λή. Περὶ μέντοι παντὸς λόγου· οὐδὲν, φησὶ, περὶ τῶν καθόλου φροντίσαντες, εἴτε ἐν μέτροις, ἐν μέτροις μὲν, ὡς ἐν τοῖς λυρικοῖς, ἐν ποιήσει δὲ, ὡς ἐν τοῖς ἐπικοῖς καὶ δραματικοῖς· μέτρα μὲν λέγονται οὐχ οἱ πόδες, ἀλλ᾽ αἱ συζυγίαι, καθὼς λέγονται μονόμετρα, δίμετρα, καὶ κατὰ πάσας τὰς τῶν τοιούτων διαστολὰς, ποιήματα δὲ τὰ τέλεια ἔχοντα τὸν στίχον διὰ πασῶν αὐτοῦ τῶν συζυγιῶν περανθέντα· καταλογάδην δὲ ὡς ἐν τοῖς πεζοῖς· ἡ μὲν γὰρ ποίησις ἄσχετός ἐστι καὶ οὐ φροντίζουσα ἀνταποδόσεως ἀριθμοῦ στίχων ἐν ταῖς περιόδοις, ὡς Ὅμηρος, Ἡσίοδος καὶ οἱ παραπλήσιοι· διὸ καὶ ἐπικοὶ λέγονται, ὡς ἑπομένας ἔχοντες τὰς περιόδους καὶ τοὺς πόδας ἀλλήλοις, ἀλλ᾽ οὐ στροφαῖς καὶ ἀντιστοφαῖς [3] δουλεύοντες. Τίνες δέ εἰσιν αὗται, ἐροῦμεν προϊόντες· μέτρα δὲ καὶ αὐτοὶ οἱ ῥυθμοὶ λέγονται, τουτέστιν οἱ πόδες, καὶ ἡ τούτων αὐτῶν ἐν τοῖς χρόνοις μέτρησις, καὶ αἱ συζυγίαι, καὶ αἱ τῶν ποδῶν συνθέσεις, ἃς καὶ αὐτὰς ἐροῦμεν· κα-

1 Par. ὑποτάσσον δέ ἀλλ᾽ ἐκτικοῖς. corr. margo. (ε, αῖς) 2 Par. ἀπέστειλα. 3 Par. ἀντιστροφοῖς.

ταλογάδην δὲ ὁ πεζὸς λόγος λέγεται, ἢ διὰ τὸ κατὰ λόγον προϊέναι ὁμιλητικὸν καὶ μέλους χωρὶς, ἢ διὰ τὸ κατ' ἐκλογὴν γίνεσθαι τῶν ὀνομάτων καὶ ῥημάτων, δι' ὧν δύνανται νοεῖσθαι τὰ μέλλοντα ῥηθῆναι, ἢ κατὰ συναίρεσιν λογοειδῆ καὶ λογάδην· λόγος γὰρ κυρίως ὁ ἀφηγηματικὸς καὶ καθ' ὁμιλίαν κοινὴν, [4] ᾧ ὅμοιος ὁ κατὰ συνέπειαν πεζήν τε καὶ φυσικὴν προϊών· τούτων πάντων, φησὶ, τὰς ἰδέας ἐκεῖνοι καταλιπόντες ἀδιδάκτους εἴασαν ἡμᾶς τὸ ὅσον ἐπ' αὐτοῖς, καὶ οὐκ ἄν τι μεμαθήκαμεν, εἰ μὴ παρήχθη Ἑρμογένης.

λβ'. Χαλεπὸν μὲν οὖν. Ἐπαναλαμβάνει τὰ εἰρημένα σαφηνίζων διὰ τὴν αὐτῷ γεγενημένην περιβολήν· μετ' εὐκρινείας δέ φησι καὶ σαφηνείας, καὶ οὐχ ὥσπερ ἐκεῖνοι, συγκεχυμένως καὶ ἀσαφῶς.

μ'. Πειρατέον δὲ ὅμως· ἐπιεικῶς τὸ πειρατέον, ἀντὶ τοῦ δοκιμάσωμεν τὰ καθ' ἣν προεθέμεθα ὁδὸν καὶ σκοπὸν, εἴρηνται δὲ ἀρχαὶ καὶ στοιχεῖα μεταφορικῶς ἀπὸ τῶν κοσμικῶν στοιχείων.

μα'. Αὐτὰ ἕκαστα ἐφ' ἑαυτῶν· ἀντὶ τοῦ ἓν ἕκαστον ἐφ' ἑαυτοῦ. ἤγουν τὴν σαφήνειαν χωρὶς καὶ καθ' ἑαυτὴν, καὶ τῶν ἄλλων ἑκάστην μετὰ τῶν ἰδικῶν μορίων αὐτῶν.

μβ'. Πόσα τέ ἐστι δεῖξαι. Ὅτι γενικαὶ μὲν τρεῖς, σαφήνεια, μέγεθος, ἦθος, ὧν ἡ μὲν σαφήνειαν ποιεῖ καθαρότης καὶ εὐκρίνεια, τὸ δὲ μέγεθος ἓξ, σεμνότης, τραχύτης, σφοδρότης, λαμπρότης, ἀκμὴ καὶ περιβολή· τὸ δὲ ἦθος ἐπιείκεια, ἀφέλεια, γλυκύτης, δριμύτης καὶ βαρύτης· ἄτομοι δὲ τρεῖς, κάλλος, γοργότης, δεινότης, ὁμοῦ δὲ πᾶσαι πεντεκαίδεκα.

μγ'. Καὶ ὁποῖα· ὅτι ἡ μὲν σαφήνεια κατὰ τήνδε καὶ τήνδε γίνεται, ἡ δὲ ὑψηλὴ τοιῶσδε, καὶ αἱ ἄλλαι κατὰ τὴν ἑαυτῶν, ὡς διδάξει, φύσιν· διὰ τῶνδε καὶ τῶν-

---

4 Par. κοινή. scripsi κοινήν.

δε μορίων, καὶ ὅτι αἱ μὲν τοιῶσδε καὶ τοιῶσδε κραθεῖσαι ποιοῦσι λόγον τὸν ἄριστον, αἱ δὲ τὸν ἥττονα, αἱ δὲ τοὺς ἐφεξῆς ὑποβεβηκότας.

μδ΄. Τάχα ἂν περὶ ἁπάντων τῶν λόγων εἰρηκότες εἴημεν. Ὁμολογουμένως, εἰ κατὰ τὴν προκατασκευὴν αὐτῶν καὶ προέκθεσιν ἥ τε κατασκευὴ γένηται καὶ ἡ διδασκαλία, καὶ τῶν παραδειγμάτων ἀληθὴς καὶ βεβαία, ἀλλ' οὐ στοχαστικὴ ἡ δεῖξις ἔσται· τὸ δὲ τάχα εἶπεν ἐπιεικῶς καὶ μετριάζων.

με΄. Ἡ μὲν οὖν ὑπόθεσις οὕτω μεγάλη. Ἐκ τοῦ Δημοσθένους ἡ χρῆσις τετάρτου λόγου τῶν Φιλιππικῶν· μέλει γὰρ ἐν τούτῳ περὶ χρημάτων πόρον δεῖξαι προσόντων τοῖς Ἀθηναίοις, ἃ ἐνόμιζον αὐτοὶ μὴ ἔχειν· καὶ ὑποσχόμενός φησι θαυμάσειν, πόθεν ἔσται·[5] „ἡ μὲν οὖν ὑπόσχεσις οὕτω μεγάλη, τὸ δὲ πρᾶγμα ἤδη τὸν ἔλεγχον δώσει, κριταὶ δὲ ὑμεῖς ἔσεσθε·„ εἶτα λέγει πρῶτον τὸν ἐξαρτισμὸν τῆς δυνάμεως, καὶ εἶθ' οὕτως τὸν πόρον· ἔστι δὲ προκαθηράμενος τὰ ἀντιπίπτοντα, εἰ αὐτὴν εἰσβάλλει τὴν διδασκαλίαν, λοιπὸν οὐκ ἐνδοιάζων οὐδὲ ἀμφιβάλως λέγων, ἀλλ' ἀξιωματικῶς, ὅπερ ἐστὶν ἀνδρὸς ἑαυτῷ[6] θαῤῥοῦντος.

μς΄. Εἰ μέλλοι τις ὡς ἕν. ὡς ἐν συντόμῳ καὶ ταῦτα ἤδη ἡμεῖς προεξεθέμεθα, τὸ δὲ ἀληθὲς εἴρηται εἶναι ὑπὸ τὸ ἦθος· ἑρμηνεύσει δὲ τί ἐστι τὸ ἕν, ὅτι ἡ συμπλοκὴ αὐτῶν καὶ ἡ κατάλληλος μίξις, τὸ ὡς ἓν εἶναι καὶ ἕνα λόγον ποιοῦσι καὶ φαίνεσθαι καὶ εἶναι.

μζ΄. Αἱ μὲν ἐφ' ἑαυτῶν εἰσιν· ἐφ' ἑαυτῶν εἰσιν αἱ ἄτομοι καὶ καθ' ἑαυτάς, τό τε κάλλος καὶ ἡ γοργότης καὶ ἡ δεινότης, αἱ δὲ γένη εἰσὶ καὶ εἴδη, ὡς ἡ σαφήνεια καὶ τὸ μέγεθος καὶ τὸ ἦθος εἴδη ἔχουσιν ὑφ' ἑαυτάς, ἃ πρὸ μικροῦ δέδεικται.

μη΄. Αἱ δὲ κοινωνοῦσιν ἀλλήλαις· κοινωνοῦσι

5 Phil. I. p. 44. 6 Par. ἐμαυτοῦ. scr. ἑαυτῷ.

μὲν ἀλλήλαις διχῶς, ὅταν τινὲς τῶν ὁμογενῶν ἔχωσί τινα κοινὰ τὰ αὐτὰ, ὡς ἡ καθαρότης καὶ ἡ εὐκρίνεια, κῶλα καὶ λέξεις, συνθήκας καὶ σχήματα καὶ ῥυθμούς· ἡ δὲ τραχύτης καὶ ἡ σφοδρότης πᾶσι χωρὶς τῶν προσώπων καὶ τῆς ὀνοματοποιίας, ὅτι ἡ μὲν κατὰ μειζόνων, ἡ τραχύτης, ἡ δὲ κατὰ ἐλαττόνων, καὶ ὅτι ἡ σφοδρότης ὀνοματοποιεῖ, ὡς τὸ αἰδωλιανὸς καὶ καυσίταυρος, καὶ ὅταν ὦσιν ἑτερογενεῖς, ὡς ἡ ἀφέλεια κοινωνεῖ τῇ καθαρότητι κατά τε λέξιν καὶ ἄλλα τινά.

μθ'. Μέρει δέ τινι, ἢ μέρεσιν ἢ ἑνὶ μόνῳ ἢ πλείοσιν. Ἡ γάρ τοι ἀκμὴ κοινωνεῖ μὲν ταῖς ἐννοίαις καὶ ταῖς ἐφόδοις τραχύτητι,[7] σχήμασι δὲ λαμπρότητι καὶ περιβολῇ· ἡ γὰρ μακροκωλία κατὰ πεποίθησιν λαμπρότητος· τὸ δὲ ἐπιτιμητικὸν τραχύτητος·[8] οὐ μὴν ἀλλὰ καὶ ἀλλογενεῖς ὡς εἶπον· τὸ γὰρ ἐγὼ θαυμάζω, ὃ πρὸς τοὺς ἐμοὺς πεπόνθατε λόγους, ἀφελείας ἐστὶ κατὰ τὴν ὀρθότητα καὶ καθαρότητα· οὕτως καὶ ὁ τοὺς ἁλιεῖς προελόμενος Ἰησοῦς, καὶ ὅσα κατ' εὐθεῖαν πτῶσιν. εἰκότως· εἰ γὰρ ἔοικεν ὁ λόγος ζώῳ, εὔδηλον, ὅτι τὰ αὐτοῦ μέρη κοινωνίαν ἔχουσι καὶ διαφορὰν, τὰς μὲν καθ' ἃς ἥνωται, ὥσπερ ἡμεῖς καὶ τὰ ζῶα, τῷ ἐμψύχῳ, τῷ αἰσθητικῷ, τῷ κινητικῷ· τὰς δὲ καθ' ἃς διῄρηται, ὥσπερ τὸ λογικὸν, διίστησιν ἡμᾶς ἀπὸ τῶν ἀλόγων· ἡμεῖς μὲν γὰρ οἷς εἴπομεν κατά τε τὴν οὐσίαν καὶ τὰς ποιὰς κράσεις κοινωνοῦμεν τοῖς ἀψύχοις· κατὰ δὲ ταῦτα καὶ τὸ θρεπτικὸν κοινωνοῦμεν τοῖς φυτοῖς· κατὰ δὲ ταῦτα καὶ τὸ θρεπτικὸν καὶ τὴν καθ' ὁρμὴν κίνησιν καὶ τοῦ ὁμοίου γεννητικὴν καὶ τὸ θνητὸν τοῖς ἀλόγοις· κατὰ δὲ τὸ λογικὸν καὶ νοερὸν τοῖς ἀγγέλοις· οὕτω κἀπὶ τῶν ἰδεῶν, ὡς προϊόντες εὑρήσομεν, καὶ τὸ ἑξῆς δῆλον· γένη γάρ εἰσιν εἰδῶν σαφήνεια, μέγεθος, ἦθος· αἱ δὲ ὥσπερ κατὰ διαφοράν τινα

7 Par. τραχύτητι, σχήμασι δὲ λαμπρότητι. 8 Par. τραχύτητα.

κοινωνοῦσιν ἑτέραις ἰδέαις, τοῖς ἄλλοις κεχωρισμέναι· ἡ διαφορὰ ἐπὶ τῶν διαφερόντων εἴρηται, οὐκ ἐπὶ τῶν κοινωνούντων, διὸ νοητέον οὕτως· αἱ δὲ κοινωνοῦσιν ἑτέραις ἰδέαις ἐν μέρει ἢ πλείοσιν, ὥσπερ τὰ ἄψυχα τοῖς ἐμψύχοις ταῖς κράσεσι καὶ ταῖς διαθέσεσι, τοῖς ἄλλοις ὥσπερ κατὰ διαφοράν τινα κεχωρισμέναι· καθάπερ διΐστανται τὰ ζῶα τῶν ἀψύχων τῷ ἐμψύχῳ καὶ τῶν ἀναισθήτων τῷ αἰσθητικῷ, οὕτω καὶ αἱ ἰδέαι ἀπ' ἀλλήλων· ἡ μὲν γὰρ καθαρότης δεινότητος ταῖς ἐννοίαις διΐσταται καὶ ταῖς μεθόδοις, ταῖς τε λέξεσιν αὖ, ἔστι δ' ὅτε κοινωνεῖ· τὸ γὰρ ἄ ν α ρ χ ο ς καθαρὸν ὂν καὶ δεινότητός[9] ἐστι διὰ τὴν ὁμωνυμίαν· οὕτω καὶ τὸ ὁ θ ε ά ς· ὁ μὲν γὰρ ἰδιώτης οὐ περαιτέρω τοῦ ὀνόματος πρόεισιν, ὁ δὲ ἐπιστήμων καὶ τὴν διάνοιαν πολυπραγμονεῖ· ταῖς δὲ ἐννοίαις ἅπασαι μὲν τῆς σεμνότητος κεχωρισμέναι εἰσί, κοινωνοῦσι δὲ αὐτῇ αἱ μὲν κατὰ λέξιν, αἱ δὲ κατὰ ῥυθμόν, αἱ δὲ κατ' ἄλλο τι, καὶ πᾶσαι οὕτως, ὡς μαθησόμεθα, ὅπου καὶ αὐτὰς τὰς ἰδέας.

ἡ. Α ἱ δ ὲ μ έ ν ο υ σ ι ν ἐ φ' ἑ α υ τ ῶ ν[10] ο ὐ δ ε ν ὸ ς ἄ λ λ ο υ π ρ ο σ δ ε ό μ ε ν α ι. Διττὴν ὑποτίθησι τοῦτο τὴν ἔννοιαν, ἢ ὅτι ὅσαι ἄτομοί εἰσιν, ὡς τὸ κάλλος, δεινότης αὖ καὶ γοργότης· μένουσι γὰρ καθ' ἑαυτάς, τῶν ἀπὸ γένους συστατικῶν μὴ δεόμεναι, ὥς τινος τῶν ἄλλων ἰδεῶν· ἴδια γὰρ ἔχουσι πάντα καὶ ἀκοινώνητα, ἢ ὅτι τινὲς εἴδη οὖσαι τῶν τοῦ γένους δέονται, ὥσπερ ἡ τραχύτης καὶ σφοδρότης τοῦ μεγέθους οὖσαι αἱ δέονται αὐτοῦ, ἢ ὀλίγαι τῆς λέξεως καὶ τοῦ ὕμνου, καθὰ καὶ τὰ ζῶα οὐ δέονται τῶν ἀψύχων πλὴν τῆς ποιᾶς κράσεως, ὡς μαθησόμεθα· τὰ δὲ λεγόμενα δῆλα, ὅτι ὑποβεβηκυίας μὲν λέγει τὰ εἴδη· εὐμαθέστερον δὲ ἀντὶ τοῦ σαφέστερον καὶ εὐκρινέστερον· παρακολουθοίημεν δὲ ἀντὶ τοῦ εὐκόλως

9. Par. δεινότητας, sec. δεινότητος. 10. Par. ἐφ' ἑαυτάς et προσδέομαι. correxi ex Herm.

νοοῖμεν καὶ μανθάνοιμεν, ἀπλανῶς ἑποίμεθα τῷ διδάσκοντι καθάπερ ὁδηγῷ τινος ἀγνώστου ὁδοῦ, καὶ εἴρηται μεταφορικῶς τῆς λέξεως οὔσης ἰδίας τῆς σεμνότητος.

Ἅπας τοίνυν λόγος. Τὰ μόρια θέλει[11] διδάξαι, ἐξ ὧν αἱ ἰδέαι συνίστανται καὶ γινώσκονται, καὶ ἔστι διδασκαλικὸς τρόπος ὁ κατὰ ἀνάλυσιν καὶ ἐπαγωγὴν, ἀπὸ τῶν μερικῶν καὶ μορίων δεικνὺς τὸ ὅλον καὶ τὸ καθόλου, ᾧπερ ἐνταυθοῖ μόνον ἐχρήσατο· ὥσπερ γὰρ ἀνθρώπου φύσιν διδάξαι προθέμενος πρῶτον τὰ μόρια καὶ μέρη αὐτοῦ διέξεισιν, ἣν καὶ χρείαν μορίων καλεῖ ὁ Γαληνὸς, τυχὸν τὴν οὐσίαν, τὸ ζῶον, τὸ αἰσθητικὸν, κεφαλὴν, χεῖρας, πόδας καὶ τὰ σύστοιχα, εἶτα τὸ ὅλον τὸ ἐκ τούτων συνεστηκὸς, οὕτως καὶ οὗτος τὰ μόρια προδιδάσκει ἢ καὶ μέρη, καὶ εἶθ᾽ οὕτως τὰς ἐκ τούτων συντεθείσας· οὕτω γὰρ καὶ ὁ θεολόγος καὶ ὁ Μωϋσῆς ἀνθρώπου παραγωγὴν διηγούμενοι, πρῶτον μὲν τὸ σῶμα, ἔπειτα τὴν ψυχὴν μέρη ὄντα παραχθῆναι διεξῆλθον, καὶ τελευταῖον τὸ ὅλον· εὔληπτος γὰρ ἡ ἀπὸ τῶν ἁπλουστέρων ἐπὶ τὰ συντεθώτερα πρόοδος· ἅπας τοίνυν λόγος· τί οὖν καὶ φιλόσοφος καὶ ἰατρικός· τυχὸν μὲν ἔχουσι καὶ οὗτοι ταῦτα· ἄτεχνα δὲ καὶ χύδην καὶ οὐ κατ᾽ ἐπιστασίαν τῶν γραφόντων, τῷ μηδένα λόγον ἔχειν αὐτῶν· ὁ δὲ ῥητορικὸς καὶ μάλιστα, ἐν τούτῳ γάρ ἐστιν αὐτῷ τὸ πεῖσαι, ἔννοιάν τε πάντως ἔχει τινὰ ἢ ἐννοίας. σαφὲς δὲ τὸ λεγόμενον· ἔννοιαν μὲν ἔχει μόνην μίαν, ὥσπερ ἡ καθαρότης, πολλὰς δὲ, ὡς ἡ σεμνότης· τεσσάρων γὰρ διαφορὰς ἔχει ἐννοιῶν· τινὲς δὲ καὶ πλείους, ὡς ἡ γλυκύτης· ἀλλ᾽ ὅρα καὶ ἑτέραν ἀναλογίαν τοῦ λόγου πρὸς τὸ ζῶον, οὐκ ἀφ᾽ ὧν προείπομεν μόνον, ἀλλὰ καὶ ἀφ᾽ ἑτέρων· ἐπεὶ καὶ τὸ σῶμα τοῦ ἀνθρώπου χωρὶς τῆς ψυχῆς ζώῳ ὅλῳ ἀναλογεῖ· εἴπερ ἡ κεφαλὴ τάξιν ἔχει ψυχῆς καὶ τῶν δυνάμεων αὐτῆς· ἡ μὲν οὖν ἔννοια πάλιν ἀναλογεῖ

11 Par. θέλη.

τῇ ψυχῇ· ὅταν μὲν γὰρ ἠρεμῇ καὶ ἔστιν ἐν τῇ διανοίᾳ καθ' ἑαυτὴν, οὐδὲν ἀποτελεῖ· κινουμένη δὲ ποιεῖ τι· καὶ ἡ κίνησις ἡ πρὸς τὸ ποιῆσαί τι καλεῖται μέθοδος, ἧς φροντὶς τὸ [12] πῶς ἂν ἐξαγάγῃ τὸ νόημα, ἢ κατὰ ποῖον μέρος λόγου καὶ διὰ ποίας λέξεως· κατ' εὐθεῖαν, κατὰ γενικὴν, κατὰ ἔγκλισιν, κατὰ διάθεσιν, πόῤῥωθεν, ἐγγύθεν ἢ ἄλλως πως· ψυχῆς ἄρα λόγον ἔχει ἔννοια, κινήσεως δὲ ἡ μέθοδος, ἡ δὲ λέξις τοῦ σώματος· οὐδὲ γὰρ δυνατὸν δίχα λέξεως εἰς αἴσθησιν κινεῖσθαι τὴν ἔννοιαν· ἐν τῷ σώματι οὖν αἱ μορφαὶ, ὥστε καὶ ἐν τῇ λέξει τὰ σχήματα· μόρια δὲ τῷ σώματι διάφορα· καὶ τῆς λέξεως κῶλα μεγάλα τε καὶ μικρὰ, ἃ τοῦ μεγέθους εἰσὶ καὶ τῶν διαστάσεων ἴδια, ἀλλὰ καὶ σύνθεσις ὁμωνύμως ἢ παρωνύμως καὶ συνθήκη, συντίθεται γὰρ τὸ σῶμα τοῖς ἄρθροις, καὶ αἱ λέξεις ἀλλήλαις καὶ τοῖς στοιχείοις, ἡ βάσις καὶ τοῖς πέρασιν ἀναλογεῖ καὶ τοῖς ἀπαρτισμοῖς τῶν σωμάτων, ἐξ ὧν ἀμφοῖν ὁ ῥυθμὸς τῷ τοῦ μεγέθους σχήματι· ἢ γὰρ τραχὺ τὸ σῶμα καὶ ἄνισον, ἢ λεῖον καὶ ὁμαλὸν τῇ χειρὶ, ὥσπερ καὶ ὁ λόγος τῇ ἀκοῇ· τὸ δὲ διάφορον τί; ὅτι ἐπὶ μὲν τῶν λόγων ἐξ ἀνάγκης ἕλκεται ὑπὸ τῆς λέξεως ἡ διάνοια· ἐπὶ δὲ τῆς ψυχῆς ἥκιστα, κἂν τινες τῶν φιλοσόφων, ὡς Πλούταρχος ὁ Χαιρωνεὺς καὶ ὁ Περγαμηνὸς Γαληνὸς, δούλην ποιῶσι τὴν δέσποιναν καθελκομένην ὑπὸ τῶν κράσεων καὶ τῶν τοῦ σώματος ἀναγκῶν.

νβ. Τῆς δ' αὖ λέξεως ἐχούσης πάντως καὶ αὐτῆς ἰδιότητα. Εἴρηται, ὡς ἡ ἰδιότης τῶν λέξεων τὰ σχήματα ἀποτελεῖ· διαφωνοῦσι δὲ περὶ τῶν σχημάτων οἱ τεχνικοί. οἱ μὲν γὰρ περὶ Ἀλέξανδρον καὶ Δημοσθένην καὶ ἄλλοι τινὲς βούλονται εἶναι καὶ ἐννοίας σχήματα, καὶ διαφορὰς αὐτῶν καὶ χρήσεις παρατιθέασι, καὶ δεικνύουσιν ἰσχυροῖς ἐπιχειρήμασι λέγοντες, ὡς ἐπὶ

---

12 Par. τοῦ. aut scribendum τό, aut ἡ φροντὶς τοῦ.

μὲν τῶν κατ' ἔννοιαν, κἂν ἀμείψῃς τὴν λέξιν καὶ θήσεις ἑτέραν, ἥντινα βούλει, οἷον· πῶς ἂν ὑπὸ τῶν χρηστῶν τούτων τὰ πράγματα ἔχῃ, [13] τοῦτο γὰρ εἰρωνεία ὄν, εἰ ἀμείψεις τὴν λέξιν, οὐ διαφθείρῃς τὴν ἔννοιαν· ἐπὶ δὲ τῶν κατὰ λέξιν σχημάτων διαφθείρει τὸ πᾶν ἡ ἀνταλλαγὴ τῶν λέξεων, οἷον· πράττεταί τι τῶν παρ' ὑμῖν δοκούντων συμφέρειν [14] τῇ πόλει· ἄφωνος Αἰσχίνης· ἀντέκρουσέ τι καὶ γέγονεν οἷον οὐκ ἔδει· πάρεστιν Αἰσχίνης· ἐν μὲν τοῖς πραττομένοις καλῶς σιγᾷ, ἐν δὲ τοῖς ἀποτυγχανομένοις κατηγορεῖ, οὐκέτι γὰρ ἀντιστροφὴ μένει, ἕτερόν τι γεγονός, καὶ πάλιν τὸ πολύπτωτον· μή με Δημοσθένει παραδῶτε, μηδὲ διὰ τὰς τούτων κατηγορίας στερήσετε τῆς ζωῆς· ἠλλάγη γὰρ ἡ πτῶσις καὶ ἀπώλετο τὸ σχῆμα ἐπὶ τοῦ δευτέρου κώλου, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως, καὶ ταύτῃ τῇ δόξῃ πολλοὶ ξυναρέσκονται καὶ τῶν ἀκριβεστέρων· ὁ δὲ τεχνικός, φασί, τῆς λέξεως εἶναι λέγει τὰ σχήματα μόνα, τυχὸν ἀπὸ τῆς ἐπικρίσεως τοῦτο λαβών, ὃν ἐκεῖσε γενόμενοι ἐξετάσομεν· ἀσχημάτιστος γὰρ οὖσα, φασίν, ἡ ἔννοια καθ' ἑαυτὴν εὑρισκομένη [κινουμένη]· κινουμένη δὲ διὰ τῆς λέξεως ἡ αὐτὴ μέν ἐστι, σχηματίζεται δὲ μόνον ἡ λέξις· τούτῳ τῷ λόγῳ καὶ οἱ περιφανεῖς τῶν τεχνικῶν συναινοῦσιν, ὧν ἐστι καὶ Λογγῖνος [15] ὁ φιλολόγος φάσκων· ὅσα σχήματα τῶν ἐννοιῶν ὠνόμασται, οἷον προδιόρθωσις, ἀποσιώπησις, παράλειψις καὶ τὰ λοιπά, οὔ μοι δοκοῦσι δικαίως σχήματα καλεῖσθαι, ἀλλ' ἔννοιαι καὶ λογισμοὶ καὶ ἐνθυμήματα καὶ πιθανότητες καὶ πίστεις γενόμενα, οὕτω μεθοδευόμενα. καὶ ταῦτα μὲν οὗτοι· ἐμοὶ δὲ οὐ ῥᾴδιον πείθεσθαι· κούφων γάρ τι καὶ ἠλιθίων τὸ καθυπάγεσθαι παντὶ τῷ λέγοντι καὶ δόξαις ἄλλως κεναῖς. [16] Ἀριστοτέλης τέ φησι, καὶ

13 Ol. III. p. 35. cfr. T. V. p. 450. 14 Par. συμφέρει. — pro cor. p. 294. — v. 11. in Mid. p. 523. 15 Cfr. T. V. p. 451. 16 Par. καιναῖς, supra αι scripto ε.

θειότατος λόγος, οὐκοῦν ἢ ἐλέγξομεν ἢ διαιτήσομεν· οὐ φθείρεται, φησὶν, ἡ ἔννοια διὰ τῆς λέξεως· σὺ τοῦτο νομοθετῶν λέγεις· ἐπεὶ, ὥς γε οὐ καλῶς, ἡ πίστις ἐγγύθεν· πῶς [17] ὑμῖν ὑπὸ τῶν χρηστῶν τούτων τὰ πράγματα ἔχει; νῦν οὖν κατὰ τί ἡ εἰρωνεία; κατὰ τὸ χρηστὸν πάντως, οὐκοῦν ὅρα εἰ μὴ διαφθαρήσεται τῇ λέξει καὶ ἡ ἔννοια· πῶς ὑμῖν ὑπὸ τῶν ἐχθίστων ταύτων καὶ θεοῖς ἐχθρῶν ἔχει τὰ πράγματα; ἆρα τοῦτο χλευαζούσης καὶ κατειρωνευομένης διανοίας ἐστὶν, ἢ δυσφορούσης καὶ τἀληθὲς λεγούσης, ἐφ᾽ οἷς ὑπὸ τῶν προδοτῶν πεπόνθασι; Καὶ πάλιν μετάδοτε [18] ἡμῖν τῆς λαμπρότητος, ἂν γὰρ εἴπῃς οὕτω· πῶς μετάδοτε ἡμῖν τῆς φιλανθρωπίας ταύτης, μὴ κατὰ ἀλαζονείαν καὶ φαρισαϊκὴν κακόνοιαν, ἆρ᾽ οὐκ ἔφθαρται ἡ διάνοια; ἐγὼ μὲν οἶμαι· οὐκοῦν καὶ τὰ τοῦ Λογγίνου κατίδωμεν· εἰ πάθη ψυχῆς τὰ τῆς διανοίας σχήματα καὶ τῶν νοημάτων αὐτῆς ἀλλοιώσεις, μεταβαλλομένης πρὸς τὰ συμπίπτοντα, σχηματισμοὶ ἂν εἴησαν, εἰ δὲ σχηματισμοὶ, πῶς οὐ σχήματα; ἔχει ἄρα ἡ ἔννοια σχήματα τὰ πάθη τῆς ψυχῆς καὶ τὰς μεταβολάς, ἀλλ᾽ ἐπειδὴ ἐξ ἑκατέρου μέρους ἄνδρες ἔνδοξοι, δεῖ διαιτῆσαι [19] ταῖς δόξαις, ὡς ἑκάτεροι ταῖς ἀντιφάσεσι χρῶνται καλῶς λέγοντες καὶ κακῶς κατ᾽ ἄλλο καὶ ἄλλο, ἀλλ᾽ οὐ κατὰ τὸ αὐτό· κακῶς μὲν, ὅτι οἱ μὲν τὰς μεταβολὰς τῆς ψυχῆς πρὸς τοὺς λόγους ψιλὴν ἔννοιαν λέγουσιν, ἀλλ᾽ οὐ σχῆμα, οἱ δὲ τὴν μέθοδον καὶ τὸ πῶς δεῖ ἐξάγειν τὰ νοήματα οὐ σχῆμα, καλῶς δὲ, ὅτι ἑκάτεροι ἐννοίας λέγουσι ταύτας μεθόδους οὔσας, κινήσεις οὔσας τῆς ψυχῆς, τουτέστι τῶν νοημάτων ἐνεργείας, κἂν τῷ τρόπῳ διαφέρωσιν· εἰ δέ εἰσι παρὰ ταύτας ἕτεραι, καὶ οὐκ ὀκτὼ, ἀλλ᾽ ἐννέα ἔσονται τῶν ἰδεῶν τὰ στοιχεῖα, καὶ οὐ τελείαν τὴν διδασκαλίαν ποιεῖται ὁ τεχνικός· τοῦ-

17 Ol. III. p. 35. 18 Par. μετάδοτα. marg. μετάδοτε. 19 Par. δαιτῆσαι. marg. διαιτῆσαι.

το δὲ παρ' οὐδενὶ δέδοται· ἔτι δὲ καὶ ὁ τεχνικὸς τὴν μέθοδον διανοίας σχῆμά τί φησι προϊὼν, ὅπου τὴν τάξιν τῶν στοιχείων ἀπαριθμεῖται· ἔστι μὲν γὰρ, φησὶ, πρῶτον ἡ ἔννοια, μετὰ ταύτην ἡ λέξις, τρίτον τὸ σχῆμα τῆς λέξεως· τὸ δὲ τῆς ἐννοίας, ὅπερ ἦν ἡ μέθοδος, τέταρτον λέγω· ἰδοὺ φανερῶς τὸ τῆς ἐννοίας σχῆμα μέθοδον εἶπε· καὶ πάλιν περὶ τῆς ἐπικρίσεως, ἥτις προδήλως σχῆμά ἐστι, μικρὸν ὕστερόν που ἐρεῖ, εἴτε οὖν σχῆμα ἡ ἐπίκρισις, εἴτε μέθοδος τῶν καλλωπιζόντων ἐστίν· ὥστε τὰ πάθη τῆς ψυχῆς τὰ μετὰ ἐπιστήμης καὶ λόγου γενόμενα σχήματα ὄντα μέθοδοί εἰσι καὶ τρόποι τῆς ἐξαγγελίας τῶν νοημάτων καὶ οὐδὲν ἕτερον, κἂν τινες διαῤῥήγνυνται φιλονεικοῦντες. — Αὖθις εἰς τό· τῆς δ' αὖ λέξεως εἴρηται, ὡς ἡ ἰδιότης τῶν λέξεων τὰ σχήματα ποιεῖ, λέξεων δὲ ἰδιότης ἡ ποικίλη αὐτῶν μετάθεσις καὶ μεταποίησις καὶ ἐκφώνησις, ἀφ' ὧν τὰ κῶλα γίνονται βραχέα ἢ μεγάλα, ἤ τινα τοιαῦτα καὶ τὰ λοιπὰ δῆλα.

ηγ'. Ἡ γὰρ ποιὰ σύνθεσις καὶ ἁρμονία· νῦν μὲν ἰάμβους ἔχουσα, νῦν δὲ τροχαίους, νῦν δὲ ἀμφότερα, καὶ νῦν μὲν σπονδεῖον, νῦν δὲ δάκτυλον καὶ ἀναμὶξ, καὶ ποτὲ μὲν καθαροὺς τριχρόνους ἢ τετραχρόνους ἢ πενταχρόνους ἢ ἑξαχρόνους ἢ ἑπταχρόνους, ποτὲ δὲ ἀναμὶξ καὶ ἑτερογενεῖς, περὶ ὧν ὕστερον ἐροῦμεν, ποιεῖ τὸ τοιόνδε ἀλλὰ μὴ τοιόνδε εἶναι τὸν ῥυθμόν· ἡ δὲ ἀνάπαυσίς ἐστι πούς [20] ἢ συζυγία ἢ λέξις, ἐν ᾗ τὸ κῶλον πληροῦται, καταλήγουσα εἰς μακρὸν ἢ βραχὺ, καὶ ἢ πεπλήρωται ἡ διάνοια ἐν τῷ κώλῳ ἢ οὔ· ἀλλ' ἔτι ἐκκρεμής ἐστι, διαφόρως μὲν λαμβανομένου καὶ τοῦ κώλου παρά τε μετρικοῖς ποιηταῖς τε καὶ ῥήτορσιν, ὡς κἂν ταῖς εὑρέσεσιν εἴπομεν τρανότερον, καὶ ἐν τοῖς ἑξῆς δὲ περὶ τούτων ἐροῦμεν.

ηδ'. Ἐπειδὴ δέ ἐστιν ἴσως ἔτι ἀσαφές. Εἰκότως ἐστὶν ἀσαφὲς, ὅτι κατὰ διάλληλον δεῖξιν προῆλ-

20 Par. ἔστι τούς. corr. margo.

θον ἐκ τῶν ἀσαφῶν τὰ ἀσαφῆ· ἥ τε γὰρ ἔννοια διὰ τῆς μεθόδου καὶ τὰ ἑξῆς διὰ τῶν ἑξῆς, καὶ ἀγνοεῖται καὶ τὸ ὄνομα καὶ τὸ πρᾶγμα· παράδειγμα λοιπὸν τίθησιν, ἵνα γένηται δῆλον τὸ ἀσαφὲς ἐκ τοῦ σαφοῦς, ὃ τῶν δι-αλλήλων μόνον χρηστὸν εἰς ἀπόδειξιν· τεσσάρων γὰρ οὐσῶν συζυγιῶν, τῆς μὲν ἐκ τοῦ ἀσαφοῦς τὸ ἀσαφὲς δεικνυούσης, οἷον εἰ ἡ ψυχὴ πῦρ καὶ οἱ ἄγγελοι, ἄδηλον γὰρ ἑκάτερον, εἰ πῦρ, τῆς τὸ σαφὲς ἐκ τοῦ ἀσαφοῦς, οἷον εἰ οἱ δαίμονες κολάζονται, σάρκα καὶ ὀστέα ἔχουσι· τὸ μὲν γὰρ κολάζεσθαι σαφές· τὸ δὲ ἀσαφὲς καὶ ψευδές· τῆς τὸ σαφὲς ἐκ σαφοῦς, οἷον εἰ τὸ ὕδωρ ῥεῖ, καὶ ὁ οἶνος ἄρα. ἡ τετάρτη, ὡς εἶπον, ἡ εὔχρηστος, οἷον εἰ προνοεῖται ὁ ἀγαθὸς πάντων τῶν ἐν τῷ οἴκῳ αὐτοῦ, καὶ ὁ θεὸς τοῦ κόσμου μέχρι τῶν σμικροτάτων· ἀλλὰ μὴν τὸ πρῶτον, καὶ τὸ δεύτερον ἄρα, διὸ καὶ τὸν σκώληκα ἤτοι τὰ γῆς ἔντερα, τυφλὰ ὄντα, ὀστέα ἐποίησε μὴ ἔχειν, ἵνα μὴ πίπτοντα συντρίβωνται, οὕτω κἀνταῦθα προηγουμένως ἐστὶ τὸ κατὰ πρῶτον λόγον καὶ τάξιν λέγειν τὸ πρᾶγμα, καὶ μὴ πόῤῥωθεν, ἀλλ' ἐξ αὐτοῦ τούτου ἄρχεσθαι· Χριστὸς γεννᾶται· ἀναστάσεως ἡμέρα. Ἀφήγησις δέ ἐστιν ἡ τῶν νοημάτων διὰ μικρῶν κώλων ἐξαγγελία ἐφ' ἑκάστης ἐννοίας ἐν τῷ κώλῳ περιγραφομένης· ἀναστάσεως ἡμέρα, καὶ ἡ ἀρχὴ δεξιὰ, καὶ λαμπρυνθῶμεν, καὶ ὁ ἀόρατος, ὁ ἀκατάληπτος, ἡ ἐκ τῆς ἀρχῆς ἀρχὴ, τὸ ἐκ τοῦ φωτὸς φῶς· πολλαχῶς δὲ αὕτη γίνεται κατὰ πνεῦμα, κατὰ κῶλον, κατὰ κόμμα, κατ' ὄνομα· ἐξ ὑποβολῆς, τουτέστιν ἔξωθεν ὑποβάλλειν τῷ ὑποκειμένῳ πράγματα, ἢ τῇ ἀκολουθίᾳ τοῦ λόγου περιβολὰς καὶ περικοπὰς ὑπερβατῶν, ἢ πως ἑτέρως σχοινοτενῶς ἀντιθετικοῖς σχήμασι, διλημμάτοις, περιόδοις καὶ τοῖς ὁμοίοις. Ἀλλ' ἀποροῦσι, διατί πρῶτον μὲν τὴν γλυκύτητα ἔλαβεν εἰς παράδειγμα, καὶ οὐκ ἄλλην τινά· ἢ ὅτι, εἰ καὶ ἄλλην ἔλαβεν, ἠποροῦμεν ἂν καὶ περὶ αὐτῆς, διατί ταύτην καὶ

οὐκ ἄλλην· ἢ ὅτι αὕτη μᾶλλον ἡμῖν σαφεστέρα ἀπὸ τῶν ποιημάτων μαθοῦσιν, ἢ ὅτι, ἐπειδήπερ ὡς ἐπὶ τὸ πλεῖστον ἐπὶ ταῦτα καταφερόμεθα καὶ τούτοις ἡδόμεθα, διὰ τὴν πρὸς τὸν μῦθον αὐτῆς [21] συγγένειαν, ὡς τὰς ψυχὰς διαχεί ουσαν, καὶ προκαλοῦσι τοὺς ἐντυγχάνοντας προθυμότερον αὐτῆς ἀντιλαμβάνεσθαι διὰ τὸ ἀσφαλὲς τῶν συμφύτων ἡμῖν ἐννοιῶν, ὡς ἐν τῷ περὶ αὐτῆς λόγῳ λεχθήσεται. Δεύτερον δὲ ἀποροῦσιν, εἰ παράδειγμά ἐστιν ὅμοιον τῷ ὁμοίῳ καὶ γνωρικὸν ἀγνώστῳ, ὡς ἐν ταῖς εὑρέσεσι καὶ προγυμνάσμασι μεμαθήκαμεν, πῶς μερικὸν ὂν ἐκ τοῦ ζητουμένου ληφθὲν ὡς ὁμολογούμενον ἐτέθη πρὸς ἀπόδειξιν καὶ αὐτὸ ἀμφισβητούμενον ὄν· οὐκοῦν δεῖγμά ἐστιν, φησὶν, καὶ οὐ παράδειγμα· τὰ γὰρ δείγματα ἐξ αὐτοῦ λαμβάνονται τοῦ ζητουμένου καὶ ἀμφιβάλλονται, τὰ δὲ ἑτέρωθεν καὶ ὡμολόγηνται· διὸ καὶ μετὰ προθέσεως ἐκφέρονται, οἱονεὶ παραδεικνύντα πως τὰ ἄδηλα. Φημὶ τοίνυν ἐγὼ, ὡς γενικόν ἐστι τὸ τοῦ δείγματος ὄνομα· σημαίνει γὰρ καὶ τὸ παράδειγμα καὶ τὸ δεῖγμα καὶ τὸ ὑπόδειγμα· καὶ τὸ μὲν παράδειγμα ἐκ τῶν γνωριμωτέρων λαμβάνεται εἰς ἔνδειξιν τῶν ἀμφιβαλλομένων, οἷον ἴδε τὸν μύρμηκα, ὦ ὀκνηρὲ, καὶ ζήλωσον τὰς ὁδοὺς αὐτοῦ· δεῖγμα δὲ τὸ ἐκ τῶν ὑποκειμένων, οἷον σκέψαι πῶς συνέστης, ἄνθρωπε, καὶ θαύμασον τὸν τεχνίτην, ὡς οὐκ οἶδα, φαίη τις ἂν, τὸν τρόπον πῶς σκέψομαι· ὑπόδειγμα δὲ τὸ ἀληθὲς καὶ ἀναντίῤῥητον, οἷον ἐὰν γυνὴ γάλα βρύῃ, τέτοκεν· ἀδύνατον γὰρ γάλα ἔχουσαν μὴ τεκεῖν· τὰ δὲ παρὰ τὴν φύσιν ἐατέον· ἐπεὶ οὖν τὸ παράδειγμα γενικόν ἐστιν, σημαίνει καὶ τὸ εἶδος· ὁ γὰρ εἰπὼν οὐσίαν εἶναι τὸν ἄνθρωπον, ἐκ τοῦ γένους αὐτὸν ὠνόμασε· χρώμεθα δὲ τούτοις διττῶς· ἤτοι ὅταν ἀγνοῶμεν τὴν ὀνομασίαν τοῦ εἴδους, ἢ ὅταν κατὰ ποιητικὸν τρόπον καταχρηστικῶς καὶ κατὰ μετά-

---

τῆς
21 αὐτῆς Par. in contextu omittit: ad marg. αὐτοῖς.

ληψιν, ὡς ἐνταῦθα· ἀλλ' οὐ κυρίως ὡς ὅταν εἴπωμεν τὸ τοῦ χαλκοῦ ἔλασεν πυξίον, ἀπὸ τοῦ πύξου, κατὰ μετάληψιν δὲ τὸν παχὺν χυμὸν καὶ ἀναιρετικὸν ὀξὺν καὶ ἀκμαῖον.

νέ. Μέθοδος δὲ προηγουμένως. Τὸ ἀπ' αὐτοῦ τοῦ πράγματος ἄρχεσθαι, ὡς ὀλίγῳ πρότερον εἴπομεν τό· Χριστὸς γεννᾶται· τοῦτο δὲ καὶ ἐνδιαθέτου ἐστὶν, ὡς λεχθήσεται· ἐξ ὑποβολῆς δὲ τὸ προλέγειν τινὰ καὶ εἶθ' οὕτως εἰσβάλλειν ἐν τῷ πράγματι, ὡς ἐπὶ τῶν ἐπιταφίων καὶ τῷ πρώτῳ τῶν στηλιτευτικῶν· ἐν τούτοις γὰρ προδεινώσας τὸν λόγον καὶ ποιήσας μεστὸν ἦλθεν εἰς τὴν ὑπόθεσιν· γίνεται δὲ ὑποβολὴ, καὶ ὅταν μὴ κατ' εὐθεῖαν εἰσάγῃ τὸν λόγον, ἀλλὰ προκατασκευάς[22] τινὰς προτίθησι καὶ προδιοικήσεις καὶ προμαρτυρίας· ὡς τό· ὡς δὲ ἐγώ τινος ἤκουσα ἀνδρός ἱκανοῦ διάνοιαν ἐξετάσαι προφήτου· οὐ ταῦτα οὖν[23] ἐποίει τὸν Ἰωνᾶν φυγαδίαν· ταῦτα πάντα ἐξ ὑποβολῆς εἰσιν, οὐ γὰρ ἀφίστασθαι δεῖ τοῦ προηγουμένου, καὶ ἐπιβάλλειν ἕτερον· ἢ γένος εἴδει, ἢ ἀόριστον ὡρισμένῳ καὶ ὅσα ἐν τῇ περιβολῇ μαθησόμεθα.

Εἰς τὸ αὐτὸ τοῦ Συριανοῦ καὶ τοῦ Φοιβάμμωνος.

Ὡς ὁ Δημοσθένης ἐν πολλοῖς τῶν ἰδιωτικῶν, ἀπ' αὐτῶν ψιλῶν ἀρχόμενος τῶν πραγμάτων, καὶ ἐν τῷ κατὰ Σπουδίου· κ. τ. λ. Vol. V. p. 452. v. 11. — p. 453. v. 8.

νς'. Ἢ ἑτέρως πως. ἤγουν σχοινοτενῶς ἢ ἀντιθετικοῖς σχήμασιν ἢ διλημμάτοις ἢ περιόδοις ἢ τοῖς ὁμοίοις.

νζ. Λέξις δὲ ἡ δι' ἐπιθέτων. Τὰ ἐπίθετα τριχῶς λαμβάνονται· ἀπὸ ψυχῆς, ὡς πρᾶος, σώφρων· ἀπὸ σώματος, ὡς ταχὺς, βραδύς· ἀπὸ τῶν ἐκτὸς, ὡς πλούσιος, πένης· ὡς ὁ θεολόγος, ὁ μὲν οὖν ἀγὼν πολὺς, ἡ δὲ παράταξις ἀσθενὴς, οὐκ ἔχουσα τὸν προαγωνιστὴν καὶ γενναῖον ἐν δυνάμει λόγου καὶ πνεύματος· μετὰ γὰρ τὰς

22 Par. προκατασκευάσας. scr. προκατασκευάς. 23 Par. ἦν.

τροπὰς ἐπίθετον τὸ προαγωνιστὴν καὶ γενναῖον, ἀντὶ τοῦ τὸν μέγαν Βασίλειον· οὐχ ὡς μὴ ἔχοντα δὲ δύναμιν λόγου καὶ πνεύματος ταῦτά φησιν, ἀλλ' ὡς μὴ ὄντος ἔτι πρεσβυτέρου· τοῖς γὰρ ἐπισκόποις μόνοις ἐφεῖτο [24] διδάσκειν καὶ δογματίζειν· καὶ πάλιν ὁ θαυμάσιος καὶ τῶν εὖ γεγονότων καὶ τὴν δόξαν ὑπέρλαμπρος, καὶ ὁ μέγας καὶ τὰ τοιαῦτα, καὶ ἁπλῶς ἀντίθετόν ἐστι τὸ ἀντὶ τοῦ κυρίου λεγόμενον· λέγονται δὲ ἀντ' αὐτοῦ καὶ τὰ ἐθνικὰ καὶ τὰ πατρωνυμικά· αἱ δὲ δριμεῖαι εἴδη εἰσὶ τῶν τροπικῶν, αἱ μὲν κατὰ ἀντίφρασιν λεγόμεναι, ὡς τὸ παρ' Εὐριπίδῃ ἐν Ἀνδρομάχῃ πρὸς Ἑρμιόνην ῥηθέν. [25]

Μὴ τὴν τεκοῦσαν τῇ φιλανδρίᾳ, γύναι,
Ζήτει παρελθεῖν.

Τοῦτο γὰρ ἀντὶ τῆς μοιχείας εἴρηται, αἱ δὲ κατὰ μεταφορὰν, ὡς ἄν τις εἴπῃ [26] φιλανθρώπους τοὺς κύνας διὰ τὴν πρὸς ἀνθρώπους συνήθειαν· εἶπε δέ τις καὶ τὸν χαλινὸν ἱππόδαμον, καὶ ὡς ὁ θεολόγος, ἔπειτά με τις ὑπεισῄει ἔλεος, τὸ γὰρ ἐπεισῄει ἐπὶ ζῴου λέγεται· τὸ δὲ ἔλεος καὶ αὐτὸ ἐπίθετόν ἐστι ῥηθὲν, ἢ ἀντὶ τῆς λύπης, ἢ ἀντὶ τοῦ πόθου ἢ τοῦ λογισμοῦ· καὶ τὸ ὅτι μὴ τάχιον ἐκλήθησαν ἐδυσχέραινον· τοῦτο γὰρ ἐπ' ἀνθρώπων ἐφ' ἕτερον τραπομένων κυρίως· δριμεῖα γὰρ λέξις ἐστὶν ἡ κυρίως μὲν ἄλλου τινὸς οὖσα, οὐ κυρίως δὲ μετατιθεμένη καὶ ἐπ' ἄλλου· γίνεται δὲ ἡ μετάθεσις καὶ κατὰ μετάληψιν, ὡς τὸ ὑπὲρ ὧν καὶ ὑφ' ὧν πολεμούμεθα, τὸ γὰρ πολεμούμεθα ἀντὶ τοῦ φθονούμεθα εἴρηται· δριμὺ δὲ ὃν ἥττονα ἢ οὐδὲν ἔχει τὴν ἡδονὴν, καὶ ἔστιν εἶδος σεμνοῦ λόγου τὸ φορτικὸν ἀποκρουόμενον. Ταῦτα οὖν καὶ τὰ τοιαῦτα μεταφορικὰ ὄντα λεῖά εἰσιν ἀλλ' οὐ τραχέα. [27]

---

24 Par. ἐφεῖ τῶν. scripsi ἐφεῖτο. 25 Androm. 227. 26 Xen. Venat. III. 9. 27 Sequitur: Συριανοῦ καὶ Φοιβάμμωνος

νθʹ. Καὶ τῆς ποιητικῆς ἡ μὴ διῃρημένη. Διχῶς ἡ γραφὴ διῃρημένη καὶ διῃρημένη· διῃρημένη μὲν κατὰ μῆρ' ἐκάη, καὶ διά τε σκόλοπας καὶ τάφρον ἔβησαν, καὶ ὁ γάρ μοι μακαριώτατος· ὅμοια καὶ τὰ τοιαῦτα· βοόωσα, θεάων, Πηληϊάδεω, ἃ καὶ μᾶλλον γλυκύτητα ποιοῦσι· καὶ μήποτε ἄρα διὰ τοῦτο διῃρημένη θέλει εἶναι ἡ γραφή, ὅτι καὶ τὰ δύο τὰ προτεθέντα ἤδη γλυκύτητα ποιοῦσιν· αἱ δὲ διῃρημέναι οὔ, καὶ τοῦτο δῆλον ἐκ τῶν Ἰώνων, οἳ πάνυ ἡδεῖς εἰσὶ διῃρημέναις χρώμενοι λέξεσιν, ὡς καὶ Ἡρόδοτος Γωβρύεω, Ἀστυάγεω, ὃν προϊὼν σημειοῦται· διῃρημέναι δέ εἰσιν αἱ ἔχουσαι μέγεθος, αἵ εἰσι τῆς σεμνότητος, οὐ ποιοῦσαι γλυκύτητα, ὡς τὸ ἐργοδότας καὶ τοῦ πηλοῦ καὶ τῆς πλινθείας ἐλευθερούμεθα· ἀλλὰ μήποτε καὶ ταῦτα οὐκ ἀληθῆ τὸ τούτοις πᾶσι χρωμένους τοὺς ποιητὰς ἐν τοῖς μυθικοῖς οὐδὲν ἧττον γλυκεῖς εἰσιν, ὥστε κατ' ἐμὲ διῃρημένην λέγει τὴν κεχηνυῖαν καὶ συγκρούουσαν τὰ φωνήεντα, ὥσπερ τὸ Ἰόλαος καὶ Ἰοκάστη καὶ ἠεροειδέα, καὶ ἔτι τὰς ἀναπεπετασμένας [27] κατὰ τὴν σύνθεσιν καὶ χασμῳδούσας· οἷον ἐγὼ ἔπαθον τοῦτο, ὦ ἄνδρες, καὶ ἤκουσα ὃ ἐβουλόμην· πλατεῖα δὲ λέγεται ἡ διὰ τοῦ η καὶ τοῦ ω καὶ τοῦ α· ὡς τὰ εἰρήνη [28] φίλη, οὖσα σεμνή, καὶ ἀναστάσεως ἡμέρα, αἱ ἀνοίκειαι γλυκύτητες, ἢ μᾶλλον φιλεῖ ταῖς θέσει μακραῖς ἥδεσθαι, πλὴν ἔστι καὶ διὰ τῶν πλατειῶν γλυκύτης, φαίη τις ἄν, ὡς ἡ βασίλισσα τῶν ὡρῶν τῇ βασιλίδι τῶν ἡμερῶν· ἀλλὰ τὰ τοιαῦτα κάλλους εἰσὶν ἢ γλυκύτητος, εἰ καὶ δοκοῦσι διὰ τὴν συγγένειαν παρεοικυῖαι· γλυκύτης γὰρ συγγενὴς κάλλει τῷ εἶναι ἄμφω ἡδέα.

ξʹ. Αἵ τε τῆς καθαρότητος ἅπασαι. Καθαραὶ λέξεις ἅπασαι τῶν ἁγίων, ἡ Χρυσοστομικὴ δὲ μάλιστα·

Vol. VII. litt. ή. p. 888. v. 18. — p. 889. v. 5. 27 Par. ἀναπετασμένας. 28 Par. εἰρήνει.

οὐδὲν γὰρ ὅλως ἔχουσιν αὗται βαθὺ οὐδὲ περιντνοη-μένον.

ξά. Σχήματα κατ᾽ ὀρθότητα· τὰ ἀπὸ εὐθείας ἀρχόμενα ἢ ὀνόματα ἢ ἀντωνυμίαι ἢ μετοχῆς ἢ προσώπου ἢ ἐνεστῶτος χρόνου.

ξβ. Χωρὶς ἐπεμβολῆς. Ἐπεμβολὴ δὲ τὸ μεταξὺ τῆς ἀκολουθίας ἐπεμβάλλειν ἔξωθέν τι· ὡς τὸ καὶ γὰρ ἐφιλοτιμεῖτο.

ξγ'. Κῶλα δέ· ἔστι μὲν ἱκανῶς ἀναγκαῖος ὁ περὶ κόμματος [29] λόγος καὶ κώλου καὶ περιόδου διὰ τὸ τοῖς λεγομένοις δύνασθαι παρακολουθεῖν, ὥστ' ἀνάγκη βραχέα κἀνταῦθα περὶ αὐτῶν εἰπεῖν, εἰ καὶ ἐν ταῖς εὑρέσεσιν οἰκειότατα εἴρηται. Κῶλον τοίνυν καὶ κόμμα καὶ στίχος παρὰ μὲν τοῖς ῥυθμικοῖς τῷ μέτρῳ τῆς ποσότητος ὥρισται· στίχος γὰρ λέγεται τὸ ἀπὸ ἓξ συνεστηκὸς συζυγιῶν· εἰ τρισύλλαβος εἴη ὁ ποὺς ὁ τὸ μέτρον καὶ τὸν στίχον ποδίζων. ἐπέλαττον δὲ τριῶν, εἰ δισύλλαβοι εἴησαν οἱ πόδες, ὡς ἐπὶ ἰαμβικοῦ καὶ τροχαϊκοῦ καὶ ἰωνικοῦ καὶ χοριαμβικοῦ καὶ τῶν ἄλλων χωρὶς τοῦ ἐπικοῦ, καὶ τοῦ αἰολικοῦ καὶ τῶν εἰδῶν αὐτῶν· ἐφ' ἓξ μὲν, τὸν δ' ἀπαμειβόμενος προσέφη πόδας, καὶ τὰ ἑξῆς· ἀπὸ πέντε μέχρι τοῦ ὠκύς· ἀπὸ τεσσάρων δὲ μέχρι τοῦ πόδας· ἀπὸ τριῶν δὲ, τὸν δ' ἀπαμειβόμενος προσέφη· ἐπὶ δὲ ἰαμβικοῦ, ὡς τὸ καθαρὸν τρίμετρον· τὸ δὲ ἔλαττον τῶν τριῶν, εἰ μὲν τελείας ἔχει τὰς συζυγίας, κῶλον λέγεται, ὡς τὸ ἡρῷον· αὐτοὺς δέ ἐστιν· εἰ δὲ μὴ κόμμα, οὐκέτι μονόμετρον, τὸ γὰρ δακτυλικὸν μονόμετρον οὐκ ἔχει· ὥστ' ἐπειδὴ ποιητὰς οἱ ῥήτορες μιμοῦνται κῶλον λέγουσι τὸ ἀπὸ ἐννέα συλλαβῶν ὂν μέχρι τῶν ἑπτακαίδεκα· τὸ δὲ πλέον σχοινοτενὲς ὠνόμασται· κόμμα δὲ τὰ ἀπὸ μιᾶς μέχρι τῶν ὀκτώ· στίχους δὲ κοινῶς οὗτοι καλοῦσιν ἅπαντες, εἰ μόνον ἀπαρτίζοιεν ἔννοιαν· ὡς τὸ ἥτ-

29 Par. κόμματα.

τημαι· τὸ μὲν οὖν ἁπλῶς κόμμα δυσὶ λέξεσι περιγράφεται ἢ τρισὶν, ἢ συλλαβαῖς, ὡς τό· τί φῄς; εἶτα τέλειον κόμμα ἐπῳδῷ μετρούμενον κατὰ ῥήτορας καὶ τὰς συλλαβὰς, οὐ μέντοι κατὰ τὴν ἀκρίβειαν τῶν ποδῶν οὕτω ταῦτα ἔδοξεν· ἔχει γοῦν ὁ ἐπῳδὸς ὁ ἀκατάληκτος συλλαβὰς ὀκτώ· διήκει δὲ καὶ μέχρι τοῦ τριμέτρου τοῖς λυρικοῖς ἰωνικοῦ καταληκτικοῦ· καὶ ἔστι τροχαϊκὸν καθαρὸν, ἢ καὶ ἐπίμικτον ἰάμβοις, ὡς τό·

Δάος [30] ἤλυθε τί ποτ' ἀγγέλλων ἄρα;

τοῦτο τοῦ πρώτου, τοῦ δευτέρου·

Τίς σὰς παρῄειρε [31] φρένας,

ἃς πρὶν γ' ἔσχες; καὶ τὰ τοιαῦτα· λέγεται καὶ στροφὴ καὶ ἀντίστροφος· στροφὴ μὲν ὁ μείζων, ἀντίστροφος δὲ ὁ ἐλάσσων· ὠνομάσθησαν δὲ ἐπῳδοὶ μὲν ἀπὸ τοῦ ἐπὶ τῷ τέλει ἐπᾴδεσθαι τῷ μέλει· προῳδοὶ δὲ ἀπὸ τοῦ προᾴδεσθαι, μεσῳδοὶ ἀπὸ τοῦ μέσοι ᾄδεσθαι· καὶ στροφὴ μὲν, ὅτε πρὸς ἑαυτοὺς ἀντανακλῶνται οἱ στίχοι, ὅθεν καὶ ἀντανακλώμενοι λέγονται εἰς ἑαυτοὺς στρέφοντες καὶ ἀντιστρέφοντες τοὺς διαλεγομένους, ἢ ὅτι περὶ βωμοὺς ᾄδονται, ἢ ὅτι ἀπὸ ἀνατολῶν εἰς δύσιν τοῦ χοροῦ κίνησις στροφὴ ὠνόμασται παρὰ τὸ συστρέφεσθαι τὸν χορόν· ἡ δὲ ἐναντία ἀντίστροφος, καὶ ἡ μὲν στάσις ἐπῳδοὺς ᾄδει τελείους· ἡ δὲ περικύκλησις περίοδον, ἥτις ἐστὶ τοῦ τελειοτέρου μέλους ἀπηρτισμένη σύνοδος, ὡς ὁ Ἀνακρέων·

Γουνοῦμαί σ', [32] ἐλαφηβόλε,
Ξανθὴ παῖ Διὸς, ἀγρίων

Δέ-

---

30 Cfr. T. VII. p. 4. v. 10. Hesych. δάος, ἀγγάριος· δούλου ὄνομά τι, εἰ καὶ ἐλεύθερος, καὶ εἰς κωμῳδίαν εἰσαγόμενος.

ρε
31 Par. παρίηγε. scripsi παρῄειρε auctore Demetrio Phal. de Eloc. V. Archilochi Fragm. LXXXIV. ed. Gaisf. 32 Anacr. LVII. Par. γουνοῦμαί σε. et v. sq. παῖ δός.

Δέσποιν', Ἄρτεμι, θηρῶν·
Ἵκου νῦν ἐπὶ Ληθαίου
Δίνῃσι θρασυκαρδίων.

Τοῦτο στροφή· εἶτα ἡ ἀντιστροφὴ πρὸς τὸ εἴδωλον·

Οὐ γὰρ ἐς ἀνημέρους
Ποιμαίνεις πολιήτας.

Ληθαῖος [33] δὲ ὄνομα ποταμοῦ Μαγνησίας· ἔστι καὶ ἄλλο εἶδος στροφῆς καὶ ἀντιστρόφου κατὰ περίοδον· γράφουσι γὰρ τὴν μὲν στροφὴν [34] ἢ διὰ δύο στίχων ἢ τριῶν ἢ ὁπόσην βούλεται ὁ ποιητὴς ἔχουσαν τοὺς στίχους διάφορα μέτρα, τὸν μὲν πρῶτον τυχὸν τροχαῖον, τὸν δεύτερον ἰαμβικὸν, καὶ τὸν τρίτον ἄλλον τινά. εἶτα τὴν ἀντίστροφον ἐπάγουσιν ἔχουσαν τὸν πρῶτον στίχον ὅμοιον τῷ τελευταίῳ τῆς στροφῆς· τὸν δεύτερον τῷ πρὸ τοῦ τελευταίου· τὸν τρίτον τῷ μετὰ τοῦτον τρίτῳ, ἕως ὅλων, ὡς συμβαίνειν τοὺς μέσους τῶν δύο τῆς τε στροφῆς καὶ τοὺς ἄκρους ἀλλήλοις ἀντιστρέφειν κατὰ τὴν πλοκὴν καὶ τὴν κατάληξιν· εἰρήσεται δὲ καὶ παραδείγματα ἐν οἷς δεῖ· εἰδείης δ' ἂν ὡς πολλαχῶς ὁ ἐπῳδός· σημαίνει γὰρ καὶ τετράμετρον καὶ πεντάμετρον καὶ μέχρι τοῦ μονομέτρου καὶ πᾶν εἶδος μέτρου χωρὶς τοῦ δακτυλικοῦ, ὃ μονόμετρον οὐκ ἔχει, τοῦ κατὰ σχέσιν γενομένου. Περὶ δὲ καταλήξεως αὐτίκα ἐροῦμεν καὶ μέτρου· ταῦτα, ὡς εἶπον, οἱ ῥήτορες μιμοῦνται, πλὴν τῆς ἀκριβείας τῶν ποδῶν καὶ τῶν τομῶν καὶ σχετικὰς προτάσεις καὶ ἀποδόσεις ἐργάζονται οὐδὲν ἧττον πανταχοῦ, ἐξαιρέτως δὲ ἐν τῷ κάλλει· τὰ τετράγωνα τῶν σχημάτων καὶ τὰ χιαστὰ καὶ αἱ ἀντιστροφαὶ καὶ αἱ κατὰ συζυγίαν ἐπαναλήψεις, καὶ τὰ τοιουτότροπα κατὰ σχέσιν εἰσὶν ὥσπερ βιαίως πως ἐπαγόμενα, τὰς μὲν προτάσεις ταῖς ἀποδόσεσι, καὶ ταύτας ἐκείναις, ἃ μὴ γινόμενα φαῦλον τὸν ῥήτορα καὶ ἄτονον ἐλέγχουσιν· ἐφ' οἷς οὐκ ἀνταποδίδονται· τὸ γὰρ οὐ μᾶλ-

33 Supra ῆ. in Par. scriptum est ι. 34 Par. τροφήν.

λον τιμῶντες, καὶ τοσοῦτον ὑπερβάλλοντες ἀνοίᾳ, καὶ τοὺς λόγῳ λαμπροὺς, καὶ τὰ παραπλήσια τοιαῦτά ἐστιν· ἀλλ' ἐπανίωμεν, ὅθεν ἐξέβημεν.

ξδ΄. Οὐ μὴν ἥγε πάντῃ διεστηκυῖα· ἡ κατακόρως χασμῳδοῦσα· πρόσεχε ὡς οὐδὲ τοῦτό ἐστι τὸ διῃρημένον ὡς προϋπεθέμεθα, ἀλλ' ἢ τὸ κατὰ ὑπερβιβασμὸν, ὡς τὸ ὁ γάρ μοι μακαριώτατος·[35] ἢ τὸ ὕψος ἔχον καὶ μέγεθος, ὡς αἱ πλατεῖαι καὶ κατὰ σεμνότητα τροπικαὶ, καὶ αἱ πολλὰ σύμφωνα ἔχουσαι καὶ τραχέα, ὡς τὸ ῥπ, τσ, σκηπτὸς,[36] Πέλοψ, ἀταρπὸς, ῥάβδος, ἔμαρπτε καὶ τὰ ὅμοια· κατὰ δὲ τὰς βάσεις τὰς τῶν κώλων καταλήξεις· εἴρηται δὲ ἀπὸ τῶν χορευόντων καὶ τοῦ βαίνειν τοὺς πόδας· ἧς ὁρισμός· βάσις ἐστὶν ἄρσεως καὶ θέσεως ποδῶν σημείωσις· ἡ μὲν οὖν ἄρσις αἴρει καὶ ὑψοῖ τοὺς πόδας, ἡ δὲ κάτω τίθησι· διὸ βάσις λέγεται λόγου ἡ κατάληξις καὶ ἡ στάσις τοῦ κώλου, ὥσπερ ποδός τινος ἀνάπαυσις εἰς γῆν· δεῖ γὰρ, φησὶ, τῆς γλυκύτητος τὴν βάσιν εἰς δάκτυλον καταλήγειν ἢ ἀνάπαιστον· εἰς δάκτυλον μὲν ὡς· ἔστι τι μύθῳ φυτόν· ἀνάπαιστος δὲ, ὁ χαλκοῦς ὄφις κρέμαται μὲν κατὰ τῶν δακνόντων ὄφεων.

ξε΄. Ἡ βεβηκυῖα· τὸ δὲ βεβηκυῖα διττόν· τὸ μὲν ὅταν εἰς μακρὰς λέξεις ἢ συλλαβὰς καταλήγῃ, τὸ δὲ ὅταν ἀπαρτίζηται ἡ ἔννοια· καὶ οὐκ ἔστιν ἐκκρεμής· ἀμφότερα γὰρ ἁρμόδια τῇ γλυκύτητι·[37] οἷον ἀναστάσεως ἡμέρα καὶ τὰ ἑξῆς· κοινὰ γὰρ τὰ τοιαῦτα καὶ τῇ γλυκύτητι καὶ τῇ σεμνότητι· ῥυθμὸς δέ ἐστιν ἐμμέλεια λέξεως πρὸς τοῖς εἰρημένοις ὑπὸ λέξεως ἢ κινήσεως· λέξεως μὲν τῆς ἁπλῶς ἐνάρθρου, κινήσεως δὲ τῆς ἐμμελοῦς κατά τινα τάξιν ἔχων ὡρισμένους λόγους ἢ χρόνων τάξεις· χρόνος δέ ἐστι μόριον ποδὸς

πτρον

35 Par. μακαριώτητα. 36 Par. σηπτός. 37 Par. γλυκύτητα.

μονοσυλλάβου ἢ δισυλλάβου ἢ τρισυλλάβου καὶ τῶν ἑξῆς, ἢ φωνῆς μέτρον ἐλάχιστον, ἢ μέτρον κινήσεως, ἢ πολλῶν ποδῶν σύνοδος ἢ κίνησις σώματος ὡρισμένη· τούτων οἱ [38] μὲν τὴν ἐμμελῆ κίνησιν ὁρίζονται καὶ τὸν χρόνον· οἱ δὲ τὴν ἐν πεζῷ λόγῳ· γίνεται δὲ ὁ ῥυθμὸς ἐκ τῆς ποιᾶς συνθέσεως τῶν λέξεων καὶ τῶν ποδῶν, ὡς εἴπομεν, καθάπερ τὸ τῆς οἰκίας σχῆμα ἐκ τῆς ἁρμογῆς τῆς ὕλης καὶ τῆς συνθέσεως, ὃ εἶδος καὶ κάλλος τῆς οἰκίας φαμέν· διαιρεῖται δὲ εἰς ἄρσιν καὶ θέσιν.

ξς'. Πάντα μὲν οὖν εἴδη λόγων. Τὸ ἐκ τριῶν μόνων γίνεσθαι τὸν λόγον μέμφεται, γνώμης ἤτοι ἐννοίας, σχήματος, [39] ὃ καὶ τύπον λόγου καλοῦσιν, ἀπαγγελίας, [40] τὰ δι' ὧν ἀπαγγέλλεται τὰ πράγματα: εἶναι δὲ ταῦτα οἶμαι τὴν λέξιν.

ξζ'. Ἐγὼ δέ· ἐπεὶ δοκοῦσι τὰ εἰρημένα ὄντα ἀσαφῆ, συγχωρεῖ μέν, ὑπερτίθεται δὲ διὰ παραδειγμάτων σαφηνίσαι καλῶς· μηκυνομένης γὰρ τῆς διδασκαλίας διὰ τῶν παραδειγμάτων, τὸ ἐναντίον μᾶλλον συμβήσεται· ἄλλως τε καὶ τὸ ἐφ' ἑκάστου [41] λέγειν τὰ παραδείγματα περιττόν· ὅπου καὶ περὶ γλυκύτητος ἐν τῷ παρόντι εἰπεῖν οὐ προέκειτο· ὕστερον γὰρ καὶ περὶ αὐτῆς ἐρεῖ, ἀλλὰ χάριν εἰσήχθη παραδείγματος, [42] ἵνα γνῶμεν, διὰ τίνων ἑκάστη καὶ ὅπως γίνεται.

ξή. Ἀκριβῶς μὲν διὰ πάντων. Οὐδείς, φησί, τῶν παλαιῶν ἀκριβῶς διὰ τῶν ὀκτὼ τούτων τὴν οἱανοῦν ἰδέαν ἐποιήσατο, ἀλλὰ ἓν λαβὼν τῆς ἰδέας τὸ γνωριμώτατον, τυχὸν ἔννοιαν ἤ τι τῶν ἄλλων, ἀλλ' οὐ κοινὸν διὰ τούτου τὴν ἰδέαν ἐχαρακτήρισε· τῆς καθαρότητος μὲν τυχὸν τὴν λέξιν ἢ τὸ σχῆμα· τῆς δὲ εὐκρινείας [43] τὴν μέθοδον· τῆς δὲ σεμνότητος τὴν ἔννοιαν, καὶ τῶν

---

38 Par. ἡ. 39 Par. σχήματα. 40 Par. ἀπαγγελίας.
41 Par. ἑκάστῳ. 42 Par. παραδείγματα. 43 Par. ἐγκρινείας.

ἄλλων τὰ ἰδιαίτερα· καὶ διὰ τούτων τὸν λόγον ἐξύφαινεν, ἐκ τοῦ πλεονάζοντος ὀνομαζόμενον σεμνὸν ἢ τῶν ἄλλων τινός· διὰ πάντων δὲ ποικίλως καὶ συμμιγῶς καὶ εὐκρατῶς οὐδεὶς πλὴν Δημοσθένους· οὗτος γὰρ οὐχ ὁμοίως τοῖς ἄλλοις τοῖς τινος ἰδέας μέρεσιν ἐπλεόνασε, πλὴν μόνῃ τῇ περιβολῇ· καὶ μέρει φησὶν ὁ τεχνικὸς, μᾶλλον δὲ εἴδει· τὰ γὰρ εἴδη καὶ μέρη λέγεται· μέρος μὲν, ὅτι οὐ τέμνεται εἰς εἴδη· εἶδος δὲ, ὡς διαιρούμενον εἰς ἄτομα, τὸ δὲ μέρος καὶ ἐπὶ τῶν μορίων ὁμωνύμως λέγεται· πολλοστὸν δὲ εἶπεν ἀντὶ τοῦ ἐλαχίστου καὶ τοῦ πολλοῦ μικρόν τι· ἓξ γὰρ εἴδη τὸ μέγεθος ἔχει γένος ὄν, καὶ τὸ ἓν τῶν πολλῶν ὡς ἡ περιβολὴ [44] πάντως μικρὸν καὶ ἐλάχιστον.

ξθ'. Καὶ τὰ μὲν ὑψηλὰ σφόδρα. Ταπεινοῖ τὰ ὑψηλὰ λέξει βραχείᾳ σχήματι καὶ συνθέσει λελυμένα, καὶ ἀσθενεῖ ἐννοίαις εὐτελέσι καὶ μεθόδοις· ὑψοῦται δὲ τοῖς ἐναντίοις τὰ ταπεινὰ, ὡς καὶ Ἰσοκράτης φησίν· ἔργον εἶναι ῥήτορος τὰ μικρὰ μεγάλως εἰπεῖν, καὶ τὰ μεγάλα μικρῶς καὶ τὰ νέα παλαιῶς, καὶ τὰ παλαιὰ καινῶς διὰ τῶν σχημάτων καὶ τῶν τούτοις ὁμοίων, ὡς καὶ ὁ θεολόγος· τούτου τοῦ στεφάνου κἀγώ τι τοῖς πλέκουσι συνεισήνεγκα· [45] ἐσμίκρυνε γὰρ τῇ λέξει μέγιστον πρᾶγμα τῇ τῆς ἐπιεικείας μεθόδῳ· τῷ δὲ, οὐχ ἵνα πρόβατον πλανώμενον ἐπισκέψησθε, διέβαλεν ἐκείνην τὴν σύνοδον, ἐσέμνυνε δὲ αὐτὸ διὰ τῆς λέξεως, ἥτις εἰς τὴν λέξιν ἀνάγεται τῆς δεινότητος· τὸ δὲ ἵνα ποιμένα συνέκδημον ἐπισκέψησθε ἴσον ἐστὶ τῷ διηύξηται, ἐν οἷς ἐνδέχεται, ἐν οἷς ἐγχωρεῖ· μεγάλης δὲ ἐπιστήμης καὶ ἕξεως τελεωτάτης τὸ τὰ τοιαῦτα μαθεῖν, ἃ μετρίως μὲν τὸ περὶ μεθόδου δεινότητος διδάσκει· τελείως δὲ ὁ χρόνος καὶ ἡ πολλὴ πεῖρα

44 Par. ὡς ὑπεριβολὴ ὡς ὑπεριβολὴ [bis]. 45 Par. συνήνεγκα.
εισήνεγκα.

καὶ ἡ ἀκριβὴς ἄσκησις καὶ ἡ πρὸς τοὺς τῶν ὁμοτέχνων ἄφθονος κοινωνία καὶ συνανάγνωσις, οἳ τὰ νῦν παντάπασιν ἐκλελοίπασιν. Ὅρα τὸν τεχνικὸν, ὅπως περιβολῆς μεμνημένος ἐμπερίβολον τὸν λόγον καὶ αὐτὸς ποιεῖ. Τὴν περιβολὴν, ἥτις ἐστὶν ὑπὸ τὸ μέγεθος, μέρος ἢ εἶδος ὁ τεχνικὸς ὀνομάζει· κεφάλαιον δὲ οὔτε εἶδος οὔτε μέρος ἐστίν· τὸ μὲν γὰρ μέρος αὐτὸ καθ᾽ ἑαυτὸ αὐτοτελὲς οὐκ ἔστιν, ἡ δὲ περιβολὴ αὐτοτελής ἐστι· τὸ δὲ εἶδος πάλιν καὶ τὸ ὄνομα καὶ τὸν ὁρισμὸν τοῦ γένους, οὗ ἐστιν εἶδος, ἐπιδέχεται· ἡ δὲ περιβολὴ οὔτε τὸ ὄνομα, οὔτε τὸν ὁρισμὸν τοῦ μεγέθους, ᾧ ὑποβέβηκεν, ἐπιδέχεται.

Συριανοῦ καὶ ἑτέρων.[1]

ό. Τὰ δ᾽ αὖ λεπτὰ καὶ μικρά· καὶ γὰρ Ἰσοκράτης ἔργον ἔφασκεν εἶναι ῥητορικῆς τὰ μὲν μικρὰ μεγάλως εἰπεῖν, τὰ δὲ μεγάλα μικρῶς, καὶ τὰ μὲν καινὰ παλαιῶς καὶ τὰ δὲ παλαιὰ καινῶς. Οὕτω τὸν λόγον αὐτοῦ πάντα πεποίηκεν ἁρμόττειν αὐτοῖς, ἀντὶ τοῦ καὶ τὰ δοκοῦντα διεστάναι καὶ μὴ ἁρμόττοντα ἔδειξεν ἀλλήλοις·

οά. Καὶ ταῦτα μιγνὺς τοῖς οὐκ οἰκείοις. Οὕτω γὰρ καὶ τὰ ἀσθενῆ καὶ τὰ ἄπορα τῶν νοημάτων ἰσχυρὰ καὶ αὐτάρκη πεποίηκε, καὶ τὰ ἰσχυρὰ μετέβαλε, καὶ πάντα σοφῶς μιγνὺς ἔδειξεν ἀλλήλοις ἁρμόττοντα.

οβ. Πασῶν αὐτῷ δι᾽ ἀλλήλων ἠκουσῶν τῶν ἰδεῶν. Αἱ γάρ τοι τῆς καθαρότητος ἔννοιαι κώλοις καὶ σχήμασι πολλάκις τοῖς τῆς λαμπρότητος ἢ περιβολῆς αὐτῷ διαπλέκονται· καὶ τοὐναντίον αἱ τῆς περιβολῆς τοῖς τῆς καθαρότητος καὶ εὐκρινείας καὶ πανταχοῦ ὁμοίως· οὕτω καὶ ὁ μέγας· καὶ γὰρ τὸ, Χριστὸς γεννᾶται, σεμνὴν ἔχον τὴν ἔννοιαν καὶ τὸν ῥυθμὸν καὶ τὴν σύνθεσιν καὶ τὴν βάσιν· ἡ μὲν λέξις καθαρὰ καὶ τὸ σχῆμα, ἡ δὲ μέθοδος γοργὴ μετὰ τοῦ ἀσυνδέτου· καθαρότητος [2] μὲν

---

1 Vol. VII. λά. 2 Par. καθαρότητα.

γὰρ ἡ εὐθεῖα, αἱ δὲ ἐπαναφοραὶ κάλλους, καὶ ἡ ἐπιμονὴ τῆς ἐννοίας ἤθους· τὸ δὲ ἐξ αὐτοῦ τοῦ πράγματος ἐπιβάλλειν ἐνδιάθετον· ἔχει δὲ καὶ δεινότητα τὰς ἐννοίας [3] καὶ τὸ βάθος τῶν νοημάτων, καὶ πολὺ μᾶλλον φανεῖται, εἴ τι ζητήσεις, καὶ τὴν αἰτίαν τῆς ἐπιχειρήσεως καὶ τὸ ἀπροοιμιάστως τοὺς ἀκούοντας προκαταλαβεῖν· καὶ οὐ μόνον ἐν τούτοις δυσκατανόητος καὶ τοῖς τοιούτοις, ἀλλὰ καὶ περὶ τὰ ταχέα καὶ πᾶσιν εὔληπτα, τὰ κεφάλαιά φημι, ἃ καὶ τοῖς ἀτελέσι δῆλα τῶν ἄλλων, τὸ γὰρ, πῶς ὑμῖν τὰ ἡμέτερα, οἱ πρὸ ἡμῶν εἰρωνείαν εἶπον, πλανηθέντες ἀπὸ τοῦ Δημοσθένους καὶ τῆς ὁμοιότητος τοῦ προσρήματος, [4] οὐκ ἀπ' ἀκριβοῦς [5] ἐπιστήμης· πῶς [6] ὑμῖν ἀπὸ τῶν χρηστῶν τούτων τὰ πράγματα ἔχει, οὐκ ἐξετάσαντες τὰ πρόσωπα, τῶν πρὸς οὓς ὁ λόγος· ὅτι μὲν περὶ προδοτῶν, ὁ δὲ περὶ μεγάλων, καίτοι εἰ μὲν ἀπὸ μιᾶς συλλαβῆς κρίνουσι τὴν εἰρωνείαν, ἅπαντα τὰ κατ' ἐρώτησιν τοῦ πῶς σχήματα εἰρωνεία ἂν εἴη· εἰ δὲ ἀπὸ λέξεως, τί κοινὸν τὸ χρηστὸν πρὸς ταῦτα. Ἰδὲ ἀπὸ τῆς ποιότητος τῶν προσώπων πολλὴ ἀναγωγία, τὸ τοὺς αὐτοὺς ἡγεῖσθαι προδότας καὶ ἀρχιερεῖς, καὶ μὴν αἱ εἰρωνεῖαι μετὰ τὰς ἀποδείξεις τίθενται, πρὸ δὲ τούτων οὐδεὶς ἀνέμαθε· καὶ ἄλλως ἡ μὲν εἰρωνεία ἤθους ἐστὶν, ἡ δὲ, πῶς ὑμῖν, λαμπρότητος· κατὰ γὰρ πεποίθησιν προήχθη, καὶ ἄλλοι πάμπολλοι ἔλεγχοι· ποῦ γάρ ἐστιν αὐτοῖς δυνηθῆναι ταῦτα γνῶναι· καὶ ὅτι παραγραφικόν ἐστιν, ὡς ἐδείξαμεν ἐν τῇ διαιρέσει, κατ' ἐρώτησιν καὶ δεῖξιν τῶν πιστευσάντων, καὶ οἷον ἀποστροφήν· ἐπειδὴ γὰρ ἡ ἀρετὴ [7] τῶν νόμων καὶ ὁ κανὼν παρανόμων ἐκρίνετο ἐπὶ τοσούτου πλήθους σωτηρίᾳ, πάντας συνα-

---

νοίας.

3 Par. ἐνδείας. 4 Par. προσκρήματος. 5 Par. ἀκριβῶς.
6 Ol. III. p. 35. 7 Super ἡ ἀρετὴ in Par. scriptum est: ὁ θεολόγος.

θροίσας, μᾶλλον δ' ἀφ' ἑαυτῶν δυσπαθῶς συναχθέντων, κατὰ γένος καὶ τύχην καὶ πολιτείαν καὶ ἡλικίαν περιστάσης τῆς συνόδου, δείκνυσι λέγων· ὁ τοσούτους στερεώσας καὶ ἐπιστρέψας παρανόμων γράφεσθαι δίκαιος· ἆρ' οὐ πρόδηλον, ὡς κατὰ παραγραφικὸν ἡ εἰσβολή· οὕτω δήπου καὶ Περικλῆς καὶ Σωκράτης ἀπολογούμενοι πεποιηκότες ἑάλωσαν· παραγραψάμενοι μετ' ἐπικρύψεως καὶ κατ' ἔμφασιν· εἰ δ' ὅτι καὶ βαρύτητος ἔχει, εἰ διὰ τοῦτο εἰρωνεία· εἴπε γὰρ ἄν τις καὶ τὸ τοῦ Μητροφάνους, ὡς ἐγὼ καὶ δωρεὰς τὰς μεγίστας ἐπὶ τούτοις λαβεῖν ὤφελον μὴ ὅτι καὶ δίκας δοῦναι, καὶ ἐῶ λέγειν τὸ παχύτερον· οἱ μὴ ἐπιστήσαντες κἂν τῇ διαιρέσει ὡς ἀντιθετικῇ, ὁ μὲν πανηγυρικὸν εἶπε τὸν λόγον, οὐδὲ στοχασμόν· οἱ δὴ τοσοῦτον περὶ τὰ ἐπιπόλαια μυωπήσαντες, οὐδὲ θαυμαστὸν, εἰ καὶ περὶ τὰ ἄλλα καὶ τὴν ἑρμηνείαν τῶν λέξεων ἐξετοπίσθησαν, καὶ οὐκ ἔφριξαν, τινὰ μὲν ἐκκρίναντες ὡς νόθα, τινὰ δ' ἀντεισαγαγόντες καινά,[8] οἱ καινοὶ θεολόγοι καὶ τῷ ὄντι σπαρτοὶ καὶ πρόσφατοι.

ογ'. Ὅτι καὶ φύσει δήπουθεν. Παραπληρωματικὸν τὸ δήπουθεν, τιθέμενον ἀντ' ἐπιτατικοῦ καὶ τῆς ἐπικρίσεως· ἐνδεεῖς ὑπῆρχον, φησὶν, κατὰ τὴν φύσιν οἱ ἄλλοι ῥήτορες εἰς τὸ μονοειδεῖς τοὺς λόγους ἐργάζεσθαι.

οδ'. Τό γε μὴν πλεονάζον. Πολλαχῶς λεγομένου τοῦ πλεονάζειν διαστέλλει, κατὰ ποῖον σημαινόμενον ἐπλεόναζον, οὐ τῷ πλείουσι χρῆσθαι τῶν μορίων τῶν ποιούντων μίαν ἑκάστην ἰδέαν, οἷον ἐννοίαις, μεθόδοις, λέξεσι, σχήμασι, κώλοις, ἤ τισι τῶν τοιούτων· τάχα μὲν γάρ, φησὶν, εἶχεν, ἂν αἰτίαν εὔλογον καὶ τοῦτο· ἀλλὰ τὸ τοῖς κυριωτάτοις ἑκάστης ἰδέας μάλιστα χρῆσθαι· κυριώτατα μὲν γάρ εἰσιν ἑκάστης ἰδέας καὶ ἴδια, καθ' ἃ μὴ κοινωνοῦσιν ἀλλήλαις, καὶ δι' ὧν ἑκά-

---

8 Par. καινά.

στη χαρακτηρίζεται, καὶ ἀπὸ τῶν ἄλλων χωρίζεται, οἷον ἡ σεμνότης ἐννοίας ἔχει οἰκείας καὶ λέξεις καὶ σχήματα παρὰ[9] τὰς ἄλλας· οὐκοῦν ὁ τούτοις μόνοις χρώμενος τῇ σεμνότητι πλεονάζει, καὶ πάλιν ἡ λαμπρότης ἰδίαν μέθοδον ἔχει καὶ σχήματα καὶ ἄλλα τινά· ὁ τούτοις πλεονάζων λαμπρός ἐστι, καὶ ἑκάστη οὕτως· τὸ μὲν γὰρ τούτοις πλεονάζειν κατὰ δύναμίν ἐστι πλεονάζειν· τὸ δὲ τοῖς κοινοῖς πλήθει· ὥσπερ ὁ χρυσὸς χαλκοῦ μὲν δυνάμει πλεονάζει, πλήθει δὲ κατὰ τὸ ἰσοστάσιον λείπεται· καὶ οἱ γέροντες τῶν παίδων δυνάμει μὲν πλεονάζουσι τοῦ[10] θερμοῦ ὀλίγου ὄντος καὶ ἰσχυροῦ, πλήθει δὲ λείπονται· τοῖς γὰρ νέοις πολὺ τὸ θερμόν· ἐκεῖνα μὲν γὰρ τὴν ἰδέαν μᾶλλον ἐμφαίνει καὶ κράτιστον τὸν λόγον ποιεῖ· εἰ γὰρ πλεονάσει, φησὶν, ὁ λόγος τοῖς πλείοσι μὲν κεφαλαίοις καὶ κοινοῖς πολλῶν ἰδεῶν ἔλαττον γίνεται ἰσχυρὸς, εἰ δὲ τοῖς ἰδίοις, δι᾽ ὧν αἱ ἰδέαι χαρακτηρίζονται μᾶλλον· τὰ γὰρ δυνάμει ἰσχυρὰ, εἰ καὶ ὀλίγα εἴη, περιγίνεται τῶν μὴ τοιούτων καὶ πολλῶν.

οέ. Περὶ τοίνυν τῆς δυνάμεως. Ἐπειδὴ κάλλιον τὸ πλεονάζειν κατὰ τὴν δύναμιν τῶν μορίων εἶπεν, ἀλλ᾽ οὐ κατὰ τὸ πλῆθος, βούλεται νῦν τάξαι τὰ στοιχεῖα ἤτοι τὰ μόρια τῶν ἰδεῶν καθ᾽ ἑτέραν τάξιν· τετραχῶς γὰρ αὕτη, ἢ κατὰ φύσιν ἢ κατὰ δύναμιν ἢ κατ᾽ οἰκονομίαν, ἢ κατὰ τὴν ἀκολουθίαν καὶ φύσιν τῶν προσδιαλεγομένων συγκαταβαίνοντες, καθάπερ ἐπὶ τῶν διαλεκτικῶν τῇ φύσει τῶν προσδιαλεγομένων· σχεδὸν γὰρ καὶ τοῦτο τῇ κατ᾽ οἰκονομίαν συντέτακται· εἰπὼν οὖν πρότερον τὴν φυσικὴν τῶν στοιχείων τάξιν νῦν ἀπαριθμούμενος τὴν κατὰ δύναμιν συντάττει· οὐ γὰρ ἐχώρει τὴν ἀρχὴν ἑτέρως ἀπαριθμήσασθαι, ἢ οὕτως τὸν βουληθέντα διαλαβεῖν περὶ τῆς τούτων δυνάμεως· τῶν γὰρ τεχνῶν αἱ μὲν αἰσθήσει δουλεύουσιν, αἱ δὲ λόγῳ, αἱ δὲ καὶ

9 Par. περί. 10 Par. τῇ τοῦ. delevi τῇ.

τῆς αἰσθήσεως φροντίζουσιν· οἱ γὰρ κιθαρῳδοὶ καὶ χορευταὶ ταῖς] αἰσθήσεσι δουλεύουσι καὶ τέρπουσιν αὐτὰς, ἀνατρέπουσι δὲ αὐτήν τινες, ὡς οἱ ὀψοποιοὶ, ὡς Μίθαικος [11] καὶ Θεαρίων· οἱ δὲ φιλόσοφοι τούτων ὀλιγωροῦντες τῆς ψυχῆς φροντίζουσι μόνης καὶ τοῦ περὶ αὐτὴν λόγου, διὸ τῷ ἀκαλλεῖ πολλάκις καὶ ἀσαφεῖ λυποῦσι τὴν ἀκοὴν, οὐ διὰ κακίαν, ἀλλ' ὀρθῇ κρίσει τοὺς ῥαθύμους ἀποκλείοντες διὰ τῆς ἀσαφείας τῶν νοημάτων· οἱ δὲ ῥήτορες πρὸς τὴν τῶν ἀκροατῶν βούλησιν μεθοδεύουσι τοὺς λόγους ἀναγκαίως, ὡς ἂν ἡσθέντες, ἀλλὰ μὴ ἀνιαθέντες [12] δέξωνται τὸ λεγόμενον· ἥδονται δὲ τοῖς σχήμασι καὶ ταῖς λέξεσι καὶ ταῖς συνθέσεσι καὶ τοῖς ὁμοίοις· εἰ γὰρ διαπλέξας τὰ νοήματα συνταράξει τὴν ἀκοὴν, βλάψοι τὸ πᾶν ἀποκναίοντος τοῦ ἀκροατοῦ παρακολουθεῖν τῇ τοιαύτῃ πλοκῇ· ὥστε τούτων δεῖ φροντίζειν καὶ παραιτεῖσθαι πάντα τὰ λυποῦντα τὴν ἀκοήν· διὰ τοῦτο προτέραν μὲν ἔταξε τὴν ἔννοιαν, ἔπειτα τὴν λέξιν, ἥτις κατὰ φύσιν τρίτη ἐστί· τὰ δὲ σχήματα τῆς ἐννοίας ἤτοι ἡ μέθοδος δευτέρα ἦν· κατὰ γὰρ τοὺς φιλοσόφους ἡ τῆς ἐννοίας κίνησις μέθοδος καλεῖται· μετὰ δὲ ταύτην ἡ λέξις· εἰκότως δὲ ἡ λέξις τὴν δευτέραν ἐκληρώσατο νῦν· ἐπειδὴ ταύτην πρώτην ὁ ἀκροατὴς προσδέχεται, καὶ οὐδὲν ἕτερον αὐτοῦ διαπορθμεύει [13] τὴν διάνοιαν, ὅθεν καὶ προετιμήθη· μετὰ δὲ ταύτην τὸ αὐτῆς σχῆμα· ἡ δὲ μέθοδος τετάρτην ἔχει τάξιν, οὐχ ὡς δυνάμεως ἐλλιπὴς, ἀλλ' ὡς πάντων ἰσχυροτέρα καὶ μὴ ἔχουσα τόπον ὡρισμένον· ἢ καὶ ὡς πάντα τόπῳ ἁρμόζουσα· ἔστι γὰρ, ὡς προείρηται, ἡ τὴν οἰκείαν τῆς ἰδέας ἔννοιαν κατὰ τὸ προσῆκον ἑρμηνεύουσα αὕτη· διὸ καὶ ἰσχυρά· ἴδι-

---

11 Par. *Μήθαικος.* scr. *Μίθαικος* ex Plat. Gorg. p. 518. B. 12 Par. *ἀνισθέντες.* scr. *ἀνιαθέντες.* 13 Par. *διαποθμεύει.* scribendum sine dubio *διαπορθμεύει* i. e. *ἑρμηνεύει.* cfr. Vol. VII. litt. ΛΓ.

ον γὰρ τῆς κατὰ δεινότητα μεθόδου τὸ τοιῶςδε ἢ τοιῶςδε μεθοδεύειν τὸν λόγον· οἷον γοργὸν ἢ λαμπρὸν ἢ κατ' ἐρώτησιν ἢ κατ' ἀπόφασιν καὶ τὰ παραπλήσια, καὶ τὸ τάξαι καὶ κρῖναι, τί δεῖ εἰπεῖν, καὶ τί οὐ δεῖ, καὶ τί δεῖ θεῖναι καὶ πῶς καὶ πότε καὶ ἐπὶ τίσι καὶ διατί· ταῦτα δ' οὐ δεῖ ποιεῖν, εἰ μὲν τὴν λέξιν ἐπενέγκωμεν τῇ ἐννοίᾳ, καὶ τὸ σχῆμα τῆς λέξεως· εἰ γὰρ πρότερον δεινώσομεν τῇ μεθόδῳ, οἴχεται τὸ καθαρὸν καὶ σαφές· διὰ γὰρ τὸ ποικίλον τῆς μεθόδου ταύτης ἴδιον αὐτῇ συνέταξε σύνταγμα· τὸ δὲ κινδυνεύει ἀντὶ τοῦ ἀνάγκην ἔχει τὴν πρώτην τάξιν κληρώσασθαι ἐκεῖ, διὰ τὸ πολυσχιδές· τὰ κῶλα δὲ παρῆκεν, ὡς ἐξ ἀνάγκης παρακολουθοῦντα, καὶ τὸ σχῆμα δὲ συνέχεται ὑπὸ τῶν κώλων· ὅθεν καὶ ὁ στοιχειωτὴς, σχῆμά ἐστι, φησὶ, τὸ ὑπό τινος ἢ ὑπό τινων ὅρων περιεχόμενον· ὑπό τινος μὲν διὰ τὸν κύκλον, ὑπὸ τινων δὲ διὰ τὰ ἄλλα σχήματα· ὅροι γὰρ λέγονται παρὰ τοῖς γεωμέτραις αἱ γραμμαὶ καὶ τὰ τούτων πέρατα, ὑφ' ὧν τὰ σχήματα περιέχονται· ἀλλὰ ταῦτα μὲν γεωμετρικῶς ὥρισται· ῥητορικὸν δὲ σχῆμα ὡς καὶ προωρισάμεθα, ἐξάλλαξίς ἐστι πεζῆς φωνῆς ἐπὶ τὸ κρεῖττον ἄνευ τροπῆς· περιέχεται οὖν καὶ τοῦτο τρόπον τινὰ ὑπὸ τῶν κώλων ἢ ἑνὸς ἢ πλειόνων· ἑνὸς μὲν, ὡς ἐπὶ τοῦ στρογγύλου, ὡς τό· ἐπ' οὐδενὸς οὖν τῶν ἁπάντων, ἐφ' ὅσῳ οὐχὶ τῶν ἁπάντων· πλειόνων δὲ, ὡς ἐπὶ τῶν ἄλλων· εἰ δὲ καὶ τοῦ ῥυθμοῦ ὡς παρακολουθοῦντος ἐμνημόνευσε, διὰ τοὺς ἀντικειμένους τοῦτο πεποίηκε μουσικοὺς, οἳ τὴν πρώτην αὐτοῦ τάξιν ἀπονέμουσιν εἰκότως, ὅτι περὶ μόνην τὴν αἴσθησιν καταγίνεται, καὶ οὐ περαιτέρω τῆς ἀκοῆς, ὡς ὁ λόγος διαβαίνει· πλὴν ὅτι ἰσχυρός ἐστιν ὡς ἀληθῶς παρ' αὐτοῖς ὁ ῥυθμὸς, ὡς καὶ ἠθῶν ἀλόγων περιγινόμενος, καὶ ταῦθ' αἱ ἱστορίαι διδάσκουσι, καὶ γὰρ ὁ τὸν Σαοὺλ ἄγχων δαίμων τῇ τοῦ Δαυὶδ ἀνεκόπτετο λύρᾳ, καὶ Ἐλισσαῖος πρὸς τὸ ἱλαρὸν καὶ εὔθυ-

μον διεχέθη·[14] οὕτω καὶ Λακεδαιμόνιοι πάντα τὸν χρόνον ὑπὸ τῶν Μεσσηνίων[15] ἡττώμενοι τοῖς Τυρταίου ποιήμασιν ἀνελάμβανον τὸν θυμὸν καὶ ἐνίκων, καὶ οἱ Πυθαγόρειοι δὲ σπονδειακῷ μέλει τὰ πάθη τῆς ψηχῆς ἀντιπαρῆδον·[16] καὶ μὴν κἂν ταῖς παρατάξεσιν οἱ στρατιῶται τῷ ἀναβεβλημένῳ καὶ συντόνῳ ἢ διεθερμαίνοντο ἢ ἀνίεντο· τῷ μὲν, ἡνίκα ἔδει παύεσθαι τῆς μάχης, τῷ ἀνακλητικῷ, τῇ δὲ, ἡνίκα ἔδει συῤῥῆξαι, καὶ μυρία τοιαῦτα εὕροι[17] τις ἄν.

ος΄. Μετὰ δὲ ταύτην ἡ λέξις, τὸ σχῆμα δὲ τρίτον. Ἀποροῦσιν ἐνταῦθα, ὁ τεχνικὸς διατί τὴν λέξιν καὶ τὸ σχῆμα τῆς μεθόδου προέταξε, καίτοιγε μετὰ τὴν ἔννοιαν εὐθὺς τὴν μέθοδον προφθάσας ἔταξεν, εἶτα τὴν λέξιν καὶ τὰ ἑξῆς. Λύσις. εἰκότως· ἐπεὶ γὰρ ὁ λόγος ζώῳ ἀναλογεῖ, καὶ ἡ μὲν ἔννοια τούτου ἀναλογεῖ τῇ τοῦ ζώου ψυχῇ, ἡ δὲ μέθοδος τῇ τοιᾷδε κινήσει τῆς ψυχῆς· διάφοροι γὰρ αἱ τῶν ψυχῶν ἐν διαφόροις ζώοις κινήσεις, ἡ δὲ λέξις τῷ σώματι, καὶ τὸ σχῆμα τῇ τοῦ σώματος μορφῇ, καὶ τὰ κῶλα τοῖς ὀστέοις, καὶ ἡ σύνθήκη ταῖς τῶν ὀστῶν ἁρμονίαις, καὶ τοῖς τούτων πέρασιν ἡ ἀνάπαυσις, καὶ ὁ ῥυθμὸς τῇ τοιᾷδε κινήσει τοῦ σώματος, εὐλόγως[18] ἐκεῖ μὲν κατὰ τὴν φυσικὴν ἀκολουθίαν μετὰ τὴν ἔννοιαν τὴν ἐπακολουθοῦσαν ταύτῃ μέθοδον ἔταξεν· ἐνταῦθα δὲ τὴν λέξιν τὴν ἀναλογοῦσαν τῷ σώματι, καὶ τὸ σχῆμα τὸ ἀναλογοῦν τῇ μορφῇ ὡς κατ' αἴσθησιν γνωριμώτερον τῆς μεθόδου τῆς ἀναλογούσης τῇ ψυχικῇ κινήσει προέλαβεν, ὥσπερ δῆτα καὶ ἐπὶ τῶν ἀνθρώπων πρότερον ψυχὴν καὶ σῶμα καταλαμβάνομεν καὶ μορφήν·

---

14 Par. διήχθη (superscr. εχέθη). 15 Par. Μεσηνίων. 16 Par. ἀντιπαρῆσον. scr. ἀντιπαρῆδον. 17 Par. φαίη (superscr. εὕροι). 18 Par. ἀλόγως. margo: εὐλόγως.

εἶτα καὶ πρὸς τὴν ψυχικὴν ἐντεῦθεν μεταβαίνομεν κίνησιν.

οζ'. Ἐκεῖ γὰρ κινδυνεύει τὰ πρῶτα ἀποφέρεσθαι. Τὴν ἐκτροπὴν ἐνταῦθα καὶ τὴν μετάπτωσιν τῆς μεθόδου κίνδυνον ὀνομάζει.

οη'. Ἢ πάντα σφοδρὸν καὶ καταφορικὸν λόγον. Ὑβριστικὸν καὶ ἐπιφορικόν· καταφορὰ γὰρ ἡ ἐν κατηγορίαις ἐπιδρομὴ [19] κατὰ τοῦ ἐχθροῦ καὶ τάσις, ὡς τό· ὅτι λύχνον ἧψε τὴν ἑαυτοῦ σάρκα, ὅτι ἐπὶ τὸ πλανώμενον ἦλθεν, ὅτι ἐπὶ τὰ ὄρη καὶ τοὺς βουνούς.

οθ'. Ἴσως ἂν ἐρεσχελήσωσιν· ἐριστικῶς διαλέξονται, φιλονεικήσουσιν· [20] εἴρηται δὲ ἀπὸ τοῦ ἔρις καὶ τῶν χειλέων, ἢ παρὰ τὸ ἔρις χέειν.

π'. Εἰ δὲ μὴ τοσοῦτο δύναιντο. Εἰ γὰρ ἐν τοῖς πεζοῖς λόγοις μὴ τοσοῦτον ἀποδειχθείη ἰσχύειν, ὅσον ἐν τῇ ποιήσει τετάξονται, ὅπου προσήκει. Ῥυθμοὺς δὲ τὸν ποιὸν ἦχον νόει τῆς φράσεως καὶ τοὺς πόδας. [21]

πδ'. Ἐπεὶ δὲ χωρὶς μὲν αὐτὴν καθ' αὑτὴν οὐκ ἔστιν εὑρεῖν. Εἰπὼν περὶ τοῦ ῥυθμοῦ διευκρινῶν ἐπαναλαμβάνεται μετὰ τὴν ἀναίρεσιν τῶν ἀντιπιπτόντων.

πέ. Μίξιν δὲ οὔτε λόγου, οὔτε ἄλλου τινός. Ὥσπερ τὰ τοῦ σώματος χρώματα γνῶναι οὐ δυνατὸν πρὸ τοῦ μαθεῖν λευκὸν καὶ μέλαν, ἐξ ὧν τὸ φαιὸν καὶ τὰ λοιπά.

πς'. Ἐξ ὧν ἡ κρᾶσις γένοιτο. Ἀλλ' οὐδὲ τὴν ἀρίστην κρᾶσιν πρὸ τῆς θερμῆς καὶ ξηρᾶς κράσεως· οὕτω καὶ λόγου ἰδεῶν μίξιν πρὸ τοῦ μαθεῖν αὐτὰς καθ'

κατα
19 Par. ἐπιδρομή. 20 Par. φιλονικήσουσιν. scr. φιλονεικήσ. 21 Litt. πά. — πγ'. exstant in commentario Vol. VII. litt. μδ'. — μθ'.

ἑαυτὰς ἁπλῶς· ταύτας δὲ οὐ πρότερον πρὸ τοῦ τὰ στοιχεῖα μαθεῖν· ῥᾳδίων γὰρ ἂν οὕτως ἡ μάθησις.[22]

πϑ'. *Ἑτέραν τινὸς νεωτέρου ὡς πρὸς τὸν ἐξηγητήν.* Ἄλυτον ἔμεινε καὶ πάλιν ἐπὶ τῇ σῇ λύσει τὸ δόξαν λελύσθαι· ἐνῆν γὰρ καὶ πρὸ τῆς ἀνακεφαλαιώσεως, εἴπερ ἠβούλετο διδάξαι τὰς ἐννοίας τὸν τεχνικόν, ἀλλ' οἶμαι καλῶς τὰς κοινωνίας ἐτήρησε τελευταίας εἰς τὸν περὶ μιᾶς ἑκάστης ἰδέας λόγον, ἵνα ἔναυλον ἔχοντες τὴν περὶ τῶν κοινωνιῶν καὶ διαφορῶν διδασκαλίαν μὴ ταραττοίμεθα ἐν τοῖς ἐφεξῆς.

ρ'. *Οἷον Σαννίων ἔστι δήπου τις, ὁ τοὺς τραγικοὺς χορούς.*[23] Τοῦτο ἐν τῷ κατὰ Μειδίου λόγῳ τοῦ Δημοσθένους κεῖται· ἐν τούτῳ γὰρ τοῦτο βουλόμενος δεῖξαι ὁ ῥήτωρ· δημόσιον ἠδίκησε καὶ ἠσέβησεν ὁ Μειδίας εἰς αὐτὸν χορηγὸν ὄντα, ἐν τῷ ἀγῶνι καὶ ἐν τῷ τοῦ θεοῦ ἱερῷ δι' ἔχθραν ὑβρίσας, καὶ τοῦτο πάλιν κατασκευάσαι θέλων δι' ἐργασίας τῆς ἀπὸ μικροτέρου, ἐπάγει, ὅτι ὑμεῖς[24] οὐδὲ τοῖς χορευταῖς ἐνυβρίζειν ἐᾶτε τοὺς χορηγούς· εἶτα χρᾶται ἐνθυμήματι[25] λέγων· εἰ δὲ τοὺς χορευτὰς οὐ βούλεσθε ὑβρίζεσθαι, τὸν συγκόψαντα τὸν χορηγὸν οὐ κολάσετε· εἶτα χρᾶται ἐργασίᾳ ἑτέρᾳ ἀπὸ παραδείγματος, καὶ τούτου μικροτέρου, λέγων, ὅτι καὶ τὸν Σαννίωνά ποτε μισθωθέντα ἐν τῷ χορῷ τραγῳδὸν οὐδεὶς ἐτόλμησεν ἐκβαλεῖν τοῦ χοροῦ, ὡς ἁλόντα πρότερον ἀστρατίας, ἀλλὰ μένει μᾶλλον μέχρι τοῦ νῦν τοὺς τραγικοὺς χοροὺς διδάσκων.

ρά. Καὶ πάλιν ἡ τραχύτης καὶ ἡ ἀκμὴ κοινὰς ἔχουσι τὰς ἐννοίας κ. τ. λ. T. VII. p. 909. v. 7—10.

ρβ'. *Αἱ γὰρ ἐπιτιμήσεις οὖσαι τραχύτητος ἴδιαι ποιοῦσι τὴν ἀκμήν.* Αἱ ἐπιτιμήσεις σφοδρό-

---

22 Litt: πζ'. πη'. et πϑ'. ex parte anteriori continentur Vol. VII. p. 907. litt. νά. — νέ. 23 Par. χωρούς, et infra χωρευτάς. 24 Par. ἡμεῖς. 25 Par. ἐνθυμήματα.

τητός εἰσιν, ὡς τὸ βαρυκάρδιοι καὶ τὸ αἰσχυνθήτησαν οἱ κατέχοντες τὰ ἀλλότρια, καὶ τὰ ἑξῆς δῆλα.

ργ΄. Μέρη δέ τινα, οἷον διαφορὰς οὐσίας τινὸς ἔχειν ἑτέραις τὰ αὐτὰ ἰδέαν ἡντιναοῦν οὐ κεκώλυται. Μέρη δέ τινά φησι τὰ αὐτὰ ταῖς ἄλλαις ἰδέαις ἔχειν ἄλλην τινὰ ἰδέαν, ὥσπερ οὐσίας γενικὰς, διαφορὰς, εἴδη, οὐ κεκώλυται· τῶν γὰρ γενῶν αἱ διαφοραὶ, οἷον τοῦ ζώου τὸ ἔμψυχον καὶ αἰσθητικὸν, ἁρμόζουσι καὶ τοῖς εἴδεσιν, οἷον ἀνθρώπῳ τε καὶ ἵππῳ· τὰ τοιαῦτα μὲν οὖν κοινὰ καὶ τῶν εἰδῶν· διαστέλλονται δὲ τοῖς ἰδίοις αὐτῶν ἀπ᾽ ἀλλήλων τὰ εἴδη· ἄνθρωπος μὲν καὶ ἵππος τῷ λογικῷ καὶ ἀλόγῳ· ἄγγελος δὲ καὶ ἄνθρωπος τῷ ἀθανάτῳ καὶ τῷ θνητῷ· οὕτω καὶ αἱ ἰδέαι διαφέρουσι μὲν ἀλλήλων τοῖς ἰδίοις, κοινωνοῦσι δὲ τοῖς κοινοῖς, ὡς μαθησόμεθα· καὶ τὸν αὐτὸν ὅρον τοῦ γένους καὶ τὸ ὄνομα ἔχουσιν· ἡ γὰρ καθολικωτάτη καὶ κατηγορουμένη πασῶν ἐπίσης ὅλαις ἁρμόζει, ἧς ὁ ὁρισμὸς προείρηται, οἷον ὅτι ἰδέα ἐστὶ ποιότης λόγου ἁρμόδιος τοῖς ὑποκειμένοις προσώποις καὶ πράγμασι, καὶ τὰ ἑξῆς. Ἔστι δὲ ἡ σύνταξις τοῦ ῥητοῦ οὕτως· οὐ κεκώλυται ἡντιναοῦν ἰδέαν ἔχειν ἑτέραις τὰ αὐτὰ μέρη, οἷον οὐσίας, διαφοράς τινας· πρόσχες οὖν ἐν τῷ κειμένῳ καὶ τὰ ἐπικείμενα στοιχεῖα ταῖς λέξεσιν ἀκολούθως.[26]

Cap. II.

Περὶ σαφηνείας, ἣ ὑποβέβηκε τὸ καθαρὸν καὶ εὐκρινές.

α΄. Τὰ τέλη τῶν φθασάντων ῥηθῆναι. Ὡς ἐπηγγείλατο, ἀρχὴν ἐποιήσατο τῶν μελλόντων κατὰ τὴν

---

26 Litt. ρδ΄. vide Vol. VII. p. 910. litt. νθ΄. et ϛ΄. T. V. p. 460. v. 16. — p. 462. v. 6.

προϋπόσχεσιν, διὸ καὶ τῷ συμπερασματικῷ λόγῳ τῆς εὐκρινείας ἐχρήσατο κατὰ ἐπανάληψιν· ἐχρήσατο ὁμοίως τῇ [1] τῶν κανόνων προϋφηγήσει, τὴν διδασκαλίαν τεχνολογῶν, πανταχοῦ θηρώμενος τὸ ἀξιόπιστον, ἔνθεν καὶ τὴν σαφήνειαν εἰκότως προέταξεν, [2] ὅτι καὶ παντὶ λόγῳ ταύτης μάλιστα δεῖ· εἰ γὰρ τὸ ἀντικείμενον αὐτῇ φευκτόν, αἱρετὴ πάντως αὕτη· ὡς ἂν δὲ μὴ ταύτης ἐπιμελόμενοι ἐκπίπτωμεν εἰς τὸ εὐτελές, πρόσκειται τὸ μέγεθος εὐθύς, τοῦ χαμαιπετοῦς καὶ ὑπτίου ὑπάρχον ἀνορθωτικόν· οὕτω γὰρ ἂν τῶν ἰδιωτῶν δόξωμεν διενεγκεῖν, τὸ ταπεινὸν εἰς ὕψος ἐπαίροντες. ἐπεὶ δὲ τὰ μεγάλα τῷ μεγέθει εἶναι δεῖ καὶ ἡδέα καὶ ταῖς αἰσθήσεσιν ἐραστά, ταῖς διαβιβαζούσαις πρὸς τὴν ψυχὴν τὸ ἐραστόν, εἴπερ μηδεὶς ἀνέχεται, τοῖς μεγάλοις μέν, αἰσχροῖς δ' ἐντυχεῖν, διὰ τοῦτο ἕπεται τῷ μεγέθει τὸ κάλλος· μεθ' ὃ ἡ γοργότης, ὅπως τὸ σαφές τε καὶ ὑψηλὸν καὶ καλὸν μὴ νωθρὸν ᾖ καὶ δυσκίνητον, ἀλλ' ἐνεργὸν και κινητικώτατον· βραδέα γὰρ ὡς ἐπίπαν καὶ δυσκίνητα τὰ καλὰ καὶ μεγάλα, διὸ καὶ Πῶρον κατέλαβον οἱ ἱππεῖς, διὰ τὸ δυσκίνητον τοῦ ἐλέφαντος, [3] καὶ τὸν Ἰεχονίαν δὲ τὸν βασιλέα τούτῳ καταληφθῆναι ὑπὸ τοῦ Ναβουχοδονόσορ· [4] βάδην γὰρ τὴν φυγὴν ἐποιεῖτο· τοιγαροῦν δεῖ καὶ τοὺς λόγους καὶ τὸν λέγοντα κινητικωτέρους [5] εἶναι καὶ σεμνοπρεπεῖς πρὸς τὴν ὑποκειμένην ὑπόθεσιν, μεθ' ἃ εἰ μὲν τὴν χρονίαν ἕξιν ἐνδείξασθαι βουληθείη, ποιεῖ τὸ κατὰ γένος ἦθος· ὅταν δὲ προσφάτως καὶ οἷον ἀπροσδοκήτως κινηθείη, κατά τινα συμπεσοῦσαν περίστασιν τὸ ἀληθὲς ἐνδείκνυται, καὶ διὰ τοῦτο ὑπετάγη, ὡς κατὰ περίστασιν ὄν· τὸ δὲ ἦθος ἢ κατὰ φύσιν αὐτῷ συγκεκλήρωται, ἢ κατά τινας διαφορὰς τῶν ὑποκειμένων προσώπων, ποτὲ μὲν ἐπιεικῶς, ποτὲ δὲ ἀφελῶς, καὶ κατὰ τὰ ἄλλα ὁμοί-

1 Par. τὴν, scr. τῇ. 2 Par. προέτασαν. marg. προέλαβεν. scr. προέταξεν. 3 Arrian. Exp. Al. v. 28, 10. 4 II. Chron. 36, 10. 5 Par. κινητικωτέρας.

ως· ἐπὶ πᾶσιν ἡ δεινότης, ὡς διατάκτωρ καὶ κυβερνῆτις τῶν πρὸ αὐτῆς κατὰ τὸ προσῆκον· αὐτῆς γάρ ἐστιν ἅπαντα τὰ προειρημένα ἄριστα μεταχειρίζεσθαι κατὰ τὴν ἐνυπάρχουσαν τέχνην τῷ λέγοντι· ἢ τοῦτο μὲν δεινότητός ἐστι τῆς κατὰ μέθοδον· ἡ δὲ ἐκείνης ἰδέα αὕτη διολισθαίνουσα τοὺς πολλοὺς τελευταία τέτακται, τὴν ἑαυτῆς φύσιν ἀπὸ τῆς τάξεως ὑπεμφαίνουσα, καὶ δεικνύουσα, ὡς χρὴ πρότερον τοῖς ἄλλοις ἐγγυμνασθέντας οὕτω τὸν περὶ αὐτῆς ἐπεξελθεῖν· [3] καθολικῶς μὲν, καὶ οἷον ὡς ἐν εἰκόνι τοιαύτη τῶν ἰδεῶν ἡ τάξις· κατὰ μέρη δὲ προετάγη τῆς εὐκρινείας ἡ καθαρότης, τῷ τὴν μὲν κατὰ μόνην τὴν μέθοδον γίνεσθαι, καὶ περὶ ταύτην τῆς οἰκονομίας ἔχειν τὸ πᾶν, τὴν δὲ καθαρότητα περὶ πάντα τὰ μόρια· τὰ δὲ πάντα τοῦ τινὸς κατὰ τὸν οἰκονομικὸν λόγον προτάττονται, ἐπεὶ ἄλλως γε καὶ φύσει τῇ εὐκρινείᾳ τὰ πρωτεῖα [4] προσρέπει· αὐτῆς γάρ ἐστι διοικεῖν ἅπαντα καὶ διατάττειν.

β΄. Γίνεται δὲ καθαρὸς μὲν ὁ λόγος ἅπασι σχεδόν. Προσέθηκε τὸ σχεδὸν, ὅτι μὴ πάντα τὰ μόρια, δι᾽ ὧν γίνεται, μόνης αὐτῆς εἰσιν· ἡ γὰρ μέθοδος εὐκρινείας ἐστὶ, περὶ ἣν καὶ τὸ πλεῖστον ἔχει· τὰ δ᾽ ἄλλα διὰ τὴν χρείαν ὡς ἀλλότρια λαμβάνει, καὶ προϊοῦσιν ἔσται φανερὸν, εἰ μόνη ἡ μέθοδος συντελεῖ πρὸς εὐκρίνειαν τοῦ δειχθέντος. Συναποδειχθήσεται καὶ ὁ περὶ τοῦ παρόντος ἐνδοιασμός. [5]

δ΄. Ἀλλὰ πρῶτόν γε περὶ καθαρότητος λεκτέον. Αὕτη γὰρ μάλιστα ποιεῖ τὴν σαφήνειαν, τὸ συμβαῖνον πάθος διὰ τὰς συμβαινούσας ἀνάγκας τοῖς λόγοις θεραπεύουσα· ὅθεν καὶ περιττὴ τυγχάνει, εἰ ἐῤῥωμένην σχοίη τὴν φύσιν ἡ καθαρότης, καὶ οὐ χρὴ θαυ-

μά-

6 In Par. supra scriptum: διεξελθεῖν. 7 Par. προτεῖα.
8 Litt. γ΄. vide Vol. VII. p. 912. litt. δ΄. et ε΄.

μάζειν, εἰ ἀντιδιαστελλομένη τῇ [6] περιβολῇ τὴν αὐτὴν ἔχει δύναμιν. Ἴσμεν γὰρ, ὡς ἐχρῆν αὐτὴν μὴ μόνον ἰσοδυναμεῖν, ἀλλὰ καὶ πᾶσαν ἐν ἑαυτῇ τὴν σαφήνειαν ἔχειν, εἴπερ ἄρα μὴ καθ' ὁμοιότητα καὶ φαντασίαν, ἀλλὰ κατὰ τὸν ἀκριβῆ τῶν γενῶν λόγον τὴν τῶν γενῶν ἐποιεῖτο διδασκαλίαν· ἐκ γὰρ τῶν κατὰ φιλοσοφίαν γενῶν λαβὼν τὴν μίμησιν, ὡς πολλαχοῦ δεδηλώκαμεν, σπεύδει κατὰ ταὐτὰ καὶ τὴν τούτων δύναμιν παραστῆσαι καὶ φύσιν, καθόσον εἰκός· ἀλλ' ἀδύνατος λόγος ἄλλοτε ἄλλως μεταπίπτων καὶ μεταβαλλόμενος πρὸς τὴν φύσιν καὶ δύναμιν τῶν λεγόντων καὶ ἀκουόντων, καὶ τῶν περὶ ὧν συνέστησαν ἔχειν ταὐτὸν τοῖς ἀεὶ οὖσι γένεσι καὶ εἴδεσιν τῶν μὴ μεταβαλλομένων εἶναι· διὰ τοῦτο παγχάλεπος ὁ περὶ τῶν ἰδεῶν λόγος, ὅθεν καὶ οὐδεὶς, ὡς ἐν ἀρχῇ διωρισάμην, ἐτόλμησε τῶν τοιούτων καὶ τηλικούτων καὶ τοσούτων ἀνδρῶν καὶ ῥητόρων καὶ φιλοσόφων, καίτοι πολλὰ καὶ καλὰ καταλελοιπότων συγγράμματα, εἰπεῖν τι περὶ τούτων, ἕως ὁ τεχνικὸς τοὺς μαργαρίτας ἔδειξε· τοιγαροῦν ἀγαπητὸν, εἰ κἂν ἐκ τῶν παρακολουθημάτων αὐτῶν παραστήσει τὴν φύσιν, καὶ μὴ μόνον τῶν ἰδιωμάτων, ἀλλὰ καὶ τῶν ἐναντίων, καὶ οὐ τούτοις ἀρκεῖται μόνοις, ἀλλὰ καὶ τὰ ἀντικείμενα συνεπιφέρει, συντελοῦντα πρὸς τὴν ἀκριβῆ κατάληψιν τῶν ἐναντίων· διὰ γὰρ ἀλλήλων τἀναντία δείκνυται· καὶ μία καὶ ἡ αὐτὴ ἐπιστήμη τούτων κατὰ τὸ ἀξίωμα τὸ φιλόσοφον· εἰ δὲ μὴ εὐποροίη παρακολουθημάτων, τὸ ζητούμενον ἐξ ἀναιρέσεως διδάσκει, οἷον ὅτι τὸ μὴ ὂν καθαρὸν οὐ σαφηνείας ἐστὶν, ὥσπερ οὐδὲ τὸ μὴ ὂν ζῶον ἄνθρωπός ἐστιν.

ε. Ἢ πάλιν ἐναντίον ἐστὶν ἡ περιβολὴ κατά τι. Ἐλέγετο, ὅτι ἐκ τῶν παρακολουθημάτων παριστᾷ τὰς ἰδέας, καὶ νῦν ἐκ τῶν αὐτῶν τούτων παρίστησι

9 Par. ad marg. Ἀλλαχοῦ σαφηνείᾳ κεῖται, οὐκ οἶμαι δέ.

τὴν καθαρότητα καὶ ἐκ τοῦ ἐναντίου ταύτῃ τῆς περιβολῆς· οὐ κατὰ πάντα δὲ ἐναντιοῦται, ἀλλὰ κατὰ μέθοδον καὶ σχῆμα· τῆς μὲν γὰρ ἡ μέθοδος οὐ περιβλητική, τῆς δὲ τὸ ἐναντίον, καὶ τῆς μὲν τὰ σχήματα κατ᾽ ὀρθότητα, τῆς δὲ περιβολῆς κατὰ τὸ πλάγιον· εἴπομεν γάρ, ὅτι οὐχ ὥσπερ ἐπὶ τῶν πραγμάτων, οὕτως ἔχει κἀπὶ τῶν λόγων· ἐν ἐκείνοις μὲν γὰρ ἀσύμβατα τὰ ἐναντία, οἷον τὸ ψυχρὸν τῷ θερμῷ· ἐπὶ δὲ τοῦ λόγου τότε μάλιστα πρόσεστιν, ὅταν συμμιγὴς διὰ τούτων ᾖ, ὡς μετ᾽ ὀλίγον ἐρεῖ· καὶ γὰρ ἔμφασιν ἔχει ταῦτ᾽ εἶναι τῶν ἐναντίων, οὐκ εἰσὶ δέ· τὸ δὲ πάλιν ἀναφορὰν ἔχει πρὸς τὰ ἤδη ῥηθέντα, ὅτι ὥσπερ κοινωνοῦσιν ἀλλήλαις αἱ ἰδέαι μέρει τινὶ ἢ μέρεσιν, οὕτω καὶ αὐτοῖς τούτοις διαφέρει· κοινωνεῖ μὲν γὰρ κατά τι ἡ περιβολὴ τῇ καθαρότητι, ὅτι καὶ πάσας ὑποδέχεται τὰς ἰδέας κώλοις, συνθήκαις, κατά τινα δὲ ἄλλα ἐναντιοῦται, ὡς ἐν τῷ περὶ αὐτῶν λόγῳ ἔσται φανερόν.

Cap. III.

Περὶ καθαρότητος ἢ καθαρῶν ἐννοιῶν.

ϛ'. *Αἱ κοιναὶ πάντων καὶ εἰς ἅπαντας ἀνελθοῦσαι*, ἃς δυνατὸν καὶ σοφοὺς καὶ ἰδιώτας ταλαιπώρους νοῆσαι· τὸ δὲ ἀνελθὸν τροπικὸν ὂν τῆς γλυκύτητός ἐστι μᾶλλον, ἀλλ᾽ οὐ σεμνότητος· ἀνελθεῖν καὶ τὸ εἰς ἔννοιαν καὶ νόησιν ἐλθεῖν· ἀνέρχεται γὰρ ὡς ἀληθῶς ἀπὸ τῆς φωνῆς τοῦ λέγοντος διὰ τῶν ἀκοῶν τοῦ ἀκροωμένου εἰς τὴν διάνοιαν· καὶ ἔστι φυσικωτάτη ἡ λέξις, περινενοημένον δέ ἐστι τὸ περισσῶς νοηθὲν καὶ ῥηθέν, οἷον ἀπὸ περινοίας τοῦ λέγοντος καὶ συστροφῆς τοῦ νοήματος καὶ ἐπικρύψεως· περινενοημένα γὰρ τὰ

δυσνόητα καὶ περισσὴν εἰς ἑρμηνείαν διάνοιαν κρύπτοντα, ἢ ὅτι πάνυ νοῦν μέγαν καὶ ἑρμηνείαν ἔχοντα, ὡς τὸ περίπυστον καὶ τὸ περιώσιον.

ζ. Ὁποία ἦν ἡ προειρημένη. Ἣν καὶ αὐτίκα λέγει· Σαννίων ἔστι δήπου τις, καὶ Χριστὸς γεννᾶται καὶ πάλιν Ἰησοῦς, καὶ ὅσαι ἀπὸ εὐθείας ἀρχόμεναι εὐθὺς ἐκφαίνουσι τὸ ῥητὸν, τῶν νοημάτων μὲν πᾶσαι καθ' ἑαυτὰς θεωρούμεναι οὐδὲν ἔχουσι βαθὺ καὶ περινενοημένον, ἀλλὰ πᾶσιν εἰσὶ καταφανεῖς, ὅταν χωρὶς τῆς αἰτίας, ἧς ἕνεκα παρελήφθησαν, ἐξετάζωνται. Εἰ γὰρ τὴν αἰτίαν ζητοίης, δειναὶ μᾶλλον καὶ αὐταὶ καὶ ἡ μέθοδος, ἀλλ' οὐ καθαραί· συγκρίσεως καὶ παραθέσεως αὐτὰς χάριν ὁ ῥήτωρ παρέλαβεν· ὁ μὲν θεολόγος προσεκτικωτέρους ποιῶν τοὺς ἀκούοντας, καὶ ἀξιόπιστον τὸν λόγον ὑποφαίνων, ὁ δὲ βουλόμενος δεῖξαι τὸν Μειδίαν ἀσεβῆ τε καὶ μιαρὸν, ὃς χορηγὸν ὄντα κατὰ τὴν ἑορτὴν ἐτύπτησε· παράγει δὲ τὸν Σαννίωνα, ὃν ἄτιμον γεγονότα, λειποταξίου γὰρ ἑάλω, εἶτα τραγῳδίαν ὑποκρινόμενον οὐδεὶς τῶν ἐχθρῶν ἐτόλμησεν ἀδικῆσαι.

ή. Καὶ πάλιν, λέγονται οἱ τριάκοντα. Ἐκ τοῦ περὶ στεφάνου· εἰσήχθη δὲ καὶ τοῦτο λυτικὸν τῆς δευτέρας ἀντιθέσεως Αἰσχίνου κατὰ ἀντεγκληματικὸν, ἀπὸ παραδείγματος, λέγοντος τοῦ Αἰσχίνου ἀξίους εἶναι Φωκέας ἀπολέσθαι, καὶ μὴ συμμαχίας Ἀθηναίων τυχεῖν ὄντας ἐχθροὺς ἐς τὰ μάλιστα· ἀπὸ τοῦ συμφέροντος· λέγει γάρ· οὐκ ἦν συμφέρον μνησικακεῖν Ὀλυνθίοις,[1] συμμαχίαν αἰτοῦσιν· εἶτα ἡ ἐργασία ἀπὸ παραδείγματος, οὐδὲ γὰρ οἱ πατέρες ἡμῶν Λακεδαιμονίοις οὖσιν ἐχθροῖς τοῖς κατὰ τὸν Δεκελεικὸν πόλεμον ἐμνησικάκησαν, δοῦσι τοῖς τριάκοντα τυράννοις χρήματα κατὰ τῶν ἐν Πειραιεῖ Ἀθηναίων, ὧν ἡ ἱστορία αὕτη ἐστί. Πόλεμον ἐσχηκότες πρὸς ἀλλήλους Ἀθηναῖοι καὶ Λακεδαιμόνιοι μετὰ τὰ

1 Supra scriptum Φωκεῦσι.

Περσικὰ, εἶτα τῶν Ἀθηναίων [2] ἀπολεσάντων ἐν κυνὸς σήματι, ὅ ἐστιν ἀντιπέραν Λαμψάκου, πάντα τὰ πλοῖα, καὶ ταπεινωθέντες διὰ γῆς καὶ θαλάττης ὁρμητηρίῳ χρώμενοι Λακεδαιμόνιοι τῇ Δεκελείᾳ, κατασκάψαντες τὰ τείχη τῶν Ἀθηναίων, καὶ τριάκοντα τυράννους ἐξ αὐτῶν Ἀθηναίοις αὐτοῖς ἐπέστησαν, ὡς δῆθεν ἀριστοκρατοῦντες· οἱ δὲ πᾶσαν τραγῳδίαν εἰς αὐτοὺς ἐνεδείξαντο, ἐξ ὧν Θρασύβουλός τις διαδρὰς Φυλὴν ὠχύρωσε, κρατήσας χωρίον τῆς Ἀττικῆς, ὑπὸ τὸ τῆς Δεκελείας εἰώνυμον κειμένην· ἔπειτα ἐλευθερίαν ἐκήρυξε, καὶ συνδραμόντων εἰς αὐτὸν [3] Ἀθηναίων ἐδέχθη παρὰ τοῖς ἐν Πειραιεῖ· καθ' ὧν οἱ τριάκοντα στρατεύσαντες χρήματα δόντων Λακεδαιμονίων αὐτοῖς εἰς ξενολογίαν, Κριτίου στρατηγοῦντος τοῦ ὠμοτάτου τῶν τυράννων, ἡττήθησαν Κριτίου πεσόντος· μετὰ δὲ τὴν κατάλυσιν τῶν τυράννων καὶ τὴν ἀπόληψιν τῆς δημοκρατίας ζητοῦσι Λακεδαιμονίοις τὰ χρήματα, καίπερ ἰσχὺν ἔχοντες ἤδη, διὰ τὸ μὴ μνησικακεῖν ὅμως ἀπέδωκαν. Ξενοφῶν ἐν τῇ ἑβδόμῃ τῶν Ἑλληνικῶν φησι.

θ'. Ἕνεκά γε τῆς ἐπιβολῆς. Ἐπιβολὴ λέγεται τὸ ἀπ' αὐτοῦ τοῦ πράγματος ἐπιβάλλειν εἰς τὴν ὑπόθεσιν ἢ εἰς τὸ ἐπιχείρημα, ἢ τὸ μηδεμίαν αἰτίαν δεινότητος ἔχειν διὰ τὸ εἶναι σαφὲς, δι' ἣν παρήχθη, οὔτε κατασκευὴν, οὔτε περίνοιαν κατασκευάζουσαν, ὅτι καλῶς παρήχθησαν· τὰ μὲν γὰρ ἄλλα παραδείγματα πολλὴν ἐμφαίνουσι τὴν δεινότητα, καὶ τὸ μὴ εἶναι καθαρὰς τὰς

2 In voce Ἀθηναίων pagina finitur: sed scriptura diversa subiicitur: ἀπολεσάντων ἐν κυνὸς μνημείῳ· λέγεται γὰρ, ὅτι ἡ Ἑκάβη αἰχμαλωτισθεῖσα κύων ἐγένετο, τοῦτο δέ ἐστι φλυαρία μυθικὴ, ἀλλ' ὅτι πικρῶς ὕβριζεν ἅπαντας Ἕλληνας· διὸ καὶ διὰ τριακοσίων παρχησίων εἰς τὸ τῆς νηὸς κέρας μετεωρισθεῖσα ἐλιθοβολήθη καὶ ἐτάφη ἐν τῷ ἀπ' αὐτῆς ὀνομασθέντι κυνὸς σήματι. 3 Par. εἰς αὐτῶν. — v. 2. Par. ὅς. scr. 3.

ἐννοίας, ἀφ' ὧν καὶ δι' ἃ εἴπομεν· ταῦτα δὲ οὐδὲν ἔχει τοιοῦτον, ἢ διὰ τὸ γνώριμα εἶναι· δεῖ γὰρ εἶναι τοιαῦτα παραδείγματα, ἢ διὰ τὸ καθαρὰν τούτοις ἐμφαίνεσθαι τὴν καθαρότητα· τὸ γὰρ [4] „ἀδελφὰς ἔχομεν γυναῖκας ἐγώ τε καὶ Σπουδίας οὑτοσὶ, Πολυεύκτου θυγατέρας, ἄπαιδος δ' ἐκείνου τελευτήσαντος [5] παίδων ἀῤῥένων, ἀναγκάζομαι πρὸς τούτου ὑπὲρ τῶν καταλειφθέντων δανείζεσθαι,“ ἰδιωτικός [6] ἐστιν ἄντικρυς. διό καί φασιν, ἕνεκά γε τῆς ἐπιβολῆς, τουτέστι τῷ ἀπὸ τοῦ πράγματος ἄρξασθαι μᾶλλόν εἰσι καθαραὶ, καὶ ἀπὸ τῆς διηγήσεως αὐτῆς, ἢ ὅτι ἐκείνας εἴληφεν, ἵνα δείξῃ, ὅτι δύνανται ἐννοιῶν εἶναι καθαρῶν, πρὸς δὲ καὶ ἄλλο τι ἔχειν· ἔχουσι γὰρ μέθοδον ἐνδιαθέτου.

Συριανοῦ καὶ τῶν λοιπῶν. [7]

ι. Καὶ πάλιν, κοινωνός εἰμι τοῦ δανείσματος. Διονυσιόδωρός τις καὶ Παρμενίσκος ἔμπορος ἐδανείσαντο τρισχιλίας δραχμὰς ἐπὶ τόκῳ ἀπὸ Παμφίλου καὶ τοῦ τὸν παρόντα λόγον κατὰ Διονυσιοδώρου ἐνστησαμένου, ὑποθήκην μὲν δόντες τοῖς δανεισταῖς τὴν ἑαυτῶν ναῦν, ᾗ πλεῦσαι ἔμελλον, ὑποσχόμενοι δ' ἐν τῷ παρόντι γράμματι πλεῦσαι εἰς Αἴγυπτον καὶ ἐξ Αἰγύπτου εἰς Ἀθήνας. Ἐν μὲν τῷ γράμματι ὁ Πάμφιλος ἐγέγραπτο δανειστὴς, ὁ δὲ τὸν λόγον ἐνστησάμενος ἔξωθεν μετεῖχεν αὐτοῦ τοῦ δανείσματος. Ἀποπλεύσαντι δὲ τῷ Παρμενίσκῳ καὶ ἐν Αἰγύπτῳ γενομένῳ ὁ Διονυσιόδωρος ἐν Ἀθήναις ἀπολειφθεὶς γράφει, ὡς εὔωνος ἐν Ἀθήναις ὁ σῖτος εἴη, καὶ ὡς δεῖ λοιπὸν τῇ Ῥόδῳ προσχόντα ἀποδόσθαι τὸν σῖτον, καὶ μὴ ἐς Ἀθήνας ἐκπλεῦσαι· τοῦ δὲ Παρμενίσκου τοῦτο ποιήσαντος παρὰ τοὺς

---

4 Or. in Spud. init. 5 Par. τελευτήσαντα. 6 Par. ἰδιωτικός marg. ἰδιωτισμός. 7 Absunt haec a Vol. VII.

νόμους, οἳ κελεύουσι τοὺς ναυκλήρους καὶ τοὺς ἐπιβάτας πλεῖν εἰς ὅ τι ἂν συνθῶνται ἐμπόριον, ὁ Διονυσιόδωρος οὐδὲ τοὺς ἐγγραφέντας τόκους τῷ γράμματι ἠξίου ἀποδοῦναι τοῖς δανεισταῖς, ἀλλ' εἰ βούλεσθε, φησὶ, κομίζεσθαι [8] τὸ μέρος τοῦ περιπεπλευσμένου, δώσω ὑμῖν τοὺς εἰς Ῥόδον τόκους, καὶ ἐπὶ τούτοις ὁ μὲν ἐγγεγραμμένος τῷ γράμματι τῶν δανειστῶν τὸ γραμματεῖον αὐτοῦ ἐμφανίζων ἐγκαλεῖ [9] τῷ Διονυσιοδώρῳ, ὁ δὲ ἕτερος τὸν παρόντα λόγον κατ' αὐτοῦ ἐνεστήσατο, εἰπὼν ἐν προοιμίοις, ὡς οὐχ ὁ Πάμφιλος μόνος, ἀλλὰ καὶ αὐτὸς σὺν ἐκείνῳ τὰς τρισχιλίας δραχμὰς τῷ Διονυσιοδώρῳ καὶ τῷ Παρμενίσκῳ παρέσχετο.

Περὶ μεθόδου καθαρότητα ἐργαζομένης.

ιά. *Μέθοδος δὲ καθαρότητος σχεδὸν μία.* Τὸ σχεδὸν προσέθηκεν, ὅτι οὐ μόνον αἱ διηγηματικαὶ ἀλλὰ καὶ ἡ ἀφήγησις ποιεῖ μέθοδον, ὡς μικρὸν ὕστερον διδάξει. Ἀφηγεῖταί τις πρᾶγμα ψιλὸν, μηδὲν τῶν περιστατικῶν λαμβάνων, οἷον ψυχὴ πᾶσα καλή τε καὶ θεοφιλὴς καὶ τὰ ἑξῆς, καὶ ὁ ἀόρατος, ὁ ἀπερίληπτος, ἡ ἐκ τῆς ἀρχῆς ἀρχή· εἰ γὰρ καὶ αἱ ἔννοιαι σεμναὶ καί τινες τῶν λέξεων, ἀλλ' ἡ ἀφήγησις μὴ συνελκομένη τὰ περιστατικὰ, καθαρότητος μέθοδος. [10] Ἄρχεται γὰρ ἀπὸ ψιλοῦ τοῦ πράγματος· ἀφήγησις γὰρ ἡ κατὰ μικρὸν ἀπαρτίζουσα τὰς ἐννοίας.

ιβ'. *Γένος εἴδει προσλαβών.* Εἰς τὴν τοῦ εἴδους λῆψιν λαμβάνων καὶ τὸ γένος ἢ ἀνάπαλιν· οἷον ζῶον, ἐξ ἀοράτου τε λέγω καὶ ὁρατῆς κτίσεως, δημιουργεῖ τὸν ἄνθρωπον, οὐ γὰρ μόνον τῷ εἴδει προσέλαβε τὸ γένος τὸ ζῶον, ἀλλὰ καὶ τὰ μέρη καὶ τὸ ὅλον· ὁ μὲν γὰρ ἄνθρωπος ὅλον· σῶμα δὲ καὶ ψυχὴ ἀόρατόν τε καὶ ὁρα-

---

8 Par. κοσμίζεσθαι. 9 Par. ἐγκαλῆ. 10 Par. μέθοδος (ου).

τόν· μέρη, ἔπειτα ὕλη· καὶ τὸ παρ' ἑαυτοῦ, ὅ ἐστιν οὐρανίαν καὶ νοεράν. Ταῦτα δὲ ὅλα, ἀλλὰ καὶ τὰ ἄλλα πάντα περιβολῆς. Τὸ δὲ Δημοσθένους ἐκ τοῦ ὑπὲρ τοῦ στεφάνου· γένος ὁ συκοφάντης· τὸ δὲ κίναδος εἶδος, σημαῖνον τὸν ἀναιδῆ καὶ σατυρικόν.

ιγ'. Ἢ ὅλον μέρει· ἀπὸ κοινοῦ τὸ προσλαβών· οἷον μὴ λαβὼν ἥπατος, μηδὲ τὴν πιμελὴν, μηδὲ τὸ καὶ τό· μέρη γὰρ ταῦτα, οἷς προσλαμβάνει καὶ τὸ ὅλον· ἀλλ' ὅλους ἡμᾶς αὐτούς· καὶ πάλιν προσλαμβάνονται πόλεις, τοῦτο ὅλον, αὐτῶν τῶν οἰκητόρων οἱ πλεῖστοι, μέρος· ἢ ἀόριστον ὡρισμένῳ· οἷον πολλὰ μὲν οὖν τοῦ τότε καιροῦ τὰ θαυμάσια, ἀόριστον· ἥλιος σκοτιζόμενος καὶ τὰ ἑξῆς, ὡρισμένον· καὶ πάλιν πολλοῖς μὲν παιδευθεὶς πρότερον σημείοις καὶ τὰ ἑξῆς.

ιδ'. Ἢ κρίσιν δικαστῶν. Οἶμαι δ' ὅτι καὶ τῶν εὖ φρονούντων ἕκαστος, καὶ μὴ ὅτι τὸν μέγαν Βασίλειον, ἄλλον δέ τινα τὸν πολὺ μετ' ἐκεῖνον, οὐκ ἀντιποιεῖσθαι, οὐ χεῖρα ὀρέγειν, οὐ τὸ καὶ τό· ἀνάγει τὴν κρίσιν εἰς τοὺς ἀκούοντας· καὶ πάλιν· μάρτυρες δὲ καὶ ὑμεῖς ὑπὲρ ὧν καὶ πρὸς οὓς ὁ λόγος.

ιε'. Ἢ ποιότητα πράγματος· οἷον οὐ καλῶς μὲν ἴσως οὐδὲ δικαίως, ἀπήγαγε δ' οὖν.

ιϛ'. Ἢ τὴν πρὸς ἕτερον διαφοράν. Οὐκ ἴσον μοι δοκεῖ ποίμνης ἄρχειν καὶ ἀνθρώπων ἐπιστατεῖν ψυχαῖς, καὶ ἄλλο· τὸν δὲ λυποῦντα δι' ὑποψίας εἶχεν ἡ πόλις.

ιζ'. Ἢ τι τοιοῦτον. Εἰς ἀόριστόν τε καὶ ὡρισμένον ὁμοῦ τὴν διδασκαλίαν προήνεγκε· τὸ μὲν γάρ τι ἀόριστον, τὸ δὲ τοιοῦτον ὡρισμένον· εἰ πλείονα γὰρ τοιαῦτα εἶεν, φησὶν, ἅπαντα περιβάλλει οὐκ ἀορίστως ἐξενεγκών· ἀλλ' ὥσπερ ἔλεγεν, εἴτε ἓν εἴη ἐν τῷ ἐπιχειρήματι τῶν εἰρημένων, εἴτε πλείονα, περιβάλλει κατὰ διάνοιαν καὶ κατὰ λέξιν· ἐξ ἀμφοτέρων γὰρ εἰκὸς γίνε-

σθαι τὴν περιβολήν· ὅθεν κἂν ὁ τεχνικὸς ἀπαρέσκηται, καὶ τὰ ὁμώνυμα τῶν ὀνομάτων καὶ τὰ γενικὰ καὶ τὰ εἰδικὰ περιβάλλει κατ' ἔννοιαν. διὸ καὶ παραλογισμοὺς ποιοῦσιν, εἰς πλείονα τῆς διανοίας φιλοχωρούσης· ἢ οὖν διὰ ταῦτα οὕτως εἴρηκεν, ἢ διὰ τὴν ὕλην, ἣν καὶ ἕβδομον περιστατικὸν τιθέασιν, ἢ ὅτι ῥᾷστον εἶναί φησι τὸ γνῶναι τὴν περιβολήν, ὅτι οὐκ ἐκ τῶν πραγμάτων γίνεται, ἀλλ' ἐκ τῶν περιστατικῶν καὶ τῶν τούτοις συνεπομένων, ἅ ἐστι τὰ νῦν εἰρημένα, καὶ προσέτι τὰ μέλλοντα ῥηθήσεσθαι ἐν τῷ περὶ αὐτῆς λόγῳ· ὡς τὰ ὑποθετικὰ καὶ τὰ κατὰ συστροφὴν καὶ ὅσα τοιαῦτα, καὶ ἁπλῶς ἅσα φύσει παρακολουθεῖ τῷ πράγματι, καὶ δυνάμενα νοηθῆναι καὶ μὴ λεγόμενα περιβολὴν ποιεῖ, καὶ εἰ προτεθείη τὸ πρᾶγμα· καὶ τοῦτο δείκνυσιν ἐκ τῶν τοῦ Δημοσθένους κατὰ Κόνωνος αἰκίας, ἃ πέπονθεν Ἀρίστων ὑπ' αὐτοῦ· οὐ μὴν ἀλλὰ καὶ πάντα τοῦ παραδείγματος περιβλητικά εἰσι, καίπερ μὴ ἔχοντα περιβλητικά· ὡς καὶ ὁ θεολόγος· ἐγὼ γὰρ ἔπαθον ταὐτὸ, ὦ ἄνδρες, ταὐτὸ καθαρότητος ὃν ἄντικρυς· τὸ ἑξῆς οὐχ οὕτως ἔχει.

ιή. Μέθοδος γάρ τις οἶμαι καὶ ἡ ἀφήγησις. Εἴρηται περὶ ταύτης, ὡς ὅτι τρόπος ἐστὶν ἐξαγγελίας καὶ τοῦ κατὰ μικρὸν τέμνειν τὰς ἐννοίας, καὶ ἐν κόμμασι περιγράφειν αὐτάς, οἷον λόγῳ, νόμῳ, προφήταις, εὐεργεσίαις, καὶ ἄλλως πως κατὰ περιόδους καὶ ἀντίθετα καὶ κύκλους καὶ εἴ τι τοιουτότροπον· τὸ γὰρ „σάρκα φορεῖ διὰ τὴν σάρκα“ ἀφηγήσεως ἔμφασιν ἔχον, οὐχ οὕτως προήχθη, ὡς ποιεῖν[11] καθαρότητα· γοργότητος[12] δὲ μᾶλλον οὖσαι διὰ τὰς ταχείας ἀπαντήσεις κύκλων παρέχουσιν ἔμφασιν, καὶ οὐκ ἐναντιοῦται ἑαυτῷ λέγων, μέθοδος οἶμαί τις καὶ ἡ ἀφήγησις κατὰ τὰς προειρημένας ἐννοίας· ἀλλ' οἶδα μὲν καὶ τὰ σχήματα μεθόδους εἶναί τινας, οὐ μὴν τὰς μεθόδους σχήματα τῆς λέξεως· αὐτ

11 Par. ποιεῖς. 12 Par. γοργότητα.

ἂν ποτε μείνοιεν τὰ αὐτὰ δι' ἄλλων λεγόμενα σχημάτων, ἡ δὲ μέθοδος γίνεται διὰ πάντων, ἐξ ὧν εἶναι δείκνυται, ὡς οὐ σχῆμα. Συμπλέκεται γὰρ ἡ μία καὶ αὐτὴ μέθοδος πολλοῖς σχήμασι, καὶ οὐ πάντως περατοῦται· οἷον μέγεθος περιβολῆς, ἀφ' οὗ γὰρ τοῦ ξύλου τῆς ζωῆς ἐκβαλόντες ἡμᾶς· τὸ δὲ σχῆμα πνεῦμα, καὶ τοῦτο μὲν καθὸ σχῆμα ἀπαρτίζεται· ἡ δὲ μέθοδος οὐκ, ἀλλὰ καὶ ἕτερον προστίθησιν· οὐ γὰρ ἔφερον φύσις ὄντες φθονεραί.

ιθ'. Καὶ γὰρ ὀρθώσας καὶ πλαγιάσας καὶ μερίσας· ἤγουν διὰ τοῦ μὲν καὶ τοῦ δέ· οἷον ἃ μὲν οὖν εἴπῃ τις· ἐπεὶ δὲ τὸ μὲν ἐπιτιμᾷν οὐ μέγα· οὗτοι γὰρ οἱ σύνδεσμοι οὕτω λέγονται, ὅτι μερίζονταί τε αὐτοὶ καὶ τὰς ἐννοίας μερίζουσιν, ὡς τὰ οὐχ ὑϊκῶς μὲν, ἐκπορευτῶς δέ· ὃ συμπλέξας διὰ τῶν συμπλεκτικῶν συνδέσμων παρέχει γλυκύτητα· εὐφραινέσθωσαν οἱ οὐρανοὶ καὶ ἀγαλλιάσθω ἡ γῆ· οὐ μὴν εἴρηται, ὡς τὰ ἀληθῆ σχήματα σχήμασιν ἄλλοις οὐ γίνεται, κἂν γένηται, βίαιά τέ ἐστι, καὶ τὰς πρώτας ἐννοίας ἀπόλλυσι· καὶ τοῦτο ὑπεθέμεθα ἀνωτέρω που· τὸ δὲ ἴσως προσέθηκε, μὴ θέλων ἀντιλέγειν κατ' ἐπιείκειαν· διὰ ταύτην οὖν τὴν αἰτίαν ἐνστατικῶς δείξας, ὡς οὐκ ἔστι σχῆμα, κατὰ ἀντιπαράστασιν συγκατατίθεται. Ἀπορήσειε δ' ἄν τις εἰκότως, πῶς ἀνωτέρω τὴν ἀπαρίθμησιν τῶν μορίων ποιούμενος, τετάρτην θεὶς τὴν μέθοδον, νῦν καὶ πανταχοῦ δευτέραν αὐτὴν τίθησι, καὶ οὐχ ὡς ἐφ' οὗ πρὸς τοὺς μουσικοὺς διελέγετο, ὅτι κατὰ τὴν φυσικὴν τάξιν ἐν τῇ διδασκαλίᾳ τίθησιν αὐτάς· ἀλλ' οὐ κατὰ τὴν δύναμιν· οὕτω γὰρ ἔθος ἐν τῷ πανταχοῦ, κἂν τῇ περὶ προσώπων διαιρέσει, κἂν τοῖς περὶ πραγμάτων καὶ κεφαλαίων ὡσαύτως· τὴν γὰρ κατὰ δύναμιν ἡ τοῦ λόγου τάξις συντάττειν ἱκανὴ καὶ ἡ τοῦ λέγοντος οἰκονομία. Καὶ ἄλλως εὑρίσκεται τετάρτη, ὅταν καθ' ἑαυτὴν ἐξετάζωνται τὰ

μόρια. Δευτέρα δὲ, ὅταν σὺν ἀλλήλοις· τρίτον, ὅτι οὐκ ἐπίπαν οἱ ῥήτορες χρήζουσι τῶν μεθόδων· πολλοὶ γὰρ διὰ τὴν πολυμαθίαν καὶ τὴν εἰς ἄκρον ἕξιν καὶ ἀσκεπτὶ δημιουργοῦντες τῶν μὲν ἄλλων φροντίζουσι καὶ προνοοῦνται, μεθόδου δὲ καὶ συνθήκης καὶ βάσεων καὶ ῥυθμῶν μετρίως· ἡ γὰρ φύσις τούτων προνοητικὴ, ὅταν κατὰ λόγον προέρχωνται· ἡ δὲ τέχνη διαρθροῖ καὶ διαστέλλει, εἴποτε καὶ συγχέοιντο ὑπὸ τῆς φυσικῆς κατεπείξεως· εἰ δὲ καὶ εἴη τις τούτων κρείττων αἰτία, δεξαίμην ἄν.

Περὶ λέξεως καθαρᾶς.

κ'. Λέξις δὲ καθαρά· ἣν γινώσκει καὶ ἰδιώτης, ὡς τὸ ἐγὼ ἐποίησα τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ ἄνδρες ἀδελφοὶ καὶ συμπένητες, καὶ τὰ ἑξῆς· καὶ καλὸν ἡ ἀγάπη καὶ ὅσα ὅμοια· τετραμμένην δέ φησι τὴν τροπικὴν καὶ μεταφορικὴν, ὡς τὸ προβαλλώμεθα τὴν καλὴν ἐλπίδα, καὶ τῷ θυρεῷ τῆς πίστεως περιφραξώμεθα· ἐπὶ ὅπλων γὰρ ταῦτα εἴρηται τῇ κυριολεξίᾳ, καὶ τὴν κοιλίαν μου ἀλγῶ, κοιλία γὰρ ἐπὶ γαστρὸς, οὐκ ἐπὶ ψυχῆς ἀσωμάτου καὶ κοῖλον μὴ ἐχούσης τι, ἀλλ' ὅμως καίτοι τροπαὶ οὖσαι καὶ αὗται καὶ αἱ ταύταις ὅμοιαι λεῖαί εἰσι, καὶ τῇ ἀκοῇ προσβάλλουσαι, καὶ τῇ γλώττῃ ἐκφωνούμεναι καὶ οὐ τραχεῖαι, ὡς τό· ἐκρήξω γὰρ τὸ λυποῦν, ἁρμόδιον γὰρ τοῦτο ὡς ὄντως τῷ μετὰ βίας προϊόντι πάθει· σκληρὰ δὲ διὰ τὸ δυσκίνητον καὶ τῇ διανοίᾳ καὶ ταῖς αἰσθήσεσιν· αἱ γὰρ τοιαῦται σκληραὶ καὶ τροπικαί εἰσι, καὶ πάλιν οὐ τροπικαί· τὸ γὰρ ἀταρπὸς σκληρὸν μὲν διὰ τὴν ἐπαλληλίαν τῶν συμφώνων καὶ μάλιστα τοῦ ρ, κύριον δὲ τρόπον τινά τοῦ πράγματος καὶ οὐ τροπικόν· ἐπὶ γὰρ τῆς εὐθείας, καὶ μὴ ἄλλοσέ που [13] τὸν ὁδίτην τρεπούσης, εἰ μέντοι ἐπὶ ψυχῆς εἴποι τις, καὶ σκληρὸν ἅμ' ἔσται καὶ τροπικόν. Πᾶσαι γοῦν καὶ αἱ σκληραὶ καὶ αἱ

13 Par. ad marg. inserere iubet: τοῦ σκοτιοῦ.

τροπικαὶ ἀλλότριαι καθαρότητος κατὰ γένος, καὶ ἀλληγορικαὶ καὶ μεταφορικαὶ κατ' εἶδος· εἰσὶ μὲν οὖν τινες τῶν σκληρῶν λέξεων ἄδηλον ἔχουσαι τὴν τροπὴν, καὶ τὸ πόθεν παρήχθησαν, ὡς συμβαίνειν κυρίας μὲν εἶναι, σκληρὰς δὲ οὐδὲν ἧττον, ὡς ἡ ἐγκεντρισθείς· ἄδηλον γὰρ, εἴτε ἀπὸ τῶν ἀστρονομικῶν ἐπὶ τῶν φυτῶν παρήχθη· εἶναι γὰρ παρ' αὐτοῖς κύκλους τινὰς ἐκκέντρους καὶ ἐπικέντρους, καθ' οὓς οἱ πλάνητες·[14] εἴτε ἀπὸ τῶν ὀχουμένων ἢ ἐλαυνόντων τῷ μύωπι καὶ τῷ κέντρῳ εἰς τὸν γηπόνον, εἴτε ἀπὸ τούτου εἰς ἐκεῖνα, ὅ μοι καὶ μᾶλλον δοκεῖ, διὰ τὸ ἀρχαιότερον· ἐμφαντικαὶ γοῦν εἰσι τῶν ὑποκειμένων αὐταῖς ἢ προσώπων ἢ πραγμάτων ἢ παθῶν, ἢ κυρίως λεγόμεναι· τοιαύτη δέ ἐστι καὶ ἡ· τίς ἡ τυραννίς· τυραννὶς γάρ ἐστιν ἡ βιαία καὶ ἄνομος ἐπιστασία, ἢ ἀκούσιος περιπέτεια· διὸ καὶ ὁμαλίζων τὸ σκληρὸν τῆς ἐννοίας ὥσπερ ἐπιδιορθούμενός φησιν,[15] ἣν ἐξ ἀγάπης ἀεὶ τυραννούμεθα· τούτων καὶ τῶν τοιούτων καταπεριφρονεῖν δεῖ τὸν ἐπιμελόμενον καθαρότητος· μεγέθους γάρ εἰσι μᾶλλον οὐ σαφηνείας· τὸ γὰρ κατεσθίων ἐπὶ θηρίων καὶ ἀδδηφάγων λέγεται· βρῶσις δὲ μᾶλλον καὶ ἐπὶ παθῶν· τὸ δὲ φαγεῖν ἴδιον μόνον τοῖς σώφροσι καὶ ἐγκρατέσι· τὸ δὲ ἐκνενευρισμένον ἐπὶ ταύρων· νύττουσι γὰρ αὐτοὺς κατὰ τὸν σπόνδυλον μαχαίρᾳ, καὶ εὐθὺς ἀποτμηθέντος τοῦ τένοντος πίπτουσι· λέγει[16] δὲ ταύτας Δημοσθένης, τὴν μὲν ἐπὶ τῶν ἐπιβουλευόντων καὶ φθειρόντων, τὴν δὲ ἐπὶ τῆς ἀσθενείας τῶν Ἀθηναίων· ἀδύνατοι γὰρ ἦσαν ἀντιτάττεσθαι μόνοι Φιλίππῳ· τὸ δὲ πεπρακὼς ἐπ' Αἰσχίνου εἴρηται, διὰ τὸ δοκεῖν δεδωροδοκῆσθαι· τὸ δὲ περικόπτων ἐπὶ τῶν ἀκρωτηριαζομένων λεγόμενον ἐπὶ Φιλίππου εἶπε, κρύφα καὶ δόλῳ τοὺς

---

14 ad marg. οἱ πλανῆται. 15 Par. φασίν. 16 Male Koen. ad Gregor. Cor. p. 53. Schaef. locum hunc afferens, λέγουσι, verum vidit Bastius.

δυνατοὺς φθείροντος, ἐφ' οἷς καὶ λωποδυτεῖν ὡς ἐπὶ ληστοῦ· χώρας γὰρ αὐτῶν καὶ πόλεις ἀφείλετο. συμμαχίδας, ἃ μέλλων ὁ ῥήτωρ ἐμφῆναι ταύταις καὶ ταῖς τοιαύταις ἐχρήσατο λέξεσι· τοιοῦτον δὲ καὶ τὸ ἁρπάζων[16*] ὡς ἐπὶ λύκου καὶ πλεονέκτου.

κά. Ἐναργῆ μέν ἐστιν. Ἐνάργειαν γὰρ ἔχουσι καὶ δήλωσιν τῶν καθ' ὧν λέγονται μᾶλλον, ἢ ὧν εἰσι κύριοι.

κβ'. Καὶ μέγεθός ἔχοντά πως. Σεμνότητος καὶ τῶν ἄλλων ἰδεῶν τοῦ μεγέθους καὶ τὴν αἰτίαν προστίθησιν, ὅτι ἑρμηνείας δέονται·[17] τοῦ γὰρ ἐκνενευρισμένοι τὸ περιῃρημένοι χρήματα[18] συμμάχους ἐστὶν ἑρμηνεία· καθαραὶ δὲ μᾶλλον ἐκ τοῦ θείου Χρυσοστόμου. Ἐκ πολλῶν γὰρ ἠθῶν καὶ διαγωγῆς[19] συνισταμένης τῆς ἐκκλησίας τὸ περὶ πάντα σαφὲς ἐπετήδευσεν· οὐ μὴν ἀλλὰ καὶ τῷ θεολόγῳ καὶ τῷ ἑτέρῳ πολὺ τὸ καθαρόν. Ὁ δὲ Ἰσοκράτης φθείρει τὰς καθαρὰς ὡς ἐπίπαν διὰ τοὺς κατὰ τὸ κάλλος σχηματισμούς, πλὴν τῷ ὄντι καθαρός ἐστιν, ὡς οὐδεὶς ἄλλος τῶν παλαιῶν, διὸ καὶ ἐν ταῖς τέχναις παραγγέλλει, δεῖ, λέγων τῇ[20] μὲν λέξει τὰ φωνήεντα μὴ συμπίπτειν, χωλὸν γὰρ τὸ τοιόνδε, μηδὲ τελευτᾷν καὶ ἄρχεσθαι ἀπὸ τῆς αὐτῆς συλλαβῆς, ὡς τὸ ἡλίκα καλά, εἰποῦσα σαφῆ, ἔνθα Θαλῆς· καὶ τοὺς συνδέσμους τοὺς σαφεῖς μὴ συνεγγὺς τιθέναι, καὶ τὸν ἑπόμενον[21] τῷ ἡγουμένῳ εὐθὺς ἀνταποδιδόναι· τοὺς μέν, ὡς τό· ταῦτα μὲν τοιαῦτα, ἐκεῖνα μέντοι ἑτέρως· τοὺς δέ, ὡς τὸν μὲν καὶ τὸν δέ· καὶ τὸ ὡς καὶ τὸ οὕτως· ὀνόματι δὲ χρῆσθαι ἢ μεταφορᾷ μὴ σκληρᾷ ἢ τῷ καλλίστῳ καὶ τῷ ἥκιστα πεποιημένῳ, ὡς τὸ σίζειν καὶ δοῦπος· ταῦτα γὰρ πεποιημένα· ἤ τι τῶν γνωριμωτάτων· ὅλως[22] δὲ

16* Par. ἁρπάζον. 17 Par. ἑρμηνείαν δεῖται. 18 Par. σχήματι. 19 Par. διαγωγῇ. 20 Par. τήν. — cfr. T. V. p. 469. 21 Par. ἑπόματον. 22 Par. ὅλος.

ὁ λόγος μὴ λόγος ἔστω, ξηρὸν γάρ, μηδὲ ἔμμετρος, καταφανὲς [23] γάρ, ἀλλὰ μεμίχθω παντὶ ῥυθμῷ μάλιστα· διηγητέον δὲ τὸ πρῶτον καὶ δεύτερον, καὶ τὰ ἑξῆς ἑπομένως, καὶ μὴ πρὶν ἀποτελέσαι τὸ πρῶτον ἐπ' ἄλλο ἰέναι, εἶτα πάλιν ἐπὶ τὸ πρῶτον ἐπανιέναι, καὶ αἱ ἐπὶ μέρος δὲ διάνοιαι τελειούσθωσαν ἐφ' ἑαυτὰς περιγραφόμεναι. Ταῦτα περὶ καθαρότητος Ἰσοκράτης· ἀρκοῦντα δὲ καὶ τὰ τοῦ τεχνικοῦ παραγγέλματα.

Περὶ σχημάτων καθαρότητος.

κγ'. Ἐγὼ γάρ, ὦ Ἀθηναῖοι, προσέκρουσα· Ἐκ τοῦ κατὰ Τιμοκράτους ἡ χρῆσις· δῆλον δέ, ὡς καὶ αἱ πρῶται προσώπων ἀντωνυμίαι καὶ τῶν ῥημάτων καὶ τῶν μετοχῶν εὐθεῖαι λέγονται. καὶ γὰρ ἐκ τῆς ἀρχῆς τὸ κῶλον γνωρίζεται, οἷον ἐγὼ θαυμάζω, τί πότ' ἐστιν, ὃ πρὸς τοὺς ἐμοὺς πεπόνθατε λόγους· εἰ γὰρ καὶ πρὸς πλάγιον ἀπέκλινε τὸ κῶλον, ἀλλὰ κατὰ τὴν ἀρχὴν κρίνεται, καὶ οὗτος μὲν τῶν ἐμῶν λόγων πρῶτος ἄεθλος ἐκτετέλεσται· δεῖ δέ, ὅπερ ἔφην καὶ μικρῷ πρότερον, αὐτὰ ἕκαστα ἐφ' ἑαυτῶν ὁρᾶν· διότι ἐγχωρεῖ τὴν μὲν λέξιν εἶναι καὶ τὸ σχῆμα καθαρόν, τὴν δὲ ἔννοιαν καὶ τὴν αἰτίαν περιβολῆς· ἤδη δέ που καὶ τὴν λέξιν, ὡς τὸ προσέκρουσα ἀνθρώπῳ πονηρῷ καὶ φιλαπεχθήμονι, καὶ γὰρ τὰ προειρημένα, φησί, καθαρὰ ὄντα ὅμως διὰ τὰς αἰτίας περιβολὴν ἀπετέλεσαν.

κδ'. Τεκμήριον δέ. Ὁ γὰρ πλαγιασμὸς τὴν ἀπ' εὐθείας πρὸς τὰς πλαγίας μετάβασιν περιβολὴν ποιεῖ, οἷον πάντων δὲ ἀτοπώτατον τὸν σωτῆρα καὶ δεσπότην ἁπάντων, καὶ τὰ ἑξῆς· καὶ τό· πολλῶν ὄντων ἡμῖν εἰς ὁδηγίαν τοῦ κρείττονος, καὶ τό· ὡς ἀσθενεστέρους ἤδη κατέδραμον, τὸν ἡγεμόνα νοῦν συναρπάσαντες, καὶ τοῖς πάθεσι θύραν ἀνοίξαντες. Σαφῆ γὰρ ὄντα τοιαῦτα ὅμως περιβολὴν ποιεῖ.

---

23 Par. καταφανὲς δὲ γάρ.

Συριανοῦ καὶ τῶν λοιπῶν.[1]

κέ. Ἀλλὰ μὴ τὰ ἐφεξῆς εἰρημένα. Ἀλλὰ τὰ μὴ ἐφεξῆς εἰρημένα οὐ γὰρ εἴασεν ἐκεῖνα· ποῖα ἐκεῖνα τὰ ἐφεξῆς εἰρημένα; τὸ ἀνθρώπῳ πονηρῷ καὶ φιλαπεχθήμονι· ἀπὸ γὰρ τοῦ ἐγὼ εἰς δοτικὴν ἐπλαγίασε καὶ τὸ, τὸν Ἀνδροτίωνα λέγω, τοῦτο γὰρ διέλυσε τὴν ὀρθότητα.

κς'. Ὥσπερ δὲ ὁ πλαγιασμός. Ὁ πλαγιασμὸς καὶ ἡ ὀρθότης σχήματά εἰσιν ἰδεῶν, ἡ δὲ περιβολὴ καὶ καθαρότης ἰδέαι, ἡ μὲν τοῦ μεγέθους, ἡ δὲ τῆς σαφηνείας.[2]

κζ. Ἦν Κανδαύλης· ἐκ τῆς Ἡροδότου πρώτης· οὐ τὸ ἦν δὲ ὀρθὸν, ἀλλὰ τὸ Κανδαύλης.

κή. Ταραχὴ γάρ τις. Διὰ τὸ μακρότατον καὶ οἷον ἀπερίγραπτον, καὶ μὴ ἐν ὀλίγοις στῆσαι τὴν ἔννοιαν· πλὴν εἰ καὶ ἀπὸ πλαγίου τις ἄρχοιτο, εἶτα δι' ὀλίγου στήσει, καθαρὸν καὶ οὕτως ποιήσει.

κθ'. Καὶ ἡ περιγραφὴ τῆς ὅλης ἐννοίας. Ἡ περιγραφὴ ἡ συμπλήρωσις τῆς ἐννοίας· τὸ γὰρ ἔμελλεν ἄρα, διὰ πολλοῦ ἔχον τὴν εὐθεῖαν, προσβολὴν ποιεῖ καὶ οὐ καθαρότητα, οὐ μὴν τό· ἐκεῖνο μὲν οὖν σφόδρα μειρακιῶδες καὶ κοῦφον, οὐχ ὅπως περὶ βασιλέως ἀνδρὸς, ἐκ τοῦ πρώτου τῶν στηλιτευτικῶν ἧττόν ἐστιν ἐν περιβολῇ διὰ τὰς εὐθείας· τῆς γὰρ σαφηνείας ἴδιον ἡ ὀρθότης, καὶ τοῦτο ἐκ τῶν παραδειγμάτων ποιεῖ φανερόν· τὸ γὰρ ἦν Κανδαύλης, καὶ τὸ Κροῖσος ἦν καὶ ὅσα παραπλήσια τούτοις εἰςφερόμενα κατ' ὀρθότητα, καθαρὸν ποιεῖ τὸν λόγον· ἴσως δὲ κἂν ἄρξηταί τις ἐκ πλαγιασμοῦ, ἐπενέγκῃ δὲ τὴν ῥηματικὴν εὐθὺς ἀπόδοσιν, καὶ στήσῃ τὴν ἔννοιαν, οὐκ ἂν ἁμάρτῃ τῆς καθαρότητος· οἷον ἀν-

---

1 Exstat etiam in Vol. VII. p. 925. λά. verbis diversis. 2 Sequitur: εἰς τὸ αὐτὸ Συριανοῦ καὶ τῶν λοιπῶν Vol. VII. p. 926. λέ.

θρώπῳ γὰρ ἐγὼ προσέκρουσα πονηρῷ καὶ φιλαπεχθήμονι· μὴ οὖν ζήτει μόνον κατ' εὐθεῖαν προφέρειν τὸν λόγον, καλὸν μὲν γὰρ καὶ τοῦτο, πλὴν ἐπιφέρειν σπούδαζε τὸ ῥῆμα, ὅπως ἐκ τοῦ βραχέος στήσῃς τὴν ἔννοιαν· ἐγὼ γὰρ τοὐναντίον φημὶ, κἂν ἀπὸ πλαγιασμοῦ ἄρξῃ, μηδὲ διὰ μακρῶν τὴν ῥηματικὴν ποιήσῃς ἀπόδοσιν, οὐδὲν ἧττον ὁ λόγος ἐστὶ καθαρός· εἰ δὲ καὶ ἐξ εὐθείας λάβοις τὴν ἀρχὴν καὶ τὴν λέξιν καὶ εὐθὺς ἐπενέγκῃς τὴν ῥηματικὴν ἀπόδοσιν, καθαρώτατον ποιήσεις τὸν λόγον· εἰ δὲ καὶ πλαγιάσεις καὶ διὰ μακροτέρων ἐπενέγκῃς τὴν ῥηματικὴν ἀπόδοσιν, περιβαλεῖς, οἷον Κροίσου ὄντος καὶ Κανδαύλου [3] ὄντος εἰ λέγοις, ταραχή τις ἔσται· διὰ τὸ δεῖν πάντως ἀκολουθεῖν τὸ ἕτερον νόημα.

λ'. Τὸ ἐπειδὴ γὰρ οὐ καθεστηκότος χορηγοῦ. Διὰ πάντων περιβέβληται ἐκ τοῦ κατὰ Μειδίου ὂν Δημοσθένους· ἐφέλκεται γὰρ τὰ περιστατικά· κατ' ἔννοιαν μὲν διὰ ταῦτα· κατὰ σχῆμα δὲ, ὅτι κατὰ ἀφαίρεσιν εἰσῆκται· τόπος μὲν γὰρ ἡ ἐκκλησία· χρόνος, τρίτον ἔτος τουτὶ, αἰτία, ἵνα μὴ στάσις γένηται, καὶ τὰ λοιπά· καὶ τοῦ θεολόγου· πρόσωπον· τοῦτον ἔθετο μέν· τόπος· ποῦ; ἐν τῷ παραδείσῳ· διατί; τῷ αὐτεξουσίῳ τιμήσας, ἵν' ᾖ τοῦ ἑλομένου τὸ ἀγαθόν· πῶς; γυμνὸν τῇ ἁπλότητι· χρόνος· τοιοῦτον ἔδει γενέσθαι τὸν ἀπ' ἀρχῆς· ἐν τούτοις ἔχει τι καὶ γοργότητα, πῶς δὲ γίνεται σαφέστερον, εἰ καὶ τὰ περιστατικὰ, φησὶ, περιγράφονται, ὡς τὸ παράδειγμα δηλοῖ· τοῦ δὲ θεολόγου οὐ τοιοῦτον διὰ τὴν ἐπεμβολὴν τοῦ τῷ αὐτεξουσίῳ τιμήσας· ἀλλ' εἰσὶ δῆλα ταῖς ἐννοίαις καὶ τοῖς περιστατικοῖς περιγραφόμενα πάμπολλα, ἃ δὴ γνωστέον ἐκ τούτων· διὰ μὲν τὰς περιγραφὰς καθαρότητα ποιήσεις· διὰ δὲ τὰς ἐννοίας ἡ περιβολὴ μενεῖ τε καὶ οὐκ ἀφαιρεθήσεται. [4]

---

3 Par. Κανδαύλης. 4 Litt. λά. continetur Vol. VII. p. 928. λή.

λβ΄. Οὐδὲ ἔχοντά τι μέγεθος καὶ τόνον. Μέγεθος, ὄγκον καὶ τὸ τοῦ λόγου ὕψος, τάσιν δὲ μακροκωλίαν καὶ τὴν εἰς μῆκος ἀπόδοσιν.

λγ΄. Θαυμάζειν δὲ οὐ χρή· ἀντιπίπτοντος λύσις καὶ διαλλήλου διδασκαλίας αἰτία· τίς δὲ ἡ διάλληλος, εἴπομεν. τὸ οὖν δι᾽ ἀλλήλων ἥκειν τὰς ἰδέας καὶ ἀλλήλαις⁵ συμπλέκεσθαι, καὶ ἐξ ἀλλήλων δείκνυσθαι, ἢ διὰ τῶν μερῶν τὰ μέρη, ἢ διὰ τῶν ὅλων τὸ ὅλον· πολλαχῶς δὲ τὸ μέρος καὶ τὸ ὅλον· καὶ γὰρ τὰ στοιχεῖα τοῦ λόγου μόρια ὄντα μέρη λεγόμενα καὶ μόρια ἀδιαίρετά εἰσι καὶ ἀνεπίστατα· τὰ δὲ μέρη, οἷον αἱ εἰδικαὶ διαφέρουσιν ἀλλήλων· τὰ μὲν γὰρ αἱ ἰδέαι διαιροῦνται⁶ εἰς τὰ μόρια, ἃ καὶ μόρια λέγονται καὶ ὅλα καὶ μέρη· τὸ γὰρ γένος, φησὶν ὁ Πορφύριος, ὅλον τί ἐστι, τὸ δὲ ἄτομον μέρη, τὸ δὲ εἶδος καὶ ὅλον καὶ μέρος, ἀλλὰ μέρη μὲν τοῦ γένους, ὅλον δὲ τῶν ἀτόμων· οὐ μὴν ἀλλὰ καὶ τὰ ἄτομα ὅλα εἰσὶ καὶ μέρη ἔχουσιν· ὁ γὰρ Σωκράτης, ὅλον τι ὂν μέρος, μέρη ἔχει καὶ αὐτὸς ψυχὴν καὶ σῶμα, καὶ ταῦτα διαιροῦνται εἰς μόνα μόρια· τὸ τοίνυν λέγειν ἡμᾶς, ἢ διὰ τῶν μερῶν τὰ μέρη δείκνυσθαι, φαμὲν, ὅτι διά τε τῶν στοιχείων τῆς καθαρότητος τὰ τῆς περιβολῆς δείκνυται καὶ ἀντιστρέφει· διά τε τῆς καθαρότητος ἡ περιβολὴ, ἀπὸ τῶν ἓξ συζυγιῶν δύο ἀντιθέσεων τῶν συμπλοκῶν μιᾷ χρησάμενος μόνῃ· ὅτι τὰ μέρη τὸ ὅλον κατασκευάζειν λέγεται, ὡς τὰ εἴδη τὰ γένη· ὅτι γὰρ καθαρότης καὶ ἡ εὐκρίνεια τὴν σαφήνειαν καὶ τὸ μέγεθος αἱ ὑπ᾽ αὐτὸ, καὶ τὰ ἄλλα ὁμοίως· καὶ πῇ μὲν δυσὶ, πῇ δὲ τρισὶ, πῇ δὲ πλείοσι μέρεσιν ἀλλήλαις κοινωνεῖν λέγεται· οὕτω δὲ λέγειν τε καὶ διδάσκειν ἐκ τοῦ ἀσαφοῦς τὸ ἀσαφές ἐστι διδάσκειν· οὔπω γάρ τι περὶ αὐτῶν μεμαθήκαμεν, καὶ ἀγνοοῦμεν ὁμοίως αὐτάς τε καθ᾽ ἑαυ-

οῦσι.

5 Par. ἀλλήλας. scr. ἀλλήλαις. 6 Par. διαιροῦνται.

ἑαυτὰς καὶ τὰ κοινὰ ὁμοῦ αὐτῶν καὶ τὰ ἴδια. Τοιγαροῦν λύει τὴν μέμψιν λέγων· οὐ δεῖ θαυμάζειν, εἰ τοιοῦτον διδασκαλίας τρόπον εἵλομεν, λέγειν περὶ τῆς περιβολῆς, ὡς ἤδη ταύτην διδάξας· εἰ μὲν γὰρ ἑτέρως ἐνῆν τὰς ἰδέας διατυποῦν, περίεργον οὕτως εἰς μέσον ἀγαγεῖν τὴν περιβολήν· εἰ δὲ συντελεῖ μάλιστα πρὸς τὴν κατάληψιν τῆς καθαρότητος, οὐδὲν ἄτοπον τοιούτῳ χρῆσθαι τρόπῳ πρὸς τὴν τούτων διάγνωσιν· οὕτω γὰρ ἂν καὶ τὰ γένη ἀπό τε τῶν μερῶν, ἀπό τε τῶν εἰδῶν, ὡς ἡ σαφήνεια ἀπὸ τῆς καθαρότητος καὶ τῆς εὐκρινείας· διδασκόμεθα καὶ τὰ μέρη ἀπὸ τῶν μερῶν καὶ τὰ εἴδη ἀπὸ τῶν εἰδῶν· οὐ γὰρ ἑτέρως τὰ καθόλου, εἰ μὴ ἀπὸ τῶν μερικῶν καταλαμβάνονται κατ' ἐπαγωγήν· καὶ τὰ πράγματα τηνικαῦτα μάλιστα γινώσκομεν, ἡνίκα διὰ τῶν ἐναντίων δεικνύεται· τὸ γὰρ λευκὸν ἀπὸ τοῦ μέλανος γινώσκεται, καὶ τὸ σῶφρον ἀπὸ τοῦ ἀκολάστου· εἰ γὰρ μὴ τοῦτο ἦν, ἄλλῳ ἀντ' ἄλλου περιεπίπτομεν· ἔνθεν τοι καὶ τὸ φιλόσοφον ἀξίωμα φησι τὴν αὐτὴν ἐπιστήμην εἶναι τῶν ἐναντίων, ὡς ἀνωτέρω εἰρήκαμεν· ἐπεὶ καὶ αἱ αἰσθήσεις, ἥ τε γὰρ ἀκοὴ ὀξέων καὶ βαρέων φθόγγων ἢ ψόφων αἰσθητική, καὶ ὁ ὀφθαλμὸς λευκοῦ καὶ μέλανος κριτής, καὶ ἡ ὄσφρησις εὐώδους ἀτμοῦ καὶ δυσώδους· ποιοτήτων ἡ γεῦσις καὶ χυμῶν, καὶ ἡ χεὶρ κράσεων· οὕτως οὖν κἀπὶ τούτων οὐκ ἔστι γνῶναι καθαρότητα, εἰ μὴ διὰ περιβολῆς· διὰ τοῦτο, εἰ καὶ ἀπὸ ἄλλης ὁποιασοῦν ἰδέας ἤρξατο, τὸν αὐτὸν δὴ τρόπον τῆς διδασκαλίας ἐτήρησεν ἐκ τῶν ἐναντίων τὴν ἐναντίαν διδάξας.

κδ'. Σχεδὸν γὰρ πᾶσαι αἱ ἰδέαι. Πᾶσαι, φησίν, αἱ ἰδέαι τῶν λόγων δι' ἀλλήλων εὑρίσκονται καὶ γίνονται καταφανεῖς, διότι καὶ τὰ πράγματα· τὰ γὰρ στοιχεῖα τὰ κοσμικὰ διὰ τῶν ἐναντίων κράσεων συνιστάμενα δι' αὐτῶν τούτων καὶ καταφανῆ γίνεται· πρόσκειται δὲ τὸ σχεδόν, ὅτι τὰ κυρίως ἐναντία ἀσύμβατα, εἰ

μὴ διὰ μέσου τινός, οἱ δὲ λόγοι οὐχ οὕτως· ἀλλὰ πῶς φησιν; ἢ κατὰ ἀφαίρεσιν καὶ χωρισμὸν, ὡς ὅταν λέγῃ ἀλλοτρίαν εἶναι περιβολὴν καθαρότητος καὶ εὐκρινείας, ἢ κατὰ πρόθεσιν καὶ σύνθεσιν, ὡς ὅταν λέγῃ, τὴν μὲν σαφήνειαν δι' εὐκρινείας γίνεσθαι καὶ καθαρότητος, τὴν δὲ ἀκμὴν τραχύτητος [7] καὶ σφοδρότητος καὶ λαμπρότητος, καὶ τῶν ὁμοειδῶν, καὶ τοῦτο κἀπὶ τῶν ὄντων, ὡς ἔφην· τὰ γὰρ σύνθετα κατὰ πρόθεσιν ὑφεστήκασι καὶ ἀφαίρεσιν καίτοι φυσικὰ ὄντα· ἡ γὰρ φύσις τοῦ αἰσθητικοῦ ζώου καὶ καθ' ὁρμὴν κινητικοῦ, συντεθεῖσα τῷ λογικῷ καὶ προαιρετικῷ, τὸν ἄνθρωπον ἀπετέλεσεν, ἀφαιρεθεῖσα δὲ τὰ ἄλογα καλῶς ἄρα καὶ φιλοσόφως ἐπὶ τούτοις ἐχρήσατο τῇ διαλλήλῳ· ἐφ' ὧν μὲν γὰρ ἀνθυπόστατά εἰσι τὰ πράγματα, ὡς ἡ οὐσία, ἢ ἐν ἄλλῳ θεωροῦνται, ὡς τὰ συμβεβηκότα, εἰ διδάσκει τις ἕτερον δι' ἑτέρου λέγων· οὐσία ἐστὶν, ᾗ τὰ συμβεβηκότα ἥδρασται, καὶ συμβεβηκότα ἐστὶ τὰ ἐν τῇ οὐσίᾳ ὄντα· τηνικαῦτα ἡ διάλληλος δεῖξις κακίζεται· ἄγνωστα γὰρ ἑκάτερα· ἐφ' ὧν δὲ τὰ πράγματα ἐν σχέσει θεωρεῖται, ὡς ὁ πατὴρ υἱοῦ πατὴρ, καὶ ἡ καθαρότης λόγου καθαρότης, καὶ ὁ λόγος καθαρότητος λόγος, καὶ τοῖς εἴδεσιν αὐτοῦ· καὶ ἡ περιβολὴ καθαρότητι γινώσκεται, καὶ ἡ καθαρότης περιβολῇ· τηνικαῦτα ἀναγκαία ἡ διάλληλος· τὸ γὰρ χωρίζειν καὶ ἀφαιρεῖν ἐστι τὸ λέγειν, ὅτι καθαρὰ σχήματά εἰσι τὰ μὴ ποιοῦντα περιβολήν· κατὰ πρόθεσιν δὲ, ὅτι ἡ σαφήνεια δι' εὐκρινείας καὶ καθαρότητος γίνεται· δύο γὰρ οὐσῶν ἀντιθέσεων, συνθέσεως καὶ διαιρέσεως, προθέσεως καὶ ἀφαιρέσεως, ἡ πρόθεσις καὶ ἡ ἀφαίρεσις τὰς ἰδέας ποιεῖ· ἡ σύνθεσις καὶ ἡ διαίρεσις τὰ ζῶα· καὶ τὰ λοιπὰ πράγματα διαίρεσιν μὲν ἔχουσιν, ὅταν διαιρῶνται ταῖς διαιρέσεσι διαφόρως, σύνθεσιν δὲ, ὅταν εἰδοποιῶνται ταῖς συστατικαῖς διαφοραῖς· καὶ αὗται μὲν

---

7 Par. τραχύτητι καὶ σφοδρότητι καὶ λαμπρότητι.

ἐπὶ τῶν φυσικῶν, ἐκεῖναι δὲ ἐπὶ τῶν τεχνητῶν· ἐναντίον δὲ καὶ τὸ ὑπέρβατον καθαρότητι εἰκότως· ἐξίστησι γὰρ καὶ τέμνει καὶ ὑπερβιβάζει τὴν συνέπειαν τῆς συντάξεως, καθ' ἣν ὁρᾶται ἡ καθαρότης καὶ περιβλητικὴν δείκνυσι· διὸ καὶ ἀπὸ τῆς ὀνομασίας ἐμφαίνεται· ὑπερβαίνει γὰρ τὴν οἰκείαν τάξιν, καὶ γίνεται ἢ κατὰ παρένθεσιν ἢ κατὰ ὑποστροφήν· κατὰ παρένθεσιν μὲν, οἷον τοῦτον ἔθετο μὲν ἐν τῷ παραδείσῳ· ἡ παρένθεσις· ὅςτις ποτὲ ἦν ὁ παράδεισος οὗτος· τὸ δὲ συνεχὲς, οὕτω τοῦτον ἔθετο μὲν ὁ θεὸς ἐν τῷ παραδείσῳ τῷ αὐτεξουσίῳ τιμήσας, καὶ πάλιν ἐπί τινα τῶν Ποντικῶν, εἶτα ἡ παρένθεσις, πολλαὶ γὰρ αὗται καὶ βαθεῖαι παρ' αὐτοῖς καὶ ἐπὶ πλεῖστον διήκουσαι καταφεύγουσι λόχμην· τὸ δὲ συνεχὲς, ἐπί τινα τῶν Ποντικῶν ὀρῶν καταφεύγουσι λόχμην· τοῦ δὲ κατὰ ὑποστροφὴν, ὅταν ὑποστρέψῃ τὸ ἔσχατον πρὸς τὸ πρῶτον· οἷον σφόδρα ἐβουλόμην περὶ τῶν εὐνούχων ἀνδρικόν τι εἰπεῖν· ἔστι γὰρ, σφόδρα ἐβουλόμην εἰπεῖν· τὸ ὀκνῶ γὰρ εἰπεῖν βαθύτερον ὑποστροφῆς εἶδός ἐστιν ἡ ἐπιδιόρθωσις, πλὴν καὶ τοῦτο ὑπέρβατόν ἐστι, καὶ τρανότερον ἐν τοῖς περὶ κάλλους ῥηθήσεται. [8]

Περὶ κώλων.

Περὶ κώλων καὶ κομμάτων καὶ τῶν ἐν αὐτοῖς μέτρων εἴρηται.

Περὶ συνθήκης.

κέ. Συνθήκη δέ ἐστιν ἁρμονία καὶ ἕνωσις λέξεων ἐκβεβηκυῖα τὴν κοινὴν χρῆσιν· ἁπλῆν δέ φησι τὴν περιφανῆ· σμικρολογεῖσθαι δέ ἐστι τὸ ἀκριβολογεῖσθαι καὶ μέχρι τῶν σμικροτάτων τὸν λόγον περιεργάζεσθαι· τὰ γὰρ μηδόλως συγκρούειν τὰ φωνήεντα μηδὲ χασμῳδεῖν κάλλους ἴδιον.

---

8 Sequitur Συριανοῦ καὶ τῶν λοιπῶν Vol. VII. p. 929. λθ'—μβ'.

κς΄. Ἔπειτα ἡ λογοειδεστέρα· ἡ τῷ πεζῷ λόγῳ προσεοικυῖα, ἡ ἰαμβόχρετος καὶ τροχαϊκὴ ἢ ἡ τελευτῶσα εἰς βραχὺ καὶ μηδένα ὄγκον ἔχουσα, ὁποία ἐστὶν ἡ ἐξ ἰάμβων καὶ ἡ διὰ τροχαίων· ἐκ τούτων γὰρ ὡς ἐπὶ τὸ πλεῖστον ὁ πεζὸς λόγος συνέστηκεν· ὅθεν καὶ τὴν κωμικὴν ποίησιν τούτοις συνηρμοσμένην ἔμμετρον ῥητορικὴν καλοῦσι.

κζ΄. Ἧττον γὰρ ἡ τοιαύτη διῇρται· ὕψος γὰρ καὶ μέγεθος οὐ τοσοῦτον ἔχει, ὡς ὁ σπονδεῖος, ὅθεν οὗτος τῷ ἡρωϊκῷ ἀπεκρίθη· οὗτος εὐποροῦντά με ποιεῖ μέτριον, καὶ πάλιν, ταῦτα μὲν οὖν παιζέτω [9] σε. τῶν γὰρ μέτρων τούτων τὸ μὲν ἰαμβικὸν συνίσταται κατὰ μὲν τὰς περιττὰς χώρας, τουτέστι πρώτην, τρίτην καὶ πέμπτην, ἐκ σπονδείου, ἰάμβου, ἀναπαίστου, χορείου, ὅς ἐστι τρίβραχυς, κατὰ δὲ τὰς ἀρτίους, δευτέραν καὶ τετάρτην, ἰάμβου, ἀναπαίστου, χορείου· τὸ δὲ τροχαϊκὸν κατὰ μὲν τὰς περιττὰς χορείου, [10] τροχαίου, δακτύλου, κατὰ δὲ τὰς ἀρτίους τῶν αὐτῶν τούτων καὶ ἀναπαίστου καὶ σπονδείου.

κη΄. Οὐ δεῖ δὲ τὸ ἀκριβὲς ἀπαιτεῖν. Οὐ δεῖ ζητεῖν τὸ ἀκριβές, ὅτι οὐ μόνον ὑπόψυχρον, ἀλλὰ καὶ περιττὸν καὶ ἀδύνατον· τῷ μὲν οὖν περιττῷ τὸ ἀπίθανον ἕξει, καὶ τὴν ἄκαιρον ἐπίδειξιν ὁ λέγων· τῷ δὲ ἀδυνάτῳ, ὅτι εἰς μύρια ἔτη οὐ ποιήσει λόγον· διὸ οὐδὲ τῷ Διονυσίῳ προσεκτέον, ὡς καὶ μέχρι τῶν στοιχείων καταγίνεσθαι, ἄφωνα ἐκλέγοντα ἐν μέρει καὶ ἡμίφωνα, καὶ τὰ τοιουτότροπα, διὸ καὶ ὁ τεχνικὸς τοὺς λόγους εἰδὼς θᾶττον ἢ λέγονται [11] πτηνῶν δίκην παρερχομένους ἐκείνων παρακελεύεται φροντίζειν κατὰ τὴν σύνθεσιν, οἷς δύναται παρακολουθεῖν ἡ αἴσθησις τοῦ ἀκούοντος· ἀγαπη-

---

9 Par. πεζέτω. scripsi παιζέτω. 10 Par. χορεῖον, τροχαῖον, δάκτυλον. posui genitivum. 11 Par. λέγοντα. scr. λέγονται. Cfr. T. V. p. 472. v. 10. sqq.

τὸν γάρ, καὶ εἰ τὴν ἐπιφάνειαν καταλήψεται; μήτοιγε τὴν κεκρυμμένην τοῦ λόγου σύνθεσιν· εἰ γὰρ τοῦ ῥήτορος ῥύδην λέγοντος ὁ ἀκροατὴς ἐθελήσει τὸ βάθος σκοπεῖν, ἀγνοήσει τοῦ λόγου τὴν δύναμιν, ἐν ᾧ τὴν τοιάνδε σύνθεσιν διαγνῶναι σπουδάζει, καὶ ἁπλῶς εἰπεῖν, ταὐτὸν πείσεται τῷ βουλομένῳ καταμαθεῖν τῶν ὀρνίθων τὴν πτῆσιν ἐν τῷ ῥυτῷ [12] τῆς πτήσεως, καὶ μὴ σπουδάζοντι τῇ πτήσει συμπαρεκτείνειν τὴν θέαν· ὥσπερ ἐκεῖσε πολλῶν, εἰ τύχοι, φερομένων, εἰ πρὸς τὸ πρῶτον μόνον ἀπίδοις, οὐκέτι τὰ ἄλλα ὁρᾷν δυνήσῃ, ἀλλ' ἀνάγκη μεταφέρειν ταχέως τὴν ὅρασιν, ὅπως ἐκ μέρους τῶν ἱπταμένων κατίδοις τὴν ἐπιφάνειαν, τὸν αὐτὸν τρόπον κἀπὶ τῶν λόγων τῇ βάσει μόνῃ καὶ τῇ ἐπιφανείᾳ δυνατόν ἐστιν ἐξακολουθεῖν τὸν ἀκροατήν· καὶ διὰ τοῦτο οὐδὲν ἐξισχύει τι τῶν ἐν βάθει ζητεῖν, ἀλλ' ἔνθα ἂν ὁ λέγων ἀπαρτίσῃ [13] τὴν διάνοιαν, πρὸς ἐκείνην ὁρᾷ τὴν σύνθεσιν, ἢ τὴν ἀρχὴν δύναται παρακολουθεῖν ἡ αἴσθησις τοῦ ἀκούοντος· οὔκουν οὕτως ὁ Διονύσιος οὐδὲ τὰ τοιαῦτα τὸν πολιτικὸν λόγον παραδίδωσιν, ἀλλὰ τῶν στοιχείων μόνην τὴν δύναμιν· ποιεῖ οὖν καθαρὰν συνθήκην πλεονάζων ὁ ἴαμβος καὶ τροχαῖος μᾶλλον· διό φησι καὶ ὁ τεχνικός, καὶ γὰρ ὅλως δεῖ μεμίχθαι τινὰς αὐτοῖς ἑτέρους πόδας, ἵνα μὴ ἔμμετρος ὁ λόγος γένηται, ἀλλ' ἔχοι μέν τι καὶ μέτρον, λέγω δὴ τοῦ φυσικοῦ, μὴ μέντοι παντάπασι μέτρον ᾖ· τὴν ἐξ αὐτοφυοῦς σύνθεσιν φυσικῶς λέγων τῷ λόγῳ συνισταμένην καὶ μὴ ἐπιτηδευομένην, ὡς παρὰ τοῖς ποιηταῖς· „ἀπόχρη γάρ," φησί, „τὴν πολιτικὴν φράσιν εὔρυθμον εἶναι καὶ εὔμετρον, [14] οὕτω γὰρ ἂν εἴη ποιητικὴ μέν, οὐ μὴν ποίημα, καὶ ἐμμελὴς μέν, οὐ μέλος δέ·" ὡς καὶ Ἰσοκράτης· „ὅλως δὲ ὁ λόγος μὴ

12 Par. ῥιπῷ. 13 Par. ἀπαρτίσοι. scr. ἀπαρτίσῃ. 14 Par. ut Codd. T. VII. et Plan. T. V. p. 473. ἔμμετρον. correxi ex Dionysio de comp. p. 382.

λόγος ἔστω, ξηρὸν γὰρ, μηδὲ ἔμμετρος, καταφανὲς γὰρ, ἀλλὰ μεμίχθω παντὶ ῥυθμῷ, ἰαμβικῷ μάλιστα ἢ τροχαϊκῷ·" τούτοις ἑπόμενος ὁ τεχνικὸς τὴν ποιὰν συνθήκην τροχαϊκὴν ἢ δακτυλικὴν ἤ τι τῶν τοιούτων εἶναι ἀξιοῖ.[15]

κθ'. Μετὰ τῆς ἀναπαύσεως οὐδὲν ἀλλ' ἢ μέτρον τε καὶ μὴ μέτρον εἶναι δεῖ· μέτρον μὲν, ὡς ἔχουσαν τοὺς οἰκείους πόδας, οὐ μέτρον[16] *δὲ, ὡς τὸ ἀκριβὲς οὐ σώζουσα, ὡς ἡ ποίησις.*

λ'. Τοιάνδε μέντοι κατὰ τόνδε· Τροχαϊκὸν μὲν καὶ ἰαμβικὸν ἐπὶ τῆς καθαρότητος· σπονδειακὸν δὲ καὶ δακτυλικὸν ἐπὶ τῆς σεμνότητος, καὶ ἐπὶ τῶν ἄλλων τὰ κατάλληλα, ὡς δειχθήσεται· ποιητικὸν δὲ μέτρον ἐστὶ ποδῶν ἢ βάσεων σύνταξις αἰσθήσει τῆς ἀκοῆς παραλαμβανόμενον· ποδῶν μὲν τῶν ῥυθμῶν, οἷον ἰάμβου, τροχαίου καὶ τῶν ἄλλων· βάσεων δὲ τῶν κώλων, συμπληρώσεων· αἰσθήσει δὲ τῆς ἀκοῆς, ὅτι αὕτη τῶν τοιούτων ἐστὶ κριτήριον· τὸ δὲ κοσμοῦν ἡ φωνὴ, καὶ τὸν ἦχον τῆς εὐρυθμίας ἐκτείνουσα καὶ συστέλλουσα· ἡ μὲν γὰρ φωνὴ σχηματίζει τὰς συλλαβὰς, εἰσδεξαμένη δ' ἡ ἀκοὴ κρίνει· διὰ τοῦτο πολλὰ τῶν μέτρων συμβέβηκε κρύπτεσθαι ταῖς κατὰ τοὺς πεζοὺς λόγους ῥήσεσιν, ὡς καὶ παρὰ τῷ θεολόγῳ, καὶ λαμπρυνθῶμεν τῇ πανηγύρει, στίχος ἐστὶ δακτυλικὸς πεντάμετρος ἀκατάληκτος· λανθάνει δὲ τῷ μὴ δοκεῖν ἔχειν[17] *κυρίου μέτρου τιμήν· καὶ τὸ πεζὴν εἶναι τὴν προφορὰν, καὶ συνηρπάσθαι τῷ λόγῳ τὴν αἴσθησιν· τὸ δὲ ποσαχῶς τὸ μέτρον καὶ ὁ ῥυθμὸς ἤδη προείπομεν.*

λά. Τροχαϊκὸν τετράμετρον καταληκτικόν

---

15 Confusa haec sunt in Par., ubi ita scripta sunt: *τῶν τοιούτων μετὰ τῆς ἀν. οὐδὲν κθ'. Ἀλλ' ἢ κ. τ. λ.* Ex coniectura posui *εἶναι ἀξιοῖ.* 16 Par. *μέτριον.* 17 Par. *ἔχει κυρίου μέτρον τημήν.*

Πῶς μὲν οὖν συνίσταται τὸ τροχαϊκὸν καὶ διὰ τίνα ποδῶν διήλθομεν· τί δέ ἐστι λοιπὸν τετράμετρον καὶ τί καταληκτικὸν, λέγωμεν ἀκριβέστερον νῦν· οἱ μετρικοὶ, τουτέστιν οἱ λυρικοὶ καὶ οἱ ἄλλοι ποιητικοὶ, μέτρα λέγουσι τὰς συζυγίας τῶν ποδῶν, καὶ εἰ μέν ἐστι δισύλλαβος ὁ ποὺς, ὁ τὸ μέτρον συνιστὰς, δύο πόδες ποιοῦσι τὴν συζυγίαν, ὡς ἐπί τε τοῦ ἰαμβικοῦ καὶ τροχαϊκοῦ· εἰ γὰρ καὶ τρισυλλάβους ἔχουσι πόδας, ἀλλ' ὡς δισύλλαβοι οὗτοι μετροῦνται ἐπὶ τούτων καὶ ἐπὶ τῶν δύο ἰωνικῶν, τοῦ ἀπὸ τοῦ μείζονος λέγω καὶ τοῦ ἐλάττονος, εἰ δ' εἴη τρισύλλαβος ὁ ἀπαρτίζων τὸ μέτρον ποὺς, εἷς ἐστιν ὁ ἀποτελῶν τὴν συζυγίαν, ὡς ἐπὶ τῶν δακτυλικῶν· οὕτως οὖν καὶ ἡ τετράμετρος, ὅθεν καὶ τὰ μέτρα ταύταις ταῖς συζυγίαις παρονομάζονται· τρίμετρον μὲν τὸ ἰαμβικὸν, ὡς ἔχον τρεῖς μὲν συζυγίας, δώδεκα δὲ πόδας τὸ τέλειον καὶ ἀκατάληκτον· τετράμετρον δὲ τὸ τροχαϊκόν· ἑξάμετρον δὲ τὸ ἐπικὸν, καὶ ἐπὶ τῶν ἄλλων παραπλησίως· ἡ γὰρ τελευταία τοῦ σπονδείου εἰς δύο βραχείας διαιρουμένη δάκτυλον ποιεῖ ἐπὶ τούτων· ἐπὶ δὲ τοῦ ἀναπαίστου τὸ ἐναντίον ἡ πρώτη καὶ διὰ τοῦτο λέγονται τὰ μέτρα, μονόμετρα μὲν τὰ ἐκ μιᾶς συζυγίας, δίμετρα δὲ τὰ ἐκ δύο, καὶ τρίμετρα μέχρι τῶν ἑξαμέτρων· ἐπέκεινα γὰρ οὐ πρόεισιν ἡ ἀπότασις, ὡς ἐδίδαξεν ὁ Διόδωρος, καὶ τὰ παραδείγματα σαφῶς ἐμφαίνουσιν· ἐπὶ μὲν γὰρ τοῦ ἐπικοῦ μονόμετρον μὲν οὐκ ἔχει, διάμετρον δέ· μῆνιν ἄειδε θεά· πεντάμετρον δέ· μῆνιν ἄειδε θεὰ Πηληϊάδεω Ἀχι: ἑξάμετρον δὲ προστεθέντος τοῦ λῆος ποδὸς, ὃς οὐ σώζων δάκτυλον καταληπτικὸς λέγεται· ἐπὶ δὲ ἰαμβικοῦ μονόμετρον ἀκατάληκτον σίγα, σίγα, καὶ αἶ αἶ, μονόμετρον καταληκτικὸν, τροχαϊκὸν δὲ δίμετρον καταληκτικὸν,

λεπτὸν ἴχνος ἀρβύλης·

τοιούτων μυρίων ἐν τοῖς δράμασιν ὄντων καὶ μάλιστα ἐν

τοῖς χοροῖς, οὐ μὴν καὶ οἱ ῥήτορες ἐπὶ σπουδῆς ἔχουσι τὸ τούτοις χρῆσθαι, ἀλλὰ τοῖς μὲν μέτροις οὐκ εἰς τὸ ἀκριβὲς, χωλὰ γὰρ ἐν αὐτοῖς ταῦτα, διὰ τὸ μὴ εἶναι τοὺς λόγους, ὡς προεῖπον, ποιήματα· ταῖς δὲ καταλήξεσιν [18] ἀκριβέστατα χρῶνται· τούτων οὕτως ῥηθέντων σαφὲς τὸ λεγόμενον· φησὶ γάρ· [19] οὗτος ἀστρατίας ἑάλω καὶ κέχρηται συμφορᾷ· τροχαϊκοὺς γὰρ ἔχει συντεθειμένους τοὺς πόδας χωρὶς τοῦ τρίτου· οὐ γὰρ δέχεται ἡ περιττὴ σπονδεῖον· ἐὰν οὖν ἀνταλλάξαιμεν αὐτὴν, οὐ χωλὸν ἔσται, οἷον αὐτὸς ἀστράτευτος ἑάλω καὶ κέχρηται συμφορᾷ· δισυλλάβους τοίνυν τοῦ τροχαϊκοῦ δεχομένου πόδας ἡ συζυγία κατὰ διποδίαν βαίνει, συνιζήσεως ἐπιπεσούσης, ὡς εἶναι τέσσαρας συζυγίας, λειπούσης ἐν τῇ τελευταίᾳ συλλαβῆς, ἥτις ἀντὶ τελείου ποδὸς λαμβάνεται καὶ καλεῖται κατάλυσις, καὶ διὰ τοῦτο εἶπε τετράμετρον καταληκτικόν· καθαρὸν δὲ, ὃ ἐκ πάντων ἐστὶ τροχαίων, χωρὶς τῆς ἕκτης ἀρτίας οὔσης· καὶ ὅτι οὐ σύγκειται ἐξ ἀλλογενοῦς μέτρου ὁ στίχος, ὥσπερ τὰ σύμμικτα ἐκ δακτυλικοῦ ἢ ἄλλου τινός· καὶ ταῦτα μὲν ἀρκούντως πρὸς τὴν παροῦσαν χρείαν· κατάληξις δέ ἐστι συλλαβὴ μία ἀνθ' ὅλου ποδὸς λαμβανομένης ἢ ποὺς ἀντὶ συζυγίας· τοῦ μὲν πρώτου παράδειγμα ἡ ρα συλλαβὴ τοῦ προτεθέντος στίχου, ἀντὶ τροχαίου λαμβανομένη· τοῦ δὲ δευτέρου, ἀρχὴν ἀπάντων· καὶ γὰρ ὁ τρίτος ποὺς ἀντὶ συζυγίας παραλαμβάνεται, τουτέστιν ἀντὶ ποδῶν δύο· οὕτως οὖν καὶ τὰ Ἀχιλῆος· ἡ γὰρ λῆος ἀντὶ συζυγίας, τουτέστιν ἀντὶ δακτύλου· εἴρηται γὰρ, ὡς ἐὰν εἴη ποὺς τρισύλλαβος, συζυγία λέγεται· καταλήξεις δέ εἰσιν ἓξ, αἳ καὶ ἀποθέσεις λέγονται, καὶ διαστήματα μερικά· ἀκατάληκτον καταλῆγον εἰς δισύλλαβον, καταληκτικὸν εἰς τρισύλλαβον, [20] ὑπερκατάληκτον εἰς τρισύλλαβον· ὑπερκατάλη-

---

18 Par, καταλέξεσιν, scr, καταλήξεσιν, 19 In Mid. p, 533, 20

κτον εἰς δισυλλαβίαν. Ἀκατάληκτα μὲν καλεῖται μέτρα, ὅσα τὸν τελευταῖον πόδα ὁλόκληρον ἔχει, ἢ μονόμετρον ἢ δίμετρον καὶ ἑξῆς, μέχρι τοῦ ὁρισμοῦ τοῦ μέτρου· μονόμετρον ἐπὶ ἰαμβικοῦ μὲν, οἷον τί σὺ θέλεις· ἐπὶ δὲ ἐπικοῦ οὐκ ἔχει· καταληκτικὰ δὲ, ὅσα μεμειωμένον ἔχει τὸν τελευταῖον πόδα, ἢ μονόμετρα εἴησαν ἢ δίμετρα καὶ ἐπέκεινα· καὶ ἢ μία συλλαβὴ ἢ δύο, ὡς ἐπὶ τῶν τρισυλλάβων μετρουμένων· μονόμετρα ἐπὶ ἰαμβικοῦ μέν· ἐπὶ δὲ δακτύλου μονόμετρα οὐκ ἔστι· δίμετρον καταληκτικὸν εἰς συλλαβήν· ἐπὶ δακτύλου μὲν καταληκτικὸν εἰς δισυλλαβίαν, οἷον οὕνεκα τὸν τα· εἰς δὲ συλλαβὴν οὐκ ἐγχωρεῖ· συνεμπίπτει γὰρ τῷ ἰαμβικῷ καὶ τροχαϊκόν· ἀκατάληκτον δὲ ὑλομένην· ἢ τρίμετρον καταληκτικὸν ἰαμβικὸν μὲν βραχυκατάληκτον·

Ἀρχὴν ἁπάντων καὶ τέλος ποιοῦ θεόν· [21]

δακτυλικὸν δὲ εἰς συλλαβὴν, οἷον ἑκατονταετία· καταληκτικὸν δὲ εἰς συλλαβὴν, ὡς τοῦτο οὖν ἑκατονταέτης· ἐπὶ τούτων τὸ καταλῆγον εἰς συλλαβὴν λέγεται παρὰ δύο συλλαβάς· τὸ δὲ εἰς δύο παρὰ μίαν, καὶ ἐπὶ τῶν ἄλλων οὕτως· ὑπερκατάληκτον δὲ οὐκ ἔχει τὸ δακτυλικόν· τῶν μέντοι λοιπῶν βραχυκατάληκτα [22] μὲν λέγεται, ὅσα ὅλῳ ποδὶ μεμείωται, ὡς τὸ προῤῥηθέν· ὑπερκατάληκτα δὲ, ὅσα πρὸς τῷ τελείῳ ποδὶ καὶ μέρη ποδὸς λαμβάνει· ὡς τὸ ἀρχὴν νόμιζε τῶν ὅλων εἶναι, καὶ γίνωσκε σαυτὸν, πτῶμα δ' ἄλλου· τοσαῦτα περὶ καταλήξεως, κώλων καὶ μέτρων, ὅσα φέρω τῇ μνήμῃ, ἀφ' ὧν ὁρμώμενος ἅπασιν ἀκριβέστερον ἐπιστήσεις· δίδου γὰρ, φησὶν, ἀφορμὴν σοφῷ καὶ σοφώτερος ἔσται· αὐτίκα τὸ μέν· καὶ ἡ ἀρχὴ δεξιὰ, τρίμετρόν ἐστι δακτυλικὸν ἀκατάληκτον, σε-

---

Par. δισύλλαβον (τρι). 21 Versus hic sumtus videtur ex stichis κατὰ στοιχεῖον, quales edidit Boiss. Anecd. T. I. p. 161. sqq. 22 Par. βραχυκατάληκτα.

μυότητι τῷ ὄντι πρέπον, καὶ, ὑπετάγην τῷ κυρίῳ καὶ ἱκέτησα αὐτὸν, παιωνικὸν ἅμα χοριαμβικῷ τρίμετρον καταληκτικόν· τὸ δὲ, ὡς μὲν εὐμεγέθεις, τροχαϊκὸν δίμετρον βραχυκατάληκτον· λείπει δὲ πρὸς τὴν τελείαν συζυγίαν πόδα· τὸ δὲ, ὡς πίονες, ὑπερκατάληκτον· περιττεύει γὰρ πρὸς τῷ τέλει συλλαβή· ἀναπαιστικὸν δὲ τό· ἅπερ ἦν ποτε καὶ ἡμῖν, τρίμετρον ἀκατάληκτον· τοῦ γὰρ σπονδείου ἡ ἄρσις, ὡς εἶπον ἀνωτέρω, ἀναλυομένη εἰς δύο βραχείας ἀνάπαιστον ποιεῖ ἐν τούτῳ, ὥσπερ ἐν τῷ δακτυλικῷ ἡ θέσις δάκτυλον· ἰαμβικὸν δὲ, πάλιν τὸ φῶς ὑφίσταται δίμετρον βραχυκατάληκτον· οὕτως εὑρήσεις κἀπὶ πάντων τῆς ῥητορικῆς τοὺς τεχνολόγους κατὰ μίμησιν μουσικῆς ἐμμέτρου συνειργασμένους τῶν καθαρῶν τε μέτρων καὶ τῶν συμμίκτων· καθαρὰ δέ εἰσι τὸ κατὰ γένος καὶ εἶδος ἄμικτον, οἷον ἰαμβικὸν καθ' αὑτὸ, τροχαϊκὸν καθ' αὑτό· δακτυλικὸν κριτικὸν ὁμοίως παιωνικὸν, ἀναπαιστικὸν, χοριαμβικὸν, καὶ τὰ ἰωνικά· σύμμικτα δὲ τὰ ἐκ τούτων συμπεπλεγμένα, ἐξ ὧν τὰ λυρικὰ καὶ δραματικὰ συνέστησαν, ἀλλ' εἰς τὰ ἑπόμενα ἴωμεν.

Περὶ ἀναπαύσεως.

λβ'. Ἡ δὲ ἀνάπαυσις δῆλον· εἰ μὲν γὰρ ἡ σύνθεσις τροχαϊκὴ ἢ ἰαμβικὴ, ἡ ἀνάπαυσις τοῦ κώλου εἰς τοιαύτην θέλει καταλύσειν [23] κατάληξιν, τουτέστιν εἰς ἰαμβικὸν ἢ τροχαῖον· εἰ δὲ δακτυλικὴ ἢ σπονδειακὴ, εἰς τὴν αὐτῇ ὁμοίαν, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως· χρὴ δὲ γραμματικὸν ὄντα τὸν ῥήτορα τοὺς μετρικοὺς ἀκριβῶς εἰδέναι ῥυθμοὺς, ἤτοι τοὺς πόδας, ἐξ ὧν τὰ μέτρα συνεστήκεσαν, τίνες τέ εἰσι καὶ πόσοι καὶ τίς ἡ αὐτῶν δύναμις καὶ ἡ πρὸς ἀλλήλους σχέσις καὶ συγγένεια, καὶ οὕτως ἅπαντα μεθοδεύειν πρὸς τὴν οἰκείαν ἑκάστου τῆς

23 Par. καταλήσειν. aut καταλύσειν aut καταλήγειν scribendum.

ἰδέας συνθήκην καὶ βάσιν, καὶ μουσικῶς ὄντως παρεξετάζοντας τοιοῦτον ἀποτελεῖν τὸ κῶλον· τὸ γὰρ ὑπετάγην τῷ κυρίῳ καὶ ἱκέτευσα παιωνικόν ἐστι τρίμετρον καταληκτικὸν τὸ μέτρον.

λγ΄. Μεταξὺ γάρ, ὅπερ ἔφην, εἶναι δεῖ τὸν ἐν πεζῷ λόγῳ ῥυθμὸν μέτρου τε τοῦ φύσει καὶ μὴ μέτρου. Μεταξὺ γάρ τινες φύσει εἶπον τὰ προῤῥηθέντα μέτρα διὰ τὸ τὴν φύσιν ὡς ἐπὶ τὸ πλεῖστον τούτοις φθέγγεσθαι τὴν τῶν ἀνθρώπων, οὐ φύσει δὲ τὰ σύμμικτα καὶ ἀσυνάρτητα καὶ μηδεμίαν ἀκολουθίαν σώζοντα πρὸς ἑαυτά· ἐμοὶ δὲ φύσει μὲν λέγειν δοκεῖ τοὺς ὑπὸ τῆς φύσεως ἐκφερομένους ῥυθμούς, ἢ καὶ μέτρα κατὰ τύχην, καὶ ὡς ἂν αὐτὸν ἡ διάνοια δίδωσιν, οὐ φύσει δέ, ἀλλὰ τέχνῃ δηλονότι τὰ ὑφ᾽ ἡμῶν αὐτῶν εὑρισκόμενα καὶ συντιθέμενα εὐρύθμως, ὡς εἶναι μέτρα δοκεῖν, οὐ μέντοι μέτρα πάντως ἄντικρυς, οὔτε κατὰ τὰς τομάς, οὔτε κατὰ τὰς ἀποθέσεις, οὔτε κατὰ τὴν μὴ χωλαίνουσαν συνθήκην· ἤδη γὰρ εἴρηται, ὅτι πρὸς τῷ εἶναι ἄκαιρον καὶ ἀπειρόκαλον τοῦτο καὶ ἀδύνατον· ποῦ γὰρ τοσαύτη σχολὴ καὶ μάλιστα τοῖς μεμετρημέναις ἡμέραις σκεπτομένοις καὶ πρὸς ὕδωρ λέγουσιν· ἄλλως τε καὶ τίσι πολιτικὴ διοίσει ποιητικῆς, εἰ περὶ τὰ ἐκεῖνα· ἀρκούντως τοιγαροῦν δείξει τὸν ῥητορικὸν λόγον τὸ μήτε τὸ ἀκριβὲς τῶν ποιημάτων διώκειν μήτε τοῦ μετρίου ὑπερεκπίπτειν, καὶ τοῦτο δείκνυσιν ἐκ τοῦ ἑξῆς· εἰπὼν γὰρ μὴ μέτρα ἐξέβαλε τὸ ἀκριβές· ἡ γὰρ ἀρχὴ καὶ τὸ τέλος τοῦ κώλου προσφαίνεται εἶναι μέτρον ἱκανόν· οὐ γὰρ ἦγε ἑτέρα, οὐχ ἡ πεζὴ καὶ ὡς ἔτυχε προϊοῦσα, κατὰ συγκειμένους ῥυθμοὺς ἀσυμφώνους πρὸς καθαρότητα, αὕτη γὰρ μάλιστα ἁρμοδία κοιναῖς ἀκοαῖς, ὥσπερ ἡ καθαρὰ ἔννοια καὶ τὰ σχήματα, ἀλλ᾽ ἡ περὶ τὴν τάξιν τῶν ποδῶν[25] ἀκριβολογουμένη, καὶ ὁ ἐκ τούτων ἀπηχούμενος τῆς φω-

24 Par. λάγον. 25 Par. παιδῶν.

νῆς ῥυθμός· οὐ γὰρ πάσαις ἰδέαις σπουδαῖα τὰ τοιαῦτά γε, ὡς μαθησόμεθα καὶ ἴσως διὰ τοῦτο παρῆκεν αὐτὰ ἐν τῇ κατὰ δύναμιν ἀπαριθμήσει, καὶ φαίη τις ἄν, ἀνθ᾽ ὅτου λόγον ἐποιήσω· ὅτι φήσειεν ἂν διὰ τὰς ἄλλας ἰδέας, καὶ ὅτι διὰ φροντίδος εἰσὶ τοῖς ῥήτορσι, μᾶλλον δὲ Ἰσοκράτει, καὶ ὅτι οὐκ εἶπον μηδόλως συμβάλλεσθαι, ἀλλὰ βραχύ τι, ὃ καὶ αὐτὸ διδασκαλίας ἄξιον· καὶ ὅτι θέλγουσι τοὺς ἀκούοντας καὶ ἡδίους ποιοῦσιν, οὐ γὰρ εἶναι πάντας εἰκὸς ἰδιώτας, ἀλλ᾽ εἶναί τινας καὶ ὑπὲρ τοὺς πολλούς, καὶ ὅτι κἂν τούτοις φυλαττομένων τῶν μὴ τοιούτων, οἱ πολυμαθεῖς διαφέροιεν ἄν· καὶ ὅτι καλὸν ἡ τούτων γνῶσις καὶ τοῦ χρῆσθαι χωρὶς καὶ πρὸς τούτοις ἡ ῥητορικὴ καὶ ὁ ταύτης ἔμπειρος τῶν ἐπιστημῶν ἁπασῶν ἴδρις δείκνυται, παρεκλεγόμενος τὰ συμβαλλόμενά τε καὶ χρήσιμα, ἀριθμητικῆς τοὺς τῶν ποδῶν λόγους καὶ τῶν κώλων καὶ τὰ μέτρα· μουσικῆς προτάσεων σκέψεις [26] καὶ ἀποδόσεων καὶ ἐμμέλειαν· καὶ τὸ εὔηχόν τε καὶ εὔρυθμον καὶ παθῶν μεταβλητικὸν καὶ διεγερτικὸν καὶ πανθ᾽ ἁπλῶς μέλους χωρίς· γεωμετρίας τρίγωνα καὶ τετράγωνα καὶ κύκλους καὶ διαστήματα καὶ τὰς περιγραφὰς ἐν τοῖς κώλοις καὶ κόμμασι τῶν νοημάτων· ἀστρονομίας, περιόδους, ἀποτάσεις, καὶ συνελεύσεις καὶ ἀναποδισμοὺς καὶ προποδισμοὺς κατὰ συντάξεις καὶ περιβολὰς καὶ ἐπαναφορὰς καὶ ἐπαναλήψεις καὶ καταστάσεις καὶ τὰ τοιουτότροπα· φιλοσοφίας τὰς ἀποδείξεις καὶ τὰς ἐργασίας καὶ τοὺς κανόνας, οἰκονομίαν τακτικῆς καὶ μηχανικῆς, τύπους καὶ τρόπους καὶ συμβολὰς καὶ τὰ εἰκότα· γραμματικῆς τὸν ἄκρον ἑλληνισμόν, καί που καὶ βαρβάρους καὶ ὄρνις μιμεῖται καὶ ἄψυχα, εἴπερ ἀκουστέον συγγραφέων καὶ ποιητῶν, καὶ ἁπαξαπλῶς πάσης ἐπιστήμης καὶ πάσης τέχνης συλλέγει

---

26 Par. σκέσεις.

τὰ πρόσφορα· διὰ τοῦτο καὶ συνθῆκαι καὶ ῥυθμοὶ καὶ βάσεις καὶ πάντα τὰ κάλλιστα προσήκει· κυβερνήτης γάρ ἐστι καὶ προμηθής, καὶ θεὸς ἀνθρώπων μετὰ θεὸν καὶ τὸν ταύτης δοτῆρα, ὅς, ὥσπερ κατὰ ἀριθμὸν ἄγγελον ἐθνῶν[27] καὶ ταύτης ἐπέστησεν ἡγεμόνα καὶ πολιοῦχον ἀνθρώποις καὶ δικτάτωρα καὶ κοινῇ καὶ καθ' ἕκαστον.[28]

λε. Σύνοψις καθαρότητος.

α. Ἔννοιαι αἱ πᾶσι κοιναὶ καὶ μηδὲν ἔχουσαι τοῖς πολλοῖς ἀσαφές.

β. Μέθοδος, ὅταν ἀπ' αὐτοῦ τοῦ πράγματος ἄρχηταί[29] τις ψιλῶς,[30] μηδὲν ἔξωθεν προσλαμβάνων γένος εἴδει, ἢ ὅλον μέρει, ἢ ἀόριστον ὡρισμένῳ, ἢ ποιότητα πράγματος.

γ. Λέξις ἡ μὴ τροπικὴ, ἀλλὰ κοινὴ καὶ εἰς ἅπαντας ἥκουσα, καὶ μὴ ἀφ' ἑαυτῆς σκληρά.

δ. Σχῆμα τὸ κατ' ὀρθὴν εἰσαγόμενον πτῶσιν.

ε. Κῶλα τὰ μικρὰ καὶ κομματικὰ καὶ καθ' ἑαυτὰ τὴν διάνοιαν ἀπαρτίζοντα.

ς. Συνθήκη ἡ μηδὲν φροντίζουσα συγκρούσεως φωνηέντων ἰαμβικὴ τροχαϊκή.

ζ. Ἀνάπαυσις ἰαμβικὴ τροχαϊκὴ ἢ αἱ τούτων καταλήξεις.

η. Ῥυθμὸς, ὅταν ὁ λόγος ἔχῃ τινὰ μέτρα, μὴ μέντοι παντάπασιν[31] ἔμμετρος ᾖ.

---

27 ἐθνῶν in Par. super ἄγγελον scriptum est. 28 Sequitur ex Vol. VII. p. 937. litt. ξδ'. — ξθ'. 29 Par. ἄρχεται. 30 Par. ψιλῆς. 31 Par. πᾶσι. ad marg. inseritur πάντα.

Cap. IV.

Περὶ εὐκρινείας.

λς΄. Πληρώσας τὴν καθαρότητα κατὰ τὴν τῶν ἐπιπεσόντων ταῖς ἰδέαις αἰτίων κάθαρσιν καὶ ἀναίρεσιν καὶ τὰ εἰκότα περὶ αὐτῆς καὶ τῶν συστατικῶν αὐτῆς, ὡς οὐχ ἑτέρως ἔδει καὶ πάνυ καλῶς, μεταβαίνει λοιπὸν ἐπὶ τὴν εὐκρίνειαν, τὸ ἀναγκαῖον αὐτῆς ἅμα καὶ τὴν τάξιν δεικνύς· τὸ μὲν, ὅτι διὰ τὰς τῶν λόγων ἀνάγκας καὶ τὴν κατάλληλον φύσιν τῶν εὑρημάτων τῶν προςπιπτόντων εἰς φράσιν καὶ συγχεόντων τὴν καθαρότητα διὰ περιβολῆς, καὶ διὰ τὸ ὑπεξίστασθαι τοῦ χαμαιπετοῦς καὶ ταπεινοῦ τοὺς ῥήτορας, ἀσαφῆ δοκοῦντα τὰ πολλὰ [1] τῶν λεγομένων, ἐπανάγει καθάπερ ἵππον ἄτακτον θέοντα καὶ διορθοῦται ἡ εὐκρίνεια, καὶ γάρ τοι διὰ τοῦτο εὐκρίνεια λέγεται, διότι καλῶς κρίνει καὶ χωρίζει τὰ λεγόμενα καὶ νοηθῆναι ποιεῖ, καθά τις κερκὶς, εἰς τάξιν ἅπαντα ἄγουσά τε καὶ διαστέλλουσα καὶ διὰ τοῦτο μετὰ τὴν πρὸ αὐτῆς ἀναγκαία· δεῖ γάρ τινα πρῶτον ὑφίστασθαι, ἔπειτα δέχεσθαι ἐναντία ἀλλήλοις καὶ μαχόμενα πρὸς τὸ συστῆναι· οἷον πρότερον δεῖ ὑφεστάναι τὴν γῆν, καὶ οὕτως τὸ ξηρὸν αὐτῆς καὶ ψυχρὸν, καὶ νευρὰς πρότερον, καὶ εἶθ᾽ οὕτως συμφώνους ἢ ἀσυμφώνους, καὶ οὕτως ἐπεισελθεῖν τὰ τὴν μάχην εἰρηνεύοντα· ὥστε προϋφέστηκεν ἡ καθαρότης τῇ ἐπιστημονικῇ τῶν λόγων μεθόδῳ κατὰ φύσιν, ἣν ἡ περιβολὴ ὡς ἐναντία πρὸς τὴν ἑαυτῆς σπουδάζουσα μεταστῆσαι ἀντιβαίνει καὶ συμμαχεῖ, καθάπερ τινὰ παρεχομένη ῥάβδον τὴν ἑαυτῆς μέθοδον ἡ εὐκρίνεια. Τοῦτο πρώτη αἰτία τῆς δευτέρας μετὰ τὴν καθαρότητα τάξεως. Δευτέρα δὲ, ὅτι ἡ εὐκρίνεια οὐδὲν ἔχει ἴδιον ἑαυτῆς, εἰ μὴ μόνον τὴν μέθοδον, τὰ δ᾽ ἄλλα πάντα

---

1 In Par. supra scriptum: τοῖς πολλοῖς.

τῆς καθαρότητός εἰσιν· ὥσπερ ὁ ἄνθρωπος ἐκ πάντων μὲν συνιστάμενος τῶν ἀλλοτρίων ἓν ἔχει μόνον ἑαυτοῦ τὴν λογικὴν ψυχὴν καὶ διὰ τοῦτο ὑστερογενὴς εἶναι πέφυκε. Τρίτον ἐπειδὴ οὐ μόνον καθαρότητα, ἀλλὰ καὶ πάσας ἰδέας ἡ περιβολὴ πλεονεκτοῦσα πρὸς ἑαυτὴν μεταβάλλει, καὶ πρὸς δεινότητα καὶ ἀσάφειαν μεταφέρει τὸν λόγον, ὡς μεγέθους δῆθεν ἐφιεμένη, διὰ τοῦτο ἡ εὐκρίνεια παρεπομένη οἷόν τινι κήτει πομπίλος ἰχθὺς τῶν μὲν βλαπτόντων ἀποτρέπει, πρὸς δὲ τὰ συνοίσαντα ποδηγεῖ, διὰ τῆς μεθόδου ἑαυτῆς, καθάπερ προϊόντες ἐροῦμεν, ἐξομαλίζουσα καὶ καθαίρουσα τὰ συμπίπτοντα, ὧν μὴ συμβαινόντων περιττὴ εἰκότως ἂν εἴη· ἀλλ᾽ ἐπεὶ τοῦτο ἀδύνατον ἀνδράσι πολιτικοῖς τε καὶ ἐπιστήμοσιν, οὐδὲν γὰρ περιττὸν οὔτε φύσει οὔτε τέχνῃ τῇ μιμουμένῃ τὴν φύσιν, ταύτην ἐφεῦρεν ἡ τέχνη καθάπερ νόσου καθάρσιον, τὴν εὐκρίνειαν προκατασκευάζουσαν, προλέγουσαν, ἐρωτῶσαν, προστάττουσαν, μυρία μεθοδεύουσαν, πρὸς τὸ πεῖσαι τοὺς ἀκροατὰς ἐπανάγουσαν, οὐ κατὰ τὸν αὐτὸν τρόπον Ἑλλήνων ῥήτορσι καὶ Χριστιανῶν ἐγχειριζομένη· πῶς γάρ, οἷς διάφορος ὁ σκοπός; ὁ μὲν γὰρ Δημοσθένης, ὃν ἐκεῖνοι θαυμάζουσι, πανοῦργος ὢν ἄνθρωπος καὶ δεινὸς καὶ τοῖς ἐχθροῖς ἐπικείμενος, μέχρι ἀπαγωγῆς συγχεῖ τῷ λόγῳ τὰς τάξεις τῶν προεπηγγελμένων καὶ τῶν προτεταγμένων, καὶ ταῖς ἀποδείξεσι καὶ ταῖς ἐρωτήσεσι χρᾶται κακούργως, ἄλλα προθεὶς καὶ ἄλλα κατεργασάμενος, καὶ πανταχοῦ τὴν λύμην τῶν ἀκροατῶν κυμαινόμενος· ἐφ᾽ οἷς καὶ τὰς μεστώσεις τῶν λόγων δοκεῖ μὲν εὐκρινεῖν διὰ τῶν ἐπαναλήψεων· οὐ μέντοι πρὸς αὐτὰς αὗται φέρονται τὰς ἐπαγγελίας· ἐπιφορτίζει δὲ τὸν κατηγορούμενον καὶ πρὸ τοῦ καταψηφίσματος καὶ ταῖς ἀποδείξεσι θανατοῖ, καὶ τοῦτο διὰ πολλῶν ἔστι τῷ φιλοπόνῳ καταμαθεῖν, ἐξαιρέτως δὲ ἔκ τε τοῦ ὑπὲρ τοῦ στεφάνου, καὶ τοῦ κατὰ Ἀριστοκράτους· ἐν

μὲν γὰρ τῷ ἑτέρως προκατεσκεύασε καὶ ἑτέρως τῇ πρὸς τὰς ἀποδείξεις τάξει ἐχρήσατο· τοῦτο μεθοδεύσας, ὅπερ εἶπον, ἵνα τῆς ἐπαγγελίας ἐπιλαθομένων τῶν δικαστῶν Αἰσχίνης οἰχήσεται, ὃ καὶ συνέβη· ἐν δὲ τῷ· τὸ κατὰ φύσιν ὂν οὐ πρῶτον προτεθεικὼς, ἀλλὰ δεύτερον τὴν τῆς Χεῤῥονήσου[2] ἀσφάλειαν, δεύτερον ἔθηκε τὸ κατὰ φύσιν, ὡς ἀπόλλυσι τὴν Χεῤῥόνησον ὁ Χαρίδημος· οὐ μὴν ὁ θεολόγος τοιοῦτος· ἀλλὰ πάντα πρὸς τὸ συμφέρον τῷ ἀκούοντι ποιῶν, τὰς τάξεις οὐ συγχεῖ τῶν πραγμάτων, οὔτε ἐν ταῖς προκατασκευαῖς, οὔτε ἐν ταῖς ἀποδείξεσι· καὶ τοῦτό ἐστιν ἰδεῖν ἔκ τε τοῦ εἰς τὰ γενέθλια· καταστησάμενος γὰρ πρῶτον τοὺς ἀκροατὰς καὶ καθάρας, οὕτως εἰσέβαλεν εἰς τὴν ὑπόθεσιν, μὴ δ' ὅτι διακόψας τὰς θεωρίας, καὶ ἐν τοῖς ἄλλοις οὕτως· εἰ δέ που καὶ τὴν τάξιν συγχεῖ ἐν τῇ ἑρμηνείᾳ τοῦ πάσχα τοῦ νομικοῦ τὴν ὑπτιότητα φεύγων τοῦτο ποιεῖ, καὶ τὸ βουλεύεσθαι εἶναι τὸν λόγον λαμπρὸν ἅμα καὶ περικαλλῆ καὶ σαφῆ διὰ τοῦ βάθους τῶν θεωριῶν· οὐχ ἵνα λυπήσῃ τινὰς, οὔ· ἀλλ' ἵνα ὠφελήσει· οὐδ' ἀεὶ τὰ ἰσχυρότερα προτάττων ἢ ὑποτάττων, πάντα γὰρ τὰ αὐτοῦ κράτιστα τῇ δυνάμει τοῖς τῆς διανοίας εὑρήμασιν, ἀλλὰ πάντα κατὰ τάξιν τιθείς· εἰ δέ που καὶ τοῦτο ποιῶν φαίνεται ἢ παραλλάττων ἢ διευκρινῶν, ἢ τὰ δοκοῦντα εἶναι πάρεργα προτιμῶν, αὐξήσεως χάριν ταῦτα ποιεῖ· παραλλάττει μὲν γὰρ τὴν τάξιν τῶν κεφαλαίων· ἐν μὲν τῷ εἰς τὴν πληγὴν τῆς χαλάζης τὸ συμφέρον προτάξας πρὸ τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους· ἃ στοχαστικῶς εἰσαγαγὼν ηὔξησε λέγων εἶναι τὴν ἐπιφοράν· ὅτι ὁ μὲν τόδε πεποίηκεν,[3] ὁ δὲ τόδε, καὶ οὕτως ἐπάγει τὴν ἰατρείαν· ἐν δὲ τῷ συντακτηρίῳ τὸ παραγραφικὸν τοῦ προοιμίου ποιήσας πρότασιν εὐθὺς ἔδειξε τὸ τῆς συνόδου μοχθηρὸν, οὐχ' ἵνα πρόβατον πλανώ-

2 Par. Χεῤῥοννήσου. et v. 7. Χεῤῥόνν. 3 Par. πεποίηκεν.

νώμενον ἐπιστρέψητε, ἀλλ' ἵνα κοιμένα διώξητε, τοῦτο γὰρ ἦν, εἰ μὴ τὸ φορτικὸν ἀπέφυγον οἷος ἐκεῖνος· προτάττει[4] δὲ τὴν σύγκρισιν ἐν τῷ εἰς τὸν ἅγιον Ἀθανάσιον, καὶ τὴν αἰτίαν αὐτὸς ἂν εἰδείη, καὶ ὅσοι τῆς αὐτῆς ἐπιστήμης· οἶμαι γάρ, ἵνα πρὸ τῶν αὐξήσεων δείξῃ τὸ τῶν αἱρετικῶν ἄτοπον, ὡς οὐ πρὸς τὸν τυχόντα ἦν αὐτοῖς ὁ ἀγών, ἀλλὰ πρὸς Μωϋσῆν, πρὸς Ἰησοῦν, πρὸς Σαμουήλ, πρὸς Πέτρον καὶ Παῦλον τοὺς μεγάλους, καὶ ὅτι τοῦτ' ἦν, εὐθὺς ἐπάγει τὰς ὑποδείξεις αὐξητικὰς νόμῳ τῶν ἐγκωμίων· τοιοῦτόν τι πεποίηκεν, εἰ καὶ κατ' ἐναντίαν μέθοδον καὶ σκοπόν, ἐν τῷ εἰς τὰ φῶτα λόγῳ, προτάξας τὴν σύγκρισιν· τίθημι γὰρ τοὺς γνωριμωτέρους λόγους εἰς ἀκριβεστέραν ἔνδειξιν, ἵνα μὴ μόνον ἐκ παραλλήλου φαίνοιτο τὸ ἀσύγκριτον, ἀλλ' ἵνα καὶ συνημμένος ὁ λόγος εἴη καὶ συνεχής, ἀπὸ τῶν ἀηδῶν τε καὶ ταπεινῶν ἐπὶ τὸ ἥδιστον καὶ ὑψηλότερον προχωρῶν τῇ ἀλληλουχίᾳ[5] τῶν αὐτοῦ μερῶν τε καὶ διαστάσεων. Δόξειε δ' ἄν τις καὶ τὴν ἐν τῷ πάσχα θεολογίαν περιττὸν εἶναι καὶ ἄκαιρον, καὶ φαίη γ' ἄν, ὡς τὸν τοῦ πάσχα λόγον ἔδει προεισαχθῆναι, οὐκ εἰδώς, ὡς τὸ πάσχα ἐκεῖθεν εἴρηται καὶ τὴν αἰτίαν ἐκεῖθεν ἔχει τῆς εἰσαγωγῆς, καὶ ἔδει ταύτην προδιασαφῆσαι, καὶ εἶθ' οὕτως εἰς τοῦτο ἐλθεῖν· διὸ καὶ μνησθεὶς αὐτοῦ διὰ τὴν ἐκφώνησιν τῶν κατὰ τὴν ὄψιν ὑμνούντων ἀγγέλων, εἶτα τῇ θεολογίᾳ μεστώσας τὸν λόγον διὰ τοῦ τῆς εὐκρινείας σχήματος[6] ἐπαναλαβών, τῇ δεικτικῇ ἀντωνυμίᾳ φησί· τὸ πάσχα τοῦτο τὸ μέγα τε καὶ σεβάσμιον· καὶ περὶ μὲν τούτων τοσαῦτα, δεῖ δὲ καὶ τὸ ἐδάφιον τῆς εὐκρινείας ἐπεξελθεῖν.

λζ΄. *Ἔχει μὲν τινα καὶ φύσει σαφηνείας ἐργαστικά.*[7] Τῶν ἰδίων μερῶν ἢ μορίων δηλονότι τῶν

4 Par. προτάττειν. 5 Par. ἀλληλοχίᾳ. 6 Par. σχήματα.
7 Par. ἐργαστόν.

τὸ προμαθεῖν τοὺς ἀκούοντας τὴν τῆς ὑποθέσεως δύναμιν· καὶ τετάρτην δὲ εἰσάγει, καθά τινές φασιν· καὶ καινὸν οὐδὲν, ἀλλ' οὐδ' ἑκατέρα καθ' ἑαυτὴν, ὡς δῆλον ἐκ τῶν ἐπαναλήψεων· οἶδε γὰρ, ὅτι ἡ ἐκ σωμάτων γέννησις διττή ἐστιν, ἡ μὲν τῆς σαρκὸς, ἡ δὲ τῆς ψυχῆς· ἃς εἰ διεῖλεν ἐν τῇ ἀπαριθμήσει, καὶ μακροτέρα ἡ προέκθεσις αὐτῷ ἂν ἐγένετο· συντομίαν δὲ φιλοῦντι καὶ ὕπτιος [11] ὁ λόγος ἐφάνη, καὶ ἧττον, ἀλλ' οὐ τελέως καθαρὸν τὸ εὐκρινὲς ἐτέλεσεν· ἐμοὶ δὲ τρεῖς γενέσεις [12] εἶναι δοκοῦσιν καὶ μόναι· τῆς γὰρ ψυχῆς μυστικὸς ὁ λόγος, ὅτι ἀγέννητας, καὶ εἰς τὸν μέγαν δὲ ἀπολογητικὸν προτάξας ἐν ἀριθμῷ τὰς μεταθέσεις καὶ τὰ χρώματα, τὸ εὐκρινὲς ἐποίησε κατὰ τὴν μέθοδον· καὶ ἵνα δὲ, φησὶ, καθ' ὁδὸν ὁ λόγος ἡμῖν προΐῃ, περὶ τῆς δειλίας προτέρας οὔσης καὶ διαλέξομαι· δειλίαν δέ φησι τὴν τῆς ἀναχωρήσεως αἰτίαν, ἀλλ' εἰπὼν προτέρας ἔμφασιν δίδωσιν, ὡς ἔστι καὶ δευτέρα αἰτία, καὶ ἔστιν ἀληθῶς, δι' ἣν ἐπανῆλθεν, οὐχ ἁπλῆ, ἀλλὰ διπλῆ, μᾶλλον δὲ ἐξαπλῆ· ἡ μὲν δὲ διὰ τὸ μὴ ἀποσκιρτᾶν τοῦ θεοῦ καὶ τῆς τῶν ἁγίων ψήφου, ἡ δὲ ὅτι διὰ τὸν ὑμέτερον ἐπανῆλθον πόθον καὶ τῶν γονέων, φησὶ, καὶ ἄλλα τινά, καὶ ἔστιν ὁ τηλικοῦτος λόγος ἑνὶ κεφαλαίῳ ἀποτελεσθεὶς τῷ χρώματι· ἥ τε γὰρ βούλησις καὶ τὸ παραγραφικὸν ὡς ἐπιφωνηματικῶς τέθειται· φησὶ γὰρ, ἐγὼ γὰρ ἔπαθον τοῦτο, ὦ ἄνδρες, οὔτε ὡς ἀπαίδευτος καὶ ἀσύνετος, ἀλλὰ μᾶλλον ἵνα μικρόν τι καυχήσωμαι, ἀπεσιώπησε τὸ συνετώτερος διὰ τὸ φορτικὸν, μείζονα ἔμφασιν περὶ αὐτοῦ τοῖς ἀκροαταῖς ἐμβάλλων· εἰ γὰρ μᾶλλον πεπαιδευμένος οὐκ ἂν δι' ὑπερηφανίαν τὸ χεῖρον ἁμάρτῃ, καὶ τῷ διαβόλῳ μόνῳ προσῆκον ἐβουλήθην, ὑπεχώρησεν, ὡς θρόνου μείζονος ἐρῶν καὶ τὸ παραγραφικὸν ἐκ δια-

11 Par. ἵππιος. scripsi ὕπτιος. 12 Par. γενέσει. idem εἶναι repetit post δοκοῦσιν.

βολῆς ὑπέφηνεν· ἐχθροὶ [13] γάρ εἰσι, φησί, τινὲς καὶ ἐπιμελῶς τηροῦσι τὰ ἡμέτερα, καὶ οὐκ ἔδει διὰ τοῦτο εὐθύνεσθαι· ἐν μὲν τούτοις μετὰ καὶ ἄλλων οὕτως· ἐν δὲ τῷ περὶ τοῦ πάσχα καὶ τὴν τάξιν ὑπαλλάττει κατὰ δεινότητα καὶ σοφίαν τῶν τῶν νόμων παραγγελμάτων· διά τε τῶν ἐπαναλήψεων καὶ συμπληρώσεων καὶ καταστάσεων εὐκρινῆ καὶ σαφῆ ποιεῖ τὸν λόγον ἐπιεικῶς. αἵ τε γὰρ ἑρμηνεῖαι καὶ αἱ ἐρωτήσεις ἐπιεικῶς πολὺ τὸ σαφὲς ἔχουσιν· εἰ γὰρ τῇ τάξει ἐχρήσατο, εἰς ἰδιωτισμὸν ἄν, ὥσπερ προέφην, ἐξέπεσεν· ἐπειδὴ τὸν τὰ λαμπρὰ συνιστῶντα λαμπρῶς δεῖ ἐξαγγέλλειν· διὰ τοῦτο προδιευκρινησάμενος καὶ εἰπὼν βραχέα διαλαβεῖν περὶ τούτου εἰς αὐτὴν ἐλθὼν τὴν ὑπόθεσιν, μεθ' ὅσων ἀγαθῶν ταύτην ἑρμήνευσε τοῖς παθοῦσιν· τάξιν δὲ ἐφύλαξεν ἐν τῷ τῶν γενεθλίων, ὅτι καὶ ἡ κτίσις κατὰ τὴν τάξιν εἰσήχθη, καὶ τὸ σαφὲς δεῖξας καὶ τὸ μέγεθος τῇ ἐπαγγελίᾳ καὶ τῇ συνθήκῃ καὶ τοῖς ἄλλοις διατηρήσας, οὐ μὴν ἀλλ' ἐν τῷ πρώτῳ τῶν στηλιτευτικῶν οὕτως· ἀλλὰ βουλόμενος δεῖξαι τὸν ἀποστάτην συνώνυμον τῷ πείσαντι, οὐκ εὐθέως τοῦτο ποιεῖ, ἢ γὰρ ἂν ἀσαφὲς ἦν, ἀλλὰ πρῶτον τὰς αἰτίας λέγει τῆς ἀποστάσεως, εἶθ' οὕτως ἐπιφέρει τὸν τρόπον δεύτερον· οὕτω καὶ Δημοσθένης ἐν τῷ κατὰ Ἀριστοκράτους τὰς αἰτίας πρώτως λέγει, δι' ἃς πρότερον ἐσώζετο ἡ Χεῤῥόνησος· [14] ἀποδείξας δὲ τοῦτο εἰς τὰς κατηγορίας μετέρχεται τοῦ Χαριδήμου· φησὶ γάρ· δεῖ δὲ ὑμᾶς πρῶτον ἁπάντων ἀκοῦσαι· ἄλλως, σαφῆ μέν, ὅταν οὐκ ἔστι δυνατὸν νοηθῆναι τὸ πρῶτον χωρὶς τοῦ δευτέρου· δεινὸν δέ, ὅταν περὶ τὸ οἰκεῖον συμφέρον τῇ τάξει ὁ ῥήτωρ χρῆται.

μγ΄. *Δεῖ δὲ ὑμᾶς πρῶτον ἁπάντων ἀκοῦσαι.* Ὑποσχόμενος γάρ φησιν ἐκ προοιμίων ἀνάξιον τῆς δωρεᾶς ἀποδεῖξαι τὸν Χαρίδημον, δεδοικώς, μὴ τὰς τοῦ

---

13 Par. ἐχθροί. 14 Par. constanter Χεῤῥόνησος.

των ἀποδείξεις ἀπαιτηθῇ, παραχρῆμα ἐπὶ τοὺς τῆς Χεῤῥονήσου μεταβαίνει λόγους, καὶ πάντων συμφέροντας εἶναι τούτους διϊσχυρίζεται, ὅθεν καὶ πρῶτον αὐτοὺς διέξεισι λέγων. ἡ πρὸς ἀλλήλους τῶν Θρᾳκῶν διαφορά· ἀλλὰ δέον ἡμᾶς εἰπεῖν πρῶτον τὴν τοῦ λόγου τούτου ὑπόθεσιν, καὶ τίνες οἱ βασιλεῖς οἱ Θρᾷκες καὶ οὕτω κατὰ μέρος διεξιέναι. Οἱ Ἀθηναῖοι τοὺς εὐεργέτας ἔθος εἶχον ἀμείβεσθαι δωρεαῖς· ὁ Χαρίδημος τοίνυν οὗτος, Ὠρείτης ὤν, ἡγούμενος ξενικοῦ στρατοῦ, καὶ στρατηγῶν Κερσοβλέπτῃ, τὰ μὲν ἐθεράπευσεν Ἀθηναίους, τὰ δὲ προσδόκιμος ἦν ὡς θεραπεύσων· ὑπὲρ τούτου ἔγραψεν Ἀριστοκράτης, εἷς ὢν τῶν πρώτων τῆς βουλῆς, τὸ ψήφισμα τόδε· ἐάν τις ἀποκτείνῃ Χαρίδημον τὸν τοῦ Κερσοβλέπτου ὑποστράτηγον, ἀγώγιμος ἔστω ἐξ ἁπάσης τῆς τῶν Ἀθηναίων συμμαχίδος, ἐὰν δὲ τὸν ἀγώγιμον ἀφέλῃ τις, ἢ πολίτης, ἢ ἰδιώτης, ἔκσπονδος ἔστω· κατηγορεῖ τούτου τοῦ ψηφίσματος διὰ πολλὰς αἰτίας Εὐθυκλῆς, τῷ λόγῳ χρώμενος Δημοσθένους τῷ οὕτως ἐπιγραφομένῳ κατὰ Ἀριστοκράτους, καὶ δείκνυσιν, ὅτι ἀνάξιός ἐστιν ὁ Χαρίδημος τῆς τοιαύτης δωρεᾶς, καὶ ὅτι κινδυνεύει τὴν Χεῤῥόνησον ἡμετέραν οὖσαν ἀπολέσθαι διὰ τούτου πολλαῖς αἰτίαις καὶ ἀποδείξεσι. Τῶν δὲ βασιλέων τούτων αὕτη ἡ διήγησις. Κότυς τις ἦν ὄνομα βασιλεὺς Θρᾴκης, ὃς τελευτῶν ἀφῆκεν υἱοὺς τρεῖς, Βηρισάδην καὶ Ἀμάδοκον καὶ Κερσοβλέπτην, ᾧ Χαρίδημος ἐστρατήγει, πολίτης ἤδη γεγονὼς Ἀθηναίοις· ἦν δὲ τούτῳ τηνικαῦτα δωρεὰ μεγάλη τὸ Ἀθηναῖος κληθῆναι· φιλονεικοῦντες δὲ οἱ τρεῖς περὶ τῆς βασιλείας καὶ τούτων ἕκαστος φοβούμενος Ἀθηναίους, ἵνα μὴ συμμαχήσωσι τῶν ἄλλων τινὶ, ὑπεισήρχοντο τοὺς Ἀθηναίους, τουτέστιν ὑπέκυπτον αὐτοῖς καὶ ἐθεράπευον· φησὶν οὖν ὁ κατήγορος, ἐὰν λάβῃ τοιαύτην ὁ κατήγορος δωρεὰν, ὡς ἀδεὴς γεγονὼς, τοὺς μὲν καταγωνίσαιτ' ἂν, τῷ δὲ, αὔξων τὴν ἀρχὴν, καιροῦ λα-

βόμενος, γαμβρὸς γὰρ ἦν Κερσοβλέπτου, ἀφαιρήσεται καὶ Χεῤῥόνησον· δείκνυσι δὲ ταῦτα ἐκ τοῦ καὶ ἄλλα πολλὰ εἰς τὴν πόλιν ἠσεβηκέναι· ὁρῶν ὁ ῥήτωρ στρατηγὸν ἐπίσημον ὄντα Χαρίδημον καὶ ἐπίδοξον τὴν πόλιν εὐεργετῆσαι, δεδιὼς, μὴ τοῦ νομίμου, ᾧ ἴσχυε, προτιμηθῇ τὸ συμφέρον, (νόμος γὰρ ἦν Ἀθηναίοις, ξένον μὴ τιμᾷν, ἐὰν γίνηται πολίτης), ἐξεῦρεν ἕτερον διαβολῆς τρόπον ἐκ τῆς οἰκείας δεινότητος, ἣν ἐπιπλέκων ταράττει τὸν ἀκροατὴν, φάσκων γεγράφθαι κατὰ Χεῤῥονήσου τὸ ψήφισμα· νῦν δὲ τοῦτο ἐκείνου προθεὶς, τὸ κατὰ Χεῤῥονήσου εἶναι τὸ ψήφισμα, καὶ πεῖσαι τοὺς Ἀθηναίους ἐν τῇ τῶν Θρᾳκῶν διαφορᾷ τῶν βασιλέων, μέχρις ἂν, φησὶ, διαφέρονται, σώζεται ἡ Χεῤῥόνησος· Κερσοβλέπτου δὲ κρατήσαντος οἰχήσεται, καθὰ καὶ πρότερον ὑπὸ Κότυος· σαφῆ μὲν διὰ τὸ προευκρινῆσαι, δεινὸν δὲ διὰ τὴν ἐξεύρεσιν τῶν ὑποθέσεων τὴν καινὴν, ἣν εἴπομεν, καὶ τὴν ἀνταλλαγὴν τῆς τάξεως· ὑπείληφε γὰρ ἄν τις ἐκ μὲν τῆς προτάσεως, ὅτι κατὰ Χαριδήμου τὸν ἀγῶνα κροτεῖ· ἡ δὲ ἀξίωσις τὴν Χεῤῥόνησον προεβάλλετο.

μδ. Ἢ γὰρ ἂν ἀσαφὲς αὐτῷ τὸ κατασκευαζόμενον ἔμεινε· τὸ κατασκευαζόμενον ἦν τὸ διαβάλλειν κακόνουν ὄντα τῇ πόλει Χαρίδημον, κατασκευάζει δὲ τὸ κινδυνεύειν στερηθῆναι Χεῤῥονήσου τὴν πόλιν διὰ τοῦ ψηφίσματος τοῦ γραφέντος Χαριδήμῳ.

μέ. Νῦν δὲ τοῦτο ἐκείνου προθείς. Τὸ κατὰ Χεῤῥόνησον, τὸ πεῖσαι Ἀθηναίους καὶ οὐχ, ὥς τινες ἐξηγοῦνται, τὸν Φίλιππον· τριῶν δὲ ὄντων ἐν τῇ Θρᾴκῃ βασιλέων, Ἀμαδόκου, Βηρισάδου καὶ Κερσοβλέπτου ἀλλήλοις πολεμίως ἐχόντων, τοὺς Ἀθηναίους δὲ ὑπερχομένων, ἐφ' ᾧ μὴ ἑνὶ προστεθέντες αὐτῶν τοὺς ἄλλους καθέλοιεν, ὁ Ἀριστοκράτης ἐν Ἀθήναις ψήφισμα ἔγραψεν, ὡς εἴ τις τὸν Χαρίδημον τὸν τοῦ Κερσοβλέπτου ὑπο-

στράτηγον ἀνέλοι, πολέμιος ἔσται τοῖς Ἀθηναίοις. Τούτου οὖν τοῦ ψηφίσματος κατηγορεῖ Εὐθυκλῆς ἐν τῷ οὕτως ἐπιγεγραμμένῳ λόγῳ κατὰ Ἀριστοκράτους· ὃς δὴ Εὐθυκλῆς Ἀθηναῖος ἦν, ὁ καὶ χρησάμενος τῷ λόγῳ τοῦ Δημοσθένους· φησὶ γοῦν ἀσύμφορον εἶναι τοῦτο τοῖς Ἀθηναίοις· ἐκ τούτου γάρ, φησίν, οὐδενὸς τῷ Ἀμαδόκῳ καὶ Βηρισάδῃ συμμαχοῦντος περιέσται ὁ Κερσοβλέπτης αὐτῶν, καὶ οὐκέτι τὸ ἀπὸ τοῦδε ἡμῶν φροντίσει, ὡς τῶν δι' οὓς τὸ προτοῦ ὑπήρχετο ὑμᾶς περιγεγονώς.

μς'. Ὅπερ μὲν οὖν ἔφην εὐκρίνεια τὸ πλεῖστον ἐν τούτοις ἐστί. Προεῖπε γάρ, ὅτι τοῦτο μόνον δεῖ σκοπεῖν, εἰ διὰ τῆς εὐκρινείας σαφήνειαν προσάγει, τῷ λέγειν ὡς αὐτὸς βούλεται ὁ ῥήτωρ· τὸ δὲ ὅτι τὸ πλεῖστον ἐν τούτοις ἐστίν, ἐν τῇ προεκθέσει, δηλαδὴ τῇ προϋποσχέσει, τῇ προδιορθώσει, τῇ προαριθμήσει, τῇ προκατασκευῇ· ταῦτα γὰρ πάντα ἕν εἰσι τῷ ὑποκειμένῳ, διαφέρει δὲ κατὰ τὴν σχέσιν· προέκθεσις μὲν λέγεται διὰ τὸ προεκτίθεσθαι τὸ δοκοῦντα εἶναι μέρη τοῦ λόγου, προϋπόσχεσις δὲ διὰ τὸ εἰς ἀριθμὸν τὰ ζητηθησόμενα τίθεσθαι· προκατασκευὴ δὲ διὰ τὸ προκατασκευάζειν ἐν κεφαλαίοις τὰ τοῦ ἀγῶνος.

μζ. Ἐν τούτοις ἐστίν· ἐν τοῖς τὰ συμπίπτοντα τῷ λόγῳ θεραπεύουσι πάθη[16]· τὰ μὲν φθάσαντα ἤδη γενέσθαι ἐξογκοῖσα, τὰ δὲ μέλλοντα προαναστέλλουσα[14*] διὰ τῆς μεθόδου, ὅταν πρὸς ἐπικουρίαν λαμβάνηται τῆς καθαρότητος, ὥσπερ ἰατρὸς[15] οὐ μόνον τὴν ἐπισυμβᾶσαν νόσον, ἀλλὰ καὶ τὴν μέλλουσαν προαναστέλλει τοῖς προφυλακτικοῖς φαρμάκοις τοῖς εἰρημένοις καὶ ἔτι μέλλουσι ῥηθήσεσθαι διὰ τῆς μεθόδου, καὶ τάχα, ὡς προέφην, καὶ τὰς ἄλλας ἰδέας· μάλιστα δὲ τὴν δεινότητα διὰ τοῦ ἑρμηνευτικοῦ αὐτῆς σχήματος[17] ἐπανορθοῖ, ὅτ-

14* Par. προαναστέλλουσι. 15 Par. ἰατρόν. 16 Super τοῖς in Par. scriptum est ὥσπερ. 17 Par. σχήματα.

αν εἰς τι τῶν ἀσαφῶν ἐμπέσῃ, ὡς ὁ θεολόγος, τρισὶ μὲν κατὰ τὰς ἰδιότητας εἴτουν ὑποστάσεις, καὶ πάλιν· ἐφάνη μὲν γὰρ θεός· πῶς; διὰ σαρκώσεως, οὐκοῦν καὶ διὰ σχημάτων εὐνοήτους τὰς τῆς δεινότητος λέξεις ποιεῖ.

μή. Οὐ μὴν καὶ διὰ τῶν ἄλλων λόγος εὐκρινὴς γίνεται. Ἄλλων ποίων; ἐννοίας, σχήματος, λέξεως· τὰ γὰρ προειρημένα μέθοδοί εἰσιν εὐκρινεῖς, ὡς ἐφεξῆς αὐτὸς ἐρεῖ ἐν τῷ περὶ μεθόδου· ἔχει μὲν τὸ πλεῖστον, ὅπερ ἔφην, περὶ τὴν μέθοδον, ὅταν πρὸς ἐπικουρίαν λαμβάνηται τῆς καθαρότητος, γίνεται δὲ καὶ διὰ τῶν ἄλλων λόγος εὐκρινής· σπεύδει γὰρ οὐ μόνον διορθοῦσθαι τὸ συμβὰν τῇ καθαρότητι πάθος, ἀλλ' ἤδη καὶ τὴν μέλλουσαν βλάβην ἐκκόπτειν· ὥσπερ γὰρ οἱ προμηθέστατοι τῶν ἰατρῶν προφυλακτικοῖς τῶν φαρμάκων τὰς νόσους προφθάνουσι, τὸν αὐτὸν καὶ ἡ εὐκρίνεια τρόπον, ὅπως μηδὲν ἡ καθαρότης πάθῃ, φυλάττεται· διὸ [18] δὴ καὶ πλείστην ἰσχὺν ἔχει περὶ τὴν μέθοδον· οὐδὲ γὰρ ὁ ἰατρὸς τοσοῦτον περὶ τὰ ὑγιαίνοντα τῶν σωμάτων, ὅσον περὶ τὰ νοσοῦντα καὶ περιπεπτωκότα χαλεποῖς ἀῤῥωστήμασιν· ὅταν οὖν ὑπεναντίον ἡ καθαρότης πάθῃ, χρῆται μεθόδῳ πρὸς ἐπανόρθωσιν· ὅταν δὲ τὴν μέλλουσαν προανακόπτῃ βλάβην, [19] οὐ τῇ μεθόδῳ μόνον, ἀλλὰ καὶ τοῖς λοιποῖς, τάχα δὲ κατὰ τοῦτο τὸ μέρος τῆς εὐκρινείας οὐδ' ἂν εὑρεθείη καθαρὰ μέθοδος, ὡς μικρὸν ὕστερον ἀποδείξομεν.

Περὶ ἐννοιῶν.

μθ'. Αἱ καταστατικαὶ πᾶσαι. Οὐχὶ διηγηματικαὶ μόνον, διότι κατάστασις λέγεται τὸ διήγημα, ἀλλ' αἱ εἰς ἀρχὴν καὶ ὥσπερ εἰς θεμέλιον πάλιν καθιστῶσαι τὸν λόγον καὶ τὰ μέλλοντα διατυποῦσαι καὶ ὑπισχνούμεναι· οἷον ἄρξομαι δὲ ἐντεῦθεν καὶ πάλιν· βούλομαι

18 Par. διά. 19 Par. βλάβη.

μὲν εἰπεῖν μὴ ἀκινήτους, καὶ πάλιν· ἐξ οὗ τί γίνεται· εἶτα ἐπιφέρει τρία τὰ κάλλιστα· εἶτα αἱ ἑκάστου ἀποδόσεις· ψυχῶν ἐπιμέλεια πρώτη καὶ τὸ πόλιν ἑκάστην τὰ ἑαυτῆς ἔχειν, καὶ τὸ λυθῆναι ταύτῃ τὸν πόλεμον, καὶ πάλιν, τίνος οὖν ἕνεκα ταῦτα λέγω; ἑνὸς μὲν καὶ τὰ ἑξῆς· καὶ πάλιν, ἀλλ' ἔχω τι τῇ φιλίᾳ καὶ μέμφεσθαι· καὶ πάλιν κατὰ ἀποστροφήν· εἴπω κελεύεις τὴν μέμψιν, καὶ οὐκ ἐπαφήσεις μοι πάλιν τὸν λόγον· τίς οὖν ἡ αἰτία τοῦ τοιούτου περὶ ἡμᾶς πόθου, καὶ τοὺς λόγους τοὺς ἡμετέρους αὐτοὶ βούλεσθε δηλῶσαι ταύτην καὶ παραστῆσαι, ἢ δι' ἡμῶν τοῦτο δημοσιεῦσαι ἡμέτερον· οἶδ' ὅτι ποιεῖσθε τὸν λόγον, ὅσον ἐκ τῆς ἡσυχίας, οὐκοῦν ἀκούσατε πολὺ τὸ τῆς δεινότητος, ὅτι οὐ φροντίζων σαφηνείας τὰς καταστάσεις ποιεῖ, ἀλλὰ δι' ἃς εἴπομεν αἰτίας.[20]

νβ. Καὶ μὴν καὶ αἱ συμπληρώσεις. Συμπληρώσεις λέγονται τὰ τῶν φθασάντων τέλη, διὰ ἐπαναλήψεως ἀναμιμνησκόμενα· συμπληροῦντα γὰρ ταῖς ἐννοίαις ταῖς προῤῥηθείσαις καὶ ταῖς μεθόδοις εἰς ἀρχὴν πάλιν τὸν λόγον καθιστᾶσι· Τῆς μὲν γὰρ μεθόδου τὸ διευκρινεῖν καὶ τάττειν, τί πρῶτον, καὶ τί δεύτερον· τῆς δὲ ἐννοίας τὸ εἰς ἀρχὴν καὶ κατάστασιν ἄγειν τὸν λόγον, ὡς τό· ἃ μὲν οὖν εἴπῃ τις ἂν ἐπικόπτων τὴν περὶ τοὺς λόγους αὐτῶν ἑτοιμότητα καὶ θρασύτητα, ταῦτά ἐστιν· εἶτα ἑτέρα ἀρχή· ἐπεὶ δὲ τὸ μὲν ἐπιτιμᾶν οὐ μέγα καὶ τὰ ἀκόλουθα· καθάπερ γὰρ τοῦ ἱστίου κατὰ τὸ ἐγκάρσιον ἀναπεπταμένου καὶ ὑποσκάζειν ποιοῦντος ἐν μέρει τὸ πλοῖον, περιαχθέντες ἠρέμα οἱ οἴακες ἀνορθοῦσιν, οὕτω καὶ ταῦτα τὸν λόγον εἰς τὸ ἐναντίον ὑποκλινόμενον καὶ προσπταίοντα ἀνορθοῦσί τε καὶ διαναπαύουσιν, εἰς τὸν ἐξ ἀρχῆς δρόμον ἐπαναστρέφοντα· οἷον ἓν μὲν δὴ τοῦτο τῆς ἐμῆς ἔστω φιλοσοφίας εἴτε εὐηθείας

20 Litt. ν'. et νά. continentur Vol. VII. p. 943. ιγ'.—ιέ.

καὶ πρῶτον· δεύτερον ἂν καὶ μέγιστον ἐβουλήθη· τὸ μὲν ἐν ἀνάπαυσις τῶν παρελθόντων, τὰ δὲ ῥηθησόμενα καθιστῶσι τὰς ἐπαγγελίας καὶ ἀρχάς· αὕτη γίνεται τοῦ βασιλέως περὶ ἡμᾶς ῥοπὴ καὶ κατάστασις πρώτη· ποία αὕτη; ἡ προδιηγηθεῖσα δηλονότι· τοῦτο τὸ λῆμμα τῆς τότε διοχλούσης ἐπηρείας τὸ πλεῖστον ὥσπερ τι ῥεῦμα διέλυσε· τοῦτο τὸ τὰ παρελθόντα ἀναπαῦσαι· εἶτα κατάστασις τοῦ μέλλοντος καὶ ἐπαγγελία· εἰ γὰρ καὶ τὸ σχῆμα λαμπρὸν καὶ διὰ τοῦτο ἀποκαταστατικὸν, ἀλλ' οὖν ἡ ἔννοια καὶ ἡ μέθοδος εὐκρινείας.

νγ΄. Εἶτα ἀρχὴν ἔλαβεν ὁ λόγος, οἷον ὅτι γὰρ Πύθωνα· τὴν γὰρ τοῦ μέλλοντος διατυποῦσιν ἐπαγγελίαν.

νδ΄. Οὐ τοίνυν μόνον, μὴ Λεύκων ἀδικηθῇ. Ὅμοιον· οὐ τοίνυν μόνον παρὰ τῇ παλαιᾷ, ὡς ἔστι τὸ πνεῦμα θεὸς, ἀλλὰ τρανῶς μὲν ἐν τοῖς εὐαγγελίοις, τρανότερον δὲ ἐν τοῖς ἀποστόλοις, ἐκφαντικώτερον δὲ κἂν τοῖς διδασκάλοις· τούτων καὶ τῶν τοιούτων αἱ μὲν ἔννοιαί εἰσιν εὐκρινείας διὰ τὴν προσδοκίαν τῶν θέσεων, καὶ τὴν ἐντευξομένην ἀπὸ τῆς ἄρσεως λέξιν [21] τοῦ μὲν, καὶ διὰ τὴν ἀπόδοσιν ἐν τῷ μερισμῷ τοῦ δέ· τὸ γὰρ οὐ τοίνυν ἄρσις ἐστὶ, τὸ δὲ ἀλλὰ θέσις· ἀλλὰ καὶ τὸ, εἴ τις ἄλλος εὖ μὲν μερισμός ἐστιν, ἐν τῇ θέσει ἔχων ἀπόδοσιν· τὸ εὖ δὲ γέγονεν αὐτῷ· τούτων ἡ ἔννοια εὐκρινείας διὰ τὸ εἰς ἐπίστασιν ἄγειν τὸν ἀκροατὴν τῶν λεγομένων, οὐ μὴν ἀλλὰ, ὥσπερ τὸ σχῆμα γοργότητος διὰ τὰς ταχείας ἀποδόσεις καὶ συντόμους, οὕτω καὶ ἡ μέθοδος γοργότητος· σαφέστερον δὲ τὴν εὐκρίνειαν ἔχει καὶ τὴν γοργότητα τὸ παρὰ τῷ θεολόγῳ ἐν τῷ εἰς τὸν ἀδελφόν· οὐ μόνον δὲ, ἀλλὰ καὶ τὸν τοῦ σώματος καρπὸν τὰ τέκνα λέγων, καὶ τέκνα τέκνων καρπὸν τοῦ πνεύμα-

21 Par. ἀπὸ τῆς ἄρσεως λήξεως.

τος ἐποιήσατο· ὑποστροφὴ γάρ ἐστι κάλλους σημαντική, ἥττων γοργότητος διὰ τὴν μικροκωλίαν.

νε. Ἔννοιαι μέν εἰσιν εὐκρινείας αὗται. Ἡ δὲ διάνοια [22] σχῆμα ἑαυτῆς ἔχει τὴν μέθοδον, διὸ καὶ δι' ἀλλήλων δείκνυνται· [23] ἡ γὰρ ποιὰ κίνησις τῆς διανοίας πρὸς τὴν ἐκφώνησιν καὶ τὸ ποιὸν πάθος αὐτῆς, ὡς καὶ ἀνωτέρω εἶπον τὸ σχῆμα αὐτῆς ἤτοι τὴν μέθοδον ἀπεργάζεται· οὐκοῦν ἔννοιαι μὲν τὸ ἁπλῶς νοῆσαι τὸ οἰκεῖον νόημα τῷ ὑποκειμένῳ πράγματι.

Περὶ μεθόδου.

νϛ. Μέθοδοι δέ· κατὰ ποῖον πάθος τῆς ψυχῆς τὸ νόημα ἑρμηνευτέον; κατὰ προέκθεσιν, κατὰ ἐπανάληψιν, κατὰ εἰρωνείαν ἤτι τοιοῦτον· καὶ καλεῖται τοῦτο μέθοδος, διὸ οὐ συγχεῖ τὴν διδασκαλίαν ὁ τεχνικὸς, τὰς ἀνωτέρω εἰρημένας ἐννοίας μεθόδους ἐνταῦθα καλῶν, ἀλλ' ἐπειδὴ ἀπὸ τῶν αὐτῶν εἰσι καὶ προϊᾶσι, διὰ τοῦτο κἀν τῇ διδασκαλίᾳ συμπίπτουσιν.

νζ. Καὶ ἔτι τὸ κατὰ φύσιν. Οἷον μὴ ὀφθαλμὸν ἑστιάσωμεν, μὴ ἀκοὴν καταυλήσωμεν, μὴ ὄσφρησιν ἐκθηλύνωμεν, μὴ γεῦσιν καταπορνεύσωμεν, μὴ ἀφῇ χαρισώμεθα, ἐνταῦθα γὰρ ἡ ἀφήγησις κατὰ τάξιν τῶν πραγμάτων φυσικὴν, καὶ ὅμως τὴν μέθοδον ἔχουσα εὐκρινείας πολλῶν γέμει τῶν καλλίστων· ἡ μὲν γὰρ ἐπιμονὴ τῆς ἐννοίας ἐν τοῖς κατὰ μέρος ἀφελείας εἶναι δοκεῖ· εἰσὶ δὲ καὶ δεινότητος αἱ ὁμοιοκατάληκτοι περατώσεις τῶν κώλων· ἑρμηνείας γὰρ δέονται τὸ καταυλήσωμεν, καταπορνεύσωμεν, ἑστιάσωμεν· σχεδὸν γὰρ τροπικά εἰσι καὶ ἐπ' ἄλλων λεγόμενα· ὥστε καθὸ μὲν ἑρμηνείας δέονται, δεινότητός εἰσι, καθὸ δὲ παρισάζουσι, κάλλους· καθὸ δὲ ἀπαγορευτικά εἰσι, λαμπρότητος, καθὸ δὲ ἧττον σύμμε-

---

22 Par. ἡ δὲ ἔννοια. supra scriptum ἡ δὲ διάνοια. 23 Par. δείκνυται.

τρα τὰ κῶλα τοῦ πρώτου προοιμίου, καθαρότητος· καθὸ δὲ εὐδιακρίνητα καὶ ἀσύνδετα, γοργότητος· αἱ δὲ συνθῆκαι καὶ ἀναπαύσεως, καθαρότητος καὶ σεμνότητος, μᾶλλον δὲ καθαρότητος, ἀλλ' ἀπὸ τοῦ πλεονάζοντος κρίνονται εἶναι καθαραί.[24]

νή. Συμβαίη δ' ἴσως ποτέ. Δικαστικῶς ἐπήγαγε, διὰ τὸ μὴ ἀεὶ τοῦτο συμβαίνειν· ἐν μὲν γὰρ τοῖς πανηγυρικοῖς ἧττον τοῦθ' εὑρίσκεται· ἐν δὲ τοῖς ἄλλοις μᾶλλον, οὐ μόνον ταύτης ἀλλὰ καὶ περιβολῆς. Περιβολῆς μὲν, ὡς ἐν τῷ πρῶτα μὲν ἐννοεῖ τὰς ἀγγελικὰς δυνάμεις καὶ οὐρανίους· τοῦτο μετὰ τὸ δεῖξαι, ὅτι τὸ θεῖον ἀκατάληπτον· εἶτα πολλὰ εἰπὼν καὶ μεστώσας οὕτως ἐπάγει τὸ, δεύτερον δὲ κόσμον ὑλικὸν καὶ ὁρώμενον· περιβολῆς γὰρ τοῦτο τὸ λεπτομερῶς διεξιέναι τὰ πρῶτα καὶ οὕτω πρὸς τὰ δεύτερα ἀπαντᾶν.

νθ'. Ἐν τῷ περὶ μεθόδου δεινότητος. Ἐκεῖσε γὰρ διδάσκει,[25] πότε δεῖ τὴν τῶν πραγμάτων τάξιν φυλάττειν, καὶ πότε οὔ· λέγε καὶ διδάξει· εἰ μὲν γὰρ πανηγυρίζομεν, φυλακτέον τὴν τάξιν· οὐ γὰρ ἐπιβάλλει τοῖς λεγομένοις ὁ ἀκροατὴς πρότερον ἀκούειν τὰς πράξεις τοῦ ἐγκωμιαζομένου, καὶ εἶθ' οὕτως γένος καὶ παίδευσιν· πλὴν καὶ τοῦτο ὁ θεολόγος ἐκαινοτόμησεν ἐν τῷ εἰς τὸν ἅγιον Ἀθανάσιον τὴν σύγκρισιν προτάξας, καὶ ἐν τῇ ἑρμηνείᾳ δὲ τοῦ πάσχα τὰ ἴσα πεποίηκε, καὶ τὰς αἰτίας προείπομεν, οὐ μὴν ἀλλὰ καὶ φυσικῇ τάξει χρησάμενος, ὡς τὸ πρόβατον ἐνιαύσιον ἄμωμον· εἰ δὲ συμβουλεύομεν ἢ δικαζόμεθα, τάξιν οὐ φυλάξομεν, ἀλλὰ πρὸς τὸ οἰκεῖον συμφέρον τάξομεν τὰ κεφάλαια· οὕτω γοῦν ὁ θεολόγος πρὸ τοῦ πηλίκου τὸ ἀντιθετικὸν θεὶς, ἀμφότερα γὰρ τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους κατασκευάζουσι, καὶ διὰ τῶν ἐκφράσεων τοῦτο κατασκευάσας, ἀρξάμενος

ξει

24 Par. καθαρά. 25 Par. διδάσκει.

ἀπὸ τοῦ, τοῦτο τὸ ποίμνιον, ὕστερον ὡς ἀντιληπτικῶς ἐπήγαγε τὴν ποσότητα λέγων· εἰ μικρὰ ταῦτα, τίνα τὰ μεγάλα· ἀλλὰ καὶ τὰς διανοίας μετέταξεν, ἀφ' ὧν πλανηθέντες τινὲς ἀντίληψιν εἶπον τὴν στάσιν, ἀγνοήσαντες τὴν διαφορὰν καὶ τὴν κοινωνίαν τῶν στάσεων· διανότητος γὰρ καὶ σοφίας πολλῆς ἡ τοιαύτη ἐπίσκεψις· ὁμοίως καὶ ἐν τῷ συμβουλευτικῷ· ἀποδείξας γὰρ πρότερον ἐν τῷ περὶ φιλοπτωχίας, πραγματικῆς ὄντι κατὰ μετάληψιν, ὅτι νόμιμον ἔχομεν τὸ ἐλεεῖν, εἶτα τὸ συμφέρον, οὕτως ἐπήγαγε τὸ δίκαιον πάνυ κρυφίως καὶ λεληθότως· καὶ μὴν καὶ ἡ τῶν ἀρετῶν ἀπαρίθμησις οὐ κατὰ φυσικὴν αὐτοῦ προήχθη τάξιν· τῆς γὰρ ἀγάπης μετὰ τὰς πολλὰς ἐμνήσθη, ῥίζης οὔσης πάντων καὶ ἀρχῆς· πεποίηκε δὲ τοῦτο, ἵν' ἀπ' αὐτῆς ἄρξηται· εἶδος γὰρ ταύτης ἡ ἐλεημοσύνη.

ξ. *Καὶ τὸ τὰς ἀντιθέσεις πρώτας τῶν λύσεων τιθέναι.* Ὁ περὶ τῶν ἀντιθέσεων λόγος τριττὴν ἔχει τάξιν, ὡς εὑρίσκω παρὰ [26] τῷ θεολόγῳ· τὰς μὲν γὰρ δύο μόνος τῶν ἄλλων πάντων ὁ Δημοσθένης ἔχει, τὴν δὲ τρίτην ὁ θεολόγος, τὰς λύσεις μόνας εἰσάγων χωρὶς ἀντιθέσεων· ῥήτορος γὰρ ἀληθῶς καὶ πολὺ μετὰ τῆς τῶν πραγμάτων ἐμπειρίας καὶ ἐπιστήμης σοφίᾳ λόγων συνομιλήσαντος, τὸ μὴ μόνον οὐ παραβαίνειν τὴν τέχνην τοῖς εὑρήμασιν τοῖς αὐτοῦ, ἀλλὰ καὶ ὑπερβαίνειν, καὶ τῷ γονίμῳ καὶ ἀσυγκρίτῳ τῆς ἑαυτοῦ λέξεως λαμπροτέρους τοὺς μεθοδικοὺς κανόνας ἀποδεικνύειν· ὥσπερ οὗτος ὁ μέγας πρῶτος καὶ μόνος μετὰ τοσούτους ποιῶν φαίνεται· ἐν μὲν γὰρ τῷ [27] εἰς τὸ βάπτισμα κατὰ φύσιν τὰς ἀντιθέσεις εἰσαγαγὼν κατὰ φύσιν ἔλυσεν, [28] αἵτινές εἰσιν αἵδε· οὐδὲ γὰρ τοῖς ἐν τῷ ἀμπελῶνι κεκμηκόσιν ὑπῆρξε πλέον· ἡ λύσις πρῶτον κατὰ ἔνστασιν, ὅτι οὐ περὶ τοῦ βαπτίσματος τῆς παραβολῆς ὁ λόγος·

26 Par. περί. 27 Par. τό. 28 Par. ἔλησεν.

κατὰ ἀντιπαράστασιν· εἰ δὲ καὶ τὴν τοῦ λυτροῦ δύναμιν ἡ παραβολὴ σκιαγραφεῖ, καὶ τὰ ἑξῆς, καὶ ἐν ἄλλοις ὁμοίως· ἀλλὰ Ναυάτος οὐκ ἐδέξατο, φησὶ, τοὺς ἐν τῷ διωγμῷ παραπεσόντας· εἶτα ἡ λύσις, εἰ μὲν οὐ μεταγνόντας, δικαίως· ἐν δὲ τῷ εἰς τὰ γενέθλια ἀντιθέσεως οὔσης, ὅτι μικρὸς καὶ κτιστὸς ὁ υἱὸς, ὅτι ἀπεστάλη παρὰ τοῦ πατρὸς, τὴν λύσιν προτέθεικεν· ἔστι δὲ αὕτη μετὰ καὶ ἄλλως· διὰ τοῦτο μικρὸς, ὅτι διὰ σὲ ταπεινὸς, ὅτι ἐπὶ τὸ πλανώμενον ἦλθε καὶ τὰ ἑξῆς· δοκοῦσι γὰρ μὴ εἶναι λύσεις διὰ τὴν καταδρομὴν τῷ ἀσθενῶς ἐπιβάλλοντι· εἶτα λύσας τὴν πρότασιν καὶ μεστώσας ταῖς καταφοραῖς τὸν λόγον διὰ τὴν εὐκρίνειαν, τίθησιν αὐτὴν τὴν ἀντίθεσιν καὶ λύει σαφέστερον· ἀπεστάλημεν, φησὶν, ἀλλ' ὡς ἄνθρωπος, τὸ γὰρ ὡς ἄνθρωπος ἴσον ἐστὶ τῷ διὰ σὲ ἐγένετο μικρὸς, καὶ διὰ σὲ ἦλθεν ἀποσταλεὶς, τὸ πλανώμενον πρόβατον. Τρίτη μέθοδος, ἣν ἐγώ φημι πρῶτον καὶ μόνον τοῦτον εὑρεῖν τὸ τὰς λύσεις τιθέναι χωρὶς ἀντιθέσεων· ἔστι δὲ εὑρεῖν τοῦτο ἐν δυσὶ λόγοις, ἔν τε τῷ ἐπιταφίῳ τοῦ μεγάλου Βασιλείου, καὶ ἐν τῷ εἰς τὰ φῶτα· ἐν μὲν τούτῳ φησὶ, δέον, εἰ μὲν ἀληθεῖς, μὴ μύθους ὀνομάζεσθαι, εἰ καὶ ψευδεῖς, μὴ θαυμάζεσθαι· κατὰ διάνοιαν γὰρ συστρέψας τὴν ἀντίθεσιν τήν· ἀληθεῖς εἰσιν οἱ θεοὶ ἢ ψευδεῖς, προφορικῶς τὰς λύσεις ἐπήγαγεν, ὡς ἀληθῶς ἀμέσῳ τῷ διλημμάτῳ χρησάμενος· ἐν δὲ τῷ ἐπιταφίῳ φάσκων ἐνθυμηματικῶς, ὧν τὸ σεμνότατον ἀπιστία καὶ ὕβρις τὸ πιστευόμενον, τὰς λύσεις ἐπήγαγε πρὸ τῶν ἀντιθέσεων, ὃ μὴν νοήσαντες οἱ τοῦ λόγου ἑρμηνευταὶ ἀντήλλαξαν εἰπόντες, ὧν τὸ σεμνότατον ἀπιστία καὶ ὕβρις πιστευομένων, ἀντὶ τοῦ, ὧν πιστευομένων ἀπιστία καὶ ὕβρις· ἔστι δὲ ἡ ἐπιφορὰ [29] τοιαύτη· πιστεύεις ἐκ τοῦ Διὸς εἶναί σε ἢ οὔ; εἰ μὲν πιστεύεις, ἐκ μοιχοῦ εἶ, καὶ τὸ σεμνὸν καὶ εὐγενές σου

29 Par. προφορὰ supra scripto: ἐπιφορά.

ὕβρις ἐστίν· εἰ δὲ οὐ πιστεύεις, ἀλλὰ μῦθον τὸν Δία φὴς, πάλιν τὸ σεμνόν σου καὶ εὐγενὲς μῦθός ἐστιν, ὁ δὲ μῦθος ψευδής· τὸ δὲ ψευδὲς ἄπιστον. Εἰ πιστεύεις, φασὶ, καὶ σεμνὸν ἡγῇ τὸ ἐκ Διὸς εἶναί σε, ὑβρίζεις σαυτὸν ἐκ μοιχοῦ γεγονώς· εἰ δὲ οὐ πιστεύεις, ἐκ μύθου γέγονας, καὶ οὕτω τὸ σεμνόν σου ψευδὲς καὶ ἄπιστον· ἀπὸ κοινοῦ γὰρ κατὰ ἐπίζευξιν τὸ σεμνὸν ταῖς τῶν προτάσεων ἀποδόσεσι. Τοιαύτη μὲν ἡ τριττὴ τάξις τῶν ἀντιθέσεων, κἂν δόξῃ τισὶ μὴ μόνας λύσεις εἶναι, ἀλλὰ καὶ ἀντιθέσεις ὁμοῦ, ἀγνοοῦσι τὸ μὴ ἐν μιᾷ λέξει ἀντίθεσιν γίνεσθαι. Ὠιήθησαν δὲ τοῦτ᾽ εἶναι· κατὰ [30] τὴν ἐπιλογὴν τῶν ὅρων [31] τῶν συνεκφωνούντων ἐν ταὐτῷ τὰς προτάσεις καὶ τὰς ἀποδόσεις· ἀλλ᾽ ἐμοὶ μὲν, ὡς κέκριται, οὕτως ἐξήγγελται· εἰ δέ τις κρεῖττόν τι προσεξεύροι, συμμεριστὴν κἀμὲ πάντως λήψεται, πλὴν τοιαύτη τούτων ἡ τάξις· ἡ δὲ εἰσαγωγὴ, καὶ πῶς δεῖ αὐτὰς εἰσαχθῆναι, λέγει μὲν ἐν τῷ περὶ μεθόδου ὁ τεχνικός· λέξομεν δὲ καὶ ἡμεῖς πρὸ αὐτοῦ ἐνταυθοῖ τὰ αὐτοῦ. Φαμὲν τοίνυν, ὡς πάλιν τριχῶς εἰσάγονται ἢ κατὰ ἐπιστήμην, οἷον οἶδα δὲ τοὺς ἐκείνου σέβοντας καὶ τὸν νέον ἡμῖν θεὸν ἀναπλάττοντας τὸν ἡδὺν καὶ φιλάνθρωπον ἐροῦντας, ὡς μὴ δημοσίᾳ προὔθηκε Χριστιανοὺς διώκεσθαι· κατὰ δόξαν, ὅ ἐστιν εἰκασίαν· ἀλλ᾽ οἶμαι, φήσειεν ἂν, ὡς τὸ ἑλληνίζειν ἡμέτερον ὂν καὶ σέβειν θεούς· ὑμῶν δὲ ἡ ἀγροικία, καὶ οὐδὲν ὑπὲρ τὸ πίστευσον· κατὰ ἀκοήν· ἀκούω δέ τινας τοιάδε τινὰ λέξοντας, ὡς ἄρα μηδέν ἐστι παρὰ τὸν ἥδιστον βίον, ἐπεὶ τίς ἂν εἰδείη, ὡς τὸ πνεῦμα τοῦ κτήνους καὶ τοῦ ἀνθρώπου τὸ μὲν, εἰ κάτω ἄπεισιν, ἐξελθὸν, τὸ δ᾽ εἰ ἄνω πορεύεται· ἐκ τῆς παραφράσεως· σπάνιαι εἰσὶν αἱ τοιαῦται τῶν ἀντιθέσεων παρὰ τῷ θεολόγῳ εἰσαγωγαὶ, ὅτι χαμαιπετῆ

τόν

---

30 Par. τὰ, scripsi κατά. 31 Par. ὀρῶν.

τὸν λόγον ποιοῦσι, καὶ ὅτι μὴ προήκουσι κατὰ ἀπόθεσιν προϊοῦσαι, συντομίας τῷ μεγάλῳ φροντίζοντα· τὸ δὲ μέσας τῶν λύσεων τὰς ἀντιθέσεις διδόναι, δῆλον ὄν, οὐ τίθημι παρὰ τῷ θεολόγῳ, καὶ γὰρ ἐν τῷ πρώτῳ περὶ τοῦ υἱοῦ πολλαὶ τοιαῦταί εἰσιν, ἀλλ' ἀναλάβωμεν τὸ ὕφος τοῦ ἐδαφίου.

ξά. Καὶ τοῦτο μὲν Ἰσοκράτης σχεδὸν ἀεὶ ποιεῖ. Τὸ σχεδὸν διὰ τὴν ὑπὲρ τῶν Πλαταιῶν ἀπαλογίαν· ἐκεῖ γὰρ ἔδωκεν ἔμφασιν λύσεως πρὸ τῆς ἀντιθέσεως· θαυμάζω, φησὶν, ἀνθότου Θηβαῖοι φόρους αὐτῆς παρακελεύονται φέρειν, εἰ μὲν τὰ παλαιὰ σκοποῦσι καὶ τὰ ἑξῆς· ἀλλ' οὐδέποτε Ἰσοκράτης ταύτην τὴν δεινότητα ἔχων εὑρίσκεται, οὐ μὴν οὐδὲ Δημοσθένης ἀεὶ τοῦτο ποιεῖ, ἀλλ' ὅταν μέλλῃ συγχέαι τὰς τάξεις καὶ λαθεῖν· τοῦτο δὲ ποιεῖ ἐν τρισὶν, οἶμαι, ἢ τέτρασι λόγοις· ἐν μὲν γὰρ τῷ παραπρεσβείας Αἰσχίνου μέλλοντος ἀντιτιθέναι, οὐκ ἦσαν σύμμαχοι οἱ Φωκεῖς, ἀλλὰ καὶ πολλὰ τὴν πόλιν ἠδίκησαν, ἀντεγκληματικῶς ἁπάντων προλαμβάνει τῆς ἀντιθέσεως τὴν λύσιν ὁ ῥήτωρ κατὰ ἔνστασιν, ὅτι σύμμαχοι ἦσαν· φέρε δή μοι, φησὶ, τὴν συμμαχίαν τῶν Φωκέων ἀνάγνωθι· τοῦτο δὲ κακούργως εἰσάγει τὸ ψήφισμα, ὅτι ἐγράφη μὲν παρὰ τῶν Φωκέων, οὐκ ἐνηργάθη δὲ, οὐδὲ ἐτελέσθη, διὸ οὐδὲ προςέσχον αὐτῷ οἱ δικασταὶ, ἀλλὰ καὶ προσωργίσθησαν, καὶ ἐν τῷ πρὸς Λεπτίνην εὐθὺς ἐν τῇ προτάσει καὶ προϊὼν προλύει τὴν ἀντίθεσιν Λεπτίνου, πρῶτον μὲν, ὡς ἀσύμφορος ὁ νόμος προϊὼν δὲ, ὅτι καὶ ἄδικος· πάντων γὰρ ἀποστερεῖ τὰς δωρεὰς καὶ τὸν τρόπον τίθησι, καὶ ἐν τῷ πρώτῳ τῶν Ὀλυνθιακῶν, ὅπου ἀξιοῖ ἐνθυμηθῆναι καὶ λογίσασθαι, λύσις ἐστὶν, ἣν κρυφίαν τίθησιν ὑπὲρ τῶν θεωρικῶν, πάντα δὲ πρὸς τὸ οἰκεῖον συμφέρον τιθεὶς καὶ τὴν τέχνην τυραννεῖ· ὁ περὶ ἀντιθέσεως εἰσαγαγὼν· ἐκεῖσε τὸ κατὰ πόσους τρόπους εἰσάγονται διέξεισι φάσκων, τὰς μὲν ἰ-

σχυρὰς κατ᾽ ἀκοὴν εἰσάγειν ἐλέγχοντας τοὺς ἀντιδίκους, ὡς καὶ ἐφ᾽ οἷς θαῤῥοῦσιν, ἀγνοοῦσιν, οἷον πυνθάνομαι τοίνυν τάδε καὶ τάδε ἐροῦντα· τὰς δὲ μέσας τῇ δυνάμει κατὰ δόξαν. Τάχα τοίνυν κἀκεῖνον ἐρεῖ τὸν λόγον, τὰς δὲ ἀσθενεῖς κατ᾽ ἐπιστήμην, τὰ μὲν γὰρ σαθρὰ τοῦ ἀντιδίκου ὡς εἰδὼς ὀφείλει προβάλλειν, τὰς δὲ μέσας ὡς στοχαζόμενος, τὰ δὲ ἰσχυρὰ ὡς ἀκούων· πλὴν Δημοσθένης ἀντιστρέφει καὶ ταῦτα.

Περὶ λέξεως.

ξβ'. Λέξις δὲ εὐκρινής, ἥπερ καὶ καθαρά. Εἶπε γὰρ ἤδη, ὡς ἦν πάντες ἢ νοοῦσιν ἢ δυνατὸν νοῆσαι, καὶ δηλοῦσαν ἀδικάστως τὸ πρᾶγμα,

Περὶ σχημάτων.

ξγ'. Σχήματα μὲν εὐκρινείας τὸ κατ᾽ ἄθροισιν ὡρισμένον. Κατ᾽ ἄθροισιν μέν ἐστι σχῆμα, ὅταν ὡρισμένος ἀριθμὸς καὶ γνώριμος ἐν τῇ προτάσει λέγηται.[1] Ἐφ᾽ οἷς ἕπονται αἱ ἀποδόσεις, οὐ κατ᾽ ἄθροισιν, ἀλλὰ διῃρημένως, οἷον τρεῖς οἶδα τάξεις τῶν σωζομένων· ὁ γὰρ τρεῖς κατ᾽ ἄθροισιν· ἤθροισε γὰρ ἐν ἑαυτῷ τὸν ἕνα καὶ τὸν δύο, οὐ μὴν ἀλλὰ καὶ ὡρισμένως· τρεῖς γὰρ καὶ πλεῖον οὐδέν, εἶτα αἱ ἀποδόσεις κατὰ διάλυσιν, δουλείαν, μισθαρνίαν, υἱότητα, καὶ πάλιν μοναρχία καὶ πολυαρχία καὶ ἀναρχία· ἀποδείκνυσι δέ, τίσιν ὁ μερισμὸς καὶ ἡ ἀπαρίθμησις προκαταλαμβάνουσι τοὺς ἀκούοντας, διὰ μὲν τοῦ μερισμοῦ τοῦ μὲν, εἰδότας καὶ ἀναμένοντας, ὡς καὶ τὴν ἀνταπόδοσιν πάντως ἐρεῖ, τὸν δέ· διὰ δὲ τῆς ἀπαριθμήσεως τὸ δεύτερον οἴδασι ῥηθησόμενον· οὕτω γὰρ λέγονται τὰ σχήματα· τὸ μὲν, ὅτι μερίζει τὴν διάνοιαν, εἰ σύντομον καὶ ἐγγὺς ἔχει τὸν δέ· τὸ δὲ καθαρὸν ἅμα καὶ γοργὸν τὸν λόγον ποιεῖ· εἰ εἴη

1 Par. λέγεται.

σύντομος· τὸ γὰρ μακραπόδοτον περιβολὴν ποιεῖ, ἡ δὲ, ὅτι εἰς ἀριθμὸν τίθησι τὰ μέλλοντα λέγεσθαι παραδείγματα· τοῦ μὲν μερισμοῦ· καὶ πῶς ἡ μὲν εἰς ὀρῶν κορυφὴν ἀνηγμένη, ἡ δὲ εἰς πόλιν καθεζομένη· καὶ ἡ μὲν εἰς οἴκησιν νεμομένη, ἡ δὲ ἀοίκητος· τὰ αὐτὰ δὲ καὶ κάλλους διὰ τὴν παρίσωσιν, ὡς ἐκεῖσε γενόμενοι δείξομεν· λέγομεν δέ τοῦτο τὸ σχῆμα ἐπιμονὴν κατ᾽ ἔννοιαν, διὰ τὸ ἐπιμένειν ταῖς ἀποδείξεσιν· ἔστι δὲ ἐκ τοῦ θεολογικοῦ τοῦ μεγάλου· καὶ πάλιν τὸ μὲν σφοδρὸν τῆς λατρείας τέως ἀποδοκιμασθῆναι, τῷ δέ ἡμέρῳ καὶ τὰ ἑξῆς· οὗτος ὁ μερισμὸς ἐὰν μακραπόδοτος γένηται, περιβολὴν ποιεῖ, ὡς οὗτος· πᾶσα μὲν ἀλήθεια καὶ πᾶς λόγος δυστέκμαρτος· εἶτα μεστώσας τὸν λόγον μετὰ πολλὰ ἐπάγει τὴν ἀνταπόδοσιν· ὁ δὲ περὶ θεοῦ λόγος, ὅσῳ τελεώτερος, τοσούτῳ δυσεφικτότερος. Συνευρέθη δὲ καὶ ἄλλο εὐκρινείας ἡμῖν σχῆμα ὃ σύγκριτικόν φαμεν, τὸ ὅσον καὶ τοσοῦτον· προακούσας γάρ τις τὸ ὅσον οἶδε ῥηθήσεσθαι καὶ τὸ τοσοῦτον, πλὴν εὑρίσκεται καὶ ἀναπόδοτον· ὥσπερ καὶ ὁ μὲν, ἀλλὰ καὶ αὐτὸς ἐπὶ τῶν ὁμολογουμένων, οἷον ὅσον ταῦτα ἐκείνων φιλοσοφώτερα· καὶ ἔστι ποτὲ καὶ θαυμάσαι, ὅσῳ πλέον ἐμβατεύει τοῖς βάθεσι, τοσούτῳ πλέον ἰλιγγιᾷ· διὰ μακροῦ δὲ καὶ οὗτος εἰ γένοιτο, ὥσπερ καὶ ὁ μὲν, περιβεβλημένος, ὅσον μὲν ὀστῶδες καὶ ἄβρωτον καὶ τὰ ἑξῆς· ἐπὶ δὲ τοῦ μὲν τοῦ περιβολὴν ποιοῦντος· εἰ μὲν ἑώρων αὐτὸν γένει καὶ τοῖς ἐκ γένους φιλοτιμούμενον· διὰ μακροῦ γὰρ ἀπέδωκε τὴν ἀπόδοσιν, ὥστε δοκεῖν ἀναπόδοτον εἶναι· ἐπεὶ δὲ ὑπὲρ ἀνδρὸς ἡμῖν ὁ λόγος· τοῦτο ἀπόδοσις· τοσαῦτα περὶ μερισμοῦ· ἡ δὲ ἀπαρίθμησις τοιαύτη ἐστί· πρῶτον μὲν ἐννοεῖ τὰς ἀγγελικὰς δυνάμεις· ἧττον γὰρ ἐμπερίβολον τοῦτο, δεύτερον δὲ κόσμον ὑλικὸν καὶ ὁρώμενον, καὶ πρῶτον ἀποστόλους, δεύτερον προφήτας, τρίτον διδασκάλους· λέγεται δὲ τοῦτο κατ᾽ ἄθροισιν ὡρισμένον,

οὐ μόνον διὰ τὴν αἰτίαν, ἣν εἴπομεν, ἀλλὰ καὶ τὸ ἀριθμητικὸν καλούμενον, ὃ οὐ κατ' ἄθροισιν γίνεται, ἀλλὰ κατὰ χωρισμὸν, οἷον ἓν μὲν τοῦτο τῆς ἐμῆς φιλοσοφίας εἴτε εὐηθείας· δεύτερον δὲ ἐβουλήθην ἐν παντὶ καιρῷ νεκρωθῆναι, καὶ τὰ ἑξῆς, καί εἰσι ταῦτα τὰ ὀνόματα τῶν σχημάτων διάφορα· τὸ μὲν γὰρ κατ' ἄθροισιν λέγεται, τὸ δὲ ἀπαρίθμησις.[2]

ξε. *Ἔτι κατὰ σχῆμα εὐκρινὴς ὁ λόγος γίνεται, ὅταν ὁ λέγων οἷον ἑαυτὸν ἐρωτᾷ.* Πάλιν καὶ τοῦτο ἔχει ὁ θεολόγος πανταχοῦ, πολὺ δὲ ἐν τῇ ἑρμηνείᾳ τοῦ νομικοῦ πάσχα· μεγάλων γὰρ ὄντων ἐκεῖσε τῶν θεωρημάτων καὶ ὑψηλῶν ὁ ἀκροατὴς ἀκηδιᾷ· ἀσαφῆ γὰρ γίνονται καὶ συγκεχυμένα· διὰ δὲ τῆς ἐρωτήσεως ὥσπερ διεγειρόμενος εὐπετῶς παρακολουθεῖ τοῖς λεγομένοις· καὶ καλοῦσιν αὐτό τινες διαλογικὸν, οἷον πῶς οὖν ἀναπλασθῆναι καὶ τί γενέσθαι· τὸ μὲν σφοδρὸν τῆς ἰατρείας καὶ τὰ λοιπά· καὶ πάλιν τί φῄς, οὕτω ταῦτα ἔδοξε, καὶ ἀλλαχοῦ· τίνος ἕνεκεν ταῦτα λέγω, ἑνὸς μὲν διὰ τόδε, δεύτερον δὲ διὰ τόδε, καὶ πάλιν· τίνος οὖν ἕνεκεν ταῦτα λέγω, ἐπεὶ μηδέπω δύναμαι πείθειν ὑμᾶς· καὶ πάλιν· πέπεισθε τούτῳ καὶ οὐδὲν δεῖ παραδειγμάτων ὑμῖν· ἢ δεῖ πολλάκις τὸν αὐτὸν ἐνηχεῖν λόγον.[3]

ξϛ. *Καὶ μὴν καὶ αἱ ἐπαναλήψεις.* Ἐπανάληψίς ἐστι σχῆμα λόγου τὰ διὰ τῆς μεστώσεως γινόμενα ἢ δοκοῦντα ἀσαφῆ ἐπαναλαμβάνον, οἷον ταῦτα μὲν οὖν παιζέτωσαν[4] Ἑλλήνων παῖδες· μεσκάσας γὰρ τὸν λόγον τοῖς πνεύμασιν ἐπανέλαβεν τὸ νόημα, εἰπών· τοῦτό ἐστιν ὁ διωγμὸς τοῦ πλάσματος, καὶ διὰ ταῦτα ἡ εἰκὼν τοῦ θεοῦ καθυβρίσθη· οὕτως οὖν καὶ τό· ταῦτα μὲν οὖν, οὗ τὴν ἀνταπόδοσιν τὴν δὲ μετ' οὐ πολὺ ἀνταπέδωκε·

2 Litt. ξδ'. continetur Vol. VII. p. 948. κθ'. 3 Sequitur: εἰς τὸ αὐτὸ Συριανοῦ καὶ τῶν λοιπῶν. Vol. VII. p. 948. λ'. 4 Par. πεζέτωσαν.

μέστωσις δέ ἐστι λόγος πλειόνων καὶ μακροτέρων ἐννοιῶν, ἐπεμβολὰς περιέχων· καὶ πάλιν, οὕτω μὲν καὶ διὰ ταῦτα εἰσῆλθεν ὁ γραπτὸς νόμος· διαφέρει δὲ τὸ σχῆμα τοῦτο τῆς ἐπαναφορᾶς, ὅτι τὰς ἐννοίας πάσας ἐπαναλαμβάνει καὶ τὰ κόμματα καὶ τὰ κῶλα· ὡς τό·[5]

Τοῦ δ' ἐγὼ ἀντίος εἶμι, καὶ εἰ πυρὶ χεῖρας ἔοικεν.

ἡ δὲ ἐπαναφορὰ κατὰ λέξιν ὁρᾶται μόνην. Χριστὸς γεννᾶται, Χριστὸς ἐξ οὐρανοῦ, Χριστὸς ἐπὶ τῆς γῆς· ἐναντίον εὐκρινείας σύγχυσις ὁμολογουμένως· εἰ γὰρ περιβάλλει τις, ὥσπερ ὁ Γαληνὸς, καὶ οὐκ ἐπιλαμβάνει, συγχεῖ καὶ ἀσάφειαν ποιεῖ· καὶ πάλιν, εἰ ἔχει τις ὑψηλὰ νοήματα καὶ χρῆται κώλοις σχοινοτενέσι καὶ πνευματικοῖς μὴ ἀναλαμβάνων, καὶ οὗτος ἀσαφής· γίνεται γὰρ ἀσαφὴς λόγος ἢ κατ' ἔννοιαν ἢ κατὰ λέξιν, ἢ καὶ κατὰ τὰ δύο· κατ' ἔννοιαν μὲν, ὡς ὁ Πλάτων, τί τὸ ὂν, γένεσιν δὲ οὐκ ἔχον· ἐνταῦθα τὴν ἤδη ὑποστᾶσαν οὐσίαν δηλοῖ, καὶ τί τὸ μὴ ὂν, ὂν δὲ οὐδέποτε, τὸ συμβεβηκὸς, διὰ τὸ ἄστατον ἔχειν τὴν ὕπαρξιν· γίνεται γὰρ καὶ ἀπογίνεται· κατὰ δὲ λέξιν, τῶν ὄντων τὰ μὲν καθ' ὑποκειμένου, τὰ δὲ ἐν ὑποκειμένῳ· καθ' ὑποκειμένου γὰρ λέγει τὰς καθόλου οὐσίας· ἐν ὑποκειμένῳ δὲ τὰ συμβεβηκότα· ἐὰν δὲ μίξῃ τις κατὰ τὴν συνθήκην, ἀσαφῶς ἐρεῖ καὶ αὐτὸς, ὡς ὁ Λυκόφρων ταῖς ὀνοματοποιΐαις, καὶ φιλοσόφων Ἡράκλειτος· ἐκφεύγειν δὲ δεῖ ταῦτα τὸν καθαρότητος ἐπιμελόμενον, καὶ ἄλλα πολλὰ, ὅσα ἐν τοῖς προγυμνάσμασι μεμαθήκαμεν, ὡς κακίαν λόγου τὴν ἐσχάτην ποιοῦντα· οὐ μὴν πᾶσα κακὸν ἀσάφεια, οὐ γὰρ καὶ αἱ ἐμφάσεις, ἃς ἐν ταῖς εὑρέσεσι τῶν ἐσχηματισμένων προβλημάτων μεμαθήκαμεν· οἷον σὸν εἶναι λόγισαι τὸ παιδίον, πάτερ, οὐκ ἐμόν· ταῦτα δὲ τὰ ἐσχηματισμένα Ἀψίνης ἐτράνωσεν ὁ Γαδαρεύς.[6] Τῷ δὲ οἱ συνειπόντες· λείπει τὸ Φιλοκράτει· τὸ ὅλον οὕτως· οἱ συνειπόντες Φιλο-

---

5 Il. υ, 372. 6 Par. Μεγαρεὺς, scr. Γαδαρεύς. cfr. T. VII. p. 950. v. 3.

κράτει συμπροδόται αὐτοῦ εἰσι, τὸν Αἰσχίνην αἰνιττόμενος, καὶ γὰρ Φιλοκράτης προφανῶς εὕρηται προδότης, καὶ συνηγορίᾳ Αἰσχίνου οὐχ ἑάλω· ἐσχηματισμένα δὲ, ὥσπερ οἱ ἑαυτοὺς προσαγγέλλοντες, ὡς ἐπὶ τῆς λάλου γυναικὸς ὁ ἀνὴρ παρὰ τῷ Λιβανίῳ,[6*] οὐ γὰρ βούλεται ἀποθανεῖν· τοῦτο γὰρ ἡ προσαγγελία· ἀλλ᾽ ἐσχηματισμένως ἀξιοῖ λυθῆναι τῆς γυναικός· τοιοῦτόν τινες, μᾶλλον δὲ οἱ πήλινοι ῥήτορες καὶ σοφοὶ τῶν καθ᾽ ἡμᾶς, καὶ τὸν συντακτήριον εἶναι ὑπέλαβον· ποῦ γὰρ διάνοια πρὸς τὸ νοῆσαι, ὅτι τὰ ἐσχηματισμένα σαθρὰς ἔχουσι τὰς ἀποδείξεις καὶ ἐργασίας εἰς τὸ εἶναι εὐανατρέπτους, διὰ τὸ σχήματι μόνῳ τὸν λόγον προάγειν, ἀλλ᾽ οὐχ ὅλῃ τῇ διανοίᾳ· τίς δὲ ἢ ῥήτωρ ἢ φιλόσοφος τὰς τοῦ λόγου τούτου ἐπιχειρήσεις δυνηθῇ ἀνασκευάσαι, κἂν μίαν λέξιν; οὐδ᾽ ἄγγελος, οἶμαι, τῶν οὐρανῶν κατελθὼν, οἷς ὁ λόγος φαίνεται οὐκ ἐσχηματισμένος· καὶ ἄλλως ἡ ἐνδοξότης καὶ ἡ ποιότης τοῦ προσώπου οὐ δίδωσι χώραν τοιαῦτα περὶ αὐτοῦ νοεῖν· ἀεὶ γὰρ τοὺς θορύβους βαρούμενος ἀποδυσπετεῖ, εἴπερ ἐντεῦθεν αὐτῷ συνέβη τὸ μὴ δυνηθῆναι φιλοσοφεῖν ἀξίως τοῦ πόθου ἢ καὶ νομίζεσθαι, εἰ καὶ βραχὺς τοῦ δευτέρου λόγος· ἐμφαντικὰς δὲ λέξεις ἔχει καὶ πολλάς· τὸ γὰρ λέγειν, οὐχ ἵνα πρόβατον πλανώμενον ἐπιστρέψητε, ἀλλ᾽ ἵνα ποιμένα συνέκδημον ἐπισκέψησθε, ἐμφαίνοντός ἐστι τῆς συνόδου τὸν φθόνον διὰ τῆς τροπικῆς μεταλήψεως· τὸ αὐτὸ, καὶ χαίροις ἀνατολὴ καὶ δύσις, ὑπὲρ ὧν καὶ ὑφ᾽ ὧν πολεμούμεθα· τὸ γὰρ πολεμούμεθα ἀντὶ τοῦ φθονούμεθα εἴληφεν· ἀμαθεῖς οὖν καὶ ἀσεβεῖς τοὺς ὑπονοοῦντας τοιαῦτα ἐγὼ τίθημι· οἶμαι δ᾽ ὅτι καὶ τῶν λογιωτέρων ἕκαστος, οἱ ἐρωτώμενοι τὰς τῶν λόγων ἰδέας τὸ δοκοῦν ἀποφαίνονται, οὐκ εἰδότες οἱ μιαροὶ, ὡς ἡ τῶν λόγων ἀνάπτυξις τοῦ ἀνδρὸς τούτου καὶ ἡ τεχνολογία ἑτέρου πέρ ἐστιν αὐτῷ τούτῳ

6* T. IV. p. 134. Reisk.

ἁρμοδίου· εἴπερ ἁρμόδιός τις κἂν εἰς τὸ μετὰ ταῦτα φανήσεται· καὶ ταῦτα μὲν ἐν τούτοις· οὐ μὴν οὐδὲ τὰ στρογγύλα τῶν σχημάτων ἀσαφῆ φαινόμενα, ὅτι μηδὲ τὸ· ὧν γὰρ τοὺς ἐπαίνους οἶδα, τούτων σαφῶς καὶ τὰς ἐπιδόσεις· οὐδὲ τὰ ἐκ τῶν ἀντιθέντων σιωπηθέντα συνεξακουόμενα ἀσαφῆ, ὥσπερ καὶ τοῦτο· ἀλλὰ τὸ μέγα καὶ ἄθυτον ὁ Χριστὸς ἱερεῖον ὅσον ἐπὶ τῇ πρώτῃ φύσει τῆς θεότητος πάντως ταῖς νομικαῖς θυσίαις ἐγκαταμέμικται· τούτου ἐσιώπησε τὸ ἐναντίον, δηλοῖ δὲ αὐτὸ διὰ ἀντιθέσεων· οἷον οὐ μικροῦ μέρους τῆς οἰκουμένης· ἀλλὰ παντὸς τοῦ κόσμου διαιωνίζον καθάρσιον· ὁρᾷς τὸ τῆς σοφίας βάθος· τὰ ἐγκαταλειφθέντα ἐν τῇ προτάσει τοῦ ἀντιθετικοῦ ἀποδόσεως νοεῖται, ἔστι δὲ τὸ ὅλον οὕτως· ἀλλὰ τὸ μέγα καὶ ἄθυτον ἱερεῖον ὁ Χριστὸς, ὅσον ἐπὶ τῆς θεότητος αὐτοῦ τὸ παλαιὸν ταῖς νομικαῖς θυσίαις, ἐν μικρῷ μέρει τοῦ κόσμου καὶ πρὸς ὀλίγον ἐγκαταμέμικται· εἶτα ἑκάστου αἱ ἀποδόσεις· νῦν δὲ ταῖς ἀληθιναῖς θυσίαις οὐχ οὕτως, ἀλλὰ παντὸς τοῦ κόσμου, καὶ οὐ πρὸς ὀλίγον, ἀλλὰ διαιωνίζον καθάρσιον· ἔστι τις αὐτῷ καὶ ἄλλη κατὰ παράδοσιν ἀσάφεια ἐκ παρῳδίας γενομένη τεχνική. ὡς γινωσκομένου τοῦ προειπόντος καταλειφθέντος τυχὸν ἢ προφήτου ἢ ποιητοῦ, ἢ ἄλλου τινὸς, οὗ τῷ ῥητῷ χρῆται, ὃ δὴ καὶ μὴ νοηθὲν τοῖς ἑρμηνευταῖς σολοικισμὸς ἔδοξεν· ἔστι δὲ τοιοῦτον· οἷον οὕτως· ἀκούω τοῦ διὰ παντὸς ἐν μεσημβρινῇ σκοτίᾳ φέγγουσιν· ὤφειλε γὰρ εἰπεῖν οὕτως, ἀκούω Ἡσαΐου λέγοντος, ὅτι διὰ παντὸς τοῦ βίου οἱ τρυφῶντες ἐν μεσημβρινῇ σκοτίᾳ φέγγουσι· μεσημβρινὴν μὲν ὠνόμασαν τὴν τρυφὴν, διὰ τὸ δοκεῖν φῶς εἶναι τοῖς πλουσίοις καὶ εὔδαιμον, σκότος δὲ διὰ τὴν τῆς ψυχῆς ἀποτύφλωσιν· καὶ μὴν καὶ οἱ γρῖφοι σοφοὶ ὄντες τῆς αὐτῆς ἰδέας τῆς ἀσαφείας εἰσὶ τῆς ἐπαινουμένης καὶ τῶν ἐμφάσεων, οὐ μὴν τῆς χειρίστης οἷον:

Εἶδον [7] *ἐγὼ πυρὶ χαλκὸν ἐπ' ἀνέρι κολλήσαντα·*

σημαίνει δὲ τὴν σικυάν· καὶ ἣν ἂν πνοιῇ, εἰ τὸ μέτρον ἐσώζετο, ἀνθότου δὲ πυρίχαλκον τὴν σικυίαν ὁ τοῦ γρίφου ποιητὴς ἐκάλεσεν, αὐτὸς ἂν εἰδείη, ἐπεὶ οὔτε ἐγὼ οἶδα, οὔτε τὸν εἰδότα ἤκουσα· νομίζω δὲ, ἐπειδὴ οἱ παλαιοὶ χαλκείῳ σκεύει εἰς τὰς σικυιὰς ἐχρῶντο, τοῦτο δὲ διὰ πυρὸς σκευάζεται, διὰ τοῦτο εἶπε ταύτην πυρίχαλκον· ἢ διὰ τὸ πυροειδεῖς εἶναί τινας τῶν χαλκῶν· τοιοῦτον καὶ τὸ τοῦ Σιμωνίδου πρὸς τοὺς ἑταίρους, [7*] ὃ πόνοις καὶ ἐξετάσεσι πολλῶν ἐτῶν μόλις ἐνόησα, εἴπερ καὶ ἐνόησα·

Φημὶ [8] *τὸν οὐκ ἐθέλοντα φέρειν τέττιγος ἄεθλον*
Τῷ Πανοπηϊάδῃ μετὰ δεῖπνον δώσειν ἐπ' ἠῶ.

Περὶ γὰρ τούτου ταῦτα νοοῦμεν· τὸν μὴ θέλοντα φέρειν πόνον καὶ ἀγῶνα ὑπὲρ τῆς τέττιγος, τουτέστι τοῦ ποιήματος, ἀμοιβὴν μετὰ τὸ δεῖπνον καὶ τὸ ἀποτέλεσμα αὔριον δώσειν ἐπ' ἠῶ· αὔριον δὲ τὸ πρωῒ φησι δώσειν τῷ Πανοπηϊάδῃ, τουτέστι τῷ πυρί· τὸ δὲ ὅλον οὕτως· τὸν μὴ θέλοντα φέρειν ὑπὲρ τοῦ ᾄσματος τῆς τέττιγος ἀμοιβὴν μετὰ πολὺν πόνον· τὸ γὰρ δεῖπνον τοῦτο δηλοῖ, παρὰ τὸ δεῖ πονεῖν ἐπὶ τὴν ἡμέραν, ἀντὶ τοῦ τὸ πρωῒ αὔριον τῷ ἡλίῳ δώσειν, ἤτοι τῷ [9] πυρί· πανοπεὺς γὰρ ὁ ἥλιος, πυρὸς γέννημα· ὁ τέττιξ δὲ τὸ ᾆσμα ἐλέγετο, δι' οὗ σημαίνεται τὸ πῦρ, τὸ δὲ ἆθλον, ἐπεὶ σημαίνει καὶ τὸν ἀγῶνα καὶ τὴν ἀμοιβήν, οὕτω συντάξεις τὸν ἀγῶνα τὸν μὴ δυνάμενον μετὰ τὸ δεῖπνον φέρειν καὶ δοῦναι ἀμοιβὴν ἅμ' ἡμέρᾳ, τῷ πυρὶ λέγω δώσειν· οὕτως ἡμεῖς· εἰ δέ τις Ἐπειῷ τῷ τοῦ Πανοπέως τῷ παρ'

---

7 Par. *οἶδον ἐγὼ πυρίχαλκον.* Demetr. Phal. CII. *ἄνδρ' εἶδον πυρὶ χαλκόν* cfr. T. VII. p. 949. 7* Par. *ἑτέρους.* scr. *ἑταίρους,* coll. T. VII. p. 949. 8 Apud Athen. X. p. 456. e. et Gaisf. Poët. minor. Vol. III. p. 186. legitur: *δώσειν μέγα δεῖπνον Ἐπειῷ.* Sicel. suam lectionem sequitur in interpretatione. 9 Par. *τό.*

Ὁμήρῳ, τῷ λεγομένῳ πύκτῃ, οἴεται δοθῆναι τὸν ἄεθλον, οὐ καλῶς δοκεῖ· πρὸ γὰρ Σιμωνίδου[10] ὁ Ἐπειὸς οὗτος τριακοσίοις ἢ πλεῖον ἔτεσιν ἦν, καὶ πῶς ἂν τὸ ὑστερογενὲς τῷ τοσοῦτον πρωτογενεῖ δοθείη· ἄλλως τε ὁ μὲν Ἐπειὸς τῆς τοῦ Πέλοπος χώρας ἦν, ὁ δὲ Σιμωνίδης Κεῖος· Ἀσίας δὲ ἡ πόλις· εἰ δὲ μὴ τοῦτόν τις φήσειεν εἶναι τὸν Ἐπειὸν, ἄλλον δέ τινα τῷ ποιητῇ γνώριμον, καὶ οὗτος ἐξαπατᾶται τῷ λόγῳ, ὅτι σαφής ἐστιν, οὐ γρῖφος· εἰ δὲ γρῖφος, οὐδὲ Ἐπειὸς γνώριμος· καὶ μὴν ἔστωσαν ταῦτα καὶ δεδόσθωσαν τοῖς Ἐπειδῖς τούτοις ἁρμόζειν τὸ ἔπος τὸν τέττιγος ἆθλον, καὶ τὸ μετὰ τὸ δεῖπνον, πῶς δ' ἂν τοῖς προσώποις συντάξειεν, ὥστε ἢ, ὡς εἴπομεν ἡμεῖς, σώζεται τὰ τοῦ γρίφου, ἢ οὐδὲ, ὡς οὗτοι λέγουσι, διά τε τὸν χρόνον καὶ τὸ σαφές· εἰ δὲ μηθέτερον ἀληθὲς, ἑτέρου δεῖ λόγου, καὶ ποῦ ἂν οὗτός ἐστιν, εἴπου φανείη, ἀγαπῴην ἂν, ἐπεὶ καὶ αὐτὸς χρῄζω διδασκαλίας,

Γηράσκω γὰρ ἀεὶ, φησὶ, διδασκόμενος.[11]

καὶ Πλάτων. ἧττον δὲ οὗτος τῶν προῤῥηθέντων ὁ γρῖφος δεινός·

Πέντ' ἄνδρες[12] δέκα ναυσὶ κατέδραμον εἰς ἕνα χῶρον.
Ἐν δὲ λίθοις ἐμάχοντο, λίθον δ' οὐκ ἦν ἀνελέσθαι.
Δίψει δ' ἐξώλλυντο, ὕδωρ δ' ὑπερεῖχε γενείου.

εἰ γὰρ μεταθήσεις τὴν τάξιν, σαφὴς ἔσται· δέκα ἄνδρες πέντε ναυσὶ κατέδραμον εἰς ἕνα χῶρον δυνατόν· ἐν δὲ λίθοις ἐμάχοντο· προτεθειμένοις που πάντως τοῖς πλοιαρίοις, λίθον δὲ οὐκ ἦν ἀνελέσθαι· πῶς γὰρ πιπτόντων τῶν λίθων ἐν τῇ θαλάσσῃ· δίψει δ' ἐξώλλυντο· εἰκότως, ἄποτον γὰρ τὸ θαλάσσιον ὕδωρ· ὕδωρ δ' ὑπερεῖχε γενείου, καὶ τί τὸ κέρδος πικροῦ ὄντος; οὗτοι μὲν οὖν, ὡς εἶπον, ἐκ τῆς συντάξεως καὶ τοῦ πράγματος ἔχουσι τὸ ἀσαφές· ἐκεῖνοι δὲ τῆς ὁμωνυμίας· ὁ δὲ τῶν Στοίχων

---

10 Par. Σιμωνίδα. scr. Σιμωνίδου. 11 Plut. Solon. c. 3.
12 Athen. X. p. 457. b. 13 Par. σὺν δέκα.

ὁ λέγων τὰ ἐναντία δέχεσθαι τὴν ἀπροσδιόριστον, ἀληθὲς καὶ ψεῦδος, ἀπὸ τῆς τῶν πραγμάτων γριφεύεται φύσεως· οἷον ὄρνιθα δ᾽ οὐκ ὄρνιθα, ὄρνιθα δ᾽ ὅμως, τὴν νυκτερίδα· ἐπὶ ξύλου δὲ καὶ οὐ ξύλου καθημένην, ἐπὶ τοῦ νάρθηκος, λίθῳ καὶ οὐ λίθῳ βαλὼν διώλεσε, τῇ κισσήρει· ὡς ἂν δὲ καὶ αὐτὸς γνοίης, τί ποτέ ἐστι τὸ λεγόμενον, ἄκουσον. Οἱ Περιπατητικοὶ οἱ περὶ Πλάτωνα (λέγονται γὰρ οὕτως ἀπὸ τοῦ περιπατεῖν), λέγουσιν ἐπὶ παντὸς πράγματος ἢ ἡ κατάφασις ἢ ἡ ἀπόφασις χωρίζει τὸ ἀληθὲς καὶ τὸ ψεῦδος· εἰ μὲν γὰρ ἡ κατάφασις ψευδὴς, ἡ ἀπόφασις ἀληθής· εἰ δὲ αὕτη ψευδὴς, ἐκείνη πάντως ἀληθὴς, εἰ ἔστι προσδιωρισμένη, τουτέστιν εἰ ἔχει τὸν πᾶς προδιορισμὸν, ἢ τὸν οὐ πᾶς, ἢ τὸν τις, ἢ τὸν οὐδείς· οἷον πᾶς ἄνθρωπος λευκός ἐστι, ψευδής ἐστιν· οὐ πᾶς ἄνθρωπος λευκός ἐστιν ἀληθής ἐστιν· ἡ γὰρ πᾶς καὶ τὶς προτάσεις καταφάσεών εἰσιν· ἡ δὲ οὐ πᾶς καὶ οὐδεὶς ἀποφάσεις· καὶ μερίζουσι τὸ ἀληθὲς καὶ τὸ ψεῦδος κατὰ τὸν ῥηθέντα κανόνα· κατάφασις δέ ἐστι λόγος ὁ τὸ ὂν τινι ἢ μὴ ὂν ὑπάρχειν αὐτῷ λέγων, οἷον πᾶς ἄνθρωπος λευκός· τὶς ἄνθρωπος λευκός. ἀπόφασις δὲ ὁ τὸ μὴ ὄν τινι ἢ ὂν μὴ εἶναι λέγων, οἷον οὐδεὶς ἄνθρωπος λευκός· ψεῦδος· οὐ πᾶς ἄνθρωπος λευκός· τὸ ὂν ὡς ὄν· τούτων οὕτω διηυκρινημένων ἀνθίσταται Πλάτωνι ὁ Ἐπίκουρος φάσκων· ψεῦδός ἐστι τὸ εἶναι πᾶν πρᾶγμα κατὰ τὴν κατάφασιν ἢ ἀπόφασιν ἀληθὲς ἢ ψευδές· ἰδοὺ γὰρ, εἰσί τινα τῶν ὄντων, ἐφ᾽ ὧν ἀπροσδιόριστοι, τουτέστιν αἱ μὴ ἔχουσαι τῶν προῤῥηθέντων προσδιορισμῶν τινα, ἃ οὔτε ἀληθεύουσιν, οὔτε ψεύδονται, ἀλλὰ καὶ τὰ ἀμφότερα πάσχουσιν· ἡ γὰρ νυκτερὶς ὄρνις μέν ἐστι, διότι ἵπταται, οὐκ ὄρνις δὲ, διότι ζωοτοκεῖ καὶ θηλάζει, ἀλλ᾽ οὐκ ὠοτοκεῖ οὐδὲ πωάζει· ὁ δὲ νάρθηξ ξύλον, διότι καίεται καὶ θάμνος ἐστὶν, οὐ ξύλον δὲ, διότι σομφῶδές ἐστιν· οὕτω καὶ ἡ κισσηρὶς λίθος καὶ

οὐ λίθος· τὸ μὲν, ὅτι λίθου ἐστὶν εἶδος καὶ ἀπὸ κρημνῶν, τὸ δὲ, ὅτι τὰ τοῦ λίθου οὐ σώζει. Ταῦτα μὲν Ἐπίκουρος ἐπ' ἀνατροπῇ τῶν τοῦ Πλάτωνος, ἃ εἰς μέτρον οἱ ἀστειότεροι συνθέντες ἔπαιζον[14] τὸν Ἐπίκουρον. Ταῦτα διῆλθον ἐν τῷ τῆς σαφηνείας[15] λόγῳ, ὡς ἂν γνοίημεν, ὅτι μὴ πᾶσα μεμπτή· ἐπεὶ δέ τινα ἑρμηνείας ἐδέοντο, καὶ ταῦτα διεπεράναμεν, ἵνα μηδέν τι ἀμφισβητούμενον ᾖ, καὶ τετέλεσται ἡμῖν ἡ εὐκρίνεια. Λοιπὸν λεκτέον καὶ περὶ μεγέθους, ἵνα μὴ φροντίζοντες τῆς σαφηνείας πίπτωμεν εἰς τὸ ταπεινὸν καὶ ὕπτιον· παράκειται γὰρ τοῦτο τῷ σαφεῖ· ᾧ ἐναντίον τὸ μέγεθος· τοῦτο γὰρ τὸ εὐτελὲς μεγεθύνει.[16]

Σύνοψις εὐκρινείας.[1]

Ἔννοιαι αἱ καταστατικαὶ καὶ εἰς ἀρχὴν ἀνάγουσαι τὸν λόγον, καὶ αἱ διατυποῦσαι τὴν τάξιν τῶν μελλόντων λέγεσθαι καὶ αἱ συμπληρώσεις.

Μέθοδος τὸ κατὰ φύσιν τιθέναι τὰ πράγματα· τὰ πρῶτα πρῶτα καὶ τὰ δεύτερα δεύτερα, καὶ ταῖς ἀντιθέσεσιν ἐπάγειν τὰς λύσεις· σχῆμα τὸ κατ' ἄθροισιν καὶ ὁ μερισμὸς καὶ ἡ ἀπαρίθμησις. Λέξις, κῶλα, συνθήκη, ἀνάπαυσις καὶ ῥυθμὸς ὁμοίως τῇ καθαρότητι.

Cap. V.

Περὶ μεγέθους καὶ ἀξιώματος λόγου.

α. Μετὰ τὸν περὶ σαφηνείας λόγον· σαφηνείας καὶ εὐκρινείας ὁ τεχνικὸς φροντίζων ἀεὶ ἐν ταῖς κα-

---

14 Par. ἔπεζον. 15 Par. σαφείας. 16 Litt. κζ'. et κή. continentur Vol. VII. p. 949. λβ'. λγ'. Sequitur titulus: Περὶ κώλων καὶ συνθήκης καὶ ἀναπαύσεως καὶ ῥυθμοῦ. sub quo continentur litt. λδ'. et λή. in fine: εὐζωνότης, ταπεινότης.

τὰ μέρος ἐκθέσεσι τῆς τέχνης ἀναλαμβάνει τὰ εἰρημένα καὶ προϋπισχνεῖται τὰ μέλλοντα· τὰ μὲν ὡς ἐπιλογιζόμενος, τὰ δὲ προκαθιστῶν ταῖς τῆς εὐκρινείας μεθόδοις, διὸ πεπληρωκὼς τὴν σαφήνειαν τὸ μέγεθος προχειρίζεται· καὶ ἡ αἰτία δήλη καὶ ἀναγκαία ἡ τάξις· οὐ μόνον, ὅτι δεῖ τῷ σαφεῖ μεγέθους καὶ ἀξιώματος καὶ ὄγκου, ἃ δηλοῦσι τὰ τῶν λεγόντων φρονήματα, καὶ περὶ ὧν λέγουσι, καὶ τὸ ὕψος· ἀλλ' ὅτι παράκειται τῷ σφόδρα σαφεῖ, ὥσπερ ἡ ἠλιθιότης τῇ σωφροσύνῃ, τὸ εὐτελὲς καὶ ἐῤῥιμμένον, ὃ δὴ καὶ ἐναντίον ἐστὶ τῷ μεγέθει, τὸ γὰρ μέγεθος μεγαλοπρεπὲς εἶναι δεῖ, καὶ ἐπηρμένον τῷ ἀξιώματι διὰ τῆς σεμνότητος καὶ περιβολῆς μήτε εἰς τερατείαν καὶ ἀπόνοιαν, μήτε εἰς περιφρόνησιν καὶ καταπάτησιν τὰ ἐκ διαμέτρου κακὰ καὶ ὁμοίως ἄνισα ἡνιοχούμενα· ὥσπερ γὰρ ἵππον ἄτακτα τρέχοντα ἡνιοχεῖ τὴν περιβολὴν ἡ σαφήνεια διὰ τῆς εὐκρινείας· ὥσπερ δὲ πάλιν ἀναπεπτωκότα καὶ ῥᾴθυμον διεγείρει τὸ μέγεθος, τὸν λόγον, ὡς διὰ μύωπος τῆς περιβολῆς· διὸ καὶ Δημοσθένης, φησὶ, ταύτῃ ἐχρήσατο, ἑκάτερον καθ' ἑκατέρου καὶ ὑπὲρ ἑκατέρου τὸ εὔζωνον καὶ ἀσθενὲς καὶ οἷον γυμνὸν καὶ ὡς μιᾷ ζώνῃ συνεσφιγμένον τῇ ταπεινότητι, ἀναστήσας καὶ ἀγωνιάσας [1] τῷ μεγέθει διαφερόντως, καὶ τούτου μάλιστα τῇ περιβολῇ καὶ τὴν αἰτίαν τῆς μίξεως ἔγνωμεν διδαχθέντες ἐνταῦθα· γνώσεσθαι δὲ τελεώτερον ὑπισχνεῖται ἐν τῇ τῆς περιβολῆς διδασκαλίᾳ· νυνὶ δὲ περὶ τῆς σεμνότητος διεξέρχεσθαι μέλλει· ἀλλ' ἐπειδὴ τὴν κατὰ γένος τῶν ἰδεῶν τάξιν ἐμάθομεν ἤδη ἐν ταῖς προεκθέσεσι τῶν ζητουμένων, ὅτι ἐλέγομεν περὶ τοῦ σκοποῦ καὶ τῶν ἄλλων, εἴπω νῦν τὴν κατ' εἶδος τάξιν, καὶ πρῶτόν γε τῶν τοῦ μεγέθους, ὧν ἡ σεμνότης προηγεῖται. Προετάγη τοίνυν ἡ σεμνότης, ὅτι ἀνελλιπὴς οὐ μόνον ἐστὶ τοῖς [2] ἑαυτῆς μέρεσιν, ἀλλὰ καὶ ταῖς ἄλλαις αὐτῶν μεταδίδωσι,

---

1 Par. ἀγωφιάσας. 2 Par. τῆς. scr. τοῖς.

τῶν μετ᾽ αὐτὴν δηλονότι· ἐκεῖναι γὰρ διὰ τῶν ταύτης συνεστήκασιν· καὶ μᾶλλον αἱ ὁμογενεῖς· εἰ δέ που συμπίπτει τῇ καθαρότητι ἔν τισι τῶν σχημάτων, ἀλλὰ δι᾽ αὐτὴν ἐκεῖνα τὰ τοιαῦτα σχήματα ἔχει, εἴ τι μὲν γὰρ σεμνόν, ἐκεῖνο πάντως καὶ εὔσχημον· οὐκ εἴ τι δὲ εὔσχημον, τοῦτο καὶ σεμνόν· καὶ γὰρ τὸ κομμωτικὸν καὶ κενὸν τοῖς ἄφροσιν κάλλος, τὸ εὔσχημον ὑποκρινόμενον οὐ σεμνόν· τοῦτο μὲν δευτέρα αἰτία, καὶ τρίτη δέ, ὅτι πανταχοῦ τὰ σεμνὰ τῶν προσώπων καὶ πραγμάτων προτιμῶνται παρὰ τοῖς συνετοῖς· τί δὲ τούτοις λόγου σεμνότερον; εἰ δὲ καὶ ἡ σαφήνεια προετάγη οὐ φύσεως ἀνάγκῃ, ἀλλὰ διὰ τὴν τῶν ἀκροατῶν ποιότητα, ὧν οὐ πάντες τοῖς ὑπὲρ αὐτοὺς νοήμασιν ἐπεμβαλεῖν δύναται ἃ δείκνυσιν ἡ σεμνότης; καὶ ἐοίκασιν ἡ μὲν σαφήνεια τοῖς πολλοῖς ἀνθρώποις, τὸ δὲ μέγεθος τοῖς ἀνεστηκόσι· καὶ τῶν τοῦ μεγέθους ἡ μὲν σεμνότης προτέτακται ὡς ἁρμοδία ἐνδόξοις πράγμασι καὶ περιφανέσι, καὶ ὅτι περὶ μεγάλων διέξεισι καὶ τὸ πρωτεῖον ἐχόντων παρὰ τὰς ἄλλας, μάλιστα δὲ ἡ πρώτη ταύτης ἔννοια· περὶ γὰρ αὐτήν ἐστι τοῦ θεοῦ τὴν φύσιν, καὶ ὅτι αἱ λέξεις αὐτῆς καὶ τὰ λοιπὰ μόρια καθολικώτερα, καὶ ὅτι ἐκ τῶν αὐτῆς αἱ μετὰ ταύτην τοῦ μεγέθους ἰδέαι συνίστανται, μεθ᾽ ἣν ἡ περιβολή, ὡς καὶ αὐτὴ καθ᾽ ἑαυτὴν οὖσα, ὥσπερ καὶ ἡ σεμνότης· διὰ δὲ τὸ ποικίλον τελευταία ἐστὶν ἐν τῇ διδασκαλίᾳ· ἀκριβέστερος γὰρ καὶ ἐργωδέστερος ὁ περὶ αὐτῆς λόγος· ὅθεν καὶ ἐν τῷ τέλει τῷ τοῦ μεγέθους τέτακται· ἔπειτα ἡ τραχύτης τρίτη, ἐπιτιμῶσα, καθάπερ δοῦλος σώφρων, δεσπόταις ἀκολάστοις, μετ᾽ αὐτὴν δὲ ἔδει τὴν λαμπρότητα, ἀλλ᾽ οὐχ ὡς πρότερον νῦν, διότι τραχύτης, λαμπρότης, σφοδρότης τὴν ἀκμὴν ποιοῦσιν· ἧς μέσον ταγείσης ἔδοξεν, ὡς ἐκ τούτων ἐστί, καὶ μᾶλλον λαμπρότητος καὶ σφοδρότητος· ἡ μὲν γὰρ τραχύτης ἀπὸ τῶν ἐλαττόνων προσώπων κατὰ τῶν μειζόνων ἐστίν, ἡ δὲ σφοδρότης τὸ

παραυτίκα ποιουμέναις καί τισι τῶν σχημάτων, ὡς ἐν τῷ περὶ αὐτῆς λόγῳ δειχθήσεται· τραχύτης γὰρ ἐννοίᾳ τε καὶ λέξει, καί τισιν, ὡς εἶπον, κοινωνοῦσι τῇ ἀκμῇ· ἡ δὲ λαμπρότης σχήμασι καὶ κώλοις, αἱ δὲ ἄλλαι πᾶσαι συμπλέκονταί τε καὶ πάλιν οὐ συμπλέκονται, ἡ μὲν γὰρ σεμνότης, φησί, ἐφ' ἑαυτῆς ἐστι καὶ ἡ περιβολή, αἱ δὲ ἄλλαι συμπλέκονται μὲν διὰ τῶν κοινῶν, οὐ συμπλέκονται δὲ διὰ τῶν ἰδίων· ὑστέρα δὲ πάντων ἡ περιβολή, δι' ἃς προεῖπον αἰτίας· καὶ ὅτι κατὰ μὲν τὰς λοιπὰς τὰς ὁμογενεῖς πλεονάζειν τὸν πολιτικὸν λόγον οὐκ ἀναγκαῖον· κατὰ δὲ τὴν περιβολὴν καὶ πάνυ· καὶ δι' ἣν αἰτίαν κατ' ἐκείνας μὲν οὐχὶ, κατὰ ταύτην δὲ μάλιστα, ἐκεῖσε γενόμενοι μαθησόμεθα, καθάπερ ἔφθην εἰπών· τάχα γὰρ οὐδὲ δυνατὸν γνῶναι τὴν αἰτίαν τοῦ ταύτης πλεονασμοῦ παρὰ τῷ Δημοσθένει, εἰ μὴ πρότερον μάθωμεν τὴν ἀπείργουσαν τὰς ἄλλας πλεονάζειν· διὰ τοῦτο ἡμᾶς ἐκεῖσε παραπέμψεται.

γ'. Καὶ πάλιν οὐ συμπλέκονται· ἀντὶ τοῦ οὐ μίγνυνται [6] ταῖς ἄλλαις, οἷον ἡ τραχύτης ἐννοίᾳ μὲν καὶ λέξει κοινωνεῖ τῇ ἀκμῇ, τοῖς δὲ κώλοις κεχώρισται· πάλιν ἡ λαμπρότης σχήμασι καὶ κώλοις κοινωνεῖ τῇ ἀκμῇ, ἐννοίᾳ δὲ κεχώρισται· διὸ εἶπε, μέρεσί τισι κοινωνοῦσαι καὶ πάλιν ἑτέροις κεχωρισμέναι· μέρη γὰρ καλεῖ καὶ ἐν ἀρχῇ τοῦ βιβλίου τὰ ὀκτώ, ἐξ ὧν ἑκάστη γίνεται, ἰδία δὲ, ἐπειδὴ οὐ μίγνυται, καὶ σαφὴς ἡ περὶ αὐτῆς διδασκαλία.

δ'. Τῇ περιβολῇ πλεονάζει ὁ Δημοσθένης· ἐν τῷ ἐπαίρειν τὸν λόγον καὶ ὄγκον ποιεῖν.

ε'. Ἀλλὰ πρῶτόν γε περὶ σεμνότητος, ᾗ τάχ' ἂν ἐναντίον εἴη ἀφέλεια. Διατί τάχα καὶ οὐ πάντως· ὅτι ἡ ἀφέλεια οὐκ ἐκ φύσεως ἄσεμνον, ἀλλὰ διὰ

τὸ

6 Par. μίγνυται.

τὸ ἄπλαστον τῶν προσώπων· ἐναντίον δὲ, ὅτι ἡ μὲν παιδικὴ καὶ ἠθικὴ καὶ ὡς ἄν τις φαίη ἀγροικικὴ, ἡ δὲ ἀνδρικὴ καὶ ἐπιστημονικὴ καὶ μεγαλοπρεπὴς καὶ μεγάλοις προσώποις ἁρμόδιος καὶ πράγμασιν· ἐννοίας γὰρ ἔχει τὰς ἀναγκαίας λέγεσθαι, καὶ ὧν μὴ λεγομένων ζημία τῷ ῥήτορι· ἡ δὲ ἀφέλεια οὐκ ἀναγκαίας οὐδὲ κατεπειγούσας. Τί γὰρ κοινὸν σεμνότητι τὸ Θεοκρίτειον ὑπὸ τοῦ αἰπόλου ῥηθέν·

Ὦ χαρίεσσ' Ἀμάρυλλι, [7] τί μ' οὐκέτι τοῦτο κατ' ἄντρον
Παρκύπτοισα [8] καλεῖς, τὸν ἐρωτύλον, ἦ ῥά με μισεῖς;

καὶ ἄλλα τὰ παρ' αὐτῷ· αὗται γὰρ καὶ αἱ τοιαῦται οὐδόλως οἰκεῖαι πολιτικῷ· καὶ διὰ τοῦτο οὐδὲ σεμνῷ, ἄλλοις δέ τισιν οἰκεῖαι, [9] καὶ διὰ τοῦτο τῇ σεμνότητι σχεδὸν ἐναντία ἡ ἀφέλεια, καὶ πάλιν οὐκ ἐναντία, ὡς ἐν τῷ περὶ ἀφελείας ἔσται δῆλον. [10]

Cap. VI.

Περὶ σεμνότητος.

Ἔννοιαι τοίνυν σεμναί· αἱ τῇ φύσει τοῦ θεοῦ ἁρμόδιαι, ἀλλ' οὐχ αἱ πάθος ἐμφαίνουσαι, ὡς τὸ ἐξηγέρθη, ὡς ὁ ὑπνῶν κύριος, ὡς δυνατὸς καὶ κεκραιπαληκὼς ἐξ οἴνου, εἰ καὶ ὡς εἰκονικὸν ἔχει τι πλέον τοῦ ἤθους, καὶ ὡς τό· καταβὰς οὖν ὄψομαι, εἰ κατὰ τὴν κραυγὴν αὐτῶν συντελεῖται· εἰ δὲ μὴ, ἵνα γνῶ· ταῦτα γὰρ καὶ τὰ ὅμοια ἀνθρωποπαθῶς ῥηθέντα διὰ τὴν ἡμετέραν ᾠκονομήθη ἀσθένειαν· ἑτέρως γὰρ τὴν κατὰ τῶν ἀσεβῶν ἀκίνητον κίνησιν τοῦ θεοῦ οὐκ ἂν ἐνοήσαμεν ῥη-

---

7 Id. III. 7. Par. χαρίεσσα Ἀμαρυλλΰϊ. 8 Par. παρνάποισα. ad marg. ταρνασσοῦ. 9 Par. οἰκεῖαι. 10 Sequitur ex T. VII. p. 953. litt. ἑ.

θεῖσαν· ὡς περὶ θεοῦ δὲ καὶ τῇ αὐτοῦ φύσει ἁρμόδια, πρόσταγμα ἐγύρωσεν ἐπὶ προσώπου ὕδατα· εἶπον, μέχρι τούτου ἐκβήσῃ καὶ οὐκ ἐκβήσεται· καὶ θεὸς ἦν μὲν ἀεὶ καὶ ἔσται, καὶ πνεῦμα υἱοθεσίας, ἀληθείας, πνεῦμα σοφίας, συνέσεως, βουλῆς, ἰσχύος, γνώσεως, εὐσεβείας, φόβου θεοῦ, ποιητικὸν πάντων, πάντα τῇ οὐσίᾳ πληροῦν, πάντα συνέχον, πληρωτικὸν κόσμου κατὰ τὴν οὐσίαν, ἀχώρητον κόσμῳ κατὰ τὴν δύναμιν· ἀγαθὸν, εὐθὲς,[1] ἡγεμονικόν· φύσει ἀλλ' οὐ θέσει καὶ τὰ ὅμοια· καὶ τὸ ἐν ἀρχῇ ἦν ὁ λόγος καὶ τὰ ἑξῆς· ταῦτα καὶ τὰ τοιαῦτα θεῷ προσήκει καὶ τῆς ἐκείνου φύσεως ἐξήρτηται τῆς ὑπὲρ νοῦν τε καὶ ἔννοιαν· τὰ δ' ἄλλα, ἐξ ὧν καὶ τὰ προῤῥηθέντα οἰκονομικῶς εἴρηται· μῦθοι δὲ καὶ πλάσματα δαίμοσιν οἰκεῖα, καὶ τοῖς τιμῶσιν αὐτὰ, καὶ ὅσα καὶ τοῖς μικρὰ φρονοῦσιν ἀσχήμονα· κἂν ἄλλως ἀλληγορικῶς μεταποιῆται τοῖς ποιηταῖς· ἃ βδελυξάμενος ὁ καλὸς Πλάτων, μᾶλλον δὲ ὁ Τίμαιος, ἑτέρως φιλοσοφεῖ περὶ θεοῦ· οὐ μὴν ὁ Πρόκλος τοιοῦτος, ὁ μυρίων διαφορὰς καὶ τάξεις εἰσάγων θεῶν ἐν τῇ περὶ αὐτῶν στοιχειώσει.

ζ. Διὸ πόῤῥω μοι δοκεῖ σεμνότητος εἶναι. Ἐπειδὴ γὰρ τὸ ἔμαρπτε τραχὺ ὂν, ὡς μόριον ἔδει, κοινωνεῖ τῷ μεγέθει, καὶ διὰ τούτου σεμνότητι,[2] ἡ μὲν ἔννοια πόῤῥω, ἡ δὲ λέξις ὄντως σεμνοτάτη κατὰ τὸ τροπικόν· τάττεται δὲ τὸ δοκῶ ἐπὶ τῶν ἀληθῶν.

η. Ἐπεὶ καὶ τὰ ἐν τῷ Δηλιακῷ τῷ Ὑπερίδῃ. Ὑπερίδης εἰς τὸ Δηλιακὸν Ἀπόλλωνος γράψας ἐγκώμιον, βουλόμενος Ἀθηναίοις δεῖξαι, ὡς τὰ ἐν Δήλῳ ἱερὰ προσήκει αὐτοῖς, καὶ ἀπορῶν γνησίας γενέσεως, πολλῷ τῷ μυθώδει κατεχρήσατο· λέγεται γὰρ τὴν Λητὼ κύουσαν, ὥς φησιν, ἐκ Διὸς ἐλαύνεσθαι ὑπὸ τῆς Ἥρας κατὰ πᾶσαν γῆν τε καὶ θάλασσαν ζηλοτυπούσης· ἤδη δὲ αὐτὴν

1 Thom. Mag. εὐθές, τὸ ἀληθὲς, παρὰ μόνῃ τῇ θείᾳ γραφῇ εὕρηται. 2 Par. σεμνότητα.

ἡ ὠδὶς καταλαβοῦσα, εἰς τὴν ἡμετέραν χώραν λῦσαί τὴν ζώνην· ἀνθ' ὧν νῦν ὁ ζωστὴρ ἀπὸ τοῦδε καλεῖται· [3] ἔπειτα εἰς Δῆλον διαβᾶσαν διδύμους τεκεῖν, Ἄρτεμίν τε καὶ Ἀπόλλω τοὺς θεούς· οὐ μὴν ὁ θεολόγος οὕτως, ἐπεὶ μηδ' ἀετὸς ὡς κάνθαρος, ἀλλ' εἰς τὸν ἀληθῆ θεὸν γράφων ἐγκώμιον ἐξομολογουμένης καὶ ἀμέσου ἤρξατο τῆς ἐννοίας κατὰ τὴν ἀποδεικτικὴν μέθοδον ἀναλογούσης γένει· θεὸς, λέγων, ἦν μὲν ἀεὶ καὶ ἔστι καὶ ἔσται, καὶ πανταχοῦ τοιαύταις ἐννοίαις ἐν τοῖς περὶ θεολογίας καταπλουτεῖ· εἶτα εἰς τὰς πράξεις χωρήσας πρῶτον μὲν ἐννοεῖ, φησὶ, τὰς ἀγγελικὰς δυνάμεις καὶ τὰ [3*] ἀκόλουθα· καὶ ὁ Μωϋσῆς· εἶπεν ὁ θεὸς, γενηθῇ τόδε, καὶ ἐγένετο τόδε, ὃν οὐ μόνον Χριστιανῶν ἐκθειάζουσιν, ἀλλὰ καὶ τῶν Ἑλλήνων οἱ ἄριστοι, Λογγῖνος, [4] καὶ ὁ ἐκ Φαληρέως Δημήτριος· παραδίδωσι δὲ καὶ ταύτας, οὐχ ὡς ἄν τις δόξειε μὴ συντελούσας, συντελοῦσι γὰρ αὗται μάλιστα τοῖς θεολόγοις, ἀλλ' ὅτι καθολικοὺς κανόνας παρατιθεὶς σπεύδει μηδὲν τῶν ἁρμοζόντων καὶ πιπτόντων εἰς τὰς μεθόδους παραλιπεῖν· οἷς ῥήτωρ ἐμπεσὼν, εἰ μὲν συντείνουσι πρὸς τὴν ὑπόθεσιν, κατὰ τὸ δυνατὸν χρήσαιτ' ἂν καὶ τοῖς ἀκούουσιν ἀπαγγέλλειν· εἰ δὲ μὴ, ἐάσῃ κεῖσθαι ἐν ἀδύτοις, ἵνα μὴ δοθῇ κυσὶ τὰ ἅγια, τοῖς ἀναξίοις δηλαδὴ λέγουσι καὶ ἀκούουσι, καὶ τοῦτ' ἂν ἴδοις τοὺς ἀποστόλους ποιοῦντας καὶ πάντας τοὺς ἁγίους, οἰκονομίας τρόπῳ καὶ τὸν θεολόγον αὐτόν· εἰ γὰρ ἐξῆν

---

3 Par. ἀπὸ τοῦ δεκατικοῦ. bene emendavit Ruhnk. hist. crit. Orat. Gr. p. LXX. 3* Par. τήν. scr. τά. 4 De Sublim. IX, 9. ταύτῃ καὶ ὁ τῶν Ἰουδαίων θεσμοθέτης, οὐχ ὁ τυχὼν ἀνὴρ, ἐπειδὴ τὴν τοῦ θείου δύναμιν κατὰ τὴν ἀξίαν ἐχώρησε κἀξέφηνεν, εὐθὺς ἐν τῇ εἰσβολῇ γράψας τῶν νόμων· „εἶπεν ὁ θεὸς," φησὶ, τί; γενέσθω φῶς, καὶ ἐγένετο· γενέσθω γῆ, καὶ ἐγένετο. Alios paganos auctores, qui Mosis meminere, laudat Hugo Grotius de ver. rel. christ. I. 16. p. 66. Apud nostrum Demetrium Phalereum nihil tale legitur.

πάντα λέγειν, εἶπεν ἂν τὴν κυριωτέραν αἰτίαν τῆς δευτέρας κοινωνίας, τῆς παρὰ τὴν προτέραν παραδοξοτέρας πολὺ, καὶ ἄλλας τοιαύτας, καὶ εἰ ἐξῆν πάντα ἀκούειν καὶ εἰδέναι τελέως, οὐκ ἂν ἐβλάβησαν τῶν καθ' ἡμᾶς οἱ εἶναι δοκοῦντες πρώτιστοι τῷ φάναι τὸν ἅγιον Βασίλειον καὶ καλῶς· ἐντεῦθεν δηλονότι τέλειον ἦν τὸ κυοφορούμενον, ὅτι μὴ, φησὶν, εἴρηται τὸ κτισθὲν, ἀλλὰ τὸ γέννηθὲν, ἀξίως τοῦ γεννηθέντος καὶ τῆς αὐτοῦ σοφίας εἰπὼν τὸ τέλειον· οὐδ' ἂν ἐπὶ τῷ θείῳ Χρυσοστόμῳ ῥηθέν· πῶς οὐχ ὅλην τὴν σάρκα ἀπὸ τῆς παρθένου, ἀλλὰ μέρος· ταῦτα γὰρ καὶ τὰ τοιαῦτα καλὰ μὲν καὶ ὄντως οὐράνια οὐ καλὰ καὶ τοῖς νηπιώδεσι καὶ σαρκικοῖς τὴν διάνοιαν· διὸ παραφυλαττόμεθα ἐπὶ τῶν τοιούτων, ἵνα μὴ πρὸς τὸ καταγελασθῆναι, ὃ ἔπαθον οἱ περὶ τὸν ὕμνον φιλονικήσαντες τὸν λέγοντα, ὡς ἄνθρωπος ὑπάρχω οὐσίᾳ, οὐ φαντασίᾳ, ὁ μὲν ἐκ τῆς θεότητος τὸν λόγον εἰρῆσθαι οἰόμενος, ὁ δὲ ἀπὸ τῆς ἀνθρωπότητος, ἀμαθῶς ἀμφότεροι, καὶ ἀσεβήσωμεν, οὕτω νοοῦντες, ὥσπερ Ἄρειος καὶ πᾶσα ἡ τῶν αἱρεσιαρχῶν ἀμαθία. Παρὰ μέντοι τοῖς ῥήτορσιν ἥκιστα, τοῖς ἁπλῶς ῥήτορσι; τοῖς δικαζομένοις, ἀλλ' οὐ σωφρόνως ὑπὲρ ἀληθείας διαλεγομένοις, ὡς ὁ θεολόγος ἐν τῷ περὶ υἱοῦ· ἐπείτοιγε τοῖς ὡς φιλοσόφοις ῥήτορσι καὶ διδασκάλοις πάνυ προσήκουσαι· πῶς γάρ τις ἐξεμέσει τὸ δυσσεβὲς, τί ποτέ ἐστι θεὸς μὴ μαθεῖν δυνάμενος, ἐπειδὴ οὐχ ὅλα τῆς θεολογίας κεκρύψεται, ἀλλ' ὅσα ὑπὲρ ἡμᾶς· ἄκουε γὰρ, φησὶν, υἱὸν, καὶ ὅτι ἐκ τοῦ πατρός· καὶ γέννησιν καὶ μηδὲν παρὰ ταῦτα περιεργάζου.

θ'. Τὰς μέντοι μετά-γε τὰς τοιαύτας· ὅταν περὶ ἀρετῶν ῥητορεύωσι, περὶ κινήσεως καὶ φύσεως τοῦ παντὸς, περὶ μεγάλων πράξεων, ἃς δὴ κατὰ μέρος ἐροῦμεν.

ι. Δεύτεραι δὲ μετ' ἐκείνας σεμναί. Περὶ ταῦτα ζητητέον πρῶτον εἰ ἔξεστι τοῖς ἡμετέροις ῥήτορσι

καὶ τὰς αἰτίας εἰπεῖν, καθά τισιν οὐ δοκεῖ· δεύτερον πότε καὶ πῶς. Ζητοῦσι τοίνυν καὶ οἱ ἡμέτεροι καὶ τὰς αἰτίας τῶν τοιούτων καὶ τὰς φύσεις· φύσεις μὲν, ὡς ἐν τούτῳ· οὐ γὰρ οὕτως οὔτε δευσοποιοῦ βαφῆς μεταλάβοι[5] ῥᾳδίως ὕφασμα, οὔτε δυσωδίας ἢ τοὐναντίον τὸ πλησιάσας· οὔτε τὸ καὶ τό· ὡς φιλεῖ τάχιστα τῆς κακίας τοῦ προεστῶτος ἀναπίμπλασθαι τὸ ὑπήκοον· καὶ ἡ ἐπίκρισις· καὶ πολλῷ γε ῥᾷον ἢ τοὐναντίον τῆς ἀρετῆς· ἰσχυρότερον γάρ ἐστιν ἡ φύσις τοῦ κακοῦ ἢ τοῦ ἀγαθοῦ, καὶ περὶ τῆς πλάσεως δὲ τοῦ ἀνθρώπου διηγούμενός φησι· παρὰ μὲν τῆς ὕλης λαβὼν τὸ σῶμα, παρ' ἑαυτοῦ δὲ ζωὴν ἐνθεὶς καὶ τὰ ἑξῆς· τοῦτο γὰρ ἡ φύσις τοῦ ἀνθρώπου· καὶ πάλιν· ἐπεὶ δέ ἐστιν ἀσώματον ἡμῖν τὸ θεῖον· εἶτα ὁ τόπος ἐν ταὐτῷ καὶ ἡ φύσις· πότερον οὐδαμοῦ τοῦτο ἢ ἔστιν ὅπου· εἰ γὰρ οὐδαμοῦ, πῶς ἂν καὶ εἴη; φήσει ἀμαθῶς τις, εἰ γὰρ τὸ μὴ ὂν οὐδαμοῦ, τὸ μηδαμοῦ τυχὸν οὐδὲ ὄν· φύσιν οὖν ἐξετάζειν πάντως καὶ ποῦ ἐστι κατὰ τὸ δοκοῦν τοῖς Ἀρειανοῖς· εἰ γὰρ πᾶσα φύσις ἐν τόπῳ, φασὶ, φύσις δὲ καὶ ὁ θεὸς, καὶ οὗτος ἐν τόπῳ, καὶ πῶς ἐν τόπῳ ὁ τοῦ τόπου δημιουργός; οὐκοῦν ὑπὲρ φύσιν· ὁρῶν δὲ φύσεις καὶ κτίσεως τὰς μὲν ἐν τῷ εἰς τὰ ἐγκαίνια καὶ πανταχοῦ, ἵνα μὴ μακρολογῶ, τὰ πάντα παρατιθείς· τὰς δὲ εἰς τὸν μέγαν θεολογικόν· τί δ' ἂν εἴποι τις ἀρετῶν κοσμιότητα καὶ φύσεως οἰκονομίαν καὶ τάξιν διεξερχόμενος, καὶ πρόνοιαν· νῦν μὲν κύκλος τίς ἐστιν, ἀδελφοὶ, τῶν ἀνθρωπίνων πραγμάτων, καὶ παιδεύει διὰ τῶν ἐναντίων ἡμᾶς, ὥσπερ συνεστήσατο[6] τὰ πάντα σοφῶς καὶ συνέδησεν· οὕτω σοφῶς τὸ πᾶν διεξάγων καὶ κυβερνῶν τοῖς ἀνεφίκτοις αὐτοῦ καὶ ἀνεξιχνιάστοις κρίμασι· νῦν δὲ κινεῖται μὲν οὕτως τὸ πᾶν περὶ τὸν ἀκίνητον, καὶ σαλεύεται λόγῳ μὲν οὐδαμῶς· ὁ γὰρ αὐτὸς ἐν πᾶσιν ἀκίνητος τοῖς καθ' ἑκάστην ἡμέραν ἀπαν-

5 Par. μεταλάβει. 6 Par. συνεστήσατε.

τῶσί τε καὶ συμπίπτουσι· ποίας δ' ἂν φύσεως οὐχ εὑρήσεις πράγματα ἐν τῇ μεταφορᾷ; ποίας ἐν τῷ περὶ φιλοπτωχίας, καὶ ἐν τῇ πληγῇ τῆς χαλάζης, καὶ ἐν τῷ ἀπολογητικῷ; φύσιν ψυχῆς καὶ σώματος, καὶ τὰς καταλλήλους δὲ ἰατρείας αὐτῶν καὶ συνεξετάσεις· αἰτίας δὲ τοῦ ἀλλ' ἔδει χεθῆναι τὸ ἀγαθὸν καὶ προοδεῦσαι, ὡς πλείονα εἶναι τὰ εὐεργετούμενα καὶ τὰ ἑξῆς· τοῦ κόσμου τὴν παραγωγὴν λέγει· ἔδει γάρ, φησὶ, προϋποστῆναι τὰ βασίλεια, καὶ οὕτως εἰσαχθῆναι τὸν βασιλεύοντα· ὡρῶν δὲ φύσεις καὶ ποταμῶν καὶ ζώων καὶ τῶν ἄλλων ἁπάντων εὕροις ἐν τοῖς ἑξαημέροις καὶ μάλα σαφεῖς καὶ πολλάς.[7]

ιά. Καὶ ὅτι ἐπικλύσει ἢ ὑπονοστήσει ὕδατος. Ἡ γῆ ἐπὶ τῶν ὑδάτων καθημένη ἢ εἰσελεύσει τῶν ὑδάτων καὶ πλημμύρᾳ σείεται, ὥς φασιν, ἢ ὑπονοστήσει ἀπὸ τόπου εἰς τόπον, ἢ ἀπὸ πνευμάτων ταραχῆς ζητούντων ἔξοδον.

ιβ. Ταῦτ' οὖν, ὅπερ ἔφην, εἰ μὲν οὕτως ἐξετάζοιτο. Πῶς οὕτως ὡς δεῖξαι τὴν φύσιν αὐτῶν καὶ μόνον καὶ τὰς αἰτίας εἰπεῖν, ὧν εἴπομεν τὰ πλείω δεῖξαι τὸν θεολόγον, ἐπὶ τῷ εἰδέναι, ὡς προνοίᾳ κινεῖται τὰ πάντα, οὐ γὰρ δέονται οἱ συνετοὶ τῶν ἀκαίρων, ἀλλ' ἠθῶν κατόρθωσιν διδασκαλίας καὶ φόβου τοῦ πρὸς θεόν, εἰ μέντοι κατὰ ἔκφρασιν αὐτῶν ὥσπερ ἐν τῷ εἰς τὸ πάσχα, καὶ ἰδοὺ ἀνὴρ ἐπιβεβηκὼς ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ καὶ τὰ ἑξῆς· εἰ γὰρ ἐπ' ἐκκλησίας λέγονται, δῆλον ὡς πολιτικά· καὶ πάλιν, στεφανόν τε χρηστότητος εὐλογούμενον καὶ πανταχόθεν ἴσον ἑαυτοῦ καὶ ἄρτιον· φύσεως τοῦτο· περὶ γὰρ τοῦ κυρίου ὁ λόγος· οὐ μόνον δέ, ἀλλὰ καὶ ὡς ζωογονῶν τὸν τῶν ἀρετῶν κύκλον ἠπίως, συγκιρνάμενα νόμῳ φιλίας καὶ τάξεως· οὐ μὴν ἀλλὰ καὶ ἡ τοῦ ναοῦ ἔκφρασις ἐν τῷ εἰς τὸν αὐτοῦ πατέρα τῶν τοιούτων εἰσίν.

---

7 Sequitur ex Vol. VII, p. 957, litt. δ'.

ιγ'. Ὡς ὁ Ἀριστείδης ἀντιλέγων. Νόμος ἦν Ἀθηναίοις, τοὺς ἐν πολέμῳ ἀποθνήσκοντας θάπτειν τοὺς στρατηγοὺς, ᾧ ἂν δυνηθῶσι τρόπῳ. Ναυμαχίας τοίνυν γενομένης ἐν Λέσβῳ, ᾗ ἐστι Μιτυλήνη, καταναυμαχησάμενοι [8] οἱ δέκα αὐτῶν στρατηγοὶ, (τοσούτους γὰρ ἐχειροτόνουν νόμων κελεύσει), Καλλικρατίδαν τὸν Λακεδαιμόνιον οὐκ ἐδυνήθησαν τῆς θαλάσσης ταραχθείσης ἀνελέσθαι καὶ τοὺς νεκρούς· διὸ κατηγορήσαντος αὐτῶν Καλλιξένου μιᾷ ψήφῳ πάντες ἀνῃρέθησαν· ὕστερον δὲ μετανοησάντων τῶν δυναστῶν, συνανῃρέθη καὶ ὁ Καλλίξενος· μελετᾷ οὖν τὴν στάσιν Ἀριστείδης ὁ Σμυρναῖος ὕστερος γεγονὼς σχεδὸν ἔτεσι τριακοσίοις πεντήκοντα, ἢ καὶ πλείοσιν, ἑαυτὸν γυμνάζων, ὡς ἔθος ῥήτορσιν ἐν ταῖς μελέταις, καὶ λέγει ταῦτα· σκηπτὸς ἦν, ὦ Καλλίξενε, σκηπτὸς δέ ἐστι πῦρ ἐξ ἀστραπῆς καταβαῖνον καὶ κατακαῖον, οἷς ἂν ἐπισκήπτῃ. Ἑλλησποντίας δὲ ὁ ἀπὸ τοῦ πόντου πνέων ἄνεμος· τὸ δὲ λαμπρὸς ἢ ἀντὶ τοῦ σφοδρὸς ἢ ἀντὶ τοῦ μέγας· καὶ τάχα σφοδρὸς θέλει ἡ γραφή· τὸ γὰρ λαμπρὸς ἐπὶ τῶν ἀγαθῶν καὶ ἐπαινουμένων τέτακται, εἰ μὴ εἴη εἰρωνεία· ἀλλ' ἔχει τοῦτό που καὶ ὁ θεολόγος ἐπὶ τοῦ τοιούτου· ἔχει δὲ ἐκφράσεις πολλὰς ἐν τῷ πρώτῳ στηλιτευτικῷ, ὧν καὶ αὕτη μία ἐνταῦθα· τί μὲν ἀπῆν τῶν δεινῶν, τί δὲ οὐκ ἐπενοεῖτο βαρύτερον; περὶ τοῦ μάρτυρος Μάρκου τοῦ Ἐρεθουσίων ἐπισκόπου λέγει ταῦτα· ἤγετο [9] γέρων ἱερεὺς ἀθλητὴς, ἐθελοντὴς καὶ τὰ ἑξῆς ἅπαντα ἐκφραστικὰς σελίδας τέσσαρας περιέχοντα. [10]

ιδ'. Τρίτη δὲ σεμνότητος ἐννοιῶν τάξις· καὶ ταύτην τὴν ἔννοιαν ἔχει ὁ θεολόγος ἔν τε τῷ περὶ βαπτίσματος καὶ ἐν τῷ περὶ φιλοπτωχίας, ὅταν τὰς ἀρετὰς ἀπαριθμεῖται.

---

8 Par. καταναυμαχησάμενοι. 9 Par. ἤγετε. 10 Sequitur ex Vol. VII. p. 957. not. 11.

ιέ. Περὶ ψυχῆς ὅτι ἀθάνατος. Πείθομαι σοφῶν λόγοις, ὅτι ψυχὴ πᾶσα καλή τε καὶ θεοφιλὴς, ἐπειδὰν τοῦ συνδεδεμένου λυθῇ σώματος, ἐνθένδε ἀπαλλαγῇ, εὐθὺς μὲν ἐν συναισθήσει καὶ θεωρίᾳ τοῦ μένοντος αὐτὴν καλοῦ γενομένη, ἅτε τοῦ ἐπισκοτοῦντος ἀνακαθαρθέντος θαυμασίαν τινὰ ἡδονὴν ἥδεται καὶ ἀγάλλεται, καὶ ἵλεως χωρεῖ πρὸς τὸν ἑαυτῆς δεσπότην, ὥσπερ τι δεσμωτήριον [11] χαλεπὸν τὸν ἐνταῦθα βίον ἀπολιποῦσα. Εἴησαν δ' ἂν καὶ λαμπρότητος διὰ τὴν ποιότητα καὶ τὰ ἀκόλουθα· περὶ βαπτίσματος δὲ διέλθοι τὸν αὐτοῦ λόγον· καὶ περὶ ἀρετῶν τὸν περὶ φιλοπτωχίας γινώσκεις.

ις'. Ἡ περὶ τοῦ βίου παντός. Ἡμῖν δὲ περὶ ζωῆς καὶ θανάτου βραχέα φιλοσοφήσας καὶ τῆς κατὰ σῶμα καὶ ψυχὴν συζυγίας καὶ διαζεύξεως καὶ τῶν δύο κόσμων τοῦ μὲν παρόντος καὶ οὐχ ἑστῶτος, καὶ τοῦ νοουμένου καὶ μέλλοντος καὶ πείσας τοῦ μὲν περιφρονεῖν τὸ ἀπατηλόν τε καὶ ἄστατον καὶ ἀνώμαλον, καὶ ὥσπερ ἐν κύμασιν ἄνω καὶ κάτω φέρον τε καὶ φερόμενον, τοῦ δὲ προστίθεσθαι τῷ παγίῳ καὶ σταθηρῷ καὶ θεοειδεῖ καὶ ὡσαύτως ἔχοντι, καὶ πάσης ἐλευθέρῳ ταραχῆς καὶ συγχύσεως, καὶ ἀλλαχοῦ, βίος ὅλος ἀνθρώπου ἡμέρα μία τοῖς πόθῳ κάμνουσι· σοφία πρώτη, σοφίας ὑπερορᾷν τῆς ἐν λόγῳ κειμένης καὶ στροφαῖς λέξεων. ἃ δὴ φύσει μέν ἐστι θεῖα. θεῖα καὶ ἐπιστῆμαι, οἷον γραμματικὴ καὶ αἱ ἄλλαι τέχναι καὶ πᾶν ἀγαθὸν, εἴτε κατὰ ἀλήθειαν, εἴτε κατὰ τὸ μέσον, ὡς πενία, πλοῦτος, καὶ εἰ μὴ πρὸς εἰδότα ἔλεγον, πάντων ἂν τὰς ἀποδείξεις ἐκ τοῦ θεολόγου παρέθηκα· ἐν δὲ τῷ ἀπολογητικῷ δείκνυσι, τί τέ ἐστιν ἱερωσύνη, καὶ τί ἰατρική.

ιζ. Πάντα ὅσα ἐν τῷ καθόλου καὶ γενικῶς λέγεται. Καθόλου καὶ γενικῶς λέγει τὰ κατὰ γνώμην, εἴτουν γνωμικῶς προϊόντα καὶ πολλὰ προσώπων καὶ

11 Par. δεσμώτερον.

πραγμάτων περιεκτικά, ὡς τό· πᾶς [12] ἄνθρωπος δολίως πορεύεται, καὶ οὐδὲν οὕτως ἡδὺ τοῖς ἀνθρώποις, ὡς τὸ λαλεῖν [13] τὰ ἀλλότρια· καθόλου γὰρ καὶ γενικὰ ταῦτά ἐστιν. Γένος μὲν γὰρ λέγεται, οἷον τὸ ζῶον· πολλὰ γὰρ ζῶα σημαίνει ἡ λέξις· τὸ αὐτὸ δὲ καὶ καθόλου ταῦτα, φησὶν, αὐτὰ καθ᾽ ἑαυτὰ λεγόμενα, σεμνὰς ἐννοίας ποιεῖ μόνοις φιλοσόφοις ἁρμοδίας· ἐδείχθη δὲ, ὅτι καὶ πολιτικοῖς φιλοσόφοις.

κή. Εἰ γὰρ προσλάβῃ τὸ κατ᾽ εἶδος, ἄλλο τι ποιεῖ. Περιβολὴν γὰρ πάντως καὶ οὐ σεμνότητα· οἷον τὸ αὐτὸ ζῶον θνητὸν καὶ ἀθάνατον· τὸ μὲν ζῶον γένος, τὸ δὲ θνητὸν καὶ ἀθάνατον εἴδη διάφορα, καὶ ποιοῦσι τὸν λόγον περιβεβλημένον, ἀπὸ τοῦ καθόλου εἰς τὸ μερικὸν μεταβαίνοντα· λάβε καὶ λογοειδὲς παράδειγμα· οἷον πᾶσα μὲν οὖν ἀλήθεια καὶ πᾶς λόγος δυστέκμαρτος καὶ δυσθεώρητος, ὁ δὲ περὶ θεοῦ λόγος, ὅσῳ τελεώτερος, τοσούτῳ καὶ δυσεφικτότερος· γένος μὲν ὁ λόγος· πολλοὶ γὰρ λόγοι τῆς ἀληθείας· εἶδος δὲ καὶ μέρος ὁ περὶ θεοῦ, ὥσπερ καὶ τὸ ζῶον· εἴδη δὲ ἄνθρωπος καὶ ἵππος, καὶ πάλιν, πῶς τὸ αὐτὸ ζῶον θνητὸν καὶ ἀθάνατον; τὸ μὲν ζῶον γένος, τὸ δὲ θνητὸν καὶ ἀθάνατον εἴδη διάφορα, καὶ ποιοῦσι τὸν λόγον περιβεβλημένον ἀπὸ τοῦ καθόλου εἰς τὸ μερικὸν μεταβαίνοντα, ὥσπερ τὸ πονηρὸν γένος· τὸ δὲ συκοφάντης εἶδος καὶ τὸ κίναδος. [14] ἐκ τούτων γὰρ ὁ πολιτικὸς λόγος.

ιθ΄. Τετάρτην γε μὴν σεμνότητος ἔχουσιν ἔννοιαι δύναμιν αἱ τῶν ἀνθρώπων πράξεις μεγάλαι οὖσαι καὶ σεμναί. Τοιαύτας ἔχει ὁ συντακτήριος ἅπας, ἐξαιρέτως δὲ ἐν τῇ ἐργασίᾳ τοῦ ἀντιστατικοῦ· ἣν ὅτε τὸ ποίμνιον τοῦτο μικρόν τε καὶ εὐτελὲς ἦν, καὶ ἡνίκα ἢ τὰς ἑαυτοῦ πράξεις ἐπαίρει ὁ ἅγιος ἢ ἄλλων ἁγίων, ὡς ἐν τοῖς ἐπιταφίοις καὶ ἐγκωμίοις·

12 Par. πᾶν. 13 Par. λαλῆ. 14 Par. κίναιδος. scr. κίναδος.

τούτων αἱ ἔννοιαι τῆς τετάρτης εἰσὶν ἐννοίας τῆς σεμνότητος· συναγαγὼν τοὺς λιμοῦ τραυματίας καὶ τὰ ἑπόμενα.

κ'. Οἷον τῆς ἐν Μαραθῶνι μάχης. Ἐν Μαραθῶνι ἐνίκησαν Ἀθηναῖοι μόνοι Πέρσας, Μιλτιάδου στρατηγοῦντος καὶ ἀπέκτειναν αὐτῶν εἴκοσι μυριάδας, οἱ δέ φασιν ἐννέα.

κα'. Ἢ τῆς ἐν Πλαταιαῖς ἢ τῆς ἐν Σαλαμῖνι. Ἡνίκα Ξέρξης διώρυξε τὸ ἀκρωτήριον τῆς θαλάσσης τοῦ Ἑλλησπόντου, ὅτε ἐγεφύρωσεν αὐτόν· τοιαῦταί εἰσιν αἱ τοῦ Μωσέως πράξεις καὶ τοῦ Ἰησοῦ, ἢ κατὰ τῶν Αἰγυπτίων καὶ τῶν τριάκοντα δύο ἐθνῶν. Καὶ ὁ θεολόγος, τί μοι πρὸς τοῦτο τὸ ἔργον αἱ ἑπτάπυλοι Θῆβαι καὶ τὰ ἑξῆς, ἃ παρέθηκε διὰ τὸ ἀσκητήριον, ὃ ἔκτισε καὶ τοὺς παρθενῶνας καὶ τὰ γηροκομεῖα [15] ὁ μέγας Βασίλειος.

Ἐκ γὰρ τοῦ καθόλου. Τὰ καθολικῶς, φησὶ, καὶ γενικῶς λεγόμενα σεμνὰς ποιεῖ τὰς ἐννοίας, καὶ μάλιστα, ὅταν μὴ τελευτήσῃ εἰς τὰ μερικά· προσλαβὼν γὰρ τὸ κατ' εἶδος ἄλλο τι ποιήσεις τὸν λόγον· περιβεβλημένος γὰρ ὁ τοιοῦτος οὐ μὴν σεμνὸς γίνεται ὁ λόγος.

κβ'. Εἰ δέ τι ταύταις καὶ μυθικὸν ὡς παρὰ Ἡροδότῳ. Φησὶν ὁ Ἡρόδοτος, ὡς ἐν ναυμαχίᾳ πρὸς Σαλαμῖνι γενομένῃ, ὁ Ἴακχος, ὅς ἐστι Διόνυσος, καὶ ὁ Πὰν ἐφάνησαν κεκαλυμμένοι διὰ τὸν ἥλιον ταῖς ἀσπίσι, καὶ τοῦτο μῦθον, φησὶν, ἔχει μετὰ τῆς σεμνότητος καὶ γλυκύτητος. ἡμεῖς δὲ οὐ τοιαύταις ἐννοίαις ἡδόμεθα, ἀλλὰ ταῖς ἀληθέσιν, οἷαί εἰσιν αἱ κατὰ τὴν Ἱεριχὼ πράξεις Ἰησοῦ καὶ αἱ παραπλήσιαι· αἱ γάρ τοι τῶν ἐν Αἰγύπτῳ θαυμάτων καὶ τῇ θαλάσσῃ καὶ τῇ πέτρᾳ καὶ τὰ τοιαῦτα τῆς δευτέρας εἰσὶν ἐννοίας· αἱ δὲ τῆς Ἱεριχὼ καὶ τῶν ἄλλων τετάρτης· εἰ γὰρ καὶ μετὰ θείας δυνάμεως ἐγένοντο, ἀλλ' ὑπ' ἀνθρώπων τὸ πλέον, οἷον ἐννοῶ δὲ καὶ τὰς ἑπτὰ σάλπιγγας Ἰησοῦ τοῦ Ναυῆ καὶ περιόδους

---

15 Par. γηρωκομεῖα.

τοσαύτας καὶ ἡμέρας καὶ ἱερέας, ἐξ ὧν τὰ Ἱεριχούντεια τείχη· ὡς δὲ καὶ τὴν ἑβδόμην ἀναστροφὴν καὶ τὰ παραπλήσια, ἃ ἐνταῦθα μὲν λεγόμενα σεμνά εἰσιν· ἐκεῖσε δὲ καὶ γλυκύτητος ἔχουσί τι, ὡς ἐροῦμεν, ὅτι αἱ ἱστορικαὶ γλυκύτητα ποιοῦσι, πλέον δὲ ὅμως σεμναί.

Περὶ μεθόδου σεμνῆς.

κγ'. *Μέθοδοι δὲ σεμναὶ αἱ κατὰ ἀπόφασιν καὶ χωρὶς ἐνδοιασμοῦ.* Ἕτερον ἀπόφανσις καὶ ἕτερον ἀπόφασις καὶ κατάφασις· ἀπόφανσις μὲν οὖν λόγος καταφατικὸς ἢ ἀποφατικὸς περὶ τοῦ ὑπάρχειν τί τινι ἢ μὴ ὑπάρχειν· ὑπάρχει μὲν, οἷον ὁ Πέτρος δίκαιός ἐστιν· ὑπάρχει γὰρ αὐτοῦ τὸ δίκαιον· περὶ δὲ τοῦ μὴ ὑπάρχειν, οἷον ὁ Ἰούδας δίκαιος οὐκ ἔστιν· οὐχ ὑπάρχει, φησὶ, τῷ Ἰούδᾳ τὸ δίκαιον. Ἀμφότεραι οὖν αἱ προτάσεις ἀποφάνσεις λέγονται ἀπὸ τοῦ γένους· ὥσπερ ζῶον ὁ βοῦς καὶ ὁ ἵππος ἀπὸ τοῦ γένους αὐτῶν τοῦ ζώου διὰ τὸ καταφαίνεσθαί τι κατά τινος ἢ ἀποφαίνεσθαι· ἔχουσι δέ τι καὶ ἴδιον ὄνομα τὸ τὴν μὲν λέγεσθαι κατάφασιν, τὴν δὲ ἀπόφασιν, ὥστε αἱ τῆς σεμνότητος μέθοδοι ἀποφαντικαὶ γίνονται, ὅταν ὁ λέγων μετὰ πεποιθήσεως καὶ βεβαιώσεως ἀποφαίνηται καὶ οὐκ ἐνδοιάζων· οἷον, οἶμαι, ἢ τυχὸν ἤ τι τοιοῦτον· ἀποφανεῖ δέ τις οὐκ ἐνδοιάζων· ἀποφαντικῶς μὲν, οἷον πᾶς ἀδικῶν ἕτοιμος εἰς ἀπολογίαν· καὶ πάλιν, πᾶς γὰρ ὁ λυπῶν κακόδοξος, καὶ πάλιν, ὁ θεὸς ἁπλῆ ἐστιν ἀμέριστος καὶ ἀσώματος οὐσία, τὸ ἁπλοῦν καὶ ἀμέριστον ἔχων ἐκ φύσεως· καὶ πάλιν· θεὸς ἦν μὲν ἀεὶ καὶ ἔστι καὶ ἔσται· καὶ σοφία πρώτη,[16] σοφίας ὑπερορᾶν· καὶ ὅσων ἔθηκα παραδείγματα καὶ τὰ ὅμοια· ἀποφατικαὶ καταφάσεις καὶ μέθοδοι· ἐοίκασι γὰρ ὁρισμοῖς· ἀποφατικαὶ δέ· οὐδὲν οὕτως ἡδὺ τοῖς ἀνθρώποις, ὡς τὸ λαλεῖν τὰ ἀλλότρια καὶ οὐδὲν ἰσχυρότερον

16 Par. πρώτης.

γήρως, καὶ οὐδὲν φιλίας αἰδεσιμώτερον, καὶ ἐπ' οὐδενὸς οὖν τῶν ἁπάντων οὐκ ἔστι, καὶ ὅσα τοιαῦτα· ἡ γὰρ ἀφήγησις τῆς καθαρότητος, εἰ μὲν προσλάβῃ τὴν ἀπόφασιν, μένει καθαρότης μετὰ τοῦ σεμνοῦ· εἰ δ' ἄλλο τι προσλάβῃ, σεμνὴν ποιεῖ τὴν μέθοδον μόνον· ὥστε τὸ πᾶσα ψυχὴ καλή τε καὶ θεοφιλὴς, ἣν εἴπομεν ἀφήγησιν ἐν τῇ καθαρότητι, οὐκ ἔστι καθαρὰ, ἀλλὰ τοῦ σεμνοῦ· τὸ δὲ ἀποσκῶσαν κόσμου, θεῷ προσάγουσαν, φωτὶ χαίρουσαν, θῆρας ἐλαύνουσαν, μάνδρας συνάγουσαν, κρημνοὺς φυλασσομένην καὶ ἐρημίας, ταῦτα καθαρότητος· περιγράφουσι γὰρ τὰς ἐννοίας, ὡς σύντομα τὰ κῶλα· ἔχουσι δέ τι καὶ κάλλους διὰ τὰς παρισώσεις, καὶ γὰρ συγγενὲς καθαρότητι κάλλος· τὰ γὰρ καθαρὰ τῶν πραγμάτων καὶ εὐειδῆ. Καὶ μετ' ἀξιώματος, ἀλλ' οὐκ ἐνδοιάζοντας, ἤγουν πεποιθότως καὶ μετὰ φρονήματος. Τῆς διαρκοῦς σεμνότητος, τῆς καθαρᾶς καὶ καθ' ἑαυτὴν καὶ μὴ συμπλεκομένης ἑτέραις, ἀλλ' ἀρκούσης πρὸς τὸν λόγον. Πλέον ἔχει τοῦ πολιτικοῦ. Πολιτικὸν [17] μὲν γὰρ τὸ μὴ περὶ τῶν θείων εἰδέναι σαφῶς προσποιεῖσθαι, φιλοσοφίας γὰρ ἴδιον τὸ τοιοῦτον· πιθανὸν δὲ καὶ ἠθικὸν τὸ μὴ ἀποφαίνεσθαι, ἀλλ' ἐνδοιάζειν, περὶ ὧν οὐκ ἀνάγκη τοὺς ῥήτορας εἰδέναι. ἄλλῆς δέ τινος ἐννοίας, ἥτις ἐστὶν ἐναντία τῷ μεγέθει. [18]

κδ'. Ὅτε τούτου φροντίζομεν. Ἐὰν φροντίζῃς, φησὶν, ἀκραιφνοῦς σεμνότητος, [19] μήτε ἐνδοιάσῃς μήτε ἀπορητίσεις· ἤθους γὰρ ταῦτα, ἃ προϊὼν διδάξει· ἐνδοιασμοῦ μὲν, ὡς τὸ, οἶμαι γὰρ, εἴ τις ἐγένετο ἢ γενήσεται σάλπιγξ· καίτοι γὰρ σεμνὴ οὖσα ἡ ἔννοια διὰ τὴν ἐνδοίασιν εἰς ἦθος μετέπεσεν· ἀπορηματικοῦ δὲ, εἴτε νοερὰ πνεύματα, εἴτε πῦρ, οἷον ἄϋλον καὶ ἀσώματον, εἴτε

---

17 Πολιτικὸν — — ῥήτορας εἰδέναι est etiam in Vol. VII. *l.* vide Vol. V. p. 483. v. 10 — 14. 18 Sequitur ex Vol. VII. p. 962. litt. *id.* 19 Par. σεμνότητα.

τίνα φύσιν ἄλλην· καὶ πάλιν, οὐκ οἶδα δὲ, εἰς ὅ τι ἂν ἄλλο χρησαίμην τοῖς λόγοις μὴ νῦν χρησάμενος· οὐκ εἴασαν γὰρ αἱ ἀπορίαι καθαρὰν τὴν τῆς σεμνότητος εἶναι μέθοδον· ἀλλὰ καὶ ὁ σύνδεσμος, ὁ εἴτις ἐγένετο ἢ γενήσεται, διστακτικός ἐστι, καὶ ὁ διαζευκτικὸς ὁμοίως, οἷον. ἡ ἄνοδος ἢ ἀνάβασις, ἢ τύπωσις τοῦ ἡγεμονικοῦ· σεμνὰ γὰρ ὄντα ταῦτα πάντα οὐκ ἔμεινε σεμνὰ διὰ τὴν ἐνδοίασιν· οὐκοῦν εἰ βιασθεῖεν αἱ σεμναὶ τῆς ἑαυτῶν φύσεως κατενεχθῆναι, ἀπώλεσαν τὸ εἶναι σεμναί.

κέ. Καὶ μὴν καὶ ἀλληγορικαὶ μέθοδοι· Ἀλληγορία ἐστὶ λόγος δι' ἑτέρας ἐννοίας ἑτέραν αἰνιττόμενος, ὅταν αὐτάρκης ἐστὶ καὶ σώζῃ τρανῶς τὸ κρυπτόμενον· ὁ Ζεὺς γὰρ τὸν ἥλιον σημαίνει, πτηνὴν δὲ τὴν ταχυτῆτα· καὶ ὡς τό· ἔστι τι μύθῳ φυτὸν, ὃ θάλλει τεμνόμενον. Πρᾶγμα μέντοι κατὰ ἀλήθειαν οὐκ ἔστιν· εἰ γὰρ μῦθός ἐστι λόγος ψευδὴς εἰκονίζων ἀλήθειαν, εὔδηλον, ὅτι αὐτὸ καθ' ἑαυτὸ οὐδέν τι σημαίνει· ἐμφαίνει δὲ, ὡς ὁ μέγας τὸν εὐσεβείᾳ καρτερικὸν ἐν τοῖς δεινοῖς· φλυαροῦσι τοίνυν οἱ σπεύδοντες τοῦτον τὸν μῦθον δεῖξαι ἐπὶ πράγματος προηγουμένου, τυχὸν ἐπὶ τριχῶν, ἢ ἀμπέλου ἢ δάφνης ἢ τῶν τοιούτων· ταῦτα γὰρ καὶ τὰ τοιαῦτα ἀληθινὰ πράγματά εἰσι καὶ οὐ μῦθοι. Ἀλληγορικὸν δὲ τὸ, ἂν Σίμων ᾖς Κυραναῖος, ἂν Ἰωσὴφ, ἂν Νικόδημος μετὰ τῶν ἀποδόσεων, καὶ ἐὰν Ἡρώδῃ προσαχθῇς, μηδ' ἀποκριθῇς τὰ πλείω. Σημαίνει δὲ τὴν εἰς ἡδονὰς κινοῦσαν τὸν λογισμὸν ἐπιθυμίαν τὸ, Ἡρώδης, καὶ τὸ, ἂν εἰς Αἴγυπτον φεύγῃς, καὶ τὰ ὅμοια. Αὗταί εἰσι καὶ τοιαῦται αἱ διαρκεῖς ἀλληγορίαι, αἵτινες οὐχ ἃ βούλονται καὶ ἐμφαίνουσιν, ἀλλὰ κρύπτουσαι τὸ φαινόμενον δεικνύουσιν ἕτερον, οὐ κανθάρων [20] καὶ βατράχων εἰς τὸν οὐρανὸν ἀναβαινόντων, ὡς ὁ Ἀριστοφάνης· ἐκεῖναι μὲν γὰρ γελώντων, αἱ δὲ τοιαῦται τῶν θαυμαζόντων.

---

20 Par. καθάρων. — Arist. Pac. 154. sqq.

κς΄. Εἰ μὴ ἑκὼν τις διὰ τῶν εὐζώνων. Ταπεινῶν, εὐτελῶν, εὐπετῶν· κυρίως δὲ τὸ εὔζωνον κεῖται ἐπὶ ἀνδρῶν τῶν μὴ πολλὰ σκεύη ἐπιφερομένων, μηδὲ πολλοὺς ἑπομένους ἐχόντων, ὡς καὶ ὁ συγγραφεὺς φησιν· ἀνδρὶ εὐζώνῳ ἡμερῶν δέκα ὁδὸς, καὶ αὐτὸς δὲ τὸ εὐτελῶν ἐπενεγκὼν ἐπεξηγεῖται τὴν λέξιν. Εὐτελεῖς δὲ ἀλληγορίαι εἰσὶν, οἷον ὡς ὁ Ἀριστοφάνης ἐν τῷ δράματι τῇ Εἰρήνῃ διαπλάττει τὴν ἄνοδον τοῦ κανθάρου πρὸς τὸν Δία τῆς εἰρήνης ἕνεκα, καὶ πάλιν παρὰ Πλάτωνι ἐν συμποσίῳ ὁ αὐτὸς κωμικώτερον πεποίηται τοὺς περὶ ἔρωτας λόγους διεξιὼν, καὶ τὴν σύζευξιν τοῦ ἄῤῥενος καὶ τοῦ θήλεος.

κζ΄. Καὶ εὐτελῶν τινος ἀλληγοροίη. Ἐμφαντικαὶ λέξεις εἰσὶν, ἃς προὐθέμην ἄνω που, καὶ αἱ τοιαῖται· ἔγνω ὁ Ἀδὰμ τὴν γυναῖκα αὐτοῦ Εὔαν· ἀλληγορία γάρ ἐστι καὶ ἡ ἔμφασις ἕτερον ἀνθ᾽ ἑτέρου σημαίνουσα. ἐμφάσεις δέ τινας σημαίνουσι καὶ αἱ ἀντιφράσεις· καὶ ζητητέον, τίσι διαφέρει τῶν ἀντιφράσεων· μήποτε οὖν αὗται ἤθους εἰσί· σχεδὸν γὰρ εἰρωνεῖαί εἰσι καὶ εὐφημισμοὶ, ὡς πολὺ βλέπων ὁ τυφλὸς καὶ τὰ ὅμοια· αἱ μὲν γὰρ ἀλληγορίαι καὶ ἐμφάσεις λέγονται· νοῦν γὰρ ἔχουσι πολύν· αἱ δὲ ἐμφάσεις οὐκ ἀλληγορίαι· ἀσέμνου γὰρ λέξεως τῆς καὶ φορτικῆς ἔννοιαν ἐμφαίνουσι διὰ τῆς σεμνῆς καὶ ἀλύπου· οἷον καὶ προστίθησι τῷ ἀψύχῳ ναῷ τὸν ἔμψυχον, εἶτα φεύγων τὸ φορτικὸν τὸν κρείττονα τοῦ ἀψύχου τὸν ὁποιονοῦν καὶ ἡλίκον εἶπεν, εἶτα ἔδωκεν ἔμφασιν οὗ ἔμελλεν εἰπεῖν, καὶ αὐτόν φησιν ἱδρῶσι καὶ πόνοις πολλοῖς συντελεσθέντα· αἱ γὰρ ἐμφάσεις, ὡς ἐν ταῖς εὑρέσεσι μεμαθήκαμεν, ἢ ἀπὸ στιγμῶν νοοῦνται, ὡς τό· καὶ τοῦ μοιχοῦ λαβόμενος ἐβόων, πάτερ, πάτερ, εἰ γὰρ στίξεις εἰς τὸ ἐβόων, διέλυσε τὴν ἔμφασιν, ἢ ἀπὸ τοῦ πράγματος, ἢ μετὰ τὸ πρᾶγμα· οἷον καὶ ἀνῆγον τὸ παιδίον Ἰησοῦν τοῦ περιτεμεῖν αὐτὸν, καὶ σιγήσας τὴν πρᾶξιν τὸ μετ᾽ αὐτὴν ἐπάγει· καὶ ἐκλήθη τὸ

ὄνομα αὐτοῦ Ἰησοῦς· ἢ ἕτερον ἀνθ' ἑτέρου λέγεται, ὡς τό· πολεμούμεθα ἀντὶ τοῦ φθονούμεθα, καὶ μυρία ταῦτα παρὰ τῷ θεολόγῳ· ἴδια ταῦτα καὶ ἀντιφράσεως, ὡς ἔφην, καὶ μεταλήψεως· ἀλλ' ἐκεῖναι μὲν περὶ μίαν λέξιν γίνονται, ἡ δὲ μετάληψις κατὰ ἀντονομασίαν γίνεται, συγγένειαν ἔχουσα κατὰ τὴν ἐνέργειαν· ὡς τὸν παχὺν εἴποι τις ὀξύν· εἰσὶ δὲ τὰ τοιαῦτα καὶ δεινότητος τὸ σεμνὸν ἔχουσαι ἀπὸ τῆς μεθόδου· τὴν δὲ ἔννοιαν βαθεῖαν οὖσαν ἀπὸ τῶν πραγμάτων· ἑρμηνεύει δὲ ἀλληγορίας οἷον φυτῶν ἀθανάτων γεωργὸν, θείων ἐννοιῶν ἴσως, καὶ πάλιν, καὶ τοὺς δερματίνους ἀμφιέννυται χιτῶνας· εἶτα ἡ ἑρμηνεία κατὰ ἦθος· ἴσως τὴν παχυτέραν σάρκα· ἴσως δὲ εἶπεν οὐκ ἀγνοῶν, ἀλλὰ πολιτικὸν τὸν λόγον ἀπεργαζόμενος· τὸ γὰρ ἀποφαντικῶς λέγειν ἧττον πολιτικόν· εἰ βούλει δὲ τὸ ἴσως λάβε ἀντὶ τοῦ πάντως, βεβαίως, καὶ σώσεις τὴν ἔννοιαν.

κή. Οὐκέτι σεμνόν. Ἐν ταὐτῷ δὲ καὶ εἰς τὸ πρὸς τὸ τέλος ῥητὸν τὸ λέγον· οὐκέτι ἐμφάσεις σεμνότητος,[21] ἑτέρου δέ τινος ἐργαστικαί· δεινότητα εἴπομεν εἶναι ταῦτα· παραδηλοῦνται δὲ αἱ ἐμφάσεις διὰ τῆς ἀποσιωπήσεως· ἢ γὰρ νοοῦνται, ἢ χάριν αὐξήσεως τοῦ ὑπονοουμένου κατὰ ἀποσιώπησιν ὁλόκληροι γινόμεναι δι' αὐτῆς ἐμφαίνουσι μέγα εἶναι τὸ γεγονός· οἷον τὰ γὰρ ἔσω τοῦ νυμφῶνος εἰσιοῦσιν αὐτὰ δείξει· περὶ τῆς βασιλείας τῶν οὐρανῶν λέγων οὕτω πως· οὐ γὰρ φέρω καλῶς τὸ ῥητόν, ἢ διὰ τὸ φορτικὸν σιωπᾷ· ἐγὼ γὰρ ἔπαθον τοῦτο, ὦ[22] ἄνδρες, καὶ οὐδὲν ἧττον ἐμφαίνει τὸ, οὔτε ὡς ἀπαίδευτος καὶ ἀσύνετος· ἔμελλε γὰρ ἐρεῖν, ἀλλὰ μᾶλλον πεπαιδευμένος· καὶ διὰ τὸ φορτικὸν ἀποφυγὼν διὰ τῆς ἀποσιωπήσεως τοῦτο ἐνέφηνεν· ἢ μέγα ἢ φοβερὸν τὸ πρᾶγμα σιωπᾶται μὲν, ἐμφαίνεται δὲ, ὡς τό· καὶ ἡ λαμπρότης ἐντεῦθεν, καὶ τὸ δύσφημον σιωπήσομαι· τὸ δέ ἐστι πο-

21 Par. σεμνότητα. 22 Par. ὁ.

ρεύεσθαι ἀπ' ἐμοῦ· ἢ βλάσφημον ὂν καὶ ἀσελγὲς δεδιὼς ὁ ῥήτωρ, μὴ καὶ τὴν γλῶσσαν μιάνῃ, καταλιμπάνει τοῦτο· οἷον ἢ καὶ Σαμαρείτην ἀποκαλεῖς, καὶ τὸ ἑξῆς σιωπήσομαι· θέλει γὰρ εἰπεῖν, ὅτι καὶ δαιμονᾷς καὶ τὸ βλάσφημον ἀποφεύγει. Διὰ ταῦτα ἡ παντελὴς ἀποσιώπησις γίνεται· ἐμφαίνεται δὲ διὰ τῆς μεθόδου τῆς ἐγκαταλειπτικῆς, τουτέστι τῆς σιωπῆς, ἐῶ τοῦτο, ἑτέροις ἀφίημι, καί εἰσιν, ὡς εἴπομεν, μεθόδου δεινότητος.

κθ'. Τὸ ὄντως ὄν. Τὸ ἀεὶ σωζόμενον, ὡς τὰ νοητὰ καὶ κατὰ ταὐτὰ καὶ ὡσαύτως ἔχοντα, ἃ καὶ πρὸς πάντας λέγειν φησὶν, ὡς ἐν Τιμαίῳ ὁ Πλάτων, ἀδύνατον.

Περὶ λέξεως σεμνῆς.

λ'. Λέξις δὲ σεμνή. Καὶ ἡ λέξις οἷον πάντως εἶναι δεῖ τῇ σεμνότητι·[23] εἰ γὰρ τὰ σεμνὰ τὴν ἄμετρον κίνησιν ἀποτρέπονται, τήν τε ἄγαν καὶ τὴν ἐσχάτως βραδεῖαν, εἰκότως καὶ τὴν λέξιν ἔμμεσον δεῖ ἔχειν· ὥσπερ γὰρ αἱ δι' ὅλων μακρῶν ἀργὸν τὸν λόγον ποιοῦσι καὶ δυσκίνητον, οὕτως αἱ δι' ὅλων βραχειῶν τοῦ δέοντος γοργότερον. Τοῦ μὲν προτέρου παράδειγμα·

Τῷ δ' ἐς Μεσσήνην[24] ξυμβλήτην ἀλλήλοιϊν.

Ἐμιμήσατο γὰρ ὁ ποιητὴς τὴν ἐκ τῆς ὁδοιπορίας δυσκινησίαν διὰ τῶν ἐπαλλήλων ῥυθμῶν. Τοῦ δὲ δευτέρου·

Ἕκτωρ ἦφι[25] βίηφι πιθήσας ὤλεσε λαόν.

Ἀλλότρια γὰρ ἑκάτερα τῷ σεμνῷ, τὸ μὲν διὰ τὴν ἄμετρον ἀργίαν, τὸ δὲ διὰ τὴν σπουδήν· τὰ δὲ μέσως ἔχοντα τῶν λέξεων ὀνόματα πάνυ σεμνά. Ἀθανάσιον ἐπαινῶν ἀρετὴν ἐπαινέσομαι. Προσφυὴς τῷ πράγματι ἡ συνθήκη τῶν λέξεων διὰ μακρῶν καὶ βραχειῶν συγκειμένη·

διογ-

---

23 Par. σεμνότητα. 24 Par. Μεσήνην. Od. φ, 15. 25 Par. ἶφι. Il. χ, 107.

διογκοῖ δὲ κατὰ τὴν προφορὰν τὸ στόμα τὸ η καὶ τὸ ω καὶ τὸ α· πλείονας γὰρ περιέχουσι χρόνους· καὶ ἐμβραδύνουσι τῇ προφορᾷ, τὰ μὲν πλατύνοντα τὸ στόμα ἄνω καὶ κάτω, τὸ α καὶ τὸ ω. τὸ δὲ ἐπὶ τὰ πλάγια τὸ η· τοῦ μὲν α παράδειγμα, ἀναστάσεως, ἀναστάσεως ἡμέρα· τοῦ δὲ η, καὶ ἡ ἀρχὴ δεξιά· τοῦ δὲ ω, τοῦτό σοι τῶν μακρῶν δρόμων καὶ πόνων, καὶ ὄντως ἔσοπτρον [26] ἀκηλίδωτον θεοῦ καὶ τῶν θείων.

λά. Στομφάζειν ἐστὶ τὸ κομπάζειν καὶ ἀλαζονεύεσθαι ἐκ τοῦ στομοκομπάζειν ἢ στομοβάζειν ἢ στομφάζειν τὸ σομφῶδες καὶ σκληρὸν βάζειν καὶ φράζειν· ἢ τὸ αἱμωδιᾷν λέγεται στομφάζειν, οἱονεὶ στομοσκάζειν, καὶ στομφάζειν ἀπὸ τοῦ ὄμφακος στομοφακίζειν, καὶ στομφάζειν· τραχεῖα γάρ ἐστιν ἡ λέξις καὶ τῇ ἀκοῇ καὶ τῇ γλώττῃ· εὕρημα τοῦ Ἀριστοφάνους ἡ λέξις, κωμῳδοῦντος Αἰσχύλον ὡς τραχύν· φροντίζων γὰρ ὁ ποιητὴς μεγέθους καὶ οὐκ ἐπιτυγχάνων εἰς τραχύτητα περιπίπτει, διὸ καὶ σ[illegible]ων Ἀριστοφάνης ἐν τοῖς Βατράχοις, [27] ψόφου πλέων,[28] [illegible]ξύστατον, ἀντὶ τοῦ ἄξυστον καὶ ἀκαλλές· στόμφακα, κρημνοποιὸν, ὡς φαντασίας ἐχόντων κρημνωδῶν καὶ φραγμωδῶν, ὡς κἂν τῷ Ἀγαμέμνονι·

Γυναικὸς ἀνδρόβουλον [29] ἐλπίζων κέαρ.

ἡ γὰρ λέξις σκληρὰ, καὶ ὁ ἦχος πάντων τοιοῦτος, φαίνεται δὲ ἡ ἀτοπία τοῦ ποιητοῦ μᾶλλον ἐν τῷ τῆς Ὠρειθυίας [30] δράματι, ὅπου ταῖς δυσὶ σιαγόσι φυσῶν ὁ Βορέας κυκᾷ τὴν θάλασσαν, οὐ γὰρ φέρω ἐπὶ μνήμης τὰ ἰαμβικὰ ἐπιλαθόμενος· διὸ καὶ Σοφοκλῆς μιμεῖται· λέγει δὲ περὶ τούτων Λογγῖνος ἀκριβέστερον ἐν τῷ κά τῶν [31] φιλολόγων.

λβ. Ὁ γὰρ Θεόκριτος ἀχθόμενόν τινα. Ὁ

---

26 Par. ἔσωπτρον. 27 Imo Nub. 1367. 28 Par. πλέον (ω suprascr.) et στομφακοκρημνοποιοί. 29 Par. ἀνδρόβολον. Aesch. Agam. 11. 30. Par. Ὠρειθρίας. 31 Par. τῶν περὶ φίλου λόγων.

Θεόκριτος ποιητής ἐστιν ἐκ Συῤῥακουσῶν τῆς Σικελίας, ὃς Δωρικὸς ὢν πολλῷ χρῆται τῷ α· τοιοῦτοι γὰρ οἱ Δωριεῖς· ἐν γὰρ Ἀδωνιαζούσαις τῷ δράματι δύο γυναῖκας εἰσάγει δωριζούσας, λεγούσας πρὸς ἑαυτάς·

Θᾶσαι Πραξινόα, θᾶσαι φίλα,

καὶ γραιᾶν ἀποτίλματα [31*] πηρᾶν, ἀντὶ τοῦ πηρῶν.

λγ'. Μάλιστα δὲ τὰ στοιχεῖα τὸ ω καὶ τὸ α. Διονύσιος ὁ Ἁλικαρνασσεὺς πολλὴν λεπτολογίαν ποιούμενος ἐν τῷ περὶ συνθέσεως ὀνομάτων διαιρεῖ τὰ φωνήεντα ἐν μέρει, καὶ τῶν συμφώνων τὰ μὲν εἰς ἄφωνα, [32] τὰ δὲ εἰς ἡμίφωνα, καὶ τὰ τοιαῦτα, ὡς καὶ ἐν τῇ καθαρότητι εἴπομεν, καὶ ἐξὸν τὸ βιβλίον διελθόντι τὴν τερατολογίαν γνῶναι τῆς ἀκαίρου πολυπραγμοσύνης· τοιοῦτον καὶ μᾶλλον ἀκριβέστερον καὶ Φαραὼ, τὸν πικρὸν δεσπότην, καὶ τοὺς πικροὺς ἐργοδότας καὶ, ἣν ὅτε τὸ ποίμνιον τοῦτο μικρόν τε καὶ εὐτελὲς ἦν· καὶ ἡ ἐπιδιόρθωσις αὕτη, μᾶλλον δὲ τὰ νέα τιμάσθω δι' ἐγκαινίων, καὶ παρίτω μετὰ τῆς κιθάρας Ὀρφεὺς, καὶ ἄλλα μύρια κρείττονα τῶν παρατεθέντων· πάντα γὰρ σεμνὰ καὶ ἀξιωματικά. [33]

λε'. Σεσηρέναι τὸ ὑποχαίνειν· ὃ κατὰ τὴν συνήθη λέγεται ἀπετζιγηρωκέναι, ὃ λέγεται τῶν χειλέων μικρὸν ἀνοιχθέντων, [34] τῶν δὲ ὀδόντων μικρότερον.

λϛ'. Καὶ μὴν καὶ αἱ τροπικαὶ λέξεις. Σεμνάς φησι καὶ τὰς τροπικὰς, αἵ τινές εἰσιν ἀπό τινος τῶν πρωτοτύπων εἰς ἕτερον μετατιθέμεναι, ὡς παρὰ τῷ θεολόγῳ· προβαλώμεθα τὴν ἀγαθὴν ἐλπίδα· τὸ γὰρ προβάλλεσθαι ἐπὶ ἀσπίδος καὶ στρατιωτῶν λέγεται· καὶ ὡς τὸ διδόναι κατὰ καιρὸν ἑκάστῳ τὸ σιτομέτριον. τὸ γὰρ σιτομέτριον ἐπὶ κριθῆς εἴρηται καὶ σίτου· λόγος δὲ καὶ

31* Par. ἀποτίλλεται. Theocr. XV. 19. ἀποτίλματα. 32 Par. ἄμφωνα. 33 Sequitur ex Vol. VII. p. 971. κη. 34 Par. ἀνοιγέντων.

διδασκαλία οὐ σιτομετρεῖται, εἴρηται δὲ ὅμως ἐπὶ τῆς ἀξίας ὥσπερ διανομῆς τῶν θεολογικῶν λόγων καὶ τῶν ἄλλων δογμάτων, τῶν τε ἀκουόντων καὶ τῆς περὶ ταῦτα προνοίας καὶ οἰκονομίας τοῦ διδάσκοντος· καὶ πάλιν μὴ φαινώμεθα τῆς θαυμασίας ἀρετῆς κἀκοὶ ζωγράφοι· τοῦτο μὲν κύριον τοῖς τὰς εἰκόνας γράφουσιν· ὁ δὲ εἶπεν ἐπὶ τῶν ἀκατάλληλον ἐχόντων τὸν λόγον τῷ βίῳ, πλὴν πάντων μᾶλλον ἁρμόδιος ἡ μεταφορὰ, καὶ μηδὲ φαινομένη τροπὴ διὰ τὸ ἐξισάζειν τοῖς πράγμασιν.[35]

λθ'. *Αἱ δὲ πόλεις ἐνόσουν.* Ἀλλότριον τὸ ἐνόσουν τῶν πόλεων κατὰ τὸν πρῶτον λόγον, εἰ μὴ ἄρα κατὰ μετωνυμίαν, ὡς ἀπὸ τῶν περιεχόντων τὰ περιεχόμενα· νοσεῖ γὰρ ἡ πόλις οὐ καθ' ἑαυτὴν, ἀλλὰ διὰ τοὺς ἐνοικοῦντας, ὅπερ εἰκότως ἐστὶ τραχὺ, καὶ διὰ τοῦτο καὶ ἑρμηνείας ἐδεήθη· τὸ δὲ *δωροδοκούντων* ἀντὶ τοῦ δῶρα λαμβανόντων ὑπὸ Φιλίππου· οἱ τὰ κοινὰ πράττοντες καὶ διαφθειρόμενοι, ὅθεν ἀσθενεῖς ποιοῦσι τὰς πόλεις, καὶ μὴ δύνασθαι τὴν ἀρχαίαν αὐτῶν δόξαν ἀναλαμβάνειν, ὥσπερ τὸ *ἐκνενευρισμένοι.* Σκληρὰς εἴπομεν λέξεις τὰς ἐχούσας τὸ ρ καὶ τὸ ο παράλληλα καὶ τὸ π καὶ τὸ τ· σκληρύνουσι γὰρ τὴν ἀκοὴν, καὶ ἡ γλῶσσα προσπταίει· τὰ μὲν γὰρ ὡς τὰ ἀνωτέρω τραχύνουσι καὶ τραχέα φαίνονται τῇ τε διανοίᾳ καὶ ταῖς αἰσθήσεσι διὰ τὸ ἄμεσον τῶν ὑποκειμένων· νόσος γὰρ ἐπ' ἀψύχων οὐδεμίαν ἔχει κοινωνίαν λεγομένη· τὸ δὲ ἐκνενευρισμένοι οὐ μόνον τραχὺ κατ' ἔννοιαν, ἐπὶ βοῶν γὰρ λέγεται τεμνομένων τὸν τένοντα τοῦ σπονδύλου,[36] ἀλλὰ καὶ κατὰ λέξιν σκληρὸν, ἐκ τῶν δύο τὸ ἀνοίκειον ἔχον.

μ'. *Καὶ τὸ πεπρακὼς ἑαυτόν.* Μετριώτερον τοῦτο τοῦ προτέρου· πωλοῦσι γὰρ ἑαυτοὺς οἱ προδόται

---

35 Sequitur ex Vol. VII. p. 972. litt. λ'. et λά. 36 Par. σπονδήλου. cfr. p. 155. v. 22.

τοῖς μισθουμένοις ἐπὶ τὸ πράττειν ἐκείνοις τὰ συμφέροντα.

μα΄. Καὶ τὸ λωποδυτῶν τοιοῦτον· οὐκ ἀπὸ τῆς τῶν συμφώνων δὲ συμπλοκῆς, ἀλλ' ἀπὸ τῆς ἀμέσου τροπῆς· λωποδύται γὰρ οἱ ὁδοστάται λέγονται· τοιοῦτον δ' εἶναί φησι τὸν Φίλιππον, κλέπτοντα τοὺς τῶν πόλεων δυνατούς· τῶν τοιούτων δ' οὐκ ἔχω παράδειγμα θεολογικὸν, ὅτι μηδ' ἔστι τῷ ἁγίῳ· οὕτως αὐτῷ μέλει [36] τῆς ἀκριβείας· εἰ δέ τις φήσειε τὸ μετεγκεντρισθῆναι τῆς ἀγριελαίου εἰς τὸ καλλιέλαιον, ἴστω τὴν φράσιν ἀποστολικὴν καὶ ἀποδοκιμάζεσθαι δυσσεβές.

μβ΄. Περαιτέρω δὲ τούτων εἰ προέλθοιεν. Περαιτέρω δὲ τούτων εἰ προαχθείη καὶ παχύτερον καὶ σχεδὸν εὐτελέστερον· τὸ παχύτερον ἐπὶ τοῦ ἀνοήτου λαμβάνεται, ὥσπερ τὸ λεπτότερον ἐπὶ τῶν ἀκριβῶν καὶ βαθέων· παχύτερον γὰρ τὸ πῖον καὶ ὑῶδες καὶ ὄντως ἀγροικικόν.

μγ΄. Ὑποξύλοις σοφισταῖς. Τοῖς δοκοῦσιν εἶναι χρυσοῖς ἢ ἀργυροῖς, διὰ τὴν τῶν λόγων ἔξωθεν μὲν ἐπιφάνειαν, ἔνδοθεν δὲ ὡς ἀληθῶς οὖσι ξύλοις, διανοίας εὐτελεῖς κρύπτουσιν ὡς ξύλινον σκεῦος, χρυσὸς διὰ τῶν εὐπρεπῶν εἶναι δοκουσῶν λέξεων· ἄλλως ὑπόξυλα κυρίως τὰ ἀγάλματα, ἔξωθεν μὲν ὑπόχαλκα καὶ χρυσᾶ, ἔσωθεν δὲ ξυλοκατασκεύαστα· τούτοις οὖν ἐοίκασιν οἱ δοκοῦντες λέγειν σεμνὰ, μὴ ὂν δὲ τοιοῦτον διὰ τὴν ὑπερβολὴν τῆς ψυχρότητος τῆς τροπῆς.

μδ΄. Τάφους ἐμψύχους. Ἐπειδὴ τὰ σώματα τῶν ζώων ἀναλίσκουσι, τάφους ἐμψύχους [37] αὐτοὺς ὀνομάζουσι καὶ τὰ πλοῖα φαλακραίας κόρας.

με΄. Ἐκτραχηλίζουσι. Τροπικὴ καὶ αὕτη ἐπὶ τῶν ἀποπιπτόντων λεγομένη τῶν ἵππων· καὶ μικροῦ ὁ ἵππος τὸν κέλητα ἐξετραχήλισε, Ξενοφῶν· [38] ἢ ἁπλῶς καταβα-

36 Par. μέλλει. 37 Ad Gorgiam refert Longin. de subl.

λῶν, ἢ ἀπὸ τοῦ τραχήλου, ἢ τὸν τράχηλον συντρίψας· ἔχουσι γὰρ ταῦτα οὐ μόνον κωμικοὶ, ἀλλὰ καὶ τραγικοὶ, ὡς Ἀριστοφάνης τὸν οὐρανὸν λέγων κρίβανον, ἡμᾶς δ' ἄνθρακας.[39] Ἄδειαν γὰρ ἔχουσιν οἱ ποιηταὶ τὰ τοιαῦτα λέγειν, ὡς Εὐριπίδης·

— — — ἔσπειρ' ὄφεως ἐν γαίᾳ θέρος.

περὶ ὀδόντων λέγων, καὶ Πίνδαρος[31] ἔρημον τὸν αἰθέρα διὰ τὸ μὴ τρέφειν ζῶα· καὶ πῦρ καῖον τὸν χρυσόν· πλὴν Ὁμήρου τάχα· οὗτος γὰρ τοῖς πράγμασι κατάλληλα πλάττει καὶ τὰ ὀνόματα· τάχα δέ τις ἐρεῖ καὶ τὸ, ἡνίκα εἶδον δενδρουμένην τὴν θάλασσαν, αὐτῷ πρὸς Αἰγυπτίους κείμενον τοιοῦτον εἶναι ὑπόψυχρόν τε καὶ ταῖς ἀκοαῖς οὐ φορητὸν, ὅτι πρῶτον μὲν, ὡς οὐ δένδρα θάλαττα κατὰ τὴν ἐπιφάνειαν φύει· δεύτερον, εἰ καὶ φύει κατά τινας, ἀλλ' ἀκίνητα πάντα καὶ ἀμετάβατα· ἀλλ' ἴστω ὁ τοιοῦτος, ὡς ἐσφαλμένη ἐστὶν ἡ λέξις· οὐ γὰρ δενδρουμένην ἔγραψεν ὁ τοσοῦτος νοῦς, ἀλλὰ πτερουμένην· πτεροῦται γὰρ τοῖς ἱστίοις ἡ θάλασσα· τῷ ὄντι γὰρ μικροῦ τὴν τῶν ὀρνέων φύσιν ὑπερνικῶσι τὰ τῶν πλοίων ἱστία, καὶ τοῦθ' οὕτως ἔχει τεχνικὸν καὶ ἐμφαντικὸν καὶ θεολογικῷ τῷ ὄντι πρέπον νοΐ· θάτερον δὲ Αἰλιανοῦ τινος ἐν τῷ περὶ δαιμόνων προνοίας γράφοντος ἐπὶ τῆς ἀληθείας ἀνατροπῇ καὶ Σμυρναίου Πολέμωνος, οἳ βαθιστείσας πόλεις λέγουσι συγχορεύειν ταῖς Μούσαις· ἔτι τε φιλοστοργίου τοῦ κροκοδείλου καὶ τῶν ὁμοίων, ἃ πολλοὶ καὶ τῶν ἐν δόξῃ ῥητόρων περὶ πολλοῦ ποιοῦνται καὶ περιέπουσι· πίθηκοι πιθηκίδας κατὰ τὴν παροιμίαν.

μϛ'. *Εἰς τὸ δέον ἀναβεβλήσθω.* Εἰς τὸ περὶ χαρακτήρων πάντ' ἐρεῖ τἄλλα καὶ περὶ τούτων τῶν ῥητόρων· λέξει δὲ καὶ, πῶς θεραπεύονται τὰ τοιαῦτα ἐν τοῖς περὶ τραχύτητος, ὅτι λεῖα γίνεται, ἢ διὰ τοῦ δοκεῖ

Sect. III. §. 2. 38 Cyrop. I. 4, 8. 39 Par. ἄνθαρκας. Ar. Nub. 96. 40 Eur. Bacch. 1025. 41 Ol. I. 10. XIII. 126.

μαι, ἢ διὰ τοῦ, ὡς κατὰ παραβολὴν, καὶ δι᾽ ἄλλων τινῶν· ὑπὲρ μέντοι τῶν τοιούτων ῥητόρων, φήσει, ποίαν τις εὔλογον ἀπολογίαν εἴπῃ; ὅπου καὶ ποιητῶν οἱ τοῖς τοιούτοις χρησάμενοι ἐξεβλήθησαν ἂν, εἰ μὴ νόμον εἶχον τὴν ποίησιν· διὸ καὶ τούτων οἱ τὰς τοιαύτας ψυχρολογίας παρακρουσάμενοι εὐδοκίμησαν, ὧν πρῶτος Εὐριπίδης· τὰς γὰρ τραχείας καὶ σφοδρὰς ἐννοίας περικαλύψας λέξεσιν ἁπαλαῖς καὶ ἠπίαις, ὥσπερ τὴν ἀνωτέρω ῥηθεῖσαν, ὑπήγαγε τό· ὁ [42] τὸ θέατρον πληρώσας, ὥς φησιν, ἡδονῆς.

μζ΄. Ἥ τε ὀνομαστικὴ καὶ αὐτὰ τὰ ὀνόματα. Ὀνομαστικὰς λέγει τὰς ῥηματικὰς, ὡς ἀπὸ ῥημάτων παρηγμένας ὀνομάσας, καὶ μήποτε ἄρα θέλον ῥηματικὸν ὑπὸ τῶν ἀντιγράφων διέσφαλται· οἷον, ὢ καλῶς ἀπὸ τῶν παθῶν εἰρηνεύσασα, καὶ τὸν ὀφειλόμενον τοῖς ἀγαπητοῖς ὕπνον ἀπολαβοῦσα, ἀντὶ τοῦ, ὡς ὠφείλετο λαβεῖν ἐσπουδάσας, καὶ πάλιν· δύο γὰρ ὡς τὰ πολλὰ μαχομένων ἀλλήλοις καὶ ἀντικαθισταμένων ἀντὶ τοῦ· δύο μάχεται καὶ ἀντικαθίσταται· καὶ τὰ ἑξῆς σαφῆ, καὶ γὰρ αἱ μετοχαὶ καὶ αἱ ἀντωνυμίαι ὀνόματά εἰσι μετοχῶν, ὡς τὰ προῤῥηθέντα ἀντωνυμίαι· καὶ τούτων ὡς τοῦ λουτροῦ σφᾶς οὐ παραδεχομένου καὶ αὐτὸν προστησαμένου θεόν.

μη΄. Ὥσπερ ὁ Θουκυδίδης· λέγει γὰρ ὁ Θουκυδίδης ταῦτα, τοῦ μὲν τολμᾷν τόλμα, τοῦ μέλειν μέλησις, τοῦ προμηθεῖσθαι προμηθὴς, φιλῶ φίλημα, ποιῶ ποίησις καὶ τὰ ὅμοια.

μθ΄. Εἰ δέ τι ἐν τούτοις καὶ σκληρότητος ἢ τραχύτητος. Τραχεῖαι μὲν αἱ πλέον τετραμμέναι, σκληραὶ δὲ αἱ ἀτόπῳ τῇ μεταφορᾷ χρησάμεναι· τὸ γὰρ προσώποις μόνον ἁρμόδιον· φιλέταιρος γὰρ κύριον ἀδελφοῦ [43] εὐμενοῦς· πεζαίτερος τάξεως στρατιωτικῆς, ἀλλ᾽ οὐχὶ πράγματα ἢ διάθεσις· φιλεταῖρος καὶ τὸ ἀλόγιστον καὶ

42 Par. οἱ. 43 Par. ἀδελφέ.

τὸ προμηθής· ὁμοίως προσώπων· σκληρὰ δὲ διὰ τὴν ἐπαλληλίαν τῶν συμφώνων τοῦ δ καὶ ρ καὶ π· ἐπιτηδεύων γὰρ ὁ Θουκυδίδης μεγέθους ἀντιλαμβάνεσθαι, εἶτα μὴ ἀφικνούμενος διαῤῥίπτεται εἰς τὰ τοιαῦτα.

ν. Ἑτέρου λόγου· τοῦ περὶ Θουκυδίδου χαρακτῆρος.

νά. Ῥηθέν τε ὁμοῦ καὶ θεωρηθέν. Ῥηθὲν μὲν διὰ τὸ μάλα σεμνῶς ὀνομάζων, περὶ τοῦ Αἰσχίνου λέγων, θεωρηθὲν δὲ νοηθέν· ὡς αἱ ἀντὶ ῥημάτων σεμναί εἰσιν, ἀπὸ γὰρ τοῦ οἰκειῶ, ἢ ὅτι αὐτὸς πρῶτος τὰς τοιαύτας ὠνόμασεν· ἡ δὲ ἱστορία τοιαύτη ἐστί. Τὸν Φίλιππον ἐδεδίεσαν οἱ Ἀθηναῖοι ὄντα ἐπίβουλον καὶ ἐχθρόν. ὡς οὖν ἔμαθον γενόμενον ἐντὸς Πυλῶν, αἳ νῦν σκέλος λέγονται, διεθορυβήθησαν, οἰηθέντες κατ' αὐτῶν ἔρχεσθαι ἢ κατὰ Φωκέων τῶν σφίσι συμμάχων: ἦσαν δὲ οὗτοι μετὰ τὴν Βοιωτίαν τὸν Παρνασσὸν οἰκοῦντες, καὶ τοὺς περὶ τὴν διαύλειαν τόπους, τριάκοντα δύο πόλεις ἔχοντες, ὧν μέμνηται καὶ Ὅμηρος, Πυλῶν μητρόπολιν Ὄλυνθον· θορυβηθέντας δὲ κατέστειλεν Αἰσχίνης, μετὰ πολλῶν καὶ ταῦτα δημηγορήσας: καὶ ἀκούσεσθε, ὦ ἄνδρες Ἀθηναῖοι, δυεῖν ἢ τριῶν ἡμερῶν, οἷς μὲν ἐχθρὸς ἥκει Φίλιππος, φίλον γεγενημένον, τοῖς Ἀθηναίοις δηλονότι· οἷς δὲ φίλος ἐχθρὸν, τοῖς Θηβαίοις: εἶτα τὸ ἐνθύμημα· οὐ γὰρ τὰ ῥήματα τὰς οἰκειότητας ἔφη βεβαιοῦν, ὁ Φίλιππος δηλονότι, ἀλλὰ τὰ πράγματα· ῥήματα μὲν τὸ φίλος καὶ ἐχθρὸς, καθολικαὶ λέξεις· πράγματα δὲ ἡ ἀπὸ τούτων ἔκβασις, καὶ τὸ συμφέρον· συμφέρει δὲ Φίλιππον καὶ ἡμῖν καὶ Φωκεῦσι τῆς ἀναλγησίας καὶ βαρύτητος Θηβαίων ἀπαλλαγῆναι· ὥστε ἀντὶ τοῦ, τάδε Φίλιππον εἰπεῖν τὰ ῥήματα, εἶπεν, ἀντὶ δὲ τοῦ, οἰκείως ἔχει πρὸς ἡμᾶς, οἰκειότητα φήσας, καθότι καὶ ἀπὸ ἐπιῤῥημάτων γίνονται λέξεις σεμναὶ, ὡς ἀπὸ τοῦ κάλλους καλῶς, καὶ ἀπὸ τοῦ πὺξ πυγμή· καὶ βοτρυδὸν βότρυς, καὶ

τῶν ὁμοίων. Ταῦτα μὲν τῷ τηνικαῦτα Αἰσχίνης Τιμάρχου κατηγορήσας πεπορνευμένου καὶ παρὰ [44] τοὺς νόμους πολιτευομένου, ἀντικατηγοροῦσιν ἀλλήλων προδοσίας· ὧν μνησθεὶς Δημοσθένης, δεινὸς ἄνθρωπος καὶ πάντα παρατηρούμενος, λαμβάνει τὰς χρήσεις εἰς σημεῖον τοῦ δωροδοκῆσαι Αἰσχίνην, καὶ ἀκριβῶς μὲν εἰδότα κατὰ Φωκέων ἔρχεσθαι Φίλιππον ἀπὸ τῆς πρεσβείας, ἧς πρὸς Φίλιππον ἐπρέσβευσε· παρακρουσάμενον δὲ Ἀθηναίους διὰ τῶν ῥηθέντων, ὥστε μὴ παραυτίκα συμμαχῆσαι Φωκεῦσι· γνοίη δ᾽ ἄν τις ταῦτα ἐκ τοῦ ὑπὲρ στεφάνου, καί που καὶ τοῦ κατὰ Κτησιφῶντος Αἰσχίνου καὶ μὴν καὶ τῆς ἐπιστολῆς Φιλίππου.

Περὶ σχημάτων σεμνῶν.

Ποῖά εἰσι τὰ ὀρθὰ σχήματα. Εἴρηται μὲν ἐν τῇ καθαρότητι, ὅτι αἱ εὐθεῖαι μὲν ἐπὶ ὀνομάτων καὶ μετοχῶν καὶ ἀντωνυμιῶν πρώτων προσώπων δὲ ἐπὶ τῶν ὀνομάτων· καὶ μὴν καὶ αἱ ἐπικρίσεις· ἐπίκρισιςδέ ἐστι μόριον λόγου ἢ σχῆμα διανοίας ἐπικρῖνον καὶ βεβαιοῦν τὸ πρᾶγμα γινόμενον ἢ διὰ ἐπιτατικοῦ ἐπιρρήματος ἢ μεσότητος ἢ ἀμφότερα, ἢ διὰ ῥήματος ἀποφαντικοῦ καὶ ἐπικριτικοῦ, ὡς τὸ δεῖ, χρή, καὶ τὰ ἐναντία· οὐ δεῖ, οὐ χρὴ καὶ εἴ τι ὅμοιον· ἐπιτατικῇ δὲ, ὡς τὸ μάλιστα μὲν οὖν, καὶ πάνυ μὲν οὖν· μεσότητος δὲ, ὡς τὸ καλῶς καὶ δικαίως, ἢ οὐ καλῶς ἴσως οὐδὲ δικαίως· αὕτη δὲ καὶ ἐνδοιασμὸν ἔχει· ἀμφοτέρων δὲ, ὡς ἐμαυτὸν πείθω, καὶ λίαν ὀρθῶς· ῥήματι ὡς τὸ, πολλοῦ γε καὶ δεῖ, καὶ εἶεν, ὃ καὶ οὐκ εὐκτικὸν, ὡς ὑπέλαβόν τινες, μιᾷ λέξει κρινόμενον· γίνονται δὲ διὰ τῶν ὀνομάτων, ὡς τὸ καλὸν, μήτε ἁμαρτάνοντα μηθ᾽ ὑπονοούμενον, καὶ ἁπλῶς ὅσα ἐπιβεβαιοῦσι τὸ λεγόμενον· ἐπικρίσεις θέσεων· ἀλλαχοῦ δὲ ποιότητας πράγματα ἐρεῖ αὐτάς.

---

44 Par. περί.

νγ'. *Εἴτε ἔννοιαί τινές εἰσιν εἴτε σχήματα*· ἀπεδείχθη ἐν τοῖς περὶ μεθόδου λόγοις, ὡς τὰ σχήματα τῆς διανοίας μεθόδους εἶναι λέγειν [1] τὸν τεχνικὸν, ὧν καὶ ἡ ἐπίκρισις· εἰσὶ δὲ αὗται καὶ τῇ ἐννοίᾳ καὶ τῇ λέξει πάνυ σεμναὶ, καὶ δόξαν παρέχουσι καὶ ἀξίωμα διὰ τὸ ἀνενδοίαστον τῷ λέγοντι ὡς εἰδότι καλῶς ἐπικρίνειν τὰ πρόσφορα.

νδ'. *Λόγῳ δὲ δεῖ τὸ λεῖπον*. Ἐκ τοῦ Μενεξένου· λόγος δὲ οὗτος τοῦ Πλάτωνος, ἐν ᾧ εἰσάγει τὸν Σωκράτην πρὸς Μενέξενον ἐπιτάφιον ἐκ προσώπου Ἀσπασίας τῶν ἐν Λεχαίῳ ἀποθανόντων Ἀθηναίων, βοηθούντων Κορινθίοις, οὓς καὶ Λυσίας λόγοις ἐτίμησεν· ἔστι δὲ τοῦτο λιμὴν Κορινθίων, βόρειος καλούμενος.

νέ. *Καὶ χρή*. Τὸ χρὴ τοῦτο ἐπίκρισίς ἐστιν· ἀλλὰ μήποτε κακῶς λέγουσιν εἶναι σχῆμα τὴν ἐπίκρισιν λέξεως· εἰ γὰρ ἀφέλωμεν τὰς ἐπικριτικὰς λέξεις, φθείρεται τὸ σχῆμα, ἆρ' οὖν καὶ ἡ ἔννοια, καθά φασί τινες· οὔ μοι δοκεῖ, καὶ δεκτέον τοῦτο διὰ τῆς μεταποιήσεως· ἂν γὰρ δι' ἄλλων τινῶν ἡ αὐτὴ ἔννοια ἐξαγγελθῇ, οὐδὲν ἧττον ἡ ἐπίκρισις σώζεται· εἰ γὰρ εἴπω, οὕτως πρέπον ἐστὶν, ὦ Μενέξενε, τιμῆσαι τοὺς ὑπὲρ τῆς πατρίδος ἀποθανόντας τοῖς λόγοις, ἐπειδήπερ αὐτοὺς αὐτοὶ τοῖς ἔργοις τετιμήκασι· τοῦτο γὰρ γέρας ἐστὶ τῶν ἀγαθῶν ἀνδρῶν· θέασαι τοίνυν, ὡς ἐφύλαξα τὴν ἔννοιαν τὴν αὐτὴν καὶ διὰ τοῦ περιοδικοῦ σχήματος ἐπέκρινα πάντως τὸ πρέπον ἀντὶ τοῦ χρὴ τεθεικώς· ἀλλ' ἴδωμεν καὶ ἐπὶ τῆς λίαν καλῶς ἐπικρίσεως, εἰ τὸ αὐτὸ γενήσεται· ἔχω μὲν οὕτω περὶ τούτων καὶ ὡς ἐμαυτὸν πείθω, καὶ τοῖς ἐνδόξοις ἡ τοιαύτη κρίσις ἀρέσκουσα· πάλιν ἐνταῦθα ἔφθαρται τὸ σχῆμα τῆς λέξεως, ἡ δὲ μέθοδος οὔ· καὶ μάτην ἐρίζει τις μὴ εἶναι μέθοδον ἐννοίας· οὐκοῦν ὅσα ἐπικριτικὰ καὶ βεβαιότητες διανοίας, ἐπικρίσεις ἂν λέ-

---

1 Par. λέγον. — v. 11. Par. Λεχυίῳ.

γοιντο εἰκότως, κἂν πως ἑτέρως ἐξαγγελθεῖεν, ὥσπερ καὶ τό· οὕτως ἔχει ὅσα καὶ τοῦ αὐτοῦ εἴδη, καὶ καλῶς φησιν ὁ τεχνικὸς, ὡς ἀκριβέστερον τὴν τῶν λόγων φύσιν περισκοπήσας, καὶ εἴ τις ἀποπηδᾷ, δυσροείτω, [2] φήσει· ἐπεὶ μὴ δι' ἐνστάσεως ἀναποδείκτου, ἀλλ' ἀποδείξεως πολλὰς καὶ ὁμολογουμένας ἐχούσης τὰς μαρτυρίας· ὁ θεολόγος· ἦν ὅτι ἤκμαζε τὰ ἡμέτερα, καὶ οὐκ ἔσται ταὐτὸν, ποιμνίων ἄρχειν ἢ βουκολίων, καὶ ἀνθρώπων ἐπιστατεῖν ψυχαῖς, καὶ οὐκ ἦν διαφυγεῖν ἐν μέσοις τοῖς Πέρσαις προειλημμένοις, καὶ πάντα μὲν οὖν τὸν νόμον σκιὰν εἶναι τῶν μελλόντων· ἐὰν γὰρ διστακτικῶς ἀφηγήσαιο, οἶμαι λέγων, καὶ δοκεῖ μοι, ἢ νομίζω, ἢ ἔοικεν, ἢ ὡς ἐλπίζω, ἢ φαίνεται ἤ τι τοιοῦτον, τὸ σεμνὸν τῆς ἀποφάσεως καὶ τοῦ ἀξιώματος καθεῖλες.

νϛ'. Βούλομαι τόδ' εἰπεῖν. Τοῦτο εὐκρινείας προεῖπεν εἶναι μέθοδον· ἀλλὰ καθὸ μὲν προϋπισχνεῖται, καὶ τὸν λόγον καθιστᾷ εὐκρινείας· καθὸ δὲ εἰς τὴν ἑαυτοῦ γνώμην τίθησι τὸ ῥηθησόμενον, ὡς εἶναι τοιοῦτον οἷον ἐρεῖ, ἀξιωματικὸν καὶ σεμνὸν τὸ Ἀγαμέμνων τέ μοι δοκεῖ τῶν τότε δυνάμει προὔχων, Θουκυδίδειον, οὐ σεμνὸν διὰ τὴν ἐνδοίασιν, ὡς προεῖπεν· οὐκοῦν τῶν ἀνωτέρω [3] ῥηθέντων ἐξήρτηται, δύναμιν ἔχων μεταθέσεως καὶ ὑπερβατοῦ· ὁ γὰρ σεμνὸς λόγος, ὥς φησιν, ἄφετος εἶναί φιλεῖ καὶ ἐλεύθερος τῶν καθαιρούντων καὶ καταβαλλόντων.

νζ'. Ἥκιστα δὲ αἱ ἀποστροφαί τε καὶ ὑποστροφαὶ λόγου σεμνοῦ· διατί; ὅτι ταπεινοῦσιν αὐτοῦ, φησι, τὸ ἀξίωμα· ἀποστροφὴ μὲν οὖν ἐστι σχῆμα λέξεως ἢ ἐπὶ τοὺς ἀκροατὰς ἢ ἐπὶ τὸν κατήγορον τοῦ λέγοντος ἀποστρεφομένου ἢ ἀπὸ τούτου πρὸς ἐκείνους, ὡς τό· σὺ δὲ τί λέγεις; ἢ τί νομοθετεῖς; καὶ σύ μοι λέγε τὰς ἐλαφηβόλους σου καὶ τοὺς Ὠρίωνας καὶ τεκνία. Μέμνησθέ μου τῆς πα-

2 Par. δυς ῥ' ἴτω. 3 Par. ἀνωτέρων.

ρακαταθήκης, κινήσας γὰρ τῇ δόξῃ τῶν ἀποδείξεων τοὺς ἀκούοντας πρὸς ἑτέρους μετέστρεψε, καὶ πάλιν εἰς τοιαύτην καταφεύγων ἀπολογίαν· στίξον ποίαν· τὰ προσκυνούμενα· τοῦτο δὲ καὶ καινοπρέπειαν ἔχει καὶ ἀντίπτωσιν καὶ ἑτερογένειαν· τὴν μὲν, ὅτι προθεὶς ἑνικὰ ἐπήγαγε πληθυντικὰ, τοῦτο καινοπρεπές· καὶ ἀντίπτωσιν· ἑτερογενὲς δὲ, ὅτι τῷ θηλικῷ [4] ἐπήγαγεν οὐδέτερον· καὶ Ἰησοῦς καθαίρεται, καὶ σὺ καταφρονεῖς τῆς καθάρσεως· ἡ δὲ ὑποστροφὴ γίνεται, ὅταν ἄρχηταί τις ἐννοίας τινὸς, εἶτα δι' ἐπεμβολῆς μεσολαβήσας αὐτὴν πάλιν ὑποστρέψας ἐπαναλάβῃ· οἷον ἔμελλεν ἄρα πολλὰς ἡμῖν ὑποθέσεις· καὶ γὰρ ἐφιλοτιμεῖτο τοῖς ἐμοῖς λόγοις κατ' αἰτίαν τοῦ προτιθεὶς καὶ τὰ ἑξῆς· εἶτα ἡ ὑποστροφή· ἑαυτὸν νῦν ἡμῖν προθήσειν· καὶ πάλιν, εἰ ὁ τεμὼν θάλασσαν καὶ ποταμὸν ἀνακόψας καὶ τάδε καὶ τάδε· εἶτα τῷ ὄντι ἡ ἀνακοπή τε καὶ ἀναχαίτισις, καὶ τἄλλα δὴ ὑπειπόντες, ὅσα πεποίηκε καὶ μετὰ τὸ γνωμικὸν ἐνθύμημα ἡ ἀποστροφὴ, οὗτος, ἐπῆγον, εἰ καὶ ἡμᾶς θρέψειε σήμερον· ἐλέγομεν δὲ ἀνωτέρω τὸ τοιοῦτο ὑπερβατοῦ εἶδος εἶναι καὶ οὐδὲν ἄτοπον τὸ αὐτὸ ὑπὸ διάφορα σχήματα ἐμπίπτειν· καθὸ μὲν γὰρ ὑπερεβιβάσθη διακοπεῖσα ἡ ἔννοια τῆς συνεχείας λέγεται ὑπερβατόν· ὑπερεπήδησε γὰρ καὶ ὑπερέβη τὴν οἰκείαν τάξιν διὰ τῆς ἐπεμβολῆς· καθὸ δὲ ἐπανελήφθη πάλιν εἰς τὸ ἐξ ἀρχῆς, ὑποστροφὴ λέγεται· λελέξεται δὲ ἔτι προϊοῦσι τρανότερον· διαφέρει δὲ ἀλλήλων, τῷ τὴν μὲν ἀποστροφὴν εἰς πρόσωπον γίνεσθαι, τὴν δ' ὑποστροφὴν πραγμάτων εἶναι διῃρημένων, καὶ ἐννοίας ἀνακόλλησιν [5] καὶ συνάφειαν. Οὐ μόνον δὲ ταύτῃ διαφέρεται, ἀλλὰ καὶ τῇ συντάξει, τῷ τὴν μὲν διακόπτεσθαι καὶ μένειν ἀτελῆ, τὴν δὲ τὸ ἐναντίον· ἡ μὲν γὰρ τελείαν ἔχει τὴν ἀπόῤῥησιν, ἡ δὲ ἀφεῖσα τῇ διακοπῇ πάλιν ἐπαναλαμβάνει· καὶ ἡ μὲν γοργότητος προφα-

---

4 Par, θητικῷ. 5 Par, ἀνακόλησιν.

νοῦς, ἡ ἀποστροφή, ἡ δὲ οὐ προφανοῦς, καὶ ἡ μὲν καὶ τοῦ σώματος ἔχει σχηματισμὸν, ἡ δὲ ὑποστροφὴ χωρὶς σωματικῆς ἀνακάμψεως, διὸ καὶ ὑποστροφὴ λέγεται· οἱονεὶ ὑπαναποδίζουσα καὶ ὑποστρεφομένη ἐπὶ τῷ τὰ παρειμένα τοῖς ληφθεῖσι συνάψαι· ἐτυμολογίαν ἔχουσα παρὰ τὸ ὑποστρέφειν, οἷον οὐδ᾽ ὑπ᾽ αἰσχύνης τὰς πανηγύρεις φεύγουσι, καὶ διακόψας τῷ ταύτας, ἃς ἐπὶ θεραπείᾳ ψυχῶν ἡμεῖς ἐξεύρομεν, ἐπισυνάπτειν·[6] δι᾽ αὐτὸ μὲν οὖν καὶ ταύτας ὠθοῦνται, τὸ μὲν γὰρ διακοπτόμενον ἄκρως σεμνὸν, τὸ δὲ οὐχ οὕτως ἔχει, τοῦτο γὰρ σημαίνει τὸ ὅμοιον· ἀλλὰ τοῦτο μὲν γοργὸν ἅμα, τὸ τὴν ὑποστροφὴν ἔχον· διὰ μὲν γὰρ τὴν ἐπεμβολὴν γοργὸν, διὰ δὲ τὸ μὴ ἔχειν ἐνδοιασμὸν σεμνόν· ἐκεῖνο δὲ τὸ μὴ ἔχον ὑποστροφὴν, ἀλλ᾽ ὃ συνεχὲς ἐκείνων, ὡς εἶπε κατὰ συνέχειαν καὶ χωρὶς διακοπῆς, ἀλλὰ μὴ οὕτως ἐπεμβεβλημένως καὶ ὑποστρόφως διαφέρειν τὴν σεμνότητα.[7]

ξ΄. Ἐκείνως ἀλλὰ μὴ οὕτως. Ἀντὶ τοῦ μὴ διακόπτειν, ἀλλὰ μὴ οὕτως ἐπεμβάλλειν καὶ ταῖς ὑποστροφαῖς χρῆσθαι· διαφέρει γὰρ αὐτὸ τὸ σεμνόν.

Περὶ κώλων σεμνῶν.

ξα΄. Κῶλα δὲ σεμνά· τὰ αὐτὰ γάρ εἰσι τῇ καθαρότητι, οἷον ἀναστάσεως ἡμέρα καὶ ἡ ἀρχὴ δεξιὰ, καὶ τὰ ἑξῆς· ἀφορισμοὶ δὲ, ὡς ὁ μὲν βίος βραχὺς, ἡ δὲ τέχνη μακρά. Ἱπποκράτους·[8] τὸ δὲ ὡς ὁμοιωματικόν ἐστιν, ἐπειδὴ ὁ ἀφορισμὸς κόμμα ἐστὶ πολλῶν νοημάτων περιεκτικὸν, ᾧ τὸ τοιοῦτον σχῆμα κατὰ τὸ εἶναι ἀφηγηματικὸν καὶ κομματικὸν κοινωνεῖ· διΐσταται δὲ διὰ τὸ μὴ περιέχειν πλείω, ὥσπερ οἷον τὸ ἐκμαγεῖον τοῦ ἀρχετύπου· ἡ μὴ κινουμένη σφραγὶς, ἡ ἀπαράλλακτος εἰκὼν καὶ τὰ ἑξῆς· τὸ δὲ καί φησι γλυκύτητα διὰ τὴν μονοσυλλαβίαν.

6 Par. ἐπισυνάπτει. scr. ἐπισυνάπτειν. 7 Litt. νή. νθ΄. exstant in Vol. VII. p. 978. μζ΄. μή. 8 Aphor. I.

Ἀφηγηματικὰ τὰ τοιαῦτα, ὅτι περιγράφει συντόμως τὰς ἐννοίας, γένοιτο δ' ἂν πώποτε, ὅταν διεξέρχηται φύσιν πραγμάτων ἢ προσώπων, ἀλλ' οὐ ποιότητα· λάμπει γὰρ τότε· λέγει δέ τις φύσιν πραγμάτων, ὡς τὰ τοιαῦτα· καὶ ἰδοὺ ἀνὴρ ἐπιβεβηκὼς τῶν νεφελῶν τοῦ οὐρανοῦ καὶ τὸ ἑξῆς· καὶ πάλιν, φῶς μέν ἐστιν ἀπρόσιτον καὶ ἄναρχον ὁ θεός· εἶτα ἵνα μὴ κατέλθῃ εἰς τὰ κομματικά, οὔτε ἀρξάμενον οὔτε παυσόμενον καὶ τὰ ἑξῆς.

Περὶ συνθήκης σεμνῆς.

ξβ'. Καὶ κατὰ τὸ μὴ προσκρούειν τὰ φωνήεντα ἡ σεμνότης κοινωνεῖ τῇ καθαρότητι· διαφέρει δὲ τοῖς ῥυθμοῖς καὶ ταῖς λέξεσιν, ὅτι ἐκεῖ μὲν τροχαῖοι καὶ τροχαϊκαί, ἐνταῦθα δὲ δακτυλικαί, σπονδειακαί, ἀναπαιστικαί, παιωνικαὶ καὶ ἐξ ἐπιτρίτων· ἰαμβικαὶ δὲ ἐπέλαττον· τί δέ ἐστιν ἕκαστον, ἐροῦμεν. Εἴρηται σπονδεῖος μὲν παρὰ τὸ σπένδειν· τούτῳ γὰρ ἐχρῶντο τῷ μέτρῳ ἐν ταῖς τῶν δαιμόνων θυσίαις, ἅτε χρονιωτέραν ποιοῦν τὴν κίνησιν καὶ σεμνήν· δάκτυλος δὲ ἀπὸ μεταφορᾶς τοῦ δακτύλου εἰς ἔλαττον ἀπὸ μείζονος καταλήγων, οὗ μιμεῖται ἡ μὲν ἄρχουσαν [9] τὴν ἐξ ἀρχῆς κίνησιν τοῦ ἥρωος, προβαίνει δὲ εἰς τὴν δραστικωτέραν καὶ κούφην ἐνέργειαν· ὁ δὲ ἀνάπαιστος τὸ ἐναντίον παρὰ τὸ ἀναπαίζειν ἐν ταῖς ὀρχήσεσι βραχύ τι κατεχομένων τῶν ποδῶν πρὸ τοῦ ἀρθῆναι εἰς ὕψος, ὃς καὶ δυνάμει σπονδεῖός ἐστι, τὰς βραχείας εἰ λάβοιμεν συναιρουμένας, καὶ τὴν μακρὰν διῃρημένην· καί εἰσι πάντες τετράσημοι ἢ τετράχρονοι· ὅθεν εἰ τοῦ δακτυλικοῦ συλλαβὴν ἀφαιρήσειας, ἀναπαιστικὸν ποιεῖς· οἷον ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς· τῷ δὲ ἀναπαιστικῷ εἰ προσθείης δακτυλικόν, ποιήσεις τὸ ἀναπαιστικόν, ὡς ὅτ' ἐγὼ τὰ δίκαια λέγων· οἱ δὲ παίωνες ἀπὸ ἔθνους ὠνομάσθη-

9 Par. ἄρχουσιν.

σαν· ἢ ἀπὸ τοῦ παίω ἢ παίω ἢ παύω τὸ θεραπεύω· ᾖδον γὰρ ὕμνους τούτῳ τῷ μέτρῳ ἐπὶ ἀφέσει λοιμοῦ εἰς Ἀπόλλωνα. Εἰσὶ δὲ τέσσαρες μίαν μακρὰν ἔχοντες περιοδεύουσαν, ὁ πρῶτος εἰς τὴν πρώτην καὶ οἱ ἐφεξῆς ὁμοίως· οἷον Γρηγόριος, Γεώργιος, Θεόδωρος, Θεοφάνης· οἱ δὲ ἐπίτριτοι, εἰσὶ δὲ πεντάσημοι· οἱ δὲ ἐπίτριτοι ἀπὸ τῆς ἑαυτῶν ποσότητος ὠνομάσθησαν χρονικῶς· τετρασύλλαβοι μὲν ὄντες, ἑπτάχρονοι δέ· ἀνὰ μίαν ἔχοντες βραχεῖαν περιοδεύουσαν τὰς τέσσαρας συλλαβάς· ὁ πρῶτος εἰς τὴν πρώτην καὶ οἱ ἐφεξῆς ὁμοίως· οἷον Ἰωάννης, Ἡρακλείδης, Δημοσθένης, Κωνσταντῖνος, ἐξ ἀναριθμητικοῦ λόγου ὀνομασθέντες· ἐπίτριτος γάρ ἐστιν ἀριθμὸς ὁ ἔχων τὸν πρὸ αὐτοῦ καὶ τὸ τρίτον αὐτοῦ, ὥσπερ ὁ η τὸν ϛ· καὶ τὸ τρίτον αὐτοῦ τὰ δύο· καὶ οὗτοι γὰρ χρόνους ἔχουσι δὶς τὸν τρεῖς καὶ τὸν τρίτον αὐτοῦ ἕνα, καὶ λέγονται γενικῶς μὲν ἐπιμόριοι καὶ διςεπίτριτοι· εἰδικῶς δὲ ἐπίτριτοι· ἐπειδὴ γὰρ ἡ μουσική, ἣν ἀποτελοῦσιν οἱ ῥυθμοί, κατὰ ἀριθμητικοὺς λόγους συνέστη, ἐὰν ὑποθῶμεν ὄργανόν τι μουσικὸν ἢ χορδὰς ἔχον ἢ αὐλούς· ἐάν τις τῶν χορδῶν ἢ τῶν αὐλῶν διπλάσιος ᾖ πρὸ αὐτῆς μήκει καὶ πλάτει, διὰ πασῶν λέγεται ἡ συμφωνία· εἰ δὲ τετράποσον, δὶς διὰ πασῶν, ὥσπερ ὁ ιβʹ διπλάσιος μὲν τοῦ ϛʹ· ἡμιόλιος δὲ τοῦ ηʹ· ἐπίτριτος δὲ τοῦ θʹ· ἔχει γὰρ τὸν ηʹ καὶ τὸ ἥμισυ αὐτοῦ καὶ τὸν θʹ καὶ τὰ τρίτον αὐτοῦ· ὁ δὲ κδʹ δὶς διὰ πασῶν, ὅτι διττοὺς ἔχει τοὺς λόγους· εἰ δὲ εἴη ἡ χορδὴ ὅλην ἔχουσα τὴν πρὸ αὐτῆς καὶ τὸ ἥμισυ αὐτῆς, τὸν ἡμιόλιον φθόγγον ἀποτελεῖ· εἰ δὲ ὅλην καὶ τὸ τρίτον τὸν ἐπίτριτον, καὶ συμφωνία μέν ἐστι, δύο φθόγγων ἀκόλουθος μέλους τάσις· φθόγγος δὲ φωνῆς ἐμμελοῦς ἦχος ἐπὶ μίαν τάσιν· ἀναλογία δὲ δύο λόγων ὁμοιότης, ὡς ὁ ηʹ πρὸς τὸν ϛʹ. ἐπίτριτος γὰρ ὁ δʹ πρὸς τὸν τρία· ἐπίτριτος γὰρ ὁ λόγος, καὶ ὡς ὁ ιβʹ πρὸς τὸν ηʹ, ὁ ϛʹ πρὸς τὸν δʹ· ἡμιόλιος γὰρ περὶ μὲν τῶν ῥυθμῶν

ὡς πρὸς τὴν παροῦσαν χρείαν τοσαῦτα· πούς δέ ἐστι τάσις συλλαβῆς ἄρσιν ἢ θέσιν περιέχουσα· ἄρσιν μὲν ποδῶν ὀρχουμένων ἔπαρσιν, θέσιν δὲ τὴν εἰς γῆν βάσιν· ἢ πούς ἐστι μετρικῶν συλλαβῶν κατάλληλος σύνθεσις ἀπὸ δευτέρας χώρας ἕως ς', ἐξ ὧν γινώσκεται τὸ τέλειον μέτρον καὶ τὸ εἶδος αὐτοῦ καὶ τὸ μέγεθος· βάσις δέ ἐστι τὸ ἐκ δύο ποδῶν συνεστὼς, τοῦ μὲν κατ' ἄρσιν, τοῦ δὲ κατὰ θέσιν παραλαμβανομένου, ὡς ἐπιτροπικῆς λεπτὸν ἴχνος ἀρβύλης· τούτων οὕτως ἐχόντων ὁ μὲν σπονδεῖος, ὁ ἀνάπαιστος, ὁ δάκτυλος τὸν ἴσον ἔχουσι [10] λόγον· ἴσας γὰρ ἔχουσι τὰς θέσεις καὶ τὰς ἄρσεις· ἢ μίαν μακρὰν καὶ δύο βραχείας ἢ τὸ ἀνάπαλιν· ὁ δὲ ἴαμβος καὶ ὁ τροχαῖος τὸν πλαγιασμόν· αἱ γὰρ τούτων μακραὶ δίχρονοί εἰσιν, αἱ δὲ βραχεῖαι μονόχρονοι· διπλάσια δὲ τὰ β' τοῦ ἑνός, οἱ δὲ παίωνες τὸν ἡμιόλιον, αἱ γὰρ τρεῖς αὐτῶν βραχεῖαι ἔχουσιν ὅλην τὴν μακρὰν καὶ τὸ ἥμισυ αὐτῆς· τοιαῦται γὰρ αἱ τρεῖς βραχεῖαι· αἱ γὰρ δύο βραχεῖαι ποιοῦσι μίαν μακρὰν, καὶ ἡ μία βραχεῖα ἥμισυ μακρᾶς· γίνεται οὖν ὁ ἡμιόλιος λόγος· ὁ δὲ ἐπίτριτος ὁ ἔχων ὅλον τὸν πρὸ αὐτοῦ καὶ τὸ τρίτον αὐτοῦ, ὡς ὁ ιβ' τὸν θ'· καὶ τὸ τρίτον αὐτοῦ. Εἰσὶν οὖν ἐπίτριτοι τέσσαρες, ἀνὰ μίαν ἔχοντες βραχεῖαν περιοδεύουσαν τὰς τέσσαρας αὐτῶν συλλαβὰς, ὁ μὲν πρῶτος ἔχων αὐτὴν εἰς τὴν πρώτην, καὶ ὁ δεύτερος εἰς τὴν δευτέραν, καὶ ὁ τρίτος εἰς τὴν τρίτην, καὶ ὁ τέταρτος εἰς τὴν τετάρτην, οἷον Ἰωάννης, Ἡρακλείδης, Δημοσθένης, Κωνσταντῖνος· ἔχουσιν οὖν καὶ οὗτοι τὸν ἐπίτριτον λόγον· ὡς γὰρ τὰ δ' πρὸς τὰ τρία· ἔχει γὰρ ὁ δ' τὸν τρία καὶ τὸ τρίτον αὐτοῦ τὴν μονάδα, οὕτω καὶ οὗτοι· κατὰ μὲν τὰς δύο μακρὰς ἐπίτριτον λόγον σώζουσι πρὸς τὴν μίαν μακρὰν καὶ τὴν μίαν βραχεῖαν· αἱ μὲν γὰρ δύο τεσσάρων χρόνων εἰσὶν αἱ μακραὶ, ἡ δὲ μία μακρὰ καὶ

10 Par. ἔχουσα.

βραχεῖα τριῶν· οὐκοῦν οἱ τέσσαρες ἔχουσι τοὺς τρεῖς χρόνους καὶ τὸν τρίτον αὐτῶν τὸν ἕνα· ὡς δὲ ὁ τέσσαρα πρὸς τὸν τρία, οἱ τέσσαρες πρὸς τοὺς τρεῖς· ἀπεδείχθη ἄρα, διατί ἐπίτριτοι λέγονται· οὗτοι οὖν οἱ πλείονας ἔχοντες τὰς μακρὰς ἁρμόττουσι τῷ σεμνῷ λόγῳ μετ' ὧν εἰρήκαμεν· ὁ δὲ ἰαμβικὸς καὶ τροχαῖος ἐπέλαττον· ὧν ὁ μὲν ἴαμβος εἴρηται παρὰ τὸ ἰαμβίζειν, ὥστε ὑβρίζειν καὶ μιμεῖσθαι τὸ πάθος ἀπὸ μικροῦ ἀρχόμενος εἰς μέγα λήγων, ὡς καὶ ὁ ποιητής· ἣ πρῶτα μὲν ἐπ' ὀλίγον κορύσσεται,[11] αὐτὰρ ἔπειτα

Οὐρανῷ ἐστήριξε κάρη καὶ ἐπὶ χθονὶ βαίνει.

ὅθεν καὶ οἱ ὑβρίζοντες τούτου χρῶνται τῷ μέτρῳ κατὰ τὸ πλεῖστον· ὁ δὲ τροχαῖος ὁ καὶ χορεῖος λεγόμενος παρὰ τὸ τρέχειν, ὡς ἀποστάσεως γὰρ ἀρχόμενος τῆς μακρᾶς τρέχειν τὸν λόγον ποιεῖ, ὡς τὸ,

Μητρόδημε δεῖν με τῷ σκότῳ κολάζεσθαι·

ἐπέλαττον δὲ οὗτοι πρέπουσιν εἰς σεμνότητα· εἰ δ' ἐμπέσειε· τὸ γὰρ τίς ἡ τυραννὶς ἰαμβικὸν ὂν τὸ κῶλον ἁρμόδιον καθαρότητι τὸ τοιοῦτον· καὶ πῶς ὑμῖν τὰ ἡμέτερα· καὶ πῶς βραδεῖς ἐπὶ τὸν ἡμέτερον λόγον, ἐκ τροχαίου ὂν καὶ ἰάμβου τοῦ καλουμένου ἰθυφαλλικοῦ· ὁμοίως δακτυλικαὶ μὲν αἱ συνθῆκαι, ὡς τὸ ἀναστάσεως ἡμέρα· ἀναπαιστικαὶ δὲ, ὡς τὸ, λέγε μοι σὺ τὸν Ἀχαὰβ, ἐγὼ τὸν Ἰωσίαν· οὐ γὰρ τὸ ἀκριβὲς ζητεῖ ἡ ῥητορικὴ, τοῦτο γὰρ κακία λόγῳ πεζῷ, ἀλλ' ὅσον μὴ πίπτειν τῶν ῥυθμῶν τῶν τοιούτων ἐν ταῖς ἁρμοζούσαις διανοίαις· παιωνικαὶ δὲ, ὡς τό· πάλιν Ἰησοῦς ὁ ἐμός· σπονδειακαί τε, καὶ μᾶλλον, ὅτι πλείους αἱ μακραὶ, καὶ ὁ ῥυθμὸς βεβηκὼς παρὰ τοὺς ἄλλους καὶ σεμνῷ ἤθει καὶ σταθερῷ ἁρμόδιος, καὶ πράγματι, ὡς τό· καὶ ἡ ἀρχὴ δεξιά· ἐπίτριτον δὲ, ὡς τό· εἰς οὐρανοὺς ἕλκων καὶ τὰ οὐράνια.

11 Par. κορύσσαιται. Il. δ. 442.

ιγʹ. Τροχαϊκαὶ μέντοι καὶ ἰωνικαὶ ἐναντίαι σεμνότητι. Ὁ μὲν οὖν τροχαῖος εἰκότως ὅτι ἀναγκάζει τρέχειν, ὅθεν ἀνοίκειον τῷ σεμνῷ· οἱ δὲ ἰωνικοὶ κῶλοι τὸν ῥυθμὸν εἰς τὸ ἐναντίον ἐπαλλήλους ἔχοντες τὰς βραχείας καὶ τὰς μακράς· ὁ μὲν γὰρ ἀπ' ἐλάσσονος ἐκ δύο βραχειῶν ἐστι καὶ δύο μακρῶν, Διομήδης, ὁ δὲ ἀπὸ μείζονος τὸ ἀνάπαλιν, Δημόκριτος· ἡνίκα μὲν γὰρ αἱ μακραὶ εἰς τὸ σεμνὸν αἴρουσι τὸν λόγον, ἀντισπῶσιν αὐτὸν αἱ βραχεῖαι, καὶ πάλιν τὰς βραχείας ἀντισπῶσιν αἱ μακραί· τὸ δὲ τοιοῦτον ἄτακτον πῶς ἂν εἴη σεμνόν; καὶ ἄλλως οἱ ἰωνικοὶ συγγενεῖς εἰσι τῷ τροχαίῳ καὶ ἐξ αὐτῶν συνετέθησαν· εἰ οὖν ὁ τροχαῖος οὐκ οἰκεῖος σεμνότητι, οὐδὲ οὗτοι· τρίτον, ὅτι οἱ ἰωνικοὶ καθάπερ καὶ οἱ ἐφευρόντες αὐτοὺς Ἴωνες βλακώδεις εἰσὶ καὶ ὡς ἄν τις εἴπῃ γύνιδες· ἡ δὲ σεμνότης ἀνδρικὴ καὶ μεγαλοπρεπής, καὶ οὐχ οἷόν τε τὸ ἀπρεπὲς μετὰ τοῦ σεμνοῦ τίθεσθαι, ἁβροὶ γὰρ τὸ παλαιὸν οἱ Ἴωνες, ὥς που καὶ Βακχυλίδης φησί, τὸν σφῶν αὐτῶν ῥυθμὸν δηλῶν·

Ἁβρότητι ξυνέασιν
Ἴωνες βασιλῆες·

καὶ Θουκυδίδης ἐν τῇ πρώτῃ·[12] καὶ οἱ πρεσβύτεροι αὐτῶν τῶν εὐδαιμόνων οὐ πολὺς χρόνος ἐπειδὴ χιτῶνας τοὺς λινοῦς ἐπαύσαντο φοροῦντες, καὶ χρυσῶν τεττίγων ἐνέρσει κρωβύλῳ[13] συναναδούμενοι τῶν ἐν τῇ κεφαλῇ τριχῶν· διὰ ταῦτα εἰκότως· καὶ τὸ ἐπώνυμον αὐτῶν μέτρον ἐκλυτώτερόν τε καὶ μαλακὸν καὶ ἐναντίον σεμνότητι· τούτοις, ὡς εἶπον, συγγενὴς ὁ τροχαῖος ἐκ διαιρέσεως αὐτῶν συνιστάμενος, αἱ γὰρ δύο μακραὶ ἐκείνων καὶ αἱ δύο βραχεῖαι ἐναλλὰξ διαιρούμεναι τοῦτον ποιοῦσιν, ὥστε μᾶλλον σεμνότητος ῥυθμοί, οὓς εἴπομεν, μετὰ τῶν λοιπῶν, ὡς

---

12 L. 6. 13 Par. κρωβύλου. ad marg. ἐκ τοῦ μεγάλου γραπτέον· εἶδος ἐμπλοκῆς ἢ ὄνομα κύριον.

καὶ τοῦτο· ὧν γὰρ τοὺς ἐπαίνους οἶδα, τούτων σαφῶς καὶ τὰς ἐπιδόσεις. Παίων τέταρτος ὁ τελευταῖος παιωνικαὶ, καὶ γὰρ ἐφιλοτιμεῖτο, καὶ ἔμελλεν ἄρα, καὶ ὅρα γὰρ γαλαιμολοττώ· μητροστορίης, Ἴωνες φιλόθυρσοι δρομάδες.

ξδ'. Ὁ διαφθείρας τόδε τὸ ἔπος. Διονύσιος δὲ[14] ὁ Ἁλικαρνασσεὺς θέλων δεῖξαι τὴν διαφορὰν τῶν ῥυθμῶν, ὡς σεμνὸς μὲν ὁ δακτυλικὸς, ὁ δὲ οὐχ οὕτως, ἀλλὰ τρυφερὸς, μετέβαλε τὸ ἔπος·

σείων Πηλιάδα [14] μελίην κατὰ δεξιὸν ὦμον

μεταρμόσας ἐπὶ τὸ ἰωνικόν τε καὶ τροχαϊκὸν οὕτως· σείων μελίην Πηλῆϊδα. Ἴωνες οὗτοι· εἶτα τροχαῖοι, δεξιὸν κατ' ὦμον· δύο γάρ εἰσιν ἡ πρώτη καὶ δευτέρα· τὸ δὲ ἰθυφαλλικὸν ἐκ τριῶν τροχαίων, καὶ δῆλον τὸ λεγόμενον· ἰθυφαλλικὸν δὲ καλεῖται τὸ τροχαϊκὸν, ὅτι τοῦτο ᾖδον εἰς τὸν Διόνυσον, τὴν ὄρχησιν αὐτοῦ καὶ βακχείαν μιμούμενοι, καθὰ καὶ τὸ διθυραμβικὸν, ἐξ ἰάμβων καὶ ἀναπαίστων ὂν, τὸ μὲν, ὅτι ὀργίλος ἦν καὶ πάροινος κατὰ τὸν οἶνον, τὸ δὲ, ὅτι θεὸς ἐνομίζετο, καὶ διὰ τοῦτο τῷ ἀναπαίστῳ ᾔδετο καὶ σεμνῷ.

ξέ. Δι' ὧν ἐκλάσθη. Τὸ γὰρ κλᾶσθαι καὶ λυγίζεσθαι γυναικῶδες καὶ ἐναντίον σεμνότητι, καὶ ἄλλως.

Συριανοῦ εἰς τὸ αὐτό.

Ὁ γὰρ τροχαῖος κατεσπουδασμένον ἐποίησε τὸν λόγον καὶ ἐτάχυνε σεμνῶς καὶ ἐν τάξει προϊόντα.

ξς'. Ὣς ὁ πρόσθ' ἵππων καὶ δίφρου κεῖτο τανυσθεὶς,[16]
Βεβρυχὼς, κόνιος δεδραγμένος αἱματοέσσης,

Τοῦτό φησι δακτυλικὸν ὂν εἰ μεταθείης τὴν σύνθεσιν

---

14 Dion. de comp. p. 48. sqq. Schaef. huius versus transpositionem non habet: Sotades potius ὁ διαφθείρας est, vide Hephaest. de metr. p. 21. Gaisf. Eustath. ad Il. α. p. 10. 15 Par. Πηλῆϊδα. Il. χ. 133. 16 Il. ν, 392. π, 485.

τῶν λέξεων ποιήσεις αὐτὸ τροχαϊκὸν ἐπίμικτον κατὰ ταῦτα·

Ὣς ὁ πρόσθ' ἵππων τανυσθεὶς κεῖτο καὶ δίφρου
Αἱματοέσσης, κόνιος δεδραγμένος [17] βεβρυχώς·

τροχαϊκὸν ἐπίμικτον τὸ χοριαμβικὸν, καὶ μέτρου καὶ ὁ ῥυθμὸς δὲ ἐπίμικτα, οὐχὶ τροχαϊκά· οὐ γὰρ τίθεται ἐν τῷ τροχαϊκῷ ἴαμβος, ἀλλ' ἢ σπονδεῖος ἢ δάκτυλος· ἐπίμικτον δὲ καλεῖ τὸν χορίαμβον, ὡς ἐκ τροχαίου καὶ ἰάμβου συνεστῶτα, ἢ ἐπίμικτον εἶπεν οὐ τὸ μέτρον, ἀλλὰ τοὺς μεταποιηθέντας στίχους ἐκ σπονδείων καὶ ἰάμβων καὶ χοριάμβων καὶ τροχαίων συγκειμένους, καὶ καλῶς ἐπέστησαν Συριανὸς καὶ Ἰωάννης ὁ Καισαρεὺς, οἳ οὕτως φασὶν εἶναι τὰ μέτρα·

Ὣς ὁ πρόσθ' ἵππων ἔκειτο καὶ δίφρου τανυσθείς.

τετράμετρον γὰρ τοῦτο βραχυκατάληκτον, ὅτι ὅλος λείπει πούς· ὁ δὲ δεύτερος χοριαμβικὸς οὗτος·

Αἱματοέσσης κόνιος δεδραγμένος βεβρυχώς·

καὶ ἔστιν ὁ στίχος τετράμετρος καταληκτικὸς, μιᾶς λειπούσης συλλαβῆς· ὁ χοριαμβικὸς τοίνυν ἐστὶν ἐπίμικτος, ὡς ἔφην, καὶ τὸ ἐξ αὐτοῦ μέτρον ὅτι ἡ κατάληξις αὐτοῦ ἐστιν ἰαμβικὴ συζυγία, τουτέστιν ἀμφίμακρος, ὡς ἐν τούτῳ· [18]

Ἁ κυθερείας ἐπιπνεῖ τὄργια λευκωλένου.

ὥστε οὖν ἢ σφάλμα ἐστὶν ἀντιγραφικὸν τὸ τροχαϊκὸν ἢ πρὸς τὸ ἀποτελεσθὲν τῷ στίχῳ εἶπε τροχαϊκὸν, διότι τὸ χοριαμβικὸν, ὡς εἴπομεν, ἐστὶν ἐπίμικτον, ἀλλ' οὐ θάτερον· ὅμοιον καὶ ἕτερον παράδειγμα δείκνυσι· δεικνύων ἀνοικείους εἶναι ἰωνικοὺς καὶ τροχαίους σεμνότητι ἀπὸ Σωτάδου ταῦτα λαβών.

ξζ΄. Οἱ μὲν' ἐπ' ἄκραισι πυραῖς νέκυες ἔκειντο

17 Par. h. l. et infra: δεδραχμένος. 18 Par. τούτου· ἀκυθερεῖας.

'Ορφανὰν οἷον προλιπόντες ἥβην ἐρατεινὴν
Καὶ καλὸν ἡλίου πρόσωπον.

καὶ οὗτοι χοριαμβικοὶ μεταποιηθέντες κατὰ τὸ δοκοῦν τῷ τεχνικῷ, ὁ μὲν πρῶτος ὢν ἀκατάληκτος τετράμετρος, ὁ δὲ δεύτερος τρίμετρος ὑπερκατάληκτος· ὁ δὲ τρίτος τετράμετρος καταληκτικὸς περὶ συλλαβήν, ὃς καὶ χωλός ἐστι, σπονδεῖον ἔχων, ὅθεν φαίνεται ὑπὸ τοῦ τεχνικοῦ μεταποιηθῆναι καὶ συγχυθῆναι κατὰ τὰς συζυγίας· διὸ ὁ πρῶτος εἰ μὲν προτεθείη τὸ νέκυες ὑπέρμετρον εὑρίσκεται, ὅπερ ἀδύνατον· ἢ τοῦτο μὲν οὐχί, τὸ δὲ ἐπὶ ξένης προτεθὲν τοῦ μετ' αὐτό· εἰ δ' οὖν, ἀλλ' ἔστω οὕτως·

'Ορφανὰ τείχεα προλιπόντες καὶ ἐρατεινὴν ἥβην·

ὑπερκατάληκτον, καὶ καλὸν ἡλίου πρόσωπον δίμετρον ὑπερκατάληκτον εἰς συλλαβήν, καὶ πάλιν

Ἀλλ' ἔχον, ὥστε τάλαντα γυνὴ χερνῆτις ἀληθής,
Ἥτις σταθμὸν ἔχουσα καὶ εἴριον [19] ἀμφὶς ἀνέλκει,
Ἰσάζουσ' ἵνα παισὶν ἀεικέα μισθὸν ἄροιτο.

Οὗτοι δακτυλικοί εἰσιν, οὓς εἰ ἀμείψει τις, ὡς δέδεικται ἀπὸ ἑξαμέτρου δακτυλικοῦ, τροχαϊκὸν ποιήσει οὕτως·

Ἀλλ' ἔχον, ὥστε γυνὴ χερνῆτις τάλαντα ἀληθής.

τετράμετρον καταληκτικὸν παρὰ συλλαβήν,

Ἥτις εἴριον καὶ σταθμὸν ἀμφὶς ἔχουσ' ἀνέλκει.

ὅμοιον τῷ πρώτῳ·

Ἰσάζουσ' ἵνα καὶ παισὶν ἀεικέα λάβοι τὸν μισθόν.

τετράμετρον ἀκατάληκτον· ταῦτα μὲν οὕτως ἠκριβολόγηται, οὐχ ἵνα φυλάξωσιν οἱ ῥήτορες τὸ ἀκριβές, ὥσπερ οἱ ποιηταί, ἀλλ' ἵνα δείξῃ, ὅτι σεμνὴ συνθήκη εἰς ἰωνικοὺς καὶ τροχαίους μεταπίπτουσα ἀπὸ τῶν προσφόρων αὐτῇ πρὸς πλείους ἢ τούτων τῶν ῥηθέντων γινομένους, οὐκέτι μένει καθαρά· δεῖ γὰρ ἔχειν ἐκείνους τούτων ὀλιγωτέρους ἐπεὶ

19 καὶ εἰρίον Par. om. — Π. 'μ, 433. 20 Par. πάλιν τ' ἀλήτης.

τὸ καὶ γὰρ ἐφιλοτιμεῖτο τοῖς ἐμοῖς λόγοις αἱ δεύτεραι συζυγίαι τροχαϊκαί εἰσι καὶ ἰαμβικαὶ, ἀλλ' οὐδὲν ἧττον παιωνικαί εἰσι διὰ τὴν πρώτην· εἰ δὲ καὶ τὴν δευτέραν τῆς τρίτης συλλαβῆς ὡς βραχεῖαν δεξαίμεθα, παίων γίνεται, καὶ ἡ τρίτη λανθανούσης τῆς τρίτης τὴν ἀκοὴν διὰ τὸν ἐπιφερόμενον στίχον, τὸν ὡς οὔπω τῶν πάντων οὐδεὶς, ὅς πρόδηλόν ἐστιν ὡς δακτυλικός ἐστιν τετράμετρος ἀκατάληκτος· ὁ γὰρ σπονδεῖος, ὡς εἴπομεν, ἀντὶ δακτύλου παραλαμβάνεται, καὶ οὐ δήπου διὰ τὴν σχοινοτένειαν τοῦ κώλου ταραχθησόμεθα ἀμφιβάλλοντες, πῶς δεῖ μετρεῖν[21] ἡ γὰρ μερικὴ ἔννοια ὑποστιζομένη εἰς τὸ λόγοις, ἕως αὐτῆς τὸ κῶλον μετρεῖται· ὥστε συμβαίνει κατὰ τὴν συνέπειαν τῶν δύο κώλων μέσους τετάχθαι τοὺς τροχαίους ἢ ἴωνας; εἰ οὕτω τύχῃ κατὰ τὸ Ὁμηρικόν·[22] κακοὺς δ' ἐς μέσον ἔλασεν, ὅπως καὶ οὐκ ἐθέλων τις[23] ἀνάγκῃ σεμνὸς φαίνοιτο, οὕτως ἔσται καὶ ἐφ' ἑκάστης ἰδέας· τοὺς ἀνοικείους αὐτῇ κατὰ μέσον τιθέναι· καὶ περὶ μὲν συνθέσεως σεμνῆς αὐτάρκως εἴρηται· δεῖ δὲ καὶ περὶ ἀναπαύσεως διελθεῖν σεμνῆς.

Περὶ ἀναπαύσεως.

ξή. Δεῖ γὰρ ἵστασθαι τὸν λόγον, ὥσπερ ἦσαν οἰκεῖοι πόδες τῇ σεμνότητι σπονδεῖος καὶ δάκτυλος· πρὸς τούτοις ἀνάπαιστος, παίων τ' αὖ καὶ ἐπίτριτος· οὕτως δεῖ καὶ τὴν ἀνάπαυσιν τοῦ σεμνοῦ κώλου εἴς τινα τούτων καταλήγειν· εἰς δάκτυλον μὲν οὖν, ὡς τὸ ἀναστάσεως ἡμέρα· εἰς ἀνάπαιστον, ὡς τὸ λύσωμεν πάντα σύνδεσμον ἀδικίας· εἰ γὰρ καὶ ἰάμβους ἔχει τὸ κῶλον, ἀλλὰ σεμνὴ ἡ βάσις διὰ τὸν ἀνάπαιστον· σπονδεῖος δὲ, ὡς τὸ εἴπωμεν ἀδελφοὶ καὶ τοῖς μισοῦσιν ἡμᾶς· κἀνταῦθα πάλιν· μέσοι μὲν οἱ τροχαῖοι, ἡ δὲ ἀνά-

---

21 Par. μετρεῖ. 22 Il. δ, 299. 23 Par. ἐθέλοντες. scr. ἐθέλων τις.

παυσις σεμνή· παιώνων δὲ ὁ τέταρτος ἁρμόζει συνθήκῃ σεμνῇ, ὡς τὸ ὁμολογῶ, οὐ μὴν ἀλλὰ καὶ ἄλλοις εὑρίσκονται χωρὶς τοῦ τρίτου, ὡς τό· εἰσέτι καὶ νῦν δι' αὐτοῦ φθεγγόμενος, ὁ πρῶτος, ὃς τὴν πρώτην ἔχει αὐτίκα μακρὰν τὴν φθεγ· ἐπιτρίτων δὲ πάντες χωρὶς τοῦ τετάρτου· οὗτος γὰρ εἰς βραχεῖαν καταλήγων οὐ βεβηκέναι τὴν βάσιν ποιεῖ· βεβηκέναι δέ ἐστι τὸ εἰς μακρὰν λέξιν ἀπαρτίζεσθαι τὸ κῶλον καὶ τὴν ἔννοιαν, ὡς τὰ προειρημένα· οὐ μόνον δὲ τοῦτο, ἀλλ' ἵνα καὶ ἡ συζυγία τελεία ᾖ καὶ ἀκατάληκτος· ἡ γὰρ ἀτελὴς καταληκτικὴ οὖσα καὶ εἰ ἀκριβῆ τὴν σύνθεσιν ἔχει, ἀλλ' ἐπίμομφος ἐν σεμνότητι εὑρίσκεται· εἰς τροχαῖον γὰρ συμβαίνει ἵστασθαι τὸν λόγον γοργότητι οἰκεῖον, ὡς τό· εἴ τί μοι μέμφοισθε τῆς βραδυτῆτος· ἡ [24] γὰρ βραδυτῆτος ἀμφίβραχυς ὢν μᾶλλόν ἐστι γοργοῦ ἢ σεμνοῦ· τί δέ ἐστι κατάληξις, εἴπομεν ἐν τῇ καθαρότητι, ὅτι συλλαβὴ ἀντὶ ποδός, ἢ ποὺς ἀντὶ συζυγίας· διὸ καὶ τὰ ἡρωϊκὰ καὶ ὅσα καταληκτικά εἰσιν, εἰς τροχαῖον καταλήγει, ὃς ἀντὶ δακτύλου μὲν παραλαμβάνεται, οὐ βέβηκε δέ· ἀκατάληκτα δὲ καὶ βεβηκότα, ὡς τὰ προῤῥηθέντα περὶ σεμνῆς βάσεως κῶλα, καὶ ὡς τό· [25]

Κύκλωψ, τῆ, πίε οἶνον, ἐπεὶ φάγες ἀνδρόμεα κρέα·

ὥστε τηρητέον παντὸς μέτρου τὸ ἴδιον· ἢ γὰρ μονόμετρόν ἐστι τὸ ἔχον μίαν συζυγίαν, ἢ δίμετρον τὸ δύο, ἢ τρίμετρον τὸ τρεῖς, μέχρι τοῦ ἡρωϊκοῦ, τοῦτο γάρ ἐστι μόνον ἑξάμετρον, ὡς ἐκ σπονδείου συνεστώς· ὁ γὰρ δάκτυλος σπονδεῖός ἐστιν, ὥσπερ καὶ ὁ σπονδεῖος δάκτυλος, καὶ μετρεῖται οὗτος τρισύλλαβος κἀκεῖνος, ἐκ δύο κατὰ συζυγίαν καὶ οὐχ οἱ δύο κατὰ μίαν, καὶ ἐκ τούτου διακρίνειν τὰς καταλήξεις.

ξθ'. Μηδ' ἁρπασθῇ ὁ ῥυθμός· ὁ γὰρ τροχαῖος τροχαλὸς ὢν ὡς ῥόμβος ἁρπάζει τὸν ῥυθμὸν ἀπὸ τοῦ σεμνοῦ εἰς γοργότητα· πῶς δ' ἂν βεβήκοι προείπομεν.

---

24 Par. ὁ supra scripto: ἡ. 25 Od. ι, 347.

ό. Μάλιστα δ' ἂν βεβήκοι. Οὐ μὴν ἀλλὰ καὶ τοῦτο, φησὶ, φυλακτέον, ἵνα βαίνῃ τὸ κῶλον καὶ ἀπαρτίζηται εἰς ὄνομα τρισύλλαβον· ἤδη γὰρ εἶπεν, ὅτι σεμνότητα ποιοῦσι τὰ ὀνόματα αὐτὰ ἢ τὰ ὀνομαστικὰ, καὶ ἀπὸ ῥημάτων γινόμενα· ὀνόματα μὲν, ὡς τὸ συγχωρήσωμεν πάντα τῇ ἀναστάσει· εἰ γὰρ καὶ ἰαμβικὴ ἡ βάσις, ἀλλὰ πολὺ τὸ σεμνὸν ἔχει διὰ τὸ ὄνομα, εἴη δ' ἂν ἡ αὐτὴ καὶ ὀνομαστική· ἀπὸ γὰρ τοῦ ἀνίστημι γέγονεν, ἀλλὰ διὰ τοῦτο ἐτέθη ἐνταῦθα. οὐχ ὡς νῦν παρηγμένη ἀπὸ τοῦ ῥήματος· τὸ γὰρ εἰς τουτονὶ τὸν ἀγῶνα, εἰ καὶ ἀμφίβραχύς ἐστιν, ἀλλὰ διὰ τὰ πλατέα τῶν φωνηέντων σεμνῶς βεβηκέναι τὸ κῶλον πεποίηκε· ποὺ μᾶλλον, ἢ κατὰ τοὺς συντεθειμένους μεγαλοπρεπεῖς ὄντας ἧττον. Τοσαύτην ὑπάρξαι μοι παρ' ὑμῶν εἰς τουτονὶ τὸν ἀγῶνα· τοιαύτη ἡ βάσις καὶ αὕτη μηδενὸς τῶν ἀνθρωπίνων προσαπτόμενον· ὅτι μὴ πᾶσα ἀνάγκη· ὁρᾷς ὅτι ἡ ἐπαλληλία τῶν α πεποίηκε τὴν βάσιν ὑπέρσεμνον τῇ μακρᾷ λέξει· μακραὶ δέ που πάντως εἰσὶν αἱ τρεῖς μακρὰς ἔχουσαι λέξεις, ἃς δὴ διὰ τὸ μέγεθος καὶ ἀξίωμα ἀρχτικοὺς ὀνομάζουσι καὶ μολοττικοὺς ἔχειν πόδας· οἷον Ἡρώδης· πλὴν τοῦ τετάρτου· ὁ γὰρ τέταρτος ἐπίτριτος ἐκ τριῶν μακρῶν καὶ μιᾶς βραχείας τῆς πρὸς τὸ τέλος· ἁρπάζει δὲ τὸν ῥυθμὸν ἀπὸ τῆς σεμνοπρεπείας, ὡς τὸ γοργόν· ὅτι τὰ βραχέα πάντα ἀκινητότατα, καὶ διὰ τοῦτο λέγεται βάσις, ὅτι ἐπ' αὐτοῦ βαίνει τὸ κῶλον καὶ ἀκράδαντον ἵσταται, καθάπερ οὐρανὸς ἐπὶ τοῦ Ἄτλαντος κατὰ τὸν μῦθον. ἂν δὲ ᾖ βραχεῖα, πῶς ἂν βαστάζοι, ἵν' οὕτως εἴπω, τὸ μέγεθος τοῦ κώλου, τὸ ἐκ τῶν ῥυθμῶν· οὐδὲ γὰρ ἐπὶ τῶν σωμάτων τοῦτο δυνατὸν εὑρεῖν· τὸ γὰρ μικρὸν πρέπον ἐπὶ μεγάλης ἀναβάθρας ἀναπαύεσθαι, μέγα δὲ ἐπὶ μικρᾶς ἀπρεπές· διὰ ταῦτα, οἶμαι, καὶ τὸν θεῖον Ἰεζεκιὴλ ἐπὶ συνθέτων τροχῶν καὶ ἁρμάτων καθῆσθαι τὸν θεὸν φαντασθῆναι·

δηλούσης τῆς ὄψεως, ὡς οὐδὲν τῶν κτιστῶν φέρειν τῶν ὑπὲρ δύναμιν αὔταρκες· οὕτω καὶ Ἡσαΐας καὶ Δανιὴλ, οἱ θεοπτικώτατοι· ὥστ' ἐπειδὴ μιμητικὴ τέχνη ἡ ῥητορικὴ πάντων τῶν ὄντων καὶ γινομένων καταλλήλως καὶ τοὺς λόγους, καὶ τὰ αὐτῶν διαστήματα καὶ τὰς ἁρμονίας καὶ τὰς βάσεις τῶν ὑποκειμένων αὐτῇ προσώπων καὶ πραγμάτων μεταχειρίζεσθαι δικαιοῖ· ἂν μὲν γὰρ Θερσίτην μιμεῖται, ἐρεῖ που πάντως·

Θερσίτης δ' ἔτι [26] μοῦνος ἀμετροεπὴς ἐκολῴα,

καὶ τὰ ἑξῆς· ἂν δὲ τὸν Αἴαντα,

Αἴας δ' αὖ μέγας αἰὲν ἐφ' Ἕκτορι χαλκοκορυστῇ, [27]

καὶ Αἴαν βουγάϊε [28] καὶ ὅσα τοιαῦτα.

οα΄. Φύσει καὶ νόμοις διοικεῖται. Διὰ τὸ διοικεῖται τὸ παράδειγμα μακροκατάληκτον ὂν καὶ τῇ λέξει καὶ τῷ ῥυθμῷ· πρῶτος γάρ ἐστιν ἐπίτριτος· δεύτερος δὲ, ἐφ' ὅτῳ τῶν ἁπάντων, καὶ τὸ ἐπαυσάμην καὶ ὅσα προείπομεν, χωρὶς τοῦ τετάρτου· δῆλον δὲ ἐκ τούτων· εἰ γὰρ ῥητῶν ποδῶν σύνθεσις σεμνοπρεπὴς, πρόδηλον ὡς καὶ ὁ ῥυθμὸς εὔηχος ταῖς ἀκοαῖς προσπίπτει καὶ ἐναρμόνιος· καθάπερ ἡ διὰ πασῶν τῶν χορδῶν μελῳδία τὸν διπλασίονα λόγον ἔχουσα, καὶ ἡ διὰ τεσσάρων τὸν ἐπίτριτον.

Περὶ ῥυθμοῦ.

οβ΄. Εἰδέναι μέντοι χρὴ, ὅτι καὶ εἰ δι' ὅλων ἐξ ἐπιτρίτων· Παραγγέλλει ἡμῖν, ὃ δεῖ παραφυλάττεσθαι, ὅτι εἰ συνίσταται τὸ κῶλον, σεμνὸν εἰκότως· ὅτι μηδὲ λαμπρὸς οἶκος ἐπαινετὸς, ἐπὶ σαθρᾶς κρηπῖδος ἱστάμενος· δεῖ γὰρ ἐκ τῶν οἰκείων ποδῶν τῆς ἰδίας συντεθὲν κῶλον οἰκείαν μὲν ἔχειν [29] τὴν βάσιν ἀπαρτιζόμενον, ἔπειτα [30] προχωροῦντα εἰς ἄλλο κῶλον ἀπὸ τῶν

26 Par. δέ τι. Il. β, 212. 27 Il. π, 358. 28 Il. ν, 824.
29 Par. ἔχει. 30 Par. ἔπει. scr. ἔπειτα.

τοιούτων ἄρχεσθαι ῥυθμῶν καὶ εἰς μακροκατάληκτον πάλιν ἐπαναπαύεσθαι· τοῦτο γὰρ εὑρήσεις τὸν θεολόγον ποιοῦντα εἰς τὸν τῆς βραδυτῆτος λόγον· ὅλα γὰρ τὰ κῶλα καὶ τῆς ἀρχῆς μέχρι πολλοῦ τοῖς μακροχρόνοις συντέθειται ῥυθμοῖς.

ογ'. Εἰ γὰρ καὶ συντεθείη τις λόγος· εἰ γὰρ καὶ συντεθείη τις λόγος [31], φησί, δι' ὡντινωνοῦν ποδῶν ἢ καθαρότητος ἢ γοργότητος ἢ σεμνότητος ἢ ἄλλης τινὸς ἰδέας οἰκείων ἑκάστης, εἶτα δι' ἄλλων ῥυθμῶν οὕτοι περικοπείεν· τῇ βάσει τῆς ἀναπαύσεως οὐ φαίνεται κῶλον τῆς προχειρισθείσης ἰδέας εἶναι, ἀλλὰ ἄλλης μᾶλλον ἢ ἐκείνης, ἣν μεθοδεύειν προέκειτο· οἷον ἐὰν σεμνὸν λόγον κατασκευάζων συνθήσω μὲν τοὺς μεγαλοπρεπεῖς καὶ οἰκείους αὐτῷ ῥυθμοὺς εἰς τὸ ἀκριβές· ἡ δὲ ἀνάπαυσις, ἐὰν εἰς τροχαῖον λήγῃ, [32] γοργότης ἐστὶν ἡ ἰδέα μᾶλλον, ἀλλ' οὐ σεμνότης. ὥσπερ τὸ ἀνάπαλιν δράσεις, ἐὰν καθαρότητος ἢ ἄλλης ἰδέας ῥυθμοὺς συνθῇς· εἰ μακροκατάληκτον βάσιν τὸ κῶλον, σεμνὸν ἔσται τὸ κῶλον· εἰ δὲ ἔχει καὶ εἰς τὴν ἀρχὴν καὶ εἰς τὸ τέλος τῶν σεμνῶν τινας, ἐν δὲ τῷ μέσῳ τιναςοῦν ἄλλους σεμνούς· τοῦτο τοίνυν δεῖ παραφυλάττεσθαι τῶν ἰδεῶν πανταχοῦ τοὺς ὁποιονοῦν εἶδος προχειριζομένους ἐργάζεσθαι, ἂν μὴ πρὸς τὸ ἀκριβέστερον ἐξικνῆται ἡ δύναμις.

Σύνοψις τῶν περὶ σεμνότητος.

Ἔννοιαι αἱ περὶ θεῶν, ὡς θεῶν καὶ ὡρῶν καὶ σκηπτῶν καὶ τῶν τοιούτων.

Μέθοδοι δὲ αἱ κατὰ ἀπόφασιν καὶ χωρὶς ἐνδοιασμοῦ καὶ ἐξ ἀφηγήσεως λεγόμεναι καὶ ἀλληγορικαὶ ὅταν διαρκοῖεν, [33] τουτέστι πληροῖεν τὸν λόγον.

Λέξις ἡ πλατεῖα καὶ διογκοῦσα τὸ στόμα, ἡ διὰ

31 Par. λόγον. 32 Par. λήγει. 33 Par. διαρκεῖεν.

τοῦ α καὶ η καὶ ω καὶ πολὺν ἐπέχουσιν χρόνον ἐν τῇ προφορᾷ.

Σχήματα ὁμοίως τῇ καθαρότητι τὰ κατ' ὀρθότητα[34] *καὶ αἱ ἐπικρίσεις.*

Κῶλα ὡς ἐν καθαρότητι τὰ βραχύτερα καὶ κομματικὰ καὶ δίκην ἀφορισμῶν.

Συνθήκη ἡ συγκρούουσα τὰ φωνήεντα καὶ ἡ διὰ δακτύλων καὶ ἀναπαίστων καὶ σπονδείων.

Ἀνάπαυσις ἡ ἱστῶσα τὸν λόγον ἐν σπονδείῳ ἢ δακτύλῳ καί τινι τῶν ἄλλων ποδῶν τῶν οἰκείων τῇ σεμνότητι χωρὶς καταλήξεως.

Cap. VII.

Περὶ τραχύτητος.

οδ'. Τῶν ποιούντων μέγεθος λόγου. Ἐπαναλαμβάνει τὰ εἰρημένα τῷ τῆς εὐκρινείας σχήματι καὶ ὑπισχνεῖται τὰ μέλλοντα καὶ λοιπὸν διδάσκειν ἄρχεται περὶ αὐτῆς τῆς τραχύτητος· τίς δὲ ἡ τάξις ἑκάστης τῶν τοῦ μεγέθους ἰδεῶν ἐν τῇ τῶν αὐτῶν ἀπαριθμήσει καὶ ἐν τῇ διδασκαλίᾳ εἴρηται· λοιπὸν τὰ περὶ αὐτῆς λεγόμενα διασκεψώμεθα.[1]

οε'. Ἡ τραχύτης τοίνυν καὶ νὴ Δία ἡ λαμπρότης. Ὥσπερ γάρ, φησίν, αὐτὴ καθ' ἑαυτὴν ὁρᾶται ἡ σεμνότης μηδενὸς ἄλλου προσδεομένη, οὕτως ἡ τραχύτης καὶ ἡ λαμπρότης δύνανται καθ' ἑαυτὰς εἶναι μηδεμιᾶς τῶν ἄλλων προσδεόμεναι· ποιοῦσι δὲ τὴν ἀκμὴν σύνθετον ἐκ τούτων οὖσαν, ὥσπερ ἡμίονος ἐξ ἵππου καὶ ὄνου. εἰ δὲ διὰ πάντων αὐτὴν ποιοῦσιν ἐκ τῶν οἰκείων μερῶν, ἐν τῷ περὶ αὐτῆς τῆς ἀκμῆς ῥηθήσεται.

---

34 Par. repetit: τὰ κατὰ ὀρθότητα.

1 Sequitur ex Vol. VII. p. 991. litt. β'.

οϛ'. *Εἰσὶ δὲ καὶ τῆς ἀκμῆς ἐργαστικαί·* ἄμφω γὰρ ἥ τε τραχύτης καὶ ἡ λαμπρότης τὴν ἀκμὴν ἀπεργάζονται, οὐ μὴν ἐν ἅπασί γε αὐτῇ δι' ὧν γίνονται ὑποβεβήκασιν, οἷον ἐννοίᾳ, μεθόδῳ λέγω, καὶ τοῖς λοιποῖς.

οζ'. *Ὥσπερ ὑποβεβηκυῖαι αὐτῇ.* Οὐ παντάπασιν ὑποβεβήκασιν αὐτῇ ὥσπερ εἴδη γένει, καθάπερ εὐκρίνεια καὶ καθαρότης τοῖς ἑαυτῶν ἐκείνην ἀπετέλουν· ἀλλ' ἔχουσι μέν τινα τὰ μηδόλως τῇ ἀκμῇ συμβαλλόμενα.[2]

οή. *Ἔννοιαι μὲν καὶ λέξεις τραχεῖαι·* αἱ μὲν γὰρ ἔννοιαι καὶ αἱ λέξεις τῆς τραχύτητος ποιοῦσι τὴν ἀκμήν· οὐ μὴν καὶ αἱ ἔννοιαι αἱ λαμπραί· ἐπεὶ οὖν οὕτως ἔχουσι πρὸς αὐτὴν, ὡς δύνασθαι καὶ συνιστᾷν αὐτὴν καὶ καθ' ἑαυτὰς εἶναι χωρὶς αὐτῆς,[3] διὰ τοῦτο εἶπεν ὥσπερ ὑποβεβήκασιν αὐτῇ· διὸ ἀμφιβόλως οἷον καὶ χωρὶς τὴν διδασκαλίαν ἑκάστης ποιεῖται, ὡς ἂν γνοίημεν, ποῖα τῶν ἐκείνων ἀκμῆς συντελεστικὰ, καὶ ποῖα ἃ χωρίζουσιν αὐτὰς ἀπ' ἐκείνης. Δεῖ γὰρ τὸ ποιοῦν ἄλλοτι πρῶτον εἶναι παρὰ τὸ ποιούμενον ὡς τὰ ἁπλᾶ τῶν συνθέτων.

θ'. *Τά τε ἄλλα γὰρ, καὶ οὐ μόνον διὰ τούτων ἡ ἀκμή.* Τοῦτο συνδέσμῳ ἔοικεν ἀντὶ τοῦ ἐπειδὴ ταττόμενον τοῖς ῥήτορσι καὶ ἀντὶ τοῦ ὅτι· εὑρίσκεται δὲ ἐνίοτε καὶ ἀντωνυμία, ὅτι οὐ μόνον διὰ τούτων, ἀλλὰ καὶ διὰ τῶν τῆς σφοδρότητος γίνεται ἡ ἀκμὴ, ὡς ῥηθήσεται.

π'. *Ὥστε ἀναγκαῖον χωρίς.* Τὸ ἀναγκαῖον εἶναι τὴν αἰτίαν, καθ' ἣν διῃρημένας τὰς ἰδέας διδάσκει, τοῦτ' ἦν τό· τινὰ μὲν ἔχει ἴδια καὶ χωρὶς, τινὰ δ' οὔ.

πά. *Ὁ γὰρ τραχὺς λόγος πικρός τε ἅμα καὶ ἄγαν ἐπιτιμητικός.* Μεταφορικὴ τοῦ πικρὸς ἡ λέξις ἀπὸ τῶν φαρμάκων καὶ βοτανῶν· ὥσπερ γὰρ ταῦτα

---

2 Par. συμβάλ. 3 Par. αὐτῶν. [ῆς]

θορυβοῦσι τῇ ποιότητι τὴν αἴσθησιν ἀηδίζοντα, οὕτω καὶ ὁ πικρὸς λόγος καὶ ἐπίχολος κινεῖ τὴν ψυχήν· διὸ καὶ ἐναντία ἐστὶ τῇ γλυκύτητι, ἢ ὑπὸ τὴν ἀφέλειαν ὡς εἶδος εἰς γένος ἀνάγεται καὶ τὸ ἦθος. [4]

πγ'. Ἐν τῷ περὶ ἀφελείας λελέξεται. Τὴν ἀφέλειαν ποτὲ μὲν ὡς γένος, ποτὲ δὲ ὡς ὑποβεβηκυῖαν ἑτέρᾳ παραδιδῶσιν.

Περὶ ἐννοιῶν τῆς τραχύτητος.

Ἔννοιαι τοίνυν εἰσὶ τραχεῖαι· οὐκ ἔχομεν τῶν ἐννοιῶν τούτων ἐκ τοῦ Θεολόγου παράδειγμα· οὐ γάρ ἐστί τις μείζων αὐτοῦ, ἵνα πρὸς ἐκεῖνον ὡς ἐλάττονα τὸν μέγαν δείξωμεν τραχυνόμενον· εἴτε γὰρ αἱρετικοὶ, εἴτε βασιλεῖς κακόπιστοι, εἴτε τινὲς ἄλλοι πᾶσιν ὡς ἐλάττοσιν ἐπιπλήττει κατὰ σφοδρότητα καὶ τραχύτητα· ἐπισκόπῳ οὖν ὀρθοδόξῳ οὐδαμοῦ φαίνεται τραχυνόμενος. ὅπου γε καὶ πρὸς Εὐλάλιον εἰς αὐτὸν ἐξυβρίσαντα ὑφειμένως ἐχρήσατο τῇ ἐπιτιμήσει· εἰ δέ τις τὰς ἐν τῷ συντακτηρίῳ εἰς θεὸν ὁμιλίας ὡς τῆς τραχύτητος ἐννοίας οἴεται, πολὺ διαμαρτάνει· οὐ γὰρ ἐπιτιμήσεις αὗται καὶ ὀνειδισμοὶ τραχύτητος, ἀλλ' ἀφελείας καὶ ἤθους οἰκτροῦ καὶ ἀπλάστου σπῶντος ἔλεον· οὐκοῦν τοίνυν ἐστὶ παρὰ τούτου τοιοῦτόν τι λαβεῖν, οὐ μὴν οὐδὲ παρὰ τῶν προφητῶν· τὸ γὰρ ὑπὸ τοῦ Μωϋσέως [5] φθεγγόμενον πρὸς τὸν θεόν· „μὴ ἐγὼ αὐτοὺς ἐγέννησα," περὶ τῶν Ἑβραίων λέγοντος καὶ τὰ λοιπά, ἀφελείας, ὁμοίως καὶ τὸ τοῦ Ἰὼβ· „τίς δώσει κριτὴν ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ;" τοιοῦτον καὶ τὸ ἐν τῇ ᾠδῇ τῶν τριῶν παίδων· [6] τὸ γὰρ παρέδωκας ἡμᾶς εἰς χεῖρας ἐχθρῶν διὰ τὰς ἁμαρτίας ἡμῶν, ἔλεον ζητούντων ἐστίν· ἄλλως τε ἡ ἐπιτίμησις ἐπὶ διορθώσει τῶν ἐπιτιμωμένων ἐστί τε καὶ γίνεται· τίς δὲ

4 Sequitur ex Vol. VII. p. 299. litt. ς'. 5 Hunc et sq. locum ex Jobo non invenio. 6 v. 8.

ἱκανὸς τούτῳ ἐπιτιμῆσαι τῷ πάντα ἐπὶ τὸ συμφέρον ἡμᾶς ἐπανάγοντι· οὔκουν κατὰ θεοῦ ἐπιτιμήσεις οὐδ᾽ ἐν τοῖς προφήταις· οὐδὲ τῇ ἄλλῃ κτίσει ἐπιτιμῶσι κατὰ τὸν ἑαυτῶν λόγον, ἀλλ᾽ ὡς ἐκ προσώπου τοῦ θεοῦ ὡς τὸ σιώπα, φιμώθητι καὶ τὰ τοιαῦτα τῷ διαβόλῳ ἐπιτιμῶσι, καὶ τοῖς ἀσεβέσιν, ὡς μείζονες τοῖς ἐλάττοσι δικαίως, εἴπερ ὁ τὴν ἑαυτοῦ τάξιν φυλάττων μείζων τοῦ μὴ φυλάττοντος, καὶ τοῦτο τραχύτητος οὐκ ἴδιον, ἀλλὰ σφοδρότητος· λοιπὸν ἀρκεσθησόμεθα τοῖς ὑπὸ τοῦ τεχνικοῦ λεγομένοις παρὰ τοῦ Δημοσθένους παραδείγμασιν.[7]

πδ΄. Εἴπερ τὸν ἐγκέφαλον ἐν τοῖς κροτάφοις· ὡς ἂν εἰ ἔλεγεν, ἐὰν μὴ ὡς κτήνη ἐστὲ, κάτω καὶ ἐπὶ πόδας κύπτοντες καὶ ἐν τούτοις ἔχητε τὸν ἐγκέφαλον· ἀναλάβετε τὴν προγονικὴν φρόνησιν καὶ ἀνδρίαν κατὰ τῶν ἀδικούντων, ὧν καὶ Φίλιππος ἀκόντων ὑμῶν κατασχὼν Ἁλόννησον· ἐκ γὰρ τοῦ περὶ Ἁλοννήσου τὸ παράδειγμα, ἥ[8] Ἀθηναίων οὖσα καὶ ὑπὸ λῃστῶν κρατουμένη ἀφῃρέθη ὑπὸ τοῦ Φιλίππου.

πέ. Ἀλλὰ μανδραγόραν πεπωκόσιν· τοῦτο ἐκ τοῦ πρώτου τῶν Φιλιππικῶν, ὃς τετάρτην τάξιν ἔχει μετὰ τοὺς Ὀλυνθιακοὺς, τρεῖς ὄντας· ἔστι δὲ ἡ μανδραγόρα βοτάνη καρωτικὴ καὶ ἀναιρετική. Ἀναστάσιος δὲ ὁ Ἐφέσιος καί τινες τῶν τεχνογράφων ἐκ τῆς λέξεως ταύτης νοθεύουσι τὸν λόγον· προσεκτέον δὲ μᾶλλον Ἑρμογένει. Αὕτη δ᾽ οὖν ἡ βοτάνη τὰ προειρημένα ποιεῖ, εἰ ὑπὲρ τὴν χρῆσιν δοθείη, ὥσπερ καὶ τὸ ὄπιον καὶ ἡ σκαμωνία· ὀνειδίζει οὖν διὰ τούτων καὶ ἐπιτιμᾷ τοῖς Ἀθηναίοις ὡς ῥαθυμοῦσι κατὰ Φιλίππου, καθάπερ ὑπνοῦντας[9] διανίστασθαι.

πς΄. Εἰ δὲ τὸ περιφανὲς ἀξίωμα τῆς βουλῆς. Τοῦτο ἐκ τῆς ἐπιστολῆς ἐστιν αὐτοῦ τῆς ὑπὲρ τῶν Λυκούργου παίδων, ἣν γράφει καὶ ὑπὲρ ἑαυτοῦ καὶ

7 Par. παραδείγματι. 8 Par. ἣ. 9 Par. ὑπνοῦντα.

ὑπὲρ τούτων· οὗτοι μὲν γὰρ πατέρα ἔσχον τὸν Λυκοῦργον, τὸν ῥήτορα Ἀθηναίων, καὶ ἀποθανόντος αὐτοῦ οἱ παῖδες προσέπταισαν τῷ δήμῳ· αὐτὸς δὲ ἔπταισεν ἐπὶ τοῖς Ἁρπαλείοις χρήμασιν. Ἅρπαλος γάρ τις, Ἀλεξάνδρου ταμίας τοῦ μεγάλου, φυγὼν τῶν χρημάτων ἀπὸ Ἀσίας εἰς Ἀθήνας καὶ ζητούμενος ἔδωκε Δημοσθένει πολλά, ὡς λέγεται, ὑπὲρ συνηγορίας· ἁλοὺς οὖν ὁ Δημοσθένης ἐπὶ τούτῳ καὶ μὴ ἐνεγκὼν τὴν κρίσιν ἔφυγε· γράφει οὖν ὑπέρ τε τῶν Λυκούργου παίδων καὶ ὑπὲρ τῆς ἑαυτοῦ καθόδου τὴν ἐπιστολὴν ταύτην, καθαπτόμενος Ἀθηναίων, ἐφ' οἷς Ἀριστογείτονα τῆς κλοπῆς τῶν χρημάτων ἠθῴωσαν, Δημοσθένην δὲ φυγεῖν ἐποίησαν, καί φησιν· εἰ δὲ οἴεσθε ἑαυτοὺς σεμνοὺς καὶ ἐνδόξους διὰ τὴν ἐν [10] Ἀρείῳ πάγῳ βουλὴν, (ἔνδοξοι γὰρ ἦσαν οἱ Ἀρεοπαγῖται τοῖς Ἀθηναίοις καὶ πᾶσιν) ἀναμνησθέντες τῆς τοῦ Ἀριστογείτονος ἀφέσεως, ἐφ' οἷς Δημοσθένην φυγεῖν ἐποίησε, κρύφθητε καὶ μὴ φαίνησθε τῆς βουλῆς, ἀντὶ τοῦ μὴ ἐστὲ βουλευταί. Εἶχον γὰρ μετὰ τὴν ἐν Ἀρείῳ πάγῳ βουλὴν τὴν μεγάλην μὲν χιλίους, ἑτέραν δὲ πεντακοσίους καὶ ἄλλην ἄλλῳ ἀριθμῷ ἐνδόξους καὶ περιφανεῖς ἄνδρας οὐκ ἔλαττον τῶν πεντήκοντα ἐτῶν· ἡ δὲ τοῦ Ἀρείου πάγου βουλὴ, ἣν καὶ περιφανῆ λέγει, οὐκ ἔλαττον ἦν τῶν ὀγδοήκοντα ἐτῶν. ἦν δὲ ἀνδρῶν δώδεκα.

πζ Ἐν ὑπηρέτου μοίρᾳ καὶ προσθήκης μέρει. Ἐκ τοῦ τρίτου τῶν Ὀλυνθιακῶν· ὑπομιμνήσκει δὲ αὐτὰ ἃ ἔπαθε· τοῦ δὲ ἐκνενευρισμένοι ἑρμηνεία ἐστὶ τὸ περιῃρημένοι· τὸ δὲ ἐν ὑπηρέτου μοίρᾳ εἰς τάξιν ὑπηρέτου γεγόνατε, ποιοῦντες τὰ προςταττόμενα ὑπὸ Φιλίππου· τὸ γὰρ μὴ κατ' αὐτοῦ ἀνίστασθαι τοῦτό ἐστι τὸ ποιεῖν, ὃ αὐτὸς βούλεται.

πή. Εἰ θεωρικὰ ἢ βοΐδια πέμψουσιν ὑμῖν.

10 Par. ἐν om.

Θεωρικά εἰσι τὰ ὑπὸ τῶν στρατηγῶν ἀποστελλόμενα ἐπὶ τῷ θεάτρῳ θηρία εἰς θέαν τῶν καθημένων, βούλια δὲ εἰς τὰς πανηγύρεις· ἔστι δέ τις τῶν θεωρικῶν ἕτερος λόγος, ὃν ἐνταῦθα οὐ σημαίνει.

πθ΄. Παντάπασι γὰρ ἐκλελύσθαι μοι δοκεῖτε. Ταῦτα πάντα τοῦ αὐτοῦ λόγου καὶ ἐπιτίμησιν ἔχει τραχεῖαν.

ρ΄. Καὶ τὸ οὔτοι σωφρόνων οὐδὲ γενναίων. Τοιοῦτον καὶ τό· οὔτοι σωφρόνων· τὸ γὰρ μὴ εἰπεῖν· ὑμεῖς οὐ σώφρονες, ἀλλὰ καθολικῶς οὕτω καὶ οὐ σωφρόνων καὶ ἀορίστως, κουφοτέραν καὶ λείαν τὴν ἐπιτίμησιν ἐποίησεν· ὅμως κἂν ἡ μέθοδος λεία, ἀλλ' ἡ ἔννοια τραχεῖα, καὶ τὰ δύο ταῦτα κῶλα ἐγγὺς ἀκμῆς· μακρότερα γάρ εἰσιν ἢ κατὰ βραχύτητα· τὰ δὲ πρῶτα οὐχ οὕτως, καθαρῶς γὰρ ἦσαν τραχέα, συντομώτερα ὄντα. τοῦ δὲ δυσχεροῦς τὴν αἰτίαν φησὶ, διότι τραχείαις τῶν ἐννοιῶν τὰ λειοῦντα συμπλέκει διὰ τῆς ἀποφατικῆς μεθόδου.

ρά. Τῇ μεθόδῳ καὶ λειότερα γέγονε. Μέθοδον λέγει τὴν μετ' ἐνδοιάσεως [11] ἐπιτίμησιν, οὐκ εἶπε γὰρ ἀποφαντικῶς, ὅτι ἐκλέλυσθε, ἀλλὰ δοκεῖτέ μοι· τοιοῦτον καὶ τό· οὔτι σωφρόνων· τὸ γὰρ μὴ εἰπεῖν ὑμεῖς οὐ σώφρονες, ἀλλὰ καθολικῶς οὐ σωφρόνων καὶ ἀορίστως κουφοτέραν καὶ λείαν τὴν ἐπιτίμησιν ἐποίησε.

ρβ΄. Τὸ γὰρ τῷ τοιούτῳ τοῦτον κεχρῆσθαι. Καὶ τοῦτο ἐκ τῆς ἰδίας καθόδου τῆς ἐπιστολῆς· τὸ γὰρ οὕτως ἀπηνῶς χρῆσθαί [12] μοι, τῷ ἀδωροδοκήτῳ καὶ εὔνῳ, τῷ μήτε ὑπὸ τῶν λόγων Φιλίππου, μήτε ὑπὸ τοῦ χρυσοῦ τῆς ἡμετέρας ἀποσαλευθέντι εὐνοίας ἐμοὶ μὲν συμφορὰ φανείη τῆς πατρίδος ἐλαθέντι, μόνῳ καὶ οὐκ ἄλλα· ὑμετέρα δὲ φανείη πάντως ἀγνωμοσύνη καὶ ἀχαριστία, καὶ τὸ πῶς ἐν τῇ ἐπιστολῇ διεξέρχεται, μεθο-

11 Par. ἐνδιάσεως. 12 Par. χρῆεσθαι.

δείκνυσι δὲ ὡς μὴ εἶναι πάντη τραχὺ συμπλακὲν τοῖς φῦσι πρὸ αὐτοῦ ἐν τῇ ἐπιστολῇ, κἂν τοῖς μετ᾽ αὐτὸ πρότερον ἐξεφωνήθη, ἅ εἰσι ταῦτα.

ργ΄ Ἐμοὶ μὲν γὰρ εὖ οἶδ᾽ ὅτι. Τῇ τύχῃ γὰρ ἐνταῦθα οἴεται τὴν αἰτίαν τῆς συμφορᾶς ἀνατιθέναι καὶ τῆς φυγῆς· τὸ δὲ μετ᾽ αὐτὸ ἦν· τῷ μεταγνῶναι λύσατε· τοῦτο γάρ ἐστι τὸ τῆς τραχύτητος· μετανοήσαντες, φησὶν, ἐφ᾽ οἷς ἡμαρτήκατε, καὶ τῇ μετανοίᾳ τὴν συμφορὰν λύσατε προστακτικῶς· τὸ γὰρ αἰτεῖν καὶ ἱκετεύειν λυθῆναι τῆς φυγῆς κολακεύοντος λόγου, ἀλλὰ καὶ τὸ ὑμετέρα ἀγνωμοσύνη πάνυ τραχὺ δοκοῦν εἶναι διόρθωσίν τινα ἄν τις ὑπολάβοι[13] εἶναι.

ρέ. Μεθοδευθὲν δὲ οὕτω· λειωθὲν καὶ συμπλακὲν τῷ πρὸ αὐτοῦ τὰ ἐμοὶ[14] μὲν γὰρ εὖ οἶδ᾽ ὅτι καὶ μεθοδευθέν· κακία δὲ οὐδεμία, τῇ τύχῃ γὰρ ἐνταῦθα δοκεῖ τὴν αἰτίαν τῆς φυγῆς ἀνατιθέναι, μετ᾽ αὐτὸ δὲ λέγει τὸ ἦν τὸ μεταγνῶναι λύσατε· πρόςεστι μὲν γὰρ τούτῳ, ὡς αὐτός φησι, τραχύτητός τι διὰ τὸ προστακτικὸν σχῆμα τὸ λύσατε· τῷ δὲ δοκεῖν ἱκετεύειν καὶ ἐξαιτεῖν ἄφεσιν κολακικὸς ὁ λόγος, καὶ διόρθωσιν ἐπάγει τῷ τραχέως προειρημένῳ λόγῳ.

ρς΄. Ὦ τί ἂν εἰπὼν δοκοίην μήτε ἁμαρτεῖν. Καὶ ταῦτα ἐν τῇ ἐπιστολῇ κεῖται καὶ τραχέα εἰσίν· ἐλειώθη δὲ τὴν ἄγαν τραχύτητα διὰ τοῦ ἀπορητικοῦ· ἡ δὲ κατὰ τὸν Δημοσθένην ἱστορία περὶ τῶν Ἁρπαλείων χρημάτων προεγράφη ἄνωθεν· ὡσαύτως δὲ καὶ περὶ τῶν Λυκούργου παίδων καὶ περὶ τοῦ Μεταίχμου τοῦ συκοφαντοῦντος αὐτοῦ· τὰ δὲ ἑξῆς τοῦ ὕφους πάντα σαφῆ· ὁ δὲ Ἀριστογείτων ῥήτωρ ἦν καὶ οὗτος, ἀλλ᾽ οὐ τῶν

κρι-

13 Par. ὑπολάβοιεν. Sequitur ex Vol. VII. p. 994. litt. ιγ΄. sine alieni auctoris nota. 14 cfr. Vol. VII. litt. ιβ΄.

κριθέντων ἀναγινώσκεσθαι δέκατον· οὗτός ἐστιν οὗ κατηγορεῖ Δημοσθένης καὶ Λυκοῦργος.[15]

Περὶ μεθόδου τραχύτητος.

ρή. Μέθοδος δὲ τραχύτητος μία, τὸ ἀπαρακαλύπτως καὶ ψιλῶς μὴ μετὰ παραμυθίας τινὸς, ἐξ ὧν εἶπεν ἢ ἐνδοιασμοῦ ἢ ἀπορηματικοῦ ἢ ἄλλα τινὰ προςτιθέναι τῷ λόγῳ· εἰ λέγει τις ἕτερος περὶ τούτων δημηγορῶν, τόδ' ἂν καὶ τόδε εἶπεν, ὡς ῥᾴθυμοι, ὡς ἀναπεπτωκότες, μηδ' εἴ τι τῶν λεαινόντων τὸ τραχὺ καὶ οἷον ἐπίχολον, ὁποῖαί εἰσιν αἱ προειρημέναι· τὸ μὲν γὰρ μανδραγόραν, τὸ ἐοίκατε, καὶ τὸ εἴπερ, οὐ καθαρῶς τραχέα· τό δὲ ἐγκαλύψασθε καθαρῶς καὶ τὰ μετ' αὐτό· οὐ μὴν οὐδὲ τὸ ἐκλελύσθαι μοι δοκεῖτε καθαρᾶς τραχύτητος, οὐδ' εἴ τι ὅμοιον, ἤθους γάρ εἰσι ταῦτα μᾶλλον εὐλαβοῦς, ἢ τραχέος.

Περὶ λέξεως.

ρθ'. *Λέξις δὲ τραχεῖα ἡ τετραμμένη.* Τίνες μὲν οὖν εἰσιν αἱ τετραμμέναι, εἴρηται ἐν τῇ σεμνότητι· αἱ τροπικαὶ αἱ κατ' ἄλλων μὲν λεχθεῖσαι, κατ' ἄλλων δὲ ληφθεῖσαι· τὸ γὰρ *πεπατημένον* ἐπὶ τοῦ περιπεφρονημένου εἴρηται καὶ ἀμελουμένου· καὶ τὸ *διεκλέλυσθε* ἐπὶ τῶν διαφθαρέντων τῇ τρυφῇ ἢ λειποψυχίᾳ, ἢ τινι τῶν τοιούτων· καὶ τὸ *ἀναπεπτωκότες* ὁμοίως ἐπὶ τῶν ἀναισθήτων καὶ ἀφροντίστων· οὕτω καὶ τὸ *κάθησθε* ἐπὶ τῶν ἀμερίμνων, καὶ τὸ *ἐκνενευρισμένοι* ἐπὶ ταύρων, καὶ τὸ *κατεσθίων κατέφαγεν* ἐπὶ τῶν ἀκρωτηριαζομένων ὑπὸ λώβης ἢ γαγγραίνης ἢ πάθους τινός· ὁ δὲ εἶπε τοῦτο καὶ τὰ ἔσχατα νοσοῦντας δηλῶν, καὶ κατεβρώθητε ὑπό τε τῆς ἰδίας νόσου τῆς ἀμελείας ὑμῶν, καὶ ὑπὸ Φιλίππου καὶ τῶν προδο-

15 Sequitur ex Vol. VII. p. 995. no. ιδ'.

τῶν· καὶ τὸ *διορωρυγμένοι* ἐπὶ κλεπτῶν, καὶ τὸ *περικόπτων καὶ λωποδυτῶν*, ὡς ἐπὶ μαγείρου καὶ ὁδοστάτου· αὗται πᾶσαι τὸ τραχὺ καὶ τὸ σκληρὸν ἔχουσι, καὶ ἀπὸ τῆς τροπῆς καὶ ἀπὸ τῆς συνθέσεως τῶν συμφώνων αἱ πλείους· τὸ δὲ ἀταρπὸς καὶ τὸ ἔμαρπτε καὶ τὸ ἔγναψε καὶ τὰ ὅμοια ἀπὸ τῆς συνθέσεως μόνης, ἀπὸ μὲν τῆς φωνῆς ὑψοῦσι, τὸ δὲ κάτω που καταβάλλουσι, κατὰ τὴν ἐκφώνησιν τὸ πνεῦμα βιάζουσαι· τραχέα γὰρ ἐμπίπτουσι τῇ φωνῇ καὶ τῇ ἀκοῇ, παρεμποδίζοντος τὴν γλῶτταν τοῦ ρ μετὰ τοῦ ν ἢ καὶ τῶν συζευχθέντων ἢ καὶ τοῦ ψ· εἰ δὲ πρωτεύει τὸ π, λειοτέρα καὶ ἡ φωνὴ καὶ ἡ λέξις προσπίπτει, οἷον πρόσωπον· τὸ δὲ ἧττον πτῶσις· οὐ γὰρ ἔχει τὸ ρ, ἡ πτῶσις δηλαδή· διὸ καὶ τὰ ἀμετάβολα οἱ γραμματικοὶ, [16] ἐξαιρέτως δὲ τὸ ρ, ὑγρὰ καλοῦσιν· ὡς ὀλισθαίνουσαν τὴν γλῶσσαν ἐν αὐτῷ, [17] καὶ ὅπως μουσικὸς ἂν εἰδείη ἀνὴρ φιλοσοφίᾳ σύντροφος· οἷς τὰ τοιαῦτα σύμφωνα εἰς μελοποιΐαν ἀνοίκεια· ῥέουσι γὰρ τῆς γλώττης καὶ συμφωνίας ἐξίστανται μὴ δυναμένης ἀνέχειν πρὸς τὸ τέλος αὐτὰ, ὥσπερ οὐδὲ τὸ πρανὲς ὕδωρ· εἰ δέ τις μεσεμβολεῖται λέξις συμφώνοις εὐήχοις πρὸς τὰ τραχέα ταῦτα, ἧττον σκληρὰ, ὥσπερ τὸ φοβερόν· τὸ δὲ ἐκνενευρισμένον ἐπὶ συγγενεῖ παρυπέκλινεν ἀμεταβόλῳ τῷ ν υ, ὑπότραχύ πως ἐστιν· ὥσπερ γὰρ ταῦτα ἀδύνατα μεταβάλλεσθαι ταῖς πτώσεσι τῶν ῥημάτων, καὶ ἐν ταῖς κλίσεσι τῶν ὀνομάτων, οὕτως καὶ ἐν τῷ μέλει συμπίπτοντα κατὰ τοὺς μουσικοὺς λόγους ἀμετάβολα λέγονται καὶ ὑγρὰ, ὅτι μηδὲ τὰ ὑγρὰ μεταβάλλονται εἰς ξηρὰ τέχνῃ ἀνθρωπίνῃ· ξηρὰ δὲ εἰς ὑγρὰ μεταβάλλεσθαί φησιν Ἀριστοτέλης, εἴπερ λίθος συνεψόμενος λίπει θηγάνῃ γίνεται, καὶ ξύλον βρεχόμενον ὑποκάμπτεται, καὶ δέρις ἐστὶ, καὶ τοὺς ἰατροὺς ἴσμεν τὰ ξηρὰ τῶν σωμάτων βαλανείῳ καὶ

16 Par. *γραφιτικοί*. scribendum censeo: *γραμματικοί*. eodem modo infra c. XII. *μά. γραφικοὺς* et *γραμματικοὺς* permutatur. 17

ἐλαίῳ ὑγραίνειν· φεύγειν δὲ δεῖ τὰ τοιαῦτα τὸν ῥήτορα, εἰ μήπου τις χρεία τραχύνεσθαι, καὶ τὰ παρόμοια τῶν ὑποκειμένων ἐκφράζει τῇ μιμήσει. [18]

Περὶ σχημάτων τραχύτητος.

ρ΄. Σχήματα δὲ τραχέα. Σχήματά φασι τραχύτητος τὰ προστακτικὰ, ἔπειτα τὰ κατ' ἐρώτησιν ἐλεγκτικὰ καὶ τὰ παρακείμενα, περὶ ὧν, ὡς καὶ οἱ ἡμέτεροι χρῶνται αὐτοῖς κατὰ τῶν ἐλαττόνων, ἐν τῇ σφοδρότητι δείξομεν· ἐπὶ δὲ τῶν μαρτύρων πολλά εἰσι τὰ κατὰ τῶν βασανιζόντων τοιαῦτα· τὸ γὰρ ῥυπαρὲ κύων καὶ τὰ ὅμοια τοιαῦτα, ὅτι οὐδεὶς μείζων τῶν ἡμετέρων διδασκάλων, οὐδὲ βασιλεὺς, μαρτυρεῖ ὁ θεολόγος· καὶ τὸ κοινωνοὺς ἔχειν ὑμᾶς μέγαν μὲν, πῶς γὰρ ἄν· εἶτα ἐρεῖ που, ἀλλ' ὡσεὶ τινας ἄλλους τῶν ὑφ' ἡμᾶς τεταγμένους, καὶ ἀλλαχοῦ, εἰ καὶ ἡμᾶς εἰς τὴν μείζονα τάξιν ἀνήγαγεν ὁ θεὸς, ὑμᾶς παιδεύειν τοὺς ἐν ἐξουσίᾳ, ὥστε καὶ βασιλεῖς ὑπόκεινται τούτοις, πρὸς τίνας τραχυνθήσονται γράφοντες καὶ μείζους ὄντες, σφοδρῶς μέντοι οὐ μόνον ἐπιτιμήσουσιν, ἀλλὰ καὶ προσαπειλήσονται ἢ τὰ μέλλοντα, ἢ τὴν ἀπὸ τῆς ἐκκλησίας ἔξοδον.

ρά. Οἱ ταλαίπωροι Ὀλύνθιοι. Ἐκ τοῦ παραπρεσβείας Δημοσθένους. Ὀλύνθιοι δέ εἰσιν οἱ Φωκεῖς, οὓς ἄρδην ἐξηνδραποδίσατο Φίλιππος, καὶ τριάκοντα δύο πόλεις αὐτῶν χρόνῳ βραχεῖ.

ρβ΄. Βουλεύεσθε ὦ Ἀθηναῖοι. Ἐκ τῶν Φιλιππικῶν, ἐν οἷς εἰσάγει Τιμόθεον τὸν στρατηγὸν Δημοσθένους, οὗ καὶ πύργος ἐντὸς τῆς τῶν Κορινθίων πύλης ὁ μέγας· καὶ Ἀριστοφάνης οἶμαι ἐν ταῖς Νεφέλαις [19] μέμνηται αὐτοῦ, λέγοντος, βούλεσθε, ὦ Ἀθηναῖοι, Θηβαίους ἔχοντες καὶ τὰ ἑξῆς, καὶ ἔστιν ἡ ἱστορία τοιαύ-

---

Par. ἐν αὐτοῦ. 18 Sequitur ex Vol. VII. p. 995. litt. ιέ. τετραμμένη ἐστὶν κ.τ.λ. 19 v. 212.

τη· ἡ Εὔβοια ἡ ἀπὸ τοῦ Εὐρίπου νῦν Εὔριπος καλουμένη σύμμαχος ἦν Ἀθηναίοις, εἰς ἣν Θηβαῖοι ἐξ ἐφόδου διαβάντες ἐπολέμουν· οἱ δὲ Χαλκιδεῖς, Χαλκιδὶς γὰρ ἐλέγετο τὸ καλὸν ὄρος, πρεσβεύσαντες Ἀθηναίοις ᾔτουν συμμαχίας· τῶν δὲ συναχθέντων εἰς τὸ βουλευτήριον περὶ τούτου Τιμόθεος στρατηγὸς ὢν ἐπιπλέξας ταῦτα, ἃ παράγει τὸν Δημοσθένην εἰπεῖν [φησὶν] ὁ τεχνικὸς, [καὶ] ἔπεισε διαβῆναι εἰς Εὔβοιαν· ἃ μαθόντες Θηβαῖοι τῆς νήσου πεφεύγασι· φησὶ τοίνυν Ἑρμογένης, ἐὰν ὑποθεῖο τὰ σχήματα, μὴ ἀφ' ἑτέρου προσώπου εἶναι ταῦτα, τὸ βούλεσθε καὶ τὰ ἑξῆς, οἷον τοῦ Τιμοθέου, ἀλλ' ἀπ' αὐτοῦ Δημοσθένους προηγουμένως λέγεσθαι, σφόδρα ἔσται τραχέα· νῦν δὲ οὐχ οὕτως· ἀλλ' ὡς ἕτερον πρόσωπον πλάττει λέγεσθαι ταῦτα Δημοσθένης, διὸ ἧττόν εἰσι τραχέα, ὡς ἀφ' ἑτέρου λεγόμενα καὶ οὐκ ἀπὸ Δημοσθένους.

ργ'. Καθ' ὑποκειμένου· τουτέστι κατὰ πρῶτον λόγον ἀπὸ Δημοσθένους εἰρῆσθαι, ἀλλ' οὐκ ἀπὸ Τιμοθέου· δέχεται δὲ, φησὶν, καὶ ἄλλα σχήματα, τυχὸν ἀποσιώπησιν καὶ ὑποσιώπησιν, ἀλλὰ κατὰ δεύτερον λόγον καὶ ταῦτα δέχεται καὶ ἄλλα τινὰ, ὥσπερ καὶ αἱ λοιπαὶ, ἀλλά τάγε ἴδια αὐτῆς κατὰ πρῶτον λόγον τὰ προειρημένα.[20]

Περὶ κώλων.

ρδ'. Κῶλα δὲ τραχέα, ὁποῖα τίθησιν ὁ τεχνικὸς σαφῆ ἔχοντα τὴν κατάληψιν, καὶ οὐ περινενοημένα.

Περὶ συνθήκης τραχύτητος.

Συνθήκη δὲ τραχεῖα· ἡ χασμῳδίας ἔχουσα καὶ ἐξ ἀνοικείων ἑαυτῇ συντεθειμένη ποδῶν· νῦν μὲν σεμνότητος, νῦν δὲ τῶν τῆς καθαρότητος, νῦν δὲ γοργότητος

---

20 Sequitur Συριανοῦ καὶ ἑτέρων εἰς τὸ κατὰ δεύτερον καὶ τρίτον λόγον. ex Vol. VII. p. 996. litt. ιή. 21 Par. κῶλον.

καὶ κάλλους· οἱ γὰρ ὀργιζόμενοι οὐ φροντίζουσι κάλλους τοῦ περὶ τὸν λόγον, ἀλλὰ τὰ ἐπιόντα, ὡς ἔτυχε, προάγουσιν ἀκόσμως καὶ ἀνακολούθως, καὶ ἡδονῆς μετρικῆς ἀλλοτρίως καὶ ἀῤῥύθμως·[22] ἀνοίκειοι δέ που πάντως εἰσὶν, ὡς σπονδεῖος καὶ πυῤῥίχιος, τροχαῖος καὶ δάκτυλος, ἀνάπαιστος καὶ ἴαμβος, ἐπίτριτος καὶ ἴων, καὶ ἴαμβοι καὶ ἴωνες, καὶ μολοττοί· πάντες γὰρ οὗτοι πρὸς ἀλλήλους ἀνοίκειοι καὶ οὐ συγγενεῖς.

Περὶ ἀναπαύσεως.

ρς'. Οὕτως ἔστω καὶ ἡ ἀνάπαυσις, νῦν μὲν εἰς μακρὸν, νῦν δὲ εἰς βραχὺν, νῦν δὲ εἰς τροχαῖον ἢ δάκτυλον ἢ τῶν ἑτερογενῶν τινα· οὕτω γὰρ γίνεται δύσηχος καὶ τραχὺς ὁ ῥυθμός.

ρδ'. Ἀντίκειται δὲ ταύτῃ πάντως μὲν καὶ ἡ γλυκύτης. Τὸ φιλόσοφον ἀξίωμα φυλάττει ὁ σοφὸς Ἑρμογένης τῷ ὄντι, τὸ λέγον, ἡ αὐτὴ ἐπιστήμη τῶν ἐναντίων, ὁ γὰρ εἰδὼς, ὡς ἡ σωφροσύνη ἀρετὴ, οἶδεν, ὅτι καὶ ἡ ἀκολασία κακία, δι' ἀλλήλων γὰρ καὶ ἅμα τὴν γνῶσιν ἔχουσι· διὰ τοῦτο οὖν φησιν, ὅτι ἀντίκειται τῇ τραχύτητι καὶ τῇ σφοδρότητι ἡ γλυκύτης, ὅτι αἱ μὲν ἄῤῥυθμοι καὶ δύσηχοι καὶ τὸ ὅλον ἀειδεῖς, ἡ δὲ τὸ ἐναντίον ἅπαν εὔρυθμος, εὐήκοος, εὔηχος, εὐήδανος, εὐμενὴς, ὥσπερ ὄργανον ἔντεχνον, γλυκεῖα τῇ ἀκοῇ, ὥσπερ τὸ μέλι τὸ ἀφ' οὗ παρωνομάσθη τῇ γεύσει, ὡς ἀπ' αὐτῆς ἔσται δῆλον.

ρή. Ἰδίως δὲ σφοδρότητι. Κοινῶς μὲν, φησὶν, ἐναντίον γλυκύτης ταύταις ταῖς ἰδέαις, ἰδίως δὲ σφοδρότητι ἐναντίον ἡ ἐπιείκεια· ἡ μὲν γὰρ ἀλαζονικὴ καὶ αὐθάδης, θρασεῖά τε καὶ ὑπερήφανος, ἡ δὲ πρᾳεῖα, καθεστηκυῖα, συνετὴ, ταπεινότητι λόγων κάμπτουσα, ἡ ἐπιείκεια.

---

22 Par. ἀρίθμως.

Σύνοψις τῶν περὶ τραχύτητος.

Ἔννοιαι αἱ τῶν μειζόνων προσώπων ἐπιτίμησιν ἔχουσαι ἀπό τινος τῶν ἐλαττόνων ἀπαρακαλύπτως.

Μέθοδος τὸ ἀπαρακαλύπτως καὶ ψιλῶς κατ' ἐπιτίμησιν, ἀλλὰ μὴ ἄλλως μηδὲ συμπλέκοντα τοῖς λεαίνουσιν εἰσάγειν τὰς ἐννοίας.

Λέξις ἡ τετραμμένη καὶ ἀφ' ἑαυτῆς σκληρά.

Σχήματα τὰ προστακτικὰ καὶ τὰ κατ' ἐρώτησιν ἐλεγκτικά· [23] κῶλα τὰ βραχύτερα καὶ μᾶλλον κόμματα.

Συνθήκη ἡ συγκρούσεις φωνηέντων ἔχουσα, καὶ ἄῤῥυθμος οὖσα καὶ ἀνακολούθους πόδας ἔχουσα.

Ἀνάπαυσις ἡ ὅμοιος τῇ συνθήκῃ ἀνακόλουθος τοὺς πόδας.

Cap. VIII.

Περὶ σφοδρότητος ἐννοιῶν.

ρθ'. Ἡ δὲ σφοδρότης ἐννοίας μὲν ἔχει· τὴν τῶν πολλῶν δόξαν ἀναιρεῖ, διὰ τῆς τάξεως τῆς σφοδρότητος μετὰ τὴν τραχύτητα, οἵ φασι μηδὲν τὰς ἰδέας ταύτας διαφέρειν ἀλλήλων· εἰ δὲ προσώποις φαίη τις ἂν διαφέρειν, οὐδέν φασι πρὸς τὸν λόγον τοῖς ἄλλοις ἅπασι κοινωνοῦντα· ἀλλ', ὦ γενναῖε, πρὸς τὸν τοιοῦτον εἴποιμ' ἂν, εἰ μὴ καὶ ἑνὶ μόνῳ διαφόρῳ τὰ πράγματα ἐκρίνετο, ταὐτὸν ἂν ἦν ἄγγελος καὶ ἄνθρωπος, ὅτι μὴ μόνον οὐ διαφέρουσι τῷ ἑνὶ, ἤτοι τῷ λογικῷ, [24] ἀλλὰ καὶ τῷ ἀθανάτῳ· ταὐτὸν ἡμῖν οὗτοι καθ' ἕτερον μέρος τὴν ψυχὴν, εἴπερ οὕτως θείημεν, ὡς σὺ τὸ ἕν· νῦν δὲ οὐχ οὕτως ἔχει· ἕτερον γὰρ λογικὸν ἀγγέλου καὶ ἕτερον ἀνθρώπου, εἰ καὶ

23 Par. ἐλεκτικά. 24 Par. λόγῳ. (ικῷ)

τῇ προφορᾷ ταὐτόν τε καὶ ἓν, ὥστε ἕτερον πρόσωπον μεῖζον καὶ ἕτερον ἔλαττον, καὶ οὐ ταὐτὸν οὐδὲ ἕν· οὐκοῦν οὐδὲ τραχύτης καὶ σφοδρότης, ὅτι μηδ᾽ ἄνθρωπος καὶ ἵππος ἓν, ἑνὶ διαφέροντα τῷ λογικῷ καὶ ἀλόγῳ κατὰ πάντα κοινωνοῦντα· ἔπειτα οὐδὲ ἑνὶ, ἀλλὰ πολλοῖς διαφέρουσι τραχύτης καὶ σφοδρότης· ἡ [25] μὲν οὐ χρήζει ὀνοματοποιΐας, ἡ τραχύτης, ἀρκεῖται γὰρ τοῖς οὖσι, κἂν εἰς τὸ οἰκεῖον τρέπῃ αὐτὰ, ἡ δὲ ὀνοματοποιεῖ, [26] ὡς μαθήσῃ, εἴπερ μαθήσῃ, καὶ ἡ μὲν ἔχει τὰ λειαίνοντα τὸ ταύτης τραχὺ, ἡ δὲ οὐκ ἔχει ἡ σφοδρότης, ἐπεὶ μηδὲ καταιγὶς σφόδρα κατὰ τῶν ὑποκειμένων· δύο ἄρα οὖσαι, εἰκότως καθ᾽ ἑαυτὴν ἑκάστη τῆς τάξεως καὶ τῆς διατυπώσεως ἔτυχεν.

ρί. Ἐννοίας μὲν ἔχει καὶ αὐτὴ τὰς ἐπιτιμητικάς. Ἐννοίας μὲν ἔχουσι τὰς αὐτὰς, ἀπὸ προσώπων δὲ οὐ τῶν αὐτῶν· ἡ μὲν γὰρ κατὰ μειζόνων, ἀπὸ τῶν ἐλαττόνων, ἡ δὲ σφοδρότης ἀπὸ τῶν μειζόνων κατὰ ἐλαττόνων, κατὰ ἀντιδίκων, κατὰ πολεμίων, καὶ καθ᾽ ὧν οἱ ἀκούοντες δέξαιντ᾽ ἂν ἡδέως· εἰ γὰρ μὴ δέξαιντο, χώραν ἡ σφοδρότης οὐκ ἔχει, καὶ μὴν ἐρεῖ σφοδρῶς καὶ κατ᾽ ἐκκλησιαστῶν καὶ βουλευτῶν, ἤδη δὲ καὶ βασιλέων· ἀλλ᾽ εἰ μὲν ἐχθροὶ εἶεν, πάντα σφοδρῶς ἐρεῖ ἐπιτιμητικῶς, εἰ δὲ φίλοι καὶ εὐσεβεῖς, ὑφειμένῃ χρήσεται τῇ ἐπιπλήξει, ὅτι μὴ πάντα, φησὶ, κατηγορεῖ ὁ θεολόγος, οὐ γὰρ δίκαιον· λοιδορία γὰρ ἄντικρυς τοῦτο καὶ ὕβρις, ἃ τοῖς ἐνδόξοις προσώποις καὶ εὐσεβέσιν ἐπάγειν οὐκ εὐαγὲς, διδασκάλῳ ἢ συμβούλῳ ἢ ἐκκλησιαστῇ, εἰ μὴ ἄλλως ὁ λέγων τῷ ἀνεπιλήπτῳ καὶ θαυματουργῷ βίῳ θαῤῥεῖ, καθὰ φαίνεται πεποιηκὼς ὁ ἅγιος Ἀμβρόσιος Θεοδοσίῳ τῷ βασιλεῖ, καὶ ὁ μέγας Χρυσόστομος Εὐδοξίαν τοῦ ἱεροῦ διώξας, καὶ Λέων ὁ ἀποστολικὸς, ἀφορίσας Ἀρκάδιον.

---

25 Par. οἱ. 26 Par. ὀνοματοποιῇ.

Συριανοῦ καὶ ἑτέρων.[27]

ριά. Ἀλλ' ἡ μὲν τραχύτης κατὰ μειζόνων προσώπων. Σχεδὸν μόνη αὕτη διαφορὰ τραχύτητος καὶ σφοδρότητος ἐν πᾶσιν.

ριβ. Ἢ καθ' ὧν καὶ οἱ ἀκούοντες δέξαιντ' ἂν ἡδέως, διὰ τὸ κατὰ ἐλαττόνων εἶναι προσώπων, καὶ καθ' ὧν ἂν οἱ ἀκούοντες ἡδέως δέξαιντ' ἄν· ἐν γὰρ τῇ τραχύτητι λειαίνειν καὶ περιστέλλειν δεῖ τὴν ἐπιτίμησιν, ἐπειδὴ κατὰ μειζόνων γίνεται προσώπων, ὡς οἱ περὶ υἱοῦ καί τινες τῶν ἄλλων θεολογικῶν ἐρωτήσεις ἔχοντες καὶ ἀποκρίσεις· φιλοσοφίας δὲ, ὡς τὸ ἀεικίνητον αὐτοκίνητον, τὸ αὐτοκίνητον ἀθάνατον, καὶ τὰ ὅμοια· τροχαλὴ γὰρ ἔννοια καὶ συμπεπλεγμένη ταῖς λέξεσιν· ἡ κατὰ πάντα ταῦτα γοργότης τῷ κοινῷ λόγῳ[28] ἐναντιοῦται λαμπρότητι[29] τρόπον τινὰ, ὡς ἓν νοούμενα, ὡς γοργότης τῷ κοινῷ λόγῳ, ἰδίως δὲ λαμπρότητι ἐναντίον οὐχ ἡ ἐν ῥητορικῇ γοργότης, οὐδ' ἡ φιλόσοφος, ἀλλ' ἡ ἐν διαλεκτικῇ· ἡ μὲν οὖν φιλόσοφος γοργότης, ὅτι σεμνὰς ἔχει τὰς ἐννοίας, λαμπρὸν τὸ πρᾶγμα δείκνυσι, κἂν δοκῇ τρέχειν, ὥσπερ καὶ ἡ λαμπρότης, λαμπρὸν δὲ λαμπρῷ οὐκ ἐναντίον, οὐδ' ἡ ἐν φιλοσοφίᾳ ἄρα γοργότης τῇ ἐν ῥητορικῇ ἐναντίον, ἡ δὲ ἐν ῥητορικῇ πάλιν, καθὸ ῥητορικῆς γοργότης οὐκ ἐναντίον λαμπρότητι· τὸ γὰρ Χριστὸς γεννᾶται, δοξάσατε, Χριστὸς ἐξ οὐρανῶν, Χριστὸς ἐπὶ γῆς, σεμνὰ ὄντα, ὅμως διὰ τὴν σύντομον καὶ ταχεῖαν τῶν ἀξιώσεων ἀπόδοσιν καὶ γοργότητος ἔχουσι μέθοδον· λαμπρὰ δὲ, ὅτι καὶ τὸ πρᾶγμα πρὸς τῷ σεμνὸν εἶναι καὶ λαμπρόν ἐστιν· εἰ δ' ἀμφιβάλλει τις λέγων, ὅτι ἡ λαμπρότης περί τινα τῶν πραγμάτων γίνεται ποιότητα, τὰ δὲ τεθέντα παραδείγματα αὐτὸ τὸ πρᾶγμά ἐστι, ἔστω-

27 Non est in Vol. VII. 28 Par. λόγου. 29 Par. λαμπρότητα.

σαν παραδείγματα λαμπρὰ μὲν ἔχοντα τὴν ποιότητα, οὐδὲν δὲ ἧττον τὴν μέθοδον γοργὴν ἔχοντα· εἰσὶ δὲ ταῦτα· τί μοι πρὸς τοῦτο τὸ ἔργον αἱ ἑπτάπυλοι Θῆβαι καὶ οἱ Αἰγύπτιοι καὶ Μαυσωλοῦ Καρικὸς τάφος καὶ πυραμίδες; καὶ τὰ ἑξῆς· καὶ γὰρ ἐνταῦθα διερχόμενος τὸ κάλλος τῶν πραγμάτων μετὰ πεποιθήσεως καὶ θάῤῥους ταῦτά φησι, καὶ ἀποφαντικῶς, ὅπερ ἴδιον λαμπρότητος μετὰ τῆς μακροκωλίας· αἱ δὲ ταχεῖαι μεταλλαγαὶ γοργότητος, καὶ ἡ τῶν συμπλεκτικῶν ἐπιφορά· οὐκ ἐναντία ἄρα ἀλλήλων τὰ εἰς ἓν συνιόντα, οὐκοῦν οὔτε ἡ ἐν ῥητορικῇ, οὔτε ἡ ἐν φιλοσοφίᾳ γοργότης ἐναντία λαμπρότητι· μία δέ ἐστι καὶ ἡ αὐτὴ λαμπρότης ἐν ἁπάσαις ταῖς μεθόδοις, ὅταν εὑρίσκηται· οὐ γὰρ ἑτέρως ἡ ἐν φιλοσοφίᾳ καὶ ἑτέρως ἡ ἐν ῥητορικῇ γίνεται, ἀλλ' ἡ αὐτὴ κατὰ ποιότητα καὶ πεποίθησιν πανταχοῦ· ἡ δὲ ἐν διαλεκτικῇ γοργότης, πρῶτον μὲν ὅτι ἐκείνη καὶ τὸ πρᾶγμα ἐξετάζει καὶ τὰ τούτῳ παρακολουθοῦντα· ἡ δὲ λαμπρότης τὴν ποιότητα μόνην τῶν προσώπων καὶ τῶν πραγμάτων· δεύτερον, ὅτι ἐκείνη κομματική, αὕτη μακρόκωλος· τρίτον, ὅτι εἰ καὶ ἐκείνη σχήματα ἔχει, ἀλλ' οἱ κατὰ ἀπόφασιν καὶ χωρὶς ἐνδοιασμοῦ ἀεί· τέταρτον, ὅτι ἐκείνη οὐ φροντὶς συνθήκης καὶ καταλήξεως, ταύτῃ δὲ πάνυ· πέμπτον, ὅτι ἐκείνης ταχεῖαι αἱ μέθοδοι καὶ ἀπαντήσεις, αὕτη δὲ οὐδόλως ἔχει ἀπάντησιν, καὶ αἱ μέθοδοι δὲ ἀποστατικαί· ἕκτον, ὅτι ἐκείνη μὲν ἢ πεῖσαι ζητεῖ ἢ ἐλέγξαι τὸν προσδιαλεγόμενον, αὕτη δὲ οὐδέτερον, ἀλλ' ἁπλῶς τὸ ἐν τῷ πράγματι ὂν διεξέρχεται· τὸ γὰρ πείθειν ἢ ἐλέγχειν οὐ καθ' ἑαυτὴν ἔχει, ἀλλὰ μετὰ τῶν ἐν τῷ λόγῳ πάντων συνήχθη· τοιγαροῦν ὡς ἡ ἐν διαλεκτικῇ γοργότης κἂν ἐν ῥητορικῇ εὑρίσκηται, καὶ ἔατιν, ὥσπερ καὶ ἔστιν, ἐναντίον λαμπρότητος· ἀλλὰ ῥητέον ἤδη καὶ περὶ αὐτῆς τῆς λαμπρότητος.

Σύνοψις τῶν περὶ σφοδρότητος.

ά. Ἔννοιαι αἱ ἐπιτιμητικαὶ καὶ ἐλεγκτικαὶ κατὰ ἐλαττόνων προσώπων καὶ καθ᾽ ὧν ἂν οἱ ἀκούοντες ῥᾳδίως δέξαιντο τὰς λοιδορίας.

β'. Μέθοδος τὸ ἀπαρακαλύπτως καὶ ψιλῶς λέγειν τὰς ἐννοίας.

γ'. Λέξις ἡ πρὸς τὸ πρᾶγμα ὀνοματοποιουμένη.

δ'. Σχῆμα τὸ κατὰ ἀντιστροφὴν καὶ τὸ δεικτικόν.

έ. Κῶλα τὰ μᾶλλον κόμματα καὶ μηδὲ κόμματα, ἀλλ᾽ ἃ κατὰ ὄνομα λέγει.

ς'. Συνθήκη ἡ συγκρούσεις φωνηέντων ἔχουσα.

ζ'. Ῥυθμὸς ὡς ἐν τραχύτητι.

ή. Ἀνάπαυσις ὡς ἐν τραχύτητι ἀνακόλουθος.

Cap. IX.

Περὶ λαμπρότητος.

ρλά. Μετὰ τὸν περὶ σεμνότητός τε καὶ τραχύτητος λόγον. Πανταχοῦ τὸν σκοπὸν προαναφωνεῖ, καὶ ἐν πάσαις καὶ ἐν ἑκάστῃ τὸ χρήσιμον ὑποτίθησι, σαφήνειαν ἐργαζόμενος ταῖς ἐπαναλήψεσι, καὶ τὰ μέλλοντα καθιστῶν ταῖς προαγορεύσεσιν· ὁ μὲν οὖν σκοπὸς πρόδηλος· τὸ δὲ χρήσιμον, ὅτι, φησὶν, ἐξαιρέτως ἡ λαμπρότης ἐστὶ τῶν ποιουσῶν ἰδεῶν τὸ ἀξίωμα καὶ μέγεθος, ὅθεν ἀναγκαία τῷ τοιούτῳ λόγῳ, καὶ διότι δεῖ τῷ σεμνῷ καὶ τραχεῖ, προσέτι τῷ σφοδρῷ μετέχειν λαμπροῦ τινος, διατί; ἵνα μὴ πάντῃ αὐστηρὸς ᾖ τραχύτητι συνεξαγόμενος καὶ σφοδρότητι. Προσέθηκε δὲ τὸ τινὸς, οἷον φαιδρότητός τινος, διὰ τὴν ὁμωνυμίαν· πολλαχῶς γὰρ ἡ φαιδρότης ταὐτὸν οὖσα τῇ λαμπρότητι· ἡ μὲν γάρ ἐστιν ἡ τῆς ἡδονῆς ἀντεχομένη μόνης τῆς ἐν γλυκύτητι

καὶ ἀφελείᾳ, οὐκ αὐτὸ τοῦτο οὖσα φαιδρότης, ἀλλὰ δοκοῦσα· οὐ γὰρ ἀπὸ τῆς φύσεως τῶν ὑποκειμένων ἡ τοιαύτη λαμπρότης ἔχει τὸ περικαλλὲς, ἀλλ' ἀπὸ τῆς δόξης τῶν λεγόντων· ἀφέλειαν δὲ εἶπε ταύτην τὴν γλυκύτητα, ὅτι ἡ ἀφέλεια ὑπάλληλον εἶδός ἐστι, καὶ τὸ γλυκὺ ὡς γένος εἶδος ἐν ἑαυτῇ περιέχουσα, ὥσπερ τὸ ζῶον τὸν ἄνθρωπον· διὸ ἀφέλειαν εἶπε καὶ γλυκύτητα, ὡς ἀπὸ τοῦ περιέχοντος γένους, ἢ μᾶλλον ὡς ἀπὸ τοῦ ἁπλῶς λευκοῦ, τὸ κατ' ἐπίτασιν λευκὸν πάνυ, ὥσπερ ὅταν τις βουλόμενος περὶ ἀνθρώπου λέγειν φαίη τὸ ζῶον τὸ λογικόν· γενικωτέρα γὰρ τούτων ἡ ὀνομασία, δηλοῦσα τὸν ἄνθρωπον· τοῦτο πρῶτον σημαινόμενον τῆς φαιδρότητος, αὕτη δὲ τὸ λαμπρὸν ἔχει, οὔτε ἀπὸ τῆς τῶν ὑποκειμένων φύσεως, οὔτε ἀπὸ τῆς δόξης τῆς ἐννοίας τῶν λεγόντων, ἀλλ' ἀπὸ τῆς ἐπιστήμης αὐτῶν καὶ τῆς ἐπιμελείας κατὰ τὰς λέξεις καὶ συνθήκας καὶ σχήματα γινομένας, καθάπερ τὸ ἀπὸ φύκους καὶ ἐπιτριμμάτων γινόμενον τοῖς προσώποις τῶν γυναικῶν, ὃ ταπεινότητα ἔχει ἐν αὐτῷ καὶ ἰσχνόν ἐστιν οὐκ ἔχον μεγέθους δίαρμα· τούτου δὲ οὐ δέεται τὸ μέγεθος ὡς καθ' αὑτὸ, τουτέστιν ὡς οὐσιῶδες ὂν τοῦ μεγέθους καὶ κατὰ πρῶτον λόγον, κατά τινα δὲ σύμβασιν καὶ λόγον δεύτερον, ὅταν ὑψηλὰ ὄντα τὰ νοήματα, καὶ διὰ τοῦτο ἀηδίαν παρέχοντα τοῖς ἀκούουσι, διὰ τούτου τοῦ κάλλους ἡδύνουσι τὰς αἰσθήσεις, καὶ ἵνα σαφεστέρα γένηται ἡ τῆς λαμπρότητος φύσις, ἄνωθεν ληπτέον. Τὸ λαμπρὸν τὸ ἐν λόγοις ἢ ἐξ ἐπιμελείας τοῦ ῥήτορος γίνεται, λέξεσι καὶ σχήμασι τὴν σύστασιν ἔχον, καὶ ποιεῖ τὸ ἰδίως καλούμενον κάλλος, ἢ οὐκ ἐξ ἐπιμελείας, ἀλλ' ἀπὸ ταπεινῶν πραγμάτων ἀναφαίνεται, μύθων καὶ ἱστοριῶν καὶ τῶν ἄλλων τῶν ἰδεῶν αἰσθητοῖς οὕτω διατιθεμένων καὶ ποιεῖ τὴν γλυκύτητα ἢ τοῖς πράγμασι σύνεστι· ταῦτα δὲ μέγεθος καὶ ὕψος ἔχουσιν, ὥσπερ κάλλος οὐρανοῦ καὶ φῶς ἡλίου, καὶ ποιεῖ

τὴν λαμπρότητα, περὶ ἧς νῦν ὁ λόγος· ὅθεν καὶ ἀξιωματικὴ λέγεται, ὡς τῷ ἀξιώματι τῶν ὄντων συμπεφυκυῖα, καὶ ταῖς τούτων πράξεσι καὶ ὥσπερ οὐσιῶδες καὶ πρωτογενὲς αὐτοῖς συμφαινόμενον, ἐναντίον ἔχουσα τὸ διαλεκτικὸν εἶδος καὶ ἀγωνιστικὸν, ὃ περὶ τοὺς ἀγῶνας τῶν διαλεγομένων ὁρᾶται, καθὰ προείπομεν, ἧς ἡ ἔννοια ἐν τέτρασιν ὁρᾶται διαφοραῖς κατὰ πεποίθησιν καὶ κατὰ ἀπόφασιν τοῦ ῥήτορος φαινομένη· πέποιθε δὲ ἐφ' οἷς ἂν λέγῃ, ἢ διὰ τὸ ἔνδοξα ὑπάρχειν τὰ περὶ ὧν λέγει, ἢ διὰ τὸ ἐνδόξως καὶ καλῶς πεπρᾶχθαι, ἢ διὰ τὸ χαίρειν τοῖς λεγομένοις καὶ πραχθεῖσι τοὺς ἀκούοντας, ἢ κοινῶς διὰ πάντα ταῦτα. Εἰ δὲ καί τινες τῶν ἐννοιῶν τούτων, ὡς ἡ πρώτη κοινωνεῖ τῇ τετάρτῃ τῶν ἐννοιῶν τῆς σεμνότητος, ἀλλὰ πάμπολυ τὸ διάφορον· ἐκεῖ μὲν γὰρ πράγματος ἁπλῶς ἐνδοξοτάτου ἐστὶν, ὃ λεχθὲν οὐ πάντως ἥδει τοὺς ἀκούοντας, ἐνταῦθα δὲ ποιότης πραγμάτων, οἷον φῶς ἡλίου καὶ ἐνδόξως καὶ λαμπρῶς λεγόμενον τοὺς ἀκούοντας τέρπει, ἐπειδὴ ἕτερος μὲν ὁ λόγος ὁ περὶ τῆς οὐσίας τυχὸν τοῦ ἀνθρώπου, ἕτερος δ' αὖ πάλιν ὁ περὶ τῆς αὐτοῦ ποιότητος, καθ' ἣν καὶ μέγας ἐστὶν, ὡς ἐπὶ τῶν ἀρετῶν, ἃς εἰ βούλοιτό τις ἐξαγγέλλειν, ἁρμοζούσας αὐταῖς ἐννοίας πάντως ζητήσει, καὶ λαμπρότερον τοῖς ὑποκειμένοις ἐξαγγείλῃ· ἥλιε,[1] λέγων, θοαῖς ἵπποισιν εἱλίσσων φλόγα, καὶ ἆρον κύκλῳ τοὺς ὀφθαλμούς σου, καὶ ἴδε πᾶς ὁ τῶν ἐμῶν λόγων ἀκροατής· ὁρᾷς μεθ' ὅσης λαμπρότητος οὐ τὸ πρᾶγμα, ἀλλὰ τὰ περὶ τὸ πρᾶγμα διέξεισιν· ἴδε τὸν στέφανον τὸν πλακέντα τῆς δόξης, ἀντὶ τῶν μισθωτῶν Ἐφραῒμ καὶ τοῦ στεφάνου τῆς ὕβρεως· τοῦτο μὲν γὰρ τὸ κῶλον καὶ ἀκμῆς ἔχει διὰ τὴν φαιδρότητα· πότερον δὲ ἦν κάλλιον τοῦτο εἰπεῖν, ὅτι οὗτοι στέφανοί εἰσι δόξης ἐκ τοιῶνδε καὶ τοιῶνδε συνεστηκότες, ἢ ὅτι περικαλλὴς καὶ ἔνδοξος

1 Eur. Phoen. 3.

ὁ στέφανος; οὐκοῦν ἡ λαμπρότης οὐ τὸ πρᾶγμα διηγεῖται· ἀλλ' ὑποφαίνεται, ὡς εἰς καλὸν ἡμῖν ἐπανήκομεν τὸ ἔνδοξον καὶ σεμνὸν ἐνδοξοτέρως· ἐπὶ τούτοις ἐστὶν ἡ λαμπρότης καὶ γίνεται, ἐφ' οἷς ἔστι τὸν λέγοντα καλλωπίσασθαι, ἢ ὡς αὐτὸς πράξας ἢ ὡς ἄλλου πράξαντος αὐτὸς λέγων ἢ ὡς χαιρόντων ἐπὶ τοῖς πραχθεῖσι τῶν ἀκουόντων.

ρλβ'. Ὅρα πῶς ἐνταῦθα διαστέλλει τὴν τραχύτητα τῆς σφοδρότητος, καθόσον ἐκείνῃ μὲν, ἤγουν τῇ τραχύτητι, ἀντίκειται μόνη ἡ γλυκύτης, τῇ δὲ σφοδρότητι ἀντίκεινται ἥ τε γλυκύτης καὶ ἡ ἐπιείκεια· διὰ τοῦτο γὰρ καὶ διαστέλλει ταύτην, ἤγουν τὴν σφοδρότητα τῆς τραχύτητος.

ρλγ'. Φαιδρότητος δὲ οὐ τῆς ἐν ὡραϊσμῷ· τὸ ἐν λόγοις φαιδρὸν ἢ ἐξ ἐπιμελείας τοῦ ῥήτορος γίνεται λέξεσι καὶ σχήμασι τὴν σύστασιν ἔχον, καὶ ποιεῖ τὸ ἰδίως καλούμενον κάλλος, ἢ οὐκ ἐξ ἐπιμελείας, ἀλλὰ ἀπὸ τῶν ταπεινῶν πραγμάτων ἀποφαίνεται, μύθων, ἱστοριῶν καὶ τῶν ἄλλων ἡδέων αἰσθητῶν, καὶ ποιεῖ τὴν γλυκύτητα· ἢ τοῖς πράγμασι μὲν σύνεστι, ταῦτα δὲ μέγεθος καὶ ὕψος ἔχουσι, καὶ ποιεῖ τὴν λαμπρότητα, ἧς νῦν ὁ λόγος. [2]

ρλδ'. Ἀφέλειαν εἶπε ταύτην καὶ οὐ γλυκύτητα, ὅτι ἡ ἀφέλεια ὑπάλληλον εἶδός ἐστι, καὶ τὸ γλυκὺ ὡς γένος εἶδος ἐν ἑαυτῇ περιέχουσα, ὥσπερ τὸ ζῶον τὸν ἄνθρωπον, διὸ ἀφέλειαν εἶπον καὶ γλυκύτητα ἀπὸ τοῦ περιέχοντος γένους, ἢ μᾶλλον ὡς ἀπὸ τοῦ ἁπλῶς λευκοῦ γίνεται κατ' ἐπίτασιν τὸ πάνυ λευκὸν, καὶ τὰ λοιπὰ προεγράφη εἰς τὸ ὄπισθεν ἐδάφιον ἕως τοῦ, ὃ περὶ τοὺς ἀγῶνας τῶν διαλεγομένων ὁρᾶται, καθὰ προείπομεν, οὗ ἐχόμενόν ἐστι τό· ἧς ἡ ἔννοια ἐν τέτρασιν ὁρᾶται δια-

2 Sequitur ex Vol. VII. litt. β'. vide Vol. V. p. 499. v. 5—20.

φοραῖς. ὅπερ ἁρμόζει εἰς ἐξήγησιν τοῦ περὶ ἐννοιῶν λαμπρότητος.

ρλέ. Ἢ καὶ διὰ πάντα ταῦτα. Τὸ μὲν ὡς τὰ εἰρημένα, τὸ δὲ ποιητοῦ· ἦν ἄρα καὶ τὸν Νεῖλον εἰπεῖν τὸν χρυσοῤῥόαν καὶ ὡς ἀληθῶς εὔσταχυν, καὶ ἔμπαλιν ἀπὸ τῆς πόλεως εἰς τὴν χώραν ῥέοντα ἡμερησίαν ὁδόν· ἐφ' οἷς δὲ ἡδύνονται οἱ ἀκούοντες, οὗτος Κυπριανὸς, ὦ ἄνδρες, οἱ μὲν εἰδότες ἡδίους γένησθε τῇ ὑπομνήσει, οἱ δ' ἀγνοοῦντες μάθητε τὸ κάλλιστον τῶν ἡμετέρων διηγημάτων, ὅπου καὶ τὴν ἡδονὴν ἡδίους εἰπὼν ἐσήμανεν.

ρλς'. Ὅπερ φησὶν ὁ Ἡρόδοτος ἐλλάμψασθαι. Ἡρόδοτός φησιν ἐν τῇ πρώτῃ [3] τῶν ἱστοριῶν· τὸν τρόπον γὰρ διηγούμενος τάξεως Κύρου καὶ Κροίσου φησὶ καὶ τὰς αἰτίας τῆς Κροίσου ἥττης καὶ τοῦ πῶς οὗτος ἀντέταξε τὸ ἱππικὸν, ἐφ' ᾧ ἤλπιζε νικᾷν· Κῦρος οὖν παραγαγὼν τὰς καμήλους ἐτάραξε τοὺς τῶν ὑπεναντίων ἵππους τῷ ἀσυνήθει τῆς θέας καὶ τῷ ξένῳ τῆς ἀποφορᾶς τοῦ χρωτὸς, ἐφ' οἷς ἤλπιζε Κροῖσος ἐλλάμψασθαι τουτέστι λαμπρυνθῆναι· ἄριστοι γὰρ τῶν τηνικαῦτα ἱππέων οἱ Λυδοί.

ρλζ'. Οὐ λίθοις ἐτείχισα τὴν πόλιν· καὶ ὁ θεολόγος· οὐ βοῦν εἴληφα, φησὶ Σαμουὴλ ὁ μέγας πρὸς τὸν Ἰσραὴλ, ὑπὲρ τοῦ βασιλέως διαφερόμενος· τειχισμὸν δὲ Δημοσθένης τὰς ὑπὲρ [4] τῆς πόλεως πράξεις λέγει, πλὴν ἣν καὶ τοῦ τείχους τὸ σαθρὸν ἀνακαινίσας καί τινα τῶν ἰδίων ἀναλώσας εἰς τὴν ἀνακαίνισιν. καὶ πάλιν, οὐ τὰ πολλὰ συμφέρομαι τοῖς πολλοῖς, οὐδὲ τὴν αὐτὴν βαδίζειν ἀνέχομαι. καὶ πάλιν· ταῦτα ὁ τῶν σημείων καὶ τῶν τεράτων θεὸς, ταῦτα ὁ τὸν Ἰωσὴφ ἀγαγὼν εἰς Αἴγυπτον δι' ἀδελφῶν ἐπηρείας· καὶ πάλιν, αὕτη γίνεται τῆς τοῦ βασιλέως περὶ ἡμᾶς φιλανθρωπίας ἀρχὴ καὶ κατάστα-

3 I. 32. 4 Par. ὑπερί. forma, ut videtur, ex ὑπὲρ et

σις πρώτη· τοῦτο τὸ λῆμμα τῆς τότε διοχλούσης ἐπηρείας τὸ πλεῖστον ὥσπερ τι ῥεῦμα διέλυσε.

ρλή. Καὶ πάλιν αὕτη τῶν περὶ Θήβας πραγμάτων ἀρχὴ καὶ κατάστασις πρώτη. Μῖσος εἶχον οἱ Ἕλληνες πρὸς Ἀθηναίους, ἐξαιρέτως δὲ Λακεδαιμόνιοι διὰ τὴν τῶν Φωκέων ἀπώλειαν, οἰόμενοι βουλήσει τούτων οἴχεσθαι, ἐφ' οἷς ὁ Φίλιππος ἐπιπεσὼν εἰς Ἐλάτειαν· πόλις δὲ αὕτη περὶ τοὺς πρόποδας τοῦ Κιθαιρῶνος, ὃς νῦν Κρεμνισδὸς λέγεται, εἰς ἀνάγκην ἦλθον Ἀθηναῖοι τὰς ἑαυτῶν ἀπολέσαι πόλεις· ἐφ' οἷς τὰ συμφέροντα ἐν τῷ ψηφίσματι γράψας Δημοσθένης, ὡς δεῖ πάντας Ἕλληνας πολεμεῖν Φιλίππῳ, ἀπέστησεν αὐτὸν τῆς πρὸς τὰς Ἀθήνας εἰσβολῆς. Ταῦτα ἀκριβέστερον εὑρήσεις ἐν τῷ ὑπὲρ [5] στεφάνου Δημοσθένους· καὶ ταῦτα ὁ νόμος ὑπέγραψε, ταῦτα ὁ Χριστὸς ἐτελείωσεν ὁ τοῦ γράμματος καταλύτης καὶ τελειωτὴς τοῦ πνεύματος.

ρλθ'. Ἁρμοσταῖς καὶ φρουραῖς. Τάξεις ἀρχόντων Λακεδαιμονίων οὗτοι· ἁρμοσταὶ μὲν οἱ τὰς πόλεις τὰς ὑποκειμένας διοικοῦντες· φρουραὶ δὲ οἱ πρὸς τὸ μὴ νεωτερίζειν φυλάττοντες· κύκλῳ δὲ τῆς Ἀττικῆς, ὅτι κατὰ τὸν Πελοποννησιακὸν πόλεμον καὶ τὴν συμφορὰν, ἣν ἔπαθον ἐν Σικελίᾳ ταπεινωθέντες Ἀθηναῖοι καὶ ἀποβάλλοντες τὰ τείχη καὶ τριάκοντα τύραννοι ἐγχειρισθέντες τὰς αὐτῶν πόλεις διῴκουν Λακεδαιμόνιοι· ἡ δὲ αἰτία τῆς τοῦ χωρίου τούτου καὶ τῆς ἐννοίας παραγωγὴ τοιαύτη ἐστίν. Αἰσχίνου εἰπόντος, ὡς ἄξιοι ἦσαν ἀπολέσθαι Φωκεῖς, ἐχθροὶ ἡμῶν ὄντες, λύει Δημοσθένης ἀπὸ τοῦ συμφέροντος, ὅτι οὐκ ἔστι καλὸν τὸ μνησικακεῖν· ἔπειτα ἀπὸ τοῦ ἔθους ἴσα δυναμένου τῷ νομίμῳ, καὶ ἐπιχείρημα λαμβάνει [6] τοὺς παλαιοὺς Ἀθηναίους, ὅτι πολλὰ ἔχοντες μνησικακῆσαι τοῖς Ἕλλησιν, ἕνεκεν τῆς τότε καταλύσεως τοῦ δήμου, καίτοι ἀσθενῶς ἔχοντες,

περὶ conflata. 5 Par. ὑπερί. 6 Par. λάβει.

πάντα γὰρ εἶχον Λακεδαιμόνιοι, ὅμως Λακεδαιμονίοις ἐβοήθουν.

ρμ΄. Λαμπρὸς γὰρ ὁ λόγος καὶ ὑψηλὸς ταῖς μεθόδοις τῆς λαμπρότητος· καὶ ὁ θεολόγος· ὑμεῖς γάρ μοι ἀπολογία καὶ στέφανος καυχήσεως, καὶ πάλιν· ἡμεῖς τε γὰρ τὰς δοθείσας τῷ τμήματι κεφαλὰς, ὡς ὑπὲρ εὐσεβείας καινοτομηθείσας καὶ εἰς βοήθειαν τοῦ ὀρθοῦ λόγου κάμνοντες ἐν χάριτι προςηκάμεθα· κεφαλὰς λέγων τοὺς πρεσβυτέρους, οὓς οἱ ἀποσχίσαντες ἐχειροτόνησαν ἑαυτῶν, ἐπισκόπων χωρίς· κεῖται ἡ χρῆσις ἐν τοῖς εἰρηνικοῖς, οἶμαι ἐν τῷ δευτέρῳ.

Περὶ μεθόδου λαμπρᾶς.

ρμά. Ὅταν προηγουμένως· κατὰ πρῶτον λόγον καὶ κατὰ χρείαν πρώτην καὶ δι' αὐτὸ τοῦτο.

ρμβ΄. Ὅταν ὡς θαῤῥῶν· θαῤῥεῖ τις ἐπὶ τῶν ὁμολογουμένων καὶ μὴ ἐχόντων ἀντίῤῥησιν, καὶ μετ' ἀξιώματος, μετὰ μεγέθους καὶ ὕψους φρονήσει πρέποντος· οὕτω γὰρ γίνεται ἡ αὐτάρκης λαμπρότης, ἐπεὶ τό γε ἐνδοιάζειν οὔτε λαμπρυντικὸν [7] οὔτε ἀποφαντικόν.

ρμγ΄. Ὅταν ἀφηγούμενος μὴ διακόπτῃς τὰς ἀφηγήσεις· ὥσπερ τὰ τοῦ θεολόγου παραδείγματα· ἐπεὶ τό γε τοῦ Δημοσθένους διακοπὲν διὰ τοῦ· τὸ πρὸ τούτων εἰς ἔχθραν ἀκραιφνῆ τὴν λαμπρότητα οὐ διεφύλασσον. [8]

ρμδ΄. Οὐ γὰρ ὅμοιον ἦν ἀπολελυμένως εἰπεῖν. Ἀπολελυμένως, χωρὶς διακοπῆς καὶ ἀναχαιτισμοῦ, καθάπερ ἐπὶ τῶν ἀγωνιζομένων ἵππων· τοιοῦτόν ἐστι καὶ τὸ, οὐ τισὶν, ἀλλὰ πᾶσι, διακοπὴν γὰρ ἐποίησεν ἡ λαμπρότης, καὶ οὐκ ἄφετος ἔμεινε, διέκοψε γὰρ

ὁ

σ
7 Par. λαμπροτικόν. 8 Par. διεφύλασαν.

ῥήτωρ, καὶ οὐκ εἴασε φανῆναι τοῦ λόγου τὸ ἄγαν λαμπρόν τε διακοπῇ καὶ ὑποστροφῇ.

ρμέ. Τῇ διακοπῇ καὶ ὑποστροφῇ· τί μὲν οὖν ἐστιν ὑποστροφὴ, προείπομεν, ὅτι μεσολάβησίς τις κώλου ὑφ' ἑτέρου· ἔπειτα τοῦ διακοπέντος ἀνάληψις, ὡς τό· καὶ γὰρ ἐφιλοτιμεῖτο μέσον τεθὲν τοῦ σχοινοτενοῦς.

ρμς'. Ἔτι μεθόδου λαμπρᾶς καὶ τὸ τὰ ἐνδοξοτέρως λέγειν· Οἱ ἐν Μαραθῶνι πεσόντες ὑπὸ Περσῶν, ὧν εἷς ἦν καὶ Κυναίγειρος, ὁ πολὺς, ἀδελφὸς Αἰσχύλου τοῦ ποιητοῦ, οὓς εἰκόσι τιμήσαντες Ἀθηναῖοι ἐσέβοντο ὡς θεούς· τί γὰρ ἐνδοξότερον τοῦ θανεῖν ὑπὲρ τῆς πατρίδος καὶ ἀληθείας[9] καὶ δόξης χρηστῆς; καὶ τοῦτο δὲ ἐκ τοῦ ὑπὲρ τοῦ στεφάνου· κατηγορεῖ γὰρ Αἰσχίνης, ὅτι κακῶς συνεβούλευσε Δημοσθένης πολεμῆσαι· ἡττήθημεν γὰρ χιλίων ἀναιρεθέντων καὶ δισχιλίων ζωγρηθέντων· φησὶ τοίνυν Δημοσθένης, ὅτι οὐ κακῶς συνεβούλευσα, οὐ μὰ τοὺς ἐν Μαραθῶνι πεσόντας τῶν προγόνων· καὶ ὁ θεολόγος, ἡμῖν Ἀντίοχε καὶ πάντες· εἷς μὲν βασιλεὺς, ὁ θεὸς, παρ' οὗ γεγόναμεν, καὶ πρὸς ὃν ἐπιστρέφομεν, εἷς δὲ νομοθέτης Μωσῆς, ὃν οὐ προδώσομεν οὐδὲ καθυβρίσομεν, οὐ μὰ τοὺς ὑπὲρ ἀρετῆς τοῦ ἀνδρὸς κινδύνους καὶ τὰ πολλὰ θαύματα. καὶ ἡ ἐπίτασις ἐκ δριμύτητος λαμπροτέρα, οὐδ' ἂν ἄλλος ἡμῖν Ἀντίοχος ἀπειλῇ, σοῦ χαλεπώτερος· οὐκ ἀρνησόμεθα, φησὶ, τὸν νόμον, τὸν ὑπὸ θεοῦ μὲν δεδομένον, ὑπὸ Μωσέως δὲ γεγραμμένον· οἱ δὲ εἰς ὅρκον ἀνήγαγον τὴν ἀποφαντικὴν ἀπόφασιν· πῶς δέ ἐστι τοῦ ἐνδοξοτέρου ἐνδοξότερον τοῦτο μᾶλλον ἢ ἐκεῖνος οὕτως φανείη· ἔνδοξα μὲν τὰ τοῦ θεοῦ δωρήματα καὶ παραγγέλματα τὰ διὰ τῶν ἁγίων· ἐνδοξότερον δὲ τὸ φυλάττειν αὐτὰ, διὰ γὰρ τοῦτο δίδονται, καὶ τοῦτο τέλος αὐτῶν μόνον, καὶ πρὸς τὸ τέλος·

---

9 Par. $\overset{\text{ινῆς}}{\text{ἀληθείας}}$.

μήποτε ἄρα τὸ ἐνδοξοτέρως λέγειν τὸ ἐνδοξότερον· οὐ περὶ τοῦ πράγματος λέγει τὸ ἐνδοξοτέρως τοῦ πραχθέντος, ἀλλὰ καὶ τοῦ μὴ οὕτως ἐξενεχθέντος λόγου· πῶς δὲ ἔνδοξον μὲν εἰπεῖν, ὅτι καλῶς συνεβούλευσα· οὕτω γὰρ δεῖ πολεμεῖν ὑπὲρ τῆς πατρίδος, ἢ καλῶς τὸν νόμον οὐκ ἀρνούμεθα· οὕτω γὰρ ἐποίουν καὶ οἱ ἐν Μαραθῶνι· ἢ καὶ Μωσῆς κατ' Αἴγυπτον κινδύνοις, καὶ κατὰ τὴν ἔρημον τὰς τοῦ θεοῦ φυλάττων ἐντολάς· ἔνδοξα γὰρ οὕτως εἰπεῖν ὁμολογουμένως, ἀλλ' ἐνδοξότερον τὸ μεθ' ὅρκου· τοῦτο δέ ἐστι κάλλιον κατὰ τὸν τεχνικὸν λόγον καὶ τὴν κοινὴν ἔννοιαν· ἐκεῖνο δὲ πιθανὸν μέν, οὐκ ἀληθὲς δέ.[10]

Περὶ λέξεως.

ρμζ. Λέξεις λαμπραί, ὅσαι καὶ σεμναί· εἰσὶ γὰρ αἱ δίφθογγοι πᾶσαι χωρὶς τῆς ει· αὗται γάρ εἰσι καὶ τῆς σεμνότητος· αἱ λέξεις εἰσὶν ὕλη τοῦ λόγου μετὰ τὰ πολιτικὰ πράγματα, ὥσπερ ζώου τὰ στοιχεῖα καὶ τὸ σῶμα, ὅσαι ἦσαν σεμνότητος καὶ ὁποῖαι, τοιαῦται καὶ αἱ λαμπραί, ἐπεὶ ἡ αὐτὴ ὕλη τοῦ ἀλόγου καὶ τοῦ ἀνθρώπου, ἄμφω γὰρ ἐκ τῶν τεσσάρων στοιχείων, εἰ καὶ τῷ εἴδει διαφέρει, ὥσπερ σεμνότης καὶ λαμπρότης, καὶ τῶν ὁμογενῶν τὸ μέγεθος· διαφέρουσι δὲ ἀλλήλων τῷ ἑαυτῆς ἑκάστη εἴδει, ὡς ἄνθρωπος καὶ ἵππος τῷ λογικῷ καὶ ἀλόγῳ.

Περὶ σχημάτων λαμπρῶν.

ρμη. Σχήματα δὲ ὅσα καὶ εὐειδῆ. Τὰ ὥραν καὶ κάλλος ἔχοντα φησὶν εὐειδῆ· τὰ φυσικά, οὐ τὰ κομμωτικά, ὡς δηλοῖ τὸ παράδειγμα· οἷον οὐ γὰρ θειότητα ταλαντεύομεν, οὐδὲ τὴν μίαν καὶ ἀπρόσιτον φύσιν ἀποξενοῦμεν ἑαυτοῖς ἐκφύλοις ἀλλοτριώσεσιν, οὐδὲ κακῷ τὸ κακὸν ἰώμεθα.

---

10 Sequitur ex Vol. VII. litt. θ'.; vide Vol. V. p. 500. v. 16. — 22.

ρμθ'. Αἱ ἀποστάσεις. Ἀποστατικὰ λέγονται τὰ τοιαῦτα σχήματα, ἢ ὅτι ἀφιστάμενος ὁ ῥήτωρ τῆς προτεθείσης ἐννοίας ἐξαίφνης καὶ ἀπροσδοκήτως εἰς ταύτην μεθίσταται, ἢ ὅτι ἀπόστασιν ἔχουσι καὶ μῆκος· τὰ γὰρ κομματικὰ ἄλλης τινός εἰσιν ἤτοι γοργότητος, ἢ ὅτι ἀφίσταται καὶ χωρίζεται τῆς τοῦ λόγου συναρτήσεως· ὥσπερ ἀλλότρια ὄντα τοιαῦτά εἰσι τὰ προειρημένα καὶ τὰ ὅμοια· τοῦτό ἐστιν ὁ διωγμὸς τοῦ πλάσματος, διὰ ταῦτα ἡ εἰκὼν τοῦ θεοῦ καθυβρίσθη.

ρν'. Κἂν ἀκμαῖος ᾖ. Ἡ ἀκμὴ ἐκ λαμπρότητος γίνεται καὶ σφοδρότητος· καταφορὰς δὲ ἔχει καὶ λοιδορίας, ἧς τὰ μὲν σχήματα λαμπρὰ καὶ αἱ ἔννοιαι καὶ ἄλλα τινά, ὡς ἐν αὐτῇ διδάξει, ἀσύνδετα δέ· λαμπρὰ μὲν οὐκ ἀκμαῖα [11] καὶ ἔχοντά τι κατ' ἐχθρῶν ἤ τινος ἄλλου τὰ τοιαῦτα· ἴδε πρεσβυτέρων συνέδριον πολιᾷ καὶ συνέσει τετιμημένων· ἴδε διακόνων εὐταξίαν οὐ πόῤῥω τοῦ αὐτοῦ πνεύματος καὶ τούτων προηγουμένων· ἀκμαῖα δέ, ὁρᾶτε τὰς ἐναντίας γλώττας ἡμερουμένας καὶ τοὺς θεότητι πολεμοῦντας ἡμῖν ἡσυχάζοντας, ἡ ἔννοια λαμπρὰ καὶ τὸ σχῆμα, τὰ δ' ἄλλα ἀκμαῖα. κατ' ἐχθρῶν γὰρ εἴρηται.

Συριανοῦ εἰς τὸ αὐτό.

Κἂν ἀκμαῖος ᾖ· ταῖς ἐννοίαις δηλονότι.

Τῶν αὐτῶν.

Μεθ' ὅσων οὖν γίνεται· τῶν λέξεων λέγει· ἀκμῆς γὰρ λέξεις αἱ τῆς λαμπρότητος καὶ τραχύτητος καὶ σφοδρότητος.

ρνά. Εἰδέναι μέντοι χρή· ἄριστος καὶ οὗτος κανών· ἂν μὲν γὰρ πληρώσας ἐννοίας τινὰς εἰς ἀρχὴν ἑτέραν ἀγάγῃς τὸν λόγον, ὥσπερ εἴρηται ἐν τῇ εὐκρινείᾳ,

11 Par. h. l. et paullo post ἀκμυῖα.

εἰ μὲν ἐπιμένῃς τῇ ὀρθότητι, κἂν μικρὸν ἀποτείνῃς λόγον, ἧττον, φησὶ, γίνεται λαμπρός· ἂν δὲ πλαγιάσῃς [12] εἰς ἄλλην παρὰ τὴν εὐθεῖαν, καὶ τὰ πρῶτα πρόσωπα τῶν ῥημάτων ἐμπεριλαβὼν, [13] τουτέστιν εἰς περιβολὴν ἐμπίπτων· ἐμπερίβολον γὰρ αἱ πλαγίας [14] καὶ μακροαποδότους ἔχουσαι τὰς ἐννοίας, καὶ μετὰ μικρὸν ἔχουσαι ἀνάπαυσιν, λαμπρὸς ἔσται ὁ λόγος· τὸ δὲ πᾶς προσέθηκε διὰ τὴν περιβολὴν, ὅτι ἐμπερίβολον· εἴρηται γὰρ τὰ σχήματα τῆς περιβολῆς λαμπρά· τοιαῦτα γὰρ ἦσαν ἅπαντα τὰ προῤῥηθέντα αὐτῇ· εἶτα μερική τις τοῦ βασιλέως περὶ ἡμᾶς φιλανθρωπία, καὶ οὐκ ἐμποδίζεται τὸ κῶλον εἶναι λαμπρὸν, καὶ οὐκ ἐπάλληλοι αἱ εὐθεῖαι, ἀλλὰ καθ' ὑπέρβατον κείμεναι· τοιοῦτον καὶ τὸ, ἀφ' οὗ γὰρ τοῦ ξύλου τῆς ζωῆς ἐκβαλόντες ἡμᾶς· καὶ ἅπαν τὸ πνεῦμα καὶ τὸ λαμπρότατον μετὰ τῆς ἀκμῆς καὶ εἰς ἕτερον μεταβαίνει πνεῦμα τὸ, οὐ γὰρ ἔφερον φύσιν ὄντες.

ρνβʹ. Καθαρὸς ἂν μᾶλλον γίνεται ὁ λόγος καὶ οὐ λαμπρός. Εἴρηται ἐν τῇ καθαρότητι, ὅτι ἐκείνη μὲν ταῖς εὐθείαις χαίρει, κἂν εἶεν ἀσύνδετοι, αὕτη δὲ ταῖς πλαγίαις, εἴτε ἔχουσι συνδέσμους, εἴτε καὶ [15] μή.

ρνγʹ. Ἔτι καὶ ταύτῃ διαφέρει τὰ τοιαῦτα τῶν λαμπρῶν σχημάτων, ὅτι αἱ μὲν λαμπρότητες οὐκ αὐτὰ τὰ πράγματα ἀφηγοῦνται, ἀλλὰ τὴν ποιότητα τῶν πραγμάτων αὔξουσι, καὶ ὁποῖον τὸ αὐτῶν μέγεθος, εἴτε ἔνδοξον, εἴτε περιφανὲς, εἴτε λαμπρὸν, εἴτε ἐξαίσιον, εἴτε θαυμαστὸν, εἰ καλῶς πέπρακται, εἰ λαμπρὸν, ἤ ἐστιν, ἀλλ' ὁποῖόν τί ἐστιν, παλαιὸν, νέον, σοφὸν ἢ ἄσοφον, ἀνδρικὸν, γενναῖον, καρτερικὸν, μεγαλοπρεπὲς, καὶ ὅσα εἰς τὴν ποιότητα αὐτῷ συντείνει· οὐ γὰρ λέγει τυχὸν, ὅτι λευκή ἐστιν ἡ χιὼν καὶ οὕτως γίνεται καὶ διατί, ἀλλ' ὅτι

---

12 Par. πλαγίας. scripsi πλαγιάσῃς. 13 Supra λαβὼν scriptum est βαλών. 14 Par. γὰρ ἐπλαγίαι. 15 Sequitur ex Vol. VII. p. 1002. ιέ.

λευκή ἐστι, ψυχρά, τὴν ὄψιν διαχέουσα καὶ ἐπὶ πάντων οὕτως.

ρνδ΄. Ὁ δὲ καθαρὸς λόγος σχεδὸν ἐναντίος ὢν τῷ λαμπρῷ. Τὸ σχεδὸν εἶπεν, ὅτι ἄλλας ἐννοίας καὶ μεθόδους ἐκεῖνος ἔχει καὶ λέξεις καὶ ῥυθμὸν καὶ συνθήκην· κώλοις δὲ κοινωνεῖ τοῖς μακροῖς καὶ τῶν σχημάτων τοῖς ἀποστατικοῖς καὶ τῇ ἀφηγήσει ἁπλῶς· διαφέρει ἐκείνης τε, καὶ ὅτι τῇ ἀφηγήσει οὐ κατὰ τὴν ποιότητα τοῦ πράγματος χρῆται, ὥσπερ ἡ λαμπρότης, ἀλλὰ κατ' αὐτὸ τὸ πρᾶγμα, ὁποῖον τά· ὁ Σαννίων· καθαρὰν ἀφήγησιν πράγματος ἔχοντα· τίς δὲ ὁ Σαννίων, εἴρηται· ταῦτα πάντα λέλεκται πλὴν Ἀλκιβιάδου, εἴπερ ὅλην τὴν γραφὴν δεῖ εἶναι Ἀλκιβιάδου, ἀλλὰ μὴ Περικλέους· ἐπὶ γὰρ τούτου ἦν ἐν Ἀθήναις εὐδαιμονία καὶ τρόπαια, καὶ τῶν Ἑλλήνων ἀρχή, οὐκ ἐπὶ Ἀλκιβιάδου τοῦ τῶν παρόντων [16] αἰτίου τοῖς Ἕλλησι κακῶν, καὶ τῆς τοῦ δήμου καταλύσεως· πλὴν εἰρήσεται, τίς ἑκάτερος· μετὰ τὴν ἀναχώρησιν τῶν Περσῶν καὶ τὴν ἧτταν ἐγένετο τοῖς Ἕλλησι πρὸς ἀλλήλους εἰρήνη τριακοντοῦτις· τῷ τεσσαρεςδεκάτῳ δὲ ἔτει λέλυται διὰ πολλὰς αἰτίας· κινηθέντος οὖν πολέμου ἡ πόλις τῶν Ἀθηναίων, ἦν ἔτι ἀτείχιστος ὑπὸ τῶν Περσῶν κατασκαφεῖσα· στρατηγὸς δὲ ὢν Περικλῆς, δόξαν τοῖς Ἀθηναίοις ἀνοικοδομεῖν κελεύσας τειχίζειν, ᾤχετο πρέςβυς, [17] ὡς δῆθεν εἰς Λακεδαίμονα· οἱ γὰρ Λακεδαιμόνιοι ὑπόπτους εἶχον τοὺς Ἀθηναίους τῆς αὐξήσεως καὶ οὐ συνεχώρουν· ἀπαιτούμενος δὲ τοὺς τῆς πρεςβείας λόγους ἠπάτα τοὺς Λακεδαιμονίους, φάσκων καὶ ἄλλους ἀναμένειν πρέσβεις, ἐφ' ὧν τοὺς τῆς πρεσβείας λόγους ἀναγκαῖον γενέσθαι· φθασάσης δὲ τῆς προθεσμίας, ἐν ᾗ προὔκειτο τετελέσθαι τὸν τειχισμόν, φήσας τοῖς Σπαρτιάταις θαυμάζειν τὴν τῶν συμπρεσβευτῶν βρα-

16 Par. τοῦ παρόντων τοῖς Ἑλλ. κακῶς. emendavi ex coni.
17 Par. πρέσβις.

δυτῆτα, προφασισάμενος ἀναζεύξας ἀγαγεῖν αὐτοὺς ᾤχετο· οὗ τὸ ἐναντίον ποιήσας Ἀλκιβιάδης πῶς ἐποίησε τὴν πόλιν ἔχειν εὐδαιμονίαν; οὗτος ἀσεβείας κατηγορηθεὶς καὶ πρὸ τῆς ἀπολογίας ἀποδρὰς αὐτόμολος εἰς Λακεδαίμονα, οὐκ εἰς γόνυ μόνον, ἀλλὰ καὶ εἰς πρόσωπον ἔκλινε τὰς Ἀθήνας, ἐπὶ τῷ καταπατεῖσθαι Λακεδαιμονίοις καὶ τυράννοις τριάκοντα· καὶ ἃ μὲν μέμνημαι περὶ τούτων, ταῦτά ἐστι, γνοίης δ᾽ ἂν τὴν ἱστορίαν ἀκριβέστερον προςτυχὼν Θουκυδίδῃ ἐν τῇ πρώτῃ τῶν ὀκτὼ συγγραφῇ· ὁ μέντοι Δημοσθένης διέρχεται τὰ παλαιὰ τοὺς δικαστὰς παροξύνων εἰς τιμωρίαν Αἰσχίνου, δεικνύων, ὁποίαν εἶχον οἱ παλαιοὶ περὶ τὴν πολιτείαν ἀκρίβειαν, καὶ εἴληπται ταῦτα τῷ τεχνικῷ εἰς ἔνδειξιν καθαρότητος, καὶ ὅτι ἡ ἐπιμονὴ τῶν εὐθειῶν, κἂν ἀποστατικὴ ᾖ, καθαρά ἐστι, καὶ οὐ λαμπρά, ἐπεὶ καὶ τὸ λαμπρὰ εὐθείας ἔχει τὸν τύπον. [18]

Περὶ κώλων λαμπρῶν.

ρνς´. Κῶλα δὲ μακρότερα πάντων, καὶ οἷα ἦσαν τὰ πρὸ ὀλίγου ἡμῖν παραδείγματα. Χαίροις, Ἀναστασία μοι τῆς εὐσεβείας ἐπώνυμε, σὺ γὰρ τὸν λόγον ἡμῖν ἐξανέστησας ἔτι καταφρονούμενον· τὰ γὰρ μὴ ἔχοντα τὴν ἀπόθεσιν αὐτάρκη κῶλα ὑποκαθαιροῦσιν εἰς ἄλλην τινὰ τὴν λαμπρότητα, οὐ γὰρ ἐλάττονα εἶναι τοῦ ἔπους ἢ τὸ ἔσχατον τοῦ τριμέτρου καθαροῦ ἴαμβον.

Περὶ συνθήκης λαμπρᾶς.

ρνς´. Συνθῆκαι μέν, φησίν, αἱ διπλαῖ· σεμναὶ δὲ ἦσαν δήπου αἱ σπονδειακαί, καὶ ἃς εἴρηκεν ἐκεῖσε, δακτυλικαὶ καὶ αἱ παραπλήσιαι· εἰ δή που τι συμβαίη κἂν ἐκ τροχαίων συντελεσθήσεται, μόνον εἰ μέ-

18 Sequitur ex Vol. VII. p. 1002. ις´.

σου εἴησαν οἱ τροχαῖοι, καὶ μέτρων τῶν ἄλλων λειπόμενοι τῶν κώλων, ἀλλὰ μὴ ἐν τῷ τέλει· ἀηδὲς γὰρ, εἰ ἔχει τὴν κατάληξιν [19] τὸ λαμπρὸν κῶλον εἰς τροχαῖον· βραχύτερον γὰρ κῶλον τὸ σεμνὸν τοῦ λαμπροῦ πάντως εἶναι ὀφείλει, καὶ οὐ μόνον εἶναι λαμπρότερον, ἀλλὰ καὶ ἀκατάληκτον, ὥσπερ τὸ συγγενὲς αὐτῷ σεμνόν· τοῦτο γάρ εστι μάλιστα τὸ ἴδιον λαμπρότητος, τὸ σεμνὴν ἔχειν τὴν βάσιν καὶ ἀκατάληκτον, λήγουσαν εἰς σπονδεῖον ἢ δάκτυλον, ἢ ἀνάπαιστον, παίονα τέταρτον [20] καὶ τοὺς ἀντισπαστοὺς, χωρὶς τοῦ τετάρτου· ἐκεῖνος γὰρ εἰς βραχεῖαν λήγων τροχαϊκὴν πάντως ποιήσει τὴν βάσιν, ὥσπερ καὶ ἡ τρίτη, καὶ δεῖ παραφυλάττεσθαι τούτους τοὺς δύο, ὥσπερ καὶ τὸν τροχαῖον ἐν τῇ λαμπρᾷ βάσει οὐδὲν ἧττον, ὡς κἂν τῇ σεμνῇ· τὸ γὰρ, χαίροις Ἀναστασία μοι τῆς εὐσεβείας ἐπώνυμε, ἐξ ἐπιτρίτων ἐτέθη καὶ παιόνων τῶν Ἀσίας κατὰ συνεκφώνησιν λαμβανόμενον [21] εἰς μίαν, καὶ ἔστιν ἀντισπαστικὸν τετράμετρον ἀκατάληκτον, καὶ τὸ ἑξῆς δὲ τοιοῦτον, διὸ καὶ μᾶλλον λαμπρὰ καὶ μειζόνως ἐκλάμποντα. [22]

Cap. X.

Περὶ ἀκμῆς.

Ὅσα σφοδρότητί τε καὶ τραχύτητι ἐναντιοῦνται, ἤτοι γλυκύτης καὶ ἐπιείκεια, οὐκοῦν καὶ ἀκμῇ ἐναντιωθήσεται καὶ λαμπρότητι, τῇ μὲν ὡς ἐχούσῃ σφοδρότητα καὶ τραχύτητα, τῇ δὲ ὡς ὑψηλῇ οὔσῃ καὶ διηρμένῃ καὶ ὡς συνιστάσῃ [1] τὴν ἀκμήν· αἱ μὲν γὰρ ἔννοιαι τῆς ἐπιεικείας καὶ τῆς γλυκύτητος ἐναντίαι ταῖς τῆς τραχύτητος

19 Par. κατάλησιν. 20 Par. τέταρτον. 21 Par. λαμβανόμενος. 22 Sequitur ex Vol. VII. litt. ιή. ιθ'. 1 Par. τρίτον.

καὶ τῆς σφοδρότητος· τῇ δὲ λαμπρότητι ἐναντιοῦνται μεθόδοις καὶ σχήμασι καὶ κώλοις· ἥ τε γοργότης καί τινα τῆς καθαρότητος, καὶ ἡ ἐπιείκεια καὶ ἡ γλυκύτης κατά τι. Οἱ ἔλεγχοι· σὺ δέ μοι περιέχου τῶν τοίχων καὶ τῶν πλακῶν καὶ τῆς κεκομψευμένης ψηφῖδος· καὶ πάλιν τοῦτο· ἐμβρόντητε καὶ πολύτροπε καὶ πλάσμα τοῦ πονηροῦ, καὶ πόθεν ἐπῆλθέ σοι τοῦτο, ὦ κουφότατε πάντων καὶ ἀπληστότατε· καὶ πότερον παντὸς εἴρξεις ἡμᾶς τοῦ ἑλληνίζειν, οἷον δὴ καὶ τῶν ἐμμέσων καὶ πεζῶν τούτου ῥημάτων, ἢ τοῦ κομψοῦ τε καὶ ὑπεραίροντος· οὐ τὸ αὐτὸ δὲ ἀποστροφή τε καὶ ἔλεγχος· εἴ τι μὲν γὰρ ἔλεγχος, τοῦτο καὶ ἀποστροφή· ἀποστρέφεται γάρ τις καὶ πρὸς φίλους· ἀλλὰ συγγινωσκέτω μὲν ἡ θεία ψυχὴ καὶ τὰ ἑξῆς, καὶ σὺ δέ μοι Κυπριανέ, τὸ τιμιώτατον πρᾶγμα καὶ ὄνομα, καὶ πρὸς ἐχθρὸν πολλάκις· ἔλεγχος δὲ ἐπὶ τῶν ὑπόπτων μόνον· τὸ γάρ, καί μοι μηδὲν ὀργισθῇς, εἴρηται ἠθικῶς διὰ τὸ ἀξίωμα τοῦ Λεπτίνου, πρὸς ὃν ὁ λόγος· τοιοῦτον καὶ τό· τί ἔδει ποιεῖν; τοῦτο ἀποστροφή· ἦθος δέ, ὦ πρὸς τῆς τριάδος αὐτῆς· τὸ δὲ ὦ κλητικόν ἐστιν ἀντὶ τοῦ, ὦ φίλε, καὶ μηδέν γε ἧττον ἡ ἀποστροφὴ σφοδρότητος, ἡ δὲ ἀξίωσις ἤθους, ὥσπερ καὶ ὁ ὅρκος ἐν τῷ Θεολόγῳ· ὅτι δὲ καὶ ἦθος ποιεῖ, σφόδρα δείκνυσι· πῶς δ' ἂν γένοιτο καὶ κατὰ ἦθος σφοδρότης διὰ τῶν εἰρωνειῶν;[1*] ὅτι ἤθους εἰσὶν αὗται, τὸ τοῦ λέγοντος ἦθος ἐμφαίνουσαι· δῆλον δ' ὅτι καὶ σφοδρὸν ἀποτελοῦσι λόγον· καὶ τοῦτο δῆλον, οἷον μετάδοτε καὶ ἡμῖν τῆς λαμπρότητος.

ρό. Πῶς ὑμῖν ὑπὸ τῶν χρηστῶν τούτων· ἀντὶ τοῦ ὑπὸ τῶν προδοτῶν· ἐντεῦθεν δὲ ὁρμώμενοί τινες εἰρωνείαν εἶπον τὸ πῶς ὑμῖν τὰ ἡμέτερα· τοσοῦτον ἀμαθεῖς, ὅσον βάρβαρος πρὸς Ἕλληνα, καὶ πῶς, εἴπομέν που.

συνιστώσαις. scr. συνιστάσῃ.   1* Par. εἰρωνιῶν.

ροά. Τὸν καλὸν ἀνδριάντα. Ὅμοιον τούτου καὶ τό· ἡδὺς ἡμῖν καὶ φιλάνθρωπος, ἀλλὰ καὶ ταῦτα πάντα εἰρωνεῖαι καὶ διασυρμοί, καὶ δεῖ περιστένειν μὲν τὴν γαστέρα, κατατρυφῶσι τῶν πτωχικῶν, ἵπποις δὲ φέρεσθαι τρυφεροῖς καὶ τὰ παραπλήσια.

ροβ. Ἀλλὰ πρὸς τοὺς ζῶντας, ὦ χρηστέ. Τὸ χρηστὲ εἰρωνεία· τὸ δὲ πρὸς τοὺς ζῶντας λείπει τό, ἐξέταζε τοὺς ζῶντας, ἀλλὰ μὴ τοὺς νεκρούς.

ρογ΄. Τὰ δὲ ἄλλα πάντα· σαφὴς τούτων ἡ ἔκθεσις, ὡς ἔννοιαι μὲν τραχύτητος καὶ σφοδρότητος ποιοῦσι τὴν ἀκμήν· μέθοδοι δ᾽ αὖ τούτων αὐτῶν τὴν ἀκμαίαν μέθοδον, τὴν δὲ λέξιν τῆς ἀκμῆς· αἱ τούτων τε αὐτῶν, καὶ ἔτι αἱ τῆς λαμπρότητος· τὰ δὲ σχήματα τῆς ἀκμῆς ποιοῦσιν ἀκμαῖα τὰ τῆς σφοδρότητος· τὰ αὐτὰ δέ ἐστιν εἰπεῖν καὶ ἐν τῷ Θεολόγῳ καὶ τὰ τῆς τραχύτητος καὶ τὰ τῆς λαμπρότητος τῶν τριῶν μιᾶς· τὰ δὲ ἄλλα τὰ αὐτὰ ἔχει, ἃ καὶ ἡ λαμπρότης, κῶλα, συνθήκας, ἀναπαύσεις, ῥυθμούς, ἐξ ὧν δέδεικται, ὡς ἐν ἑτέροις ἔχει τὸ εἶναι, ὡς τὰ χρώματα ἐν τῷ σώματι, καὶ ἰδίαν ὑπόστασιν ἡ ἀκμὴ οὐκ ἔχει, ὥσπερ οὐδὲ τὰ συμβεβηκότα, δι᾽ ἃς αἰτίας καὶ μετ᾽ ἐκείνας ἔχει τὴν τάξιν, ὑφ᾽ ὧν καὶ γίνεται καὶ συνέστηκεν.

ροδ΄. Ἀπορήσειε δ᾽ ἄν τις. Ἐπειδὴ ἐννοίας ὁ τεχνικὸς εὗρε κοινὰς οὔσας λαμπρότητος καὶ ἀκμῆς καὶ ἐκ τούτων ἐχούσας τὴν ὕπαρξιν καὶ τὸ εἶναι, ἀπορεῖ, ποῦ δεῖ τάττειν αὐτάς· τῆς μὲν γὰρ ἀκμῆς οὐχ οἷόν τε εἶναι λέγειν αὐτάς· ταύτας γὰρ ἔννοιαι ποιοῦσι τραχύτητος καὶ σφοδρότητος, ἀλλ᾽ οὐ λαμπρότητος, πάλιν δ᾽ αὖ οὐκ εἰσὶ λαμπραί, ἔχουσι γάρ τι καὶ τῆς ἀκμῆς· τὸ δὲ τὴν ἀπορίαν κινῆσαν ἡ Δημοσθένους ἐστὶ ῥῆσις, ἤ, μέχρι τούτου Λασθένης καὶ τὰ ἑξῆς· φίλος δηλαδὴ ὠνομάζετο, μέχρις οὗ προὔδωκεν Ὄλυνθον, καὶ ἄλλως, ὁ τὴν Εὔβοιαν σφετεριζόμενος καὶ τὰ ἀκόλουθα· ταῦτα γὰρ καὶ

τὰ ὅμοια, τί δεῖ λαλεῖν, ἀκμαῖα ἢ λαμπρὰ ἢ τὸ συναμφότερον, ὃ καὶ μᾶλλον. εἶτα ἀντιτίθησι· φαίη γὰρ ἄν τις, ὅτι κατὰ τὸν εἰρημένον λόγον συνῆλθον τὰ τῆς λαμπρότητος ἐπὶ τῶν ἐννοιῶν τούτων ἀκμαστικῶν οὐσῶν· οἷον τὰ κῶλα μακρὰ ὄντα, ἡ συνθήκη δίαρμα ἔχουσά, [2] ἡ ἀνάπαυσις σεμνὴ οὖσα, ὁ ῥυθμὸς καὶ τὰ ἄλλα ὅσα εἴρηται, ὡς πολλαχοῦ καὶ ἡ λέξις καὶ τὸ μέγιστον τὰ ἀποστατικὰ τῶν σχημάτων· ὥστε εἰ λέγοιμεν ταῦτα μεμίχθαι ἐξ ἀμφοῖν τὰ παραδείγματα καὶ τὰ τούτοις ὅμοια, ἔκ τε λαμπρότητος καὶ ἀκμῆς, εἰς ταὐτὸν ἐμπίπτει, εἴγε ἔχει πολλὰ τῶν ἰδίων τῆς λαμπρότητος ἡ ἀκμή· ὥστε παράλογον οὐδὲν, εἰ συνῆλθον· κατὰ φύσιν γὰρ ἡ ἀκμὴ ἐκ τῶν τῆς λαμπρότητος συνέστηκεν· ἡ μὲν οὖν ἀπορία αὕτη, καὶ ἡ λύσις εὐθὺς, ὡς ἐροῦμεν. Ἀπορήσειε δ᾽ ἄν τις, φησὶ, τὰ τεθέντα παραδείγματα εἰς ἔνδειξιν τῆς ἀκμῆς πότερον ἀκμαστικὰ μόνως ἢ λαμπρὰ μόνως εἰσὶν, [3] ἢ τοῦ συναμφοτέρου, ὃ καὶ μᾶλλον ἁρμόζει· εἴπῃ γὰρ ἄν τις, ὡς εἰ δεῖ πείθεσθαι τῇ διδασκαλίᾳ σου, ὦ Ἑρμόγενες, πολλὰ τῶν τῆς λαμπρότητος ἰδίων ποιοῦσι τὴν ἀκμὴν, οἷον τὰ κῶλα, οἱ ῥυθμοὶ, αἱ συνθῆκαι, αἱ βάσεις, οὐ μὴν ἀλλὰ καί τινες τῶν λέξεων, ὡς ἐδίδαξας, καὶ τὸ μέγιστον τὰ ἀποστατικὰ σχήματα· ταῦτα γὰρ πάντα λαμπρὰ ὄντα τὴν ἀκμὴν ἐποίησαν, ὥστε ἂν λέγῃς τὰ παραδείγματα ἐκ τῶν δύο τούτων συνεστάναι, εἰς ταὐτὸν ἐμπίπτει ἡ σύνταξις, ὥστε φαίη τις ἂν εἰς ταὐτὸν ἐμπίπτειν ἡμᾶς, εἰ λέγομεν ταῦτα κῶλα μεμίχθαι· πῶς εἰς ταὐτόν; ὅτι λέγεις, ὥσπερ ἡ λαμπρότης ποιεῖ τὴν ἀκμὴν, οὕτως ἡ ἀκμὴ ποιεῖ τὴν λαμπρότητα· εἰς ταὐτὸν ἐμπίπτει τὰ ἐναντία, ὥστε ἑαυτῷ λέγεις ἐναντία, λαμπρότητα ἐμπίπτειν εἰς ἀκμὴν, καὶ ἀκμὴν εἰς λαμπρότητα· οὐδὲν ἧττον, φησὶ, λαμπρά εἰσι τὰ παραδείγματα ταῦτα κατὰ τοὺς σοὺς κανόνας, κἂν δοκῶσιν

2 Par. ἔχουσιν. 3 Par. repetit h. l. ἢ λαμπρὰ μόνως.

εἶναι ἀκμαστικά· διότι ἔχουσιν ἐννοίας λαμπρὰς, καὶ κατὰ προσώπων λεγομένας, καὶ τὰ σχήματα καὶ τὰ κῶλα λαμπρά· τί οὖν χρὴ λέγειν, ὅτι ἐμίγησαν ἐν τοῖς παραδείγμασιν ἡ λαμπρότης καὶ ἡ ἀκμή; ἆρ' οὖν δεῖ αὐτὰς κατὰ φύσιν ἀεὶ ἀλλήλαις μεμίχθαι· εἶτα λύει τὴν ἀπορίαν, ἐξ ἧς τινος λύσεως καὶ τὰ τῆς ἀπορίας νοηθήσεται, ἐπεὶ ὥς γε κεῖνται ἐν τῷ ἐδαφίῳ, οὐκ ἂν νοηθείη διὰ τὰς ἐπεμβολάς· ἔστιν οὖν ἡ ἀπορία, ὡς ἀπὸ τῶν λύσεων ἐφιστῶμεν, τοιαύτη, ἐδίδαξε τὴν ἀκμὴν ἐκ τριῶν συνεστάναι ἰδεῶν, τραχύτητος, λαμπρότητος καὶ σφοδρότητος· τὰ δὲ παραδείγματα, ἃ εἰσήγαγεν, τοῦ Δημοσθένους ἐννοίας ἔχουσι λαμπράς· λέγει δὲ εἶναι ἀκμῆς αὐτά· πότερον δὲ, ὥσπερ ἡ λαμπρότης ποιεῖ τὴν ἀκμὴν, οὕτω καὶ ἡ ἀκμὴ τὴν λαμπρότητα, κατὰ φύσιν ἔχουσι τὸ ἀκολουθεῖν ἀλλήλαις ἢ οὔ. εἰ μὲν γὰρ οὐ κατακολουθοῦσι, σεαυτῷ περιπίπτεις, τὰ ἐναντία παραδείγματα τιθεὶς λαμπρότητος ὄντα, εἰς τὴν ἀκμήν· εἰ δ' ἀντακολουθοῦσιν, ἀεὶ δεῖ ταύτας ἀντακολουθεῖν, καὶ ἐξ ἀλλήλων εἶναι λαμπρότητα ἐξ ἀκμῆς, καὶ ἀκμὴν ἐκ λαμπρότητος, ἢ οὔ· αὕτη ἡ ἀπορία ὡς ἐν τύπῳ ὅλῳ· ἡ δὲ λύσις, ὅτι πρῶτον μὲν ἐν τοῖς παραδείγμασι τούτοις εἴπομεν, ἀκμὴν καὶ λαμπρότητα συνεληλυθέναι μόνας, ἐξ ὧν ἡ ἀκμὴ, οὐχὶ τὴν τραχύτητα καὶ σφοδρότητα εἰς ταὐτὸν συνελθεῖν τῇ λαμπρότητι, καὶ ὁμοῦ συνυπάρχειν· οὐ γὰρ ἀκμὴ καὶ λαμπρότης συνελθοῦσαι ἀκμὴν ποιοῦσιν, ἀλλ' ἔννοιαι τραχεῖαι καὶ σφοδραὶ, καὶ μέθοδοι τῶν ἰδίων τισὶ τῆς λαμπρότητος συγκραθεῖσαι ποιοῦσι τὴν ἀκμήν· αὕτη γὰρ ἐκ τῶν τριῶν συνέστηκε· διὸ οὐκ ἀντιστρέφει· ἵνα ὥσπερ ἡ λαμπρότης ποιεῖ τὴν ἀκμὴν ἀπό τινων ἰδίων αὐτῆς μερῶν, οὕτω καὶ ἡ ἀκμὴ τὴν λαμπρότητα· οὐ γὰρ ἔχει ἡ λαμπρότης ἀκμῆς ἴδιον, πῶς γὰρ τὸ μὴ καθ' ἑαυτὸ ὂν, ἀλλ' ἐξ ἄλλων ὑφεστὼς, καὶ τὸ οἴεσθαι τοῦτο,

διότι νῦν τῆς ἀκμῆς εὑρίσκονται ἐν τῇ λαμπρότητι, καὶ τῶν ταύτης ἐν τῇ ἀκμῇ πλατὺς λῆρος καὶ φλυαρία.[4]

ροζ. Οὐ γὰρ ἀκμὴ καὶ λαμπρότης συνελθοῦσαι· ἀκμὴ οὐχ ὑφέστηκε καθ' ἑαυτήν· πῶς οὖν ἡ μὴ οὖσα συμπλέκοιτ' ἂν ἑτέρᾳ συνθήκῃ ἢ ἀναπαύσει;

ροή. Φανερὰ γὰρ ταῦτά γε καὶ τῇ αἰσθήσει ψιλῇ· ὅτι τὰ τῆς ἀκμῆς κῶλα καὶ τὰ ἀποστατικὰ σχήματα καί τινες τῶν λέξεων καὶ ῥυθμοὶ καὶ συνθῆκαι καὶ ἀναπαύσεις τῆς λαμπρότητός εἰσι· πῶς; ὅτι ἡ ἀκμὴ, φησὶν, οὐκ ἔχει καθ' ἑαυτὴν ὕπαρξιν καὶ ὑπόστασιν· οὐ γὰρ ὅλως ὑφίσταται κατὰ τὸν ἑαυτῆς λόγον, ἀλλ' ἐξ ἑτέρων ἔχει τὸ εἶναι, καθάπερ οἱ ἡμίονοι· ὅθεν οὐδὲ ἀντακολουθοῦσι, φησὶν, οὐδὲ ἀντιστρέφουσι πρὸς ἑαυτὰς τὸν ἑαυτῶν λόγον· εἴ τι μὲν γὰρ ἀκμαῖον, τοῦτο καὶ λαμπρὸν καὶ τραχὺ καὶ σφοδρὸν, οὐκ εἴ τι δὲ λαμπρὸν, τοῦτο καὶ ἀκμαῖον ἢ τραχὺ ἢ σφοδρὸν, ὥσπερ εἴ τι λογικὸν, τοῦτο καὶ ζῶον· οὐκ εἴ τι δὲ ζῶον, τοῦτο καὶ λογικόν· ἐπεὶ ὥσπερ ὁ ἄνθρωπος ἐκ ζώου σωματικοῦ ἐμψύχου συνέστηκε καὶ αἰσθητικοῦ· ἔμψυχον δὲ ζῶον ἢ αἰσθητικὸν καὶ χωρὶς ἀνθρώπου ἐστὶ, δύναται μέν τις λέγειν· εἰ δέ τις εἴποι, φησὶν, ἔχει τὸ ζῶον τὸ ἔμψυχον καθ' ἑαυτὸ ὑπόστασιν τὸ φυτικὸν καὶ χωρὶς τοῦ αἰσθητικοῦ· πάλιν τὸ ἔμψυχον καὶ αἰσθητικὸν καθ' ἑαυτό ἐστι, καὶ χωρὶς τοῦ λογικοῦ ἀνθρώπου· ἄνθρωπος δὲ οὐ δύναται εἶναι καθ' ἑαυτὸν χωρὶς ἐμψύχου καὶ αἰσθητικοῦ· πῶς γὰρ ὕλην ἔχων οὐσίας σωματικῆς ἐμψύχου αἰσθητικοῦ τε καὶ λογικοῦ; οὕτως οὖν καὶ περὶ ὧν ὁ λόγος· λαμπρότης μὲν γὰρ καὶ τραχύτης καὶ σφοδρότης καθ' ἑαυτάς εἰσι καὶ ἀκμῆς χωρίς· ἀκμὴ δὲ χωρὶς ἐκείνων οὐδαμῶς· ἐὰν γὰρ αὐτὴν εἰς ταύτην διέλῃς, ἀπώλεσε καὶ τὸ εἶναι καὶ λέγεσθαι ἀκμή· ὥστε κακῶς ὑπέλαβεν ὁ τὴν ἀντιστροφὴν ταύτης πρὸς ἐκείνας,

4 Sequitur ex Vol. VII. Cap. περὶ ἀκμῆς. litt. ιθ'. et κ'.

κἀκείνας πρὸς ταύτην εἶναι καὶ ἀντακολουθεῖν· καὶ πρώτη μὲν, φησὶν, αὕτη λύσις, ὡς οὐκ ἐξ ἀκμῆς λαμπρότης, ἀλλ' ἐκ λαμπρότητος ἀκμὴ καὶ τραχύτητος καὶ σφοδρότητος· ἔπειτα δὲ δευτέρα λύσις, ὅτι τὰ παραδείγματα ταῦτα, τὸ μέχρι τούτου Λασθένης, καὶ τὸ, ἀλλ' ὁ τὴν Εὔβοιαν καὶ τὰ ὅμοια μεμιγμένα εἰσὶ διόλου. πῶς; ὅτι λαμπρά εἰσι καὶ σφοδρά· μακρὰ μὲν, ὅτι λαμπρά εἰσι καὶ ἀποστατικὰ, σφοδρὰ δὲ καὶ τραχέα, ὅτι κατά τινων εἴτουν προδοτῶν δοκοῦσι λέγεσθαι· ἦσαν δὲ δήπου καὶ αἱ τῆς σφοδρότητος ἔννοιαι καὶ αἱ τραχύτητες ἐπιτιμητικαί· ἀλλ' εἴ τις, φησὶν, ἀκριβέστερον ταῦτα τὰ παραδείγματα διασκοποίη, μᾶλλόν εἰσι λαμπρὰ, ἀλλ' οὐ τραχέα καὶ σφοδρά· πῶς; ὅτι λαμπρότητος ἔννοιαι αἱ κατὰ πεποίθησιν καὶ ἀποφαντικῶς ἐκφερόμεναι καὶ χωρὶς δισταγμοῦ· οὐκοῦν ἐνταῦθα πέποιθεν ὁ ῥήτωρ ταῖς ἀποδείξεσιν, ὡς ὄντων ὁμολογουμένων τῶν εἰς τὰ παραδείγματα· εἰ γὰρ ἐγένετο, φησὶν, ἡ πόλις τῆς Φιλίππου μερίδος, ταὐτὸν ἐπεπόνθει μὲν, ὅπερ οἱ Θετταλοὶ, οἱ δόντες ἑαυτοὺς Φιλίππῳ ἀνθ' ἑνὸς καὶ τεσσάρων ἀρχόντων, καὶ ταῦτα βουλόμενος δεῖξαι, συνεστήσατο [5] μὲν αὐτὰ καὶ κατὰ πόλεις ἐκ Θετταλῶν μήτε συμμάχων καὶ τῶν ἄλλων Ἑλλήνων, συνιστᾷ αὐτὸ καὶ ἀπὸ τῶν ἐθνῶν τῶν συμμαχούντων κατὰ τῶν ἐναντίων· εἰ μὲν γὰρ οὐδένα, φησὶν, ἠδίκει, εἶτα ἠναντιοῦντό [6] τινες αὐτῷ, δικαίως ἄν τις τούτων κατηγόρει· τὸ δὲ τις εἶπεν ὁ ῥήτωρ, οἷον ἦν ἄν τις κατηγορία· δεικνὺς, ὅτι ἐκ τῶν φανερῶν πολέμων ἡσυχάζων ὁ Φίλιππος ἠρέμει τῶν κατὰ τῶν Ἑλλήνων κρυφίων ἐπιβουλῶν, εἰ δὲ ὁμοίως ἁπάντων, οὐχ ἑνὸς ἔθνους ἢ πόλεως, ἀλλὰ πάντων.

Συριανοῦ καὶ τῶν λοιπῶν. [7]

ροθ'. Καὶ γὰρ λαμπραί εἰσι καὶ σφοδραὶ αἱ ἔννοιαι,

αι

5 Par. συνεστήσατε. 6 Par. ἐναντιοῖντο. 7 non in-

καὶ μᾶλλόν γε λαμπραί· λαμπραὶ μὲν, ἐπειδὴ πεποίθησιν ἔχουσι, σφοδραὶ καὶ ἐπειδὴ κατὰ προσώπου τοῦ Φιλίππου λέγονται καὶ τοῦ Λασθένους.

ρπ΄. Ὁποίας ἐννοίας ἔφαμεν εἶναι λαμπράς· καὶ οὐκ οἶδα, εἴ τί γε παράδειγμα τούτου λαμβάνει, ὅτι [8] τῶν μάλιστα λαμπρῶν τοῦτο τὸ χωρίον, τὸ „μέχρι τούτου Λασθένης φίλος ὠνομάζετο Φιλίππου.“

ρπά. Συνιστᾷ δὲ αὐτὸ καὶ ἀπὸ τῶν κατ᾽ ἄνδρα. Τουτέστιν ἀπὸ τῶν ἀνδρῶν· γνωματικὴ γὰρ ἡ περίοδος, ἡ οὐδεὶς ἦν θελήσας πιστώσασθαι καὶ συστῆσαι, τίθησι παραδείγματα καὶ πολλὰ καὶ σαφῆ καὶ γνώριμα, καὶ οἷς πέποιθε καὶ θαῤῥεῖ· τούςδε τοὺς ἄνδρας· μέχρι τούτου Λασθένης φίλος ὠνομάζετο Φιλίππου, ἕως προὔδωκεν Ὄλυνθον· μέχρι τούτου Τιμόλαος, ἕως ἀπώλεσε Θήβας, προδόται γὰρ οὗτοι ἐγένοντο.

ρπβ΄. Εἰς τοσοῦτόν τε μῆκος. Αἰτίαν φησὶ τῆς μακρότητος τῶν κώλων, ὅτι διὰ τὸ πεποιθέναι [9] τὸν ῥήτορα τὰς ἀντιθέσεις τῶν κώλων ἐξέτεινεν.

ρπγ΄. Καὶ τῶν ἐπαναφορῶν· ἐπαναφοραί εἰσιν, ὡς ἀνωτέρω εἶπον, αἱ τῶν δευτέρων κώλων ἀρχαὶ, ἀπὸ τῆς λέξεως τῶν πρώτων· ἐνταῦθα δὲ εἰπὼν τὸ πρῶτον κῶλον, καὶ ἀποδοὺς αὐτοῦ τὴν οἰκείαν ἀπόδοσιν, ἥτις ἐστὶ τὸ δεύτερον κῶλον, τὸ τρίτον ἀπὸ τῆς αὐτῆς ἀρχῆς ἤρξατο τοῦ πρώτου καὶ τὸ τέταρτον ἀπὸ τοῦ δευτέρου· τὰ δὲ οὕτως ἔχοντα σχήματα λέγονται ἐπάνοδοι καὶ ἐπαναλήψεις καὶ ἐπαναφοραὶ, καὶ αἱ αἰτίαι τῶν ὀνομάτων δῆλαι· ἐπάνοδοι μὲν γὰρ διὰ τὸ ἐπανατρέχειν πρὸς τὴν λέξιν καὶ ἀναποδίζειν [10] οἱονεὶ τὴν αὐτὴν ὁδόν. ἐπανάληψις δὲ ὅτι ἐπαναλαμβάνει τὸ ἀφεθέν· ἐπαναφορὰ δὲ, ὅτι ὥσπερ ὑπομιμνησκόμενος τὸ αὐτὸ δεύτερον ἀναφέρει·

---

venio haec in Vol. VII. 8 ὅτι τῶν μάλιστα — — Φιλίππου est in Vol. VII. Cap. περὶ ἀκμῆς p. 1014. κς΄. 9 Par. πεποθέναι. 10 Par. ἀναποδίξειν.

εἰ γὰρ τοιαύτην τάξιν ἔχει ἐπὶ τῶν τοιούτων, ὡς ἂν εἴπῃ τις, πάλιν τὸ αὐτὸ ἀναφέρει· ἀναφέρειν δὲ λέγεται τὸ ἀνασηκοῦν καὶ ἀναβαστάζειν καὶ τὸ ἀναμιμνήσκεσθαι, ὥσπερ καὶ ἐπὶ τῶν σχημάτων, διὰ τὸ κατὰ συζυγίαν ἐξενεχθῆναι.[11]

ρπδ. Θαυμαστὸν κάλλος ἐργασαμένου. Οὐ μόνον, φησὶ, διὰ τῆς πεποιθήσεως λαμπρῶς ταῦτα προήχθη, ἀλλὰ καὶ διὰ τῆς συζυγίας τῶν λέξεων καὶ τῶν κώλων κάλλος ἀπετελέσθη θαυμάσιον· οἷον τὸ γὰρ πρῶτον κῶλον τῷ τετάρτῳ συζευχθὲν καὶ τὸ δεύτερον τῷ τρίτῳ περικαλλῆ πάνυ τὴν περίοδον ἀπετέλεσε, καὶ κάλλος λαμπρότητι συγγενὲς εἰ καὶ ἐπείσακτον, καὶ τοῦτό ἐστιν ἀληθὴς συζυγία, τὸ ἐξ ὁμοίων καὶ εὐσυναρτήτων ἀλλήλοις γινόμενον, οὐχὶ τὸ ἐξ ἐναντίων καὶ ἑτεροζυγούντων ἀλλήλοις, ὅπερ εἰσάγουσιν οἱ τεχνικοί· ἔστι δὲ καθ' ὁρισμὸν καὶ δεῖξιν τὸ τοιοῦτον. συζυγία ἐστὶν, ὥς φασιν οἱ τεχνικοὶ, ὅταν δύο προτιθέντες ὅρους ἤτοι κόμματα ἢ κῶλα ἀντικείμενα ἀλλήλοις ἑκατέρῳ προσήκουσα ἀπόδοσις ἀποδιδῶται, ὡς ἐν τῷ ἐννάτῳ τῶν Φιλιππικῶν, οἷον ὁ δῆμος ὁ τῶν Ὡρειτῶν ἀντὶ τοῦ τῷ μὲν βοηθεῖν, τοὺς δὲ ἀποτυμπανίσαι, τοῖς μὲν οὐκ ὀργίζεται, τὸν δὲ ἐπιτήδειον ταῦτα παθεῖν ἐψηφίζετο· ἔστι δὲ τὸ σχῆμα τῶν τετραγώνων, οὐ μὴν τῶν χιαζομένων.

Αὖθις εἰς τὸ κατὰ συζυγίαν ἐξενεχθῆναι. Συζυγίαν λέγουσιν, οὐ καθάπερ ὁ τεχνικὸς, εἰ μή τις συζυγίαν φαίη τὰς κατὰ πρότασιν καὶ ἀπόδοσιν ἐναντιότητας, ὡς ὁ θεολόγος. μήτε ἀθυμῶν ἀπελπίσῃς εὐημερίαν, μήτε πράττων καλῶς ἀθυμίαν· κἀνταῦθα γὰρ κατὰ συζυγίαν προήχθησαν καὶ κατὰ ἐπαναφορὰν αἱ προτάσεις· ἀλλ' ὅμως αἱ συζυγίαι ἐναντίαι εἰσί. τῷ γὰρ

11 Sequitur ρπγ'. Εἰς τὸ αὐτὸ καὶ τῶν ἐπαναφορῶν διὰ τὸ κατὰ συζυγίαν ἐξενεχθῆναι, Συριανοῦ καὶ τῶν λοιπῶν. Vol. VII. p. 1011. κζ'.

ἀθυμεῖν ἀντίκειται τὸ εὐημερεῖν, καὶ τῷ πράττειν καλῶς τὸ μὴ καλῶς, καὶ ἔστι τοῦτο κατὰ τὴν λεγομένην παρὰ τοῖς φιλοσόφοις ἀσύστατον συζυγίαν, οἷον αἰσθητῷ ἀναίσθητος, ἐμψύχῳ ἄψυχον· ὥσπερ γὰρ τὸ αἰσθητὸν καὶ ἀναίσθητον ἀκοινώνητον καὶ ἀσύμβατον καὶ τὸ ἔμψυχον καὶ ἄψυχον, οὕτω καὶ τὸ βοηθεῖν καὶ τὸ ἀποτυμπανίσαι καὶ τὸ οὐκ ὠργίζετο, καὶ τό· ἐπιτήδειον εἶναι θανεῖν· καθ᾽ ὁμοιότητα οὖν, ὡς ἔοικε, τῶν κατὰ φιλοσόφους εἴρηται, κἀνταῦθα δὲ συζυγία τὸ σχῆμά ἐστι κατὰ ἀντίθεσιν, ὥσπερ τοῖς φιλοσόφοις δοκεῖ, ἣ πολλαχῶς λέγεται, ὥσπερ ἐν ταῖς εὑρέσεσιν, ὅτε περὶ τοῦ πλαστοῦ αὐτίκα ἐλέγομεν· τοιούτῳ δὲ σχήματι, λέγω δὲ τῷ [12] κατὰ ἀναφορὰν τῶν προτάσεων καὶ τῶν ἀποδόσεων, ὁ θεολόγος χρῆται πολλῷ κάλλιον ἢ Δημοσθένης· ἔστι δὲ τοῦτο· παρὰ τοσούτοις οἱ [13] ἡμέτεροι παιδευταὶ, εἶτα ἐπαναφέρει, παρ᾽ ὅσοις Ἀθῆναι· εἶτα ὑποστροφὴ μετὰ τῆς ἐπαναφορᾶς, παρὰ τοσούτοις δὲ Ἀθῆναι, παρ᾽ ὅσοις ἡμεῖς· τοῦτο τὸ σχῆμα ἐκ τριῶν σχημάτων συνέστηκεν, ὃ πρῶτον καὶ μόνον ἐστὶ παρὰ τῷ θεολόγῳ· ὅπου γὰρ Σωκράτης αὐτὸ οὐκ ἐφεῦρε, σχολῇ γ᾽ ἂν τοὺς ἄλλους εὑρεῖν· ἔστι γὰρ συντιθέμενον ἐξ ἐπαναφορῶν, ὡς εἶπον, καὶ ἀποστροφῆς, καὶ τὸ τρίτον ἀντιστροφῆς, ἥτις γίνεται, ὅταν τοῦ προλαβόντος τὸ τέλος ἀντιστρέψας καὶ λαβὼν ποιήσω τὸ τέλος τοῦ δευτέρου, οἷον Ἀβραὰμ οὐκ ἔγνω ἡμᾶς, Ἰσραὴλ οὐκ ἔγνω ἡμᾶς· οὕτως κἀνταῦθα τὸ τέλος τοῦ πρώτου κώλου, τὸ παιδευτὴς, τέλος ἐστὶ καὶ τοῦ τετάρτου· ἀκριβέστερον δὲ τοῦτο καὶ τὰ ὅμοια ἐν τῷ περὶ κάλλους ῥηθήσεται· ὅμως γε μὴν ἔχει τι σφοδρότητος· καὶ οὗτος σφοδρότητα μὲν ἔχει, ὅτι κατὰ προδοτῶν λέγεται, οὐ μὴν τοῦτ᾽ ἦν αὐτῷ κατὰ πρῶτον λόγον καὶ προ-

12 Par. τῶν. 13 Par. ἡ ἡμέτεροι παιδευτικά. idem locus infra c. XII. litt. ἡ correctior redit.

προηγουμένως· διὸ καὶ προςέθηκε τὸ, τί δεικνὺς, ὅτι μετρίως καὶ ὀλίγως ἐστὶ σφοδρότητος, διὰ τὸ κατὰ ἀντιστροφὴν δεικνύειν εἰσῆχθαι, καί τινα ἔχει ἐπιφοράν· τὸ δὲ πᾶν λαμπρότητός ἐστιν· οὐ γὰρ ἡ ἀφήγησις σφοδρότητος, ἀλλὰ καθαρότητος κοινὸν οὐδὲν πρὸς τραχύτητα, ὅτι σκοπὸν εἶχε τὸ μὴ συμφέρειν τῇ πόλει μετὰ Φιλίππου γενέσθαι· λαβὼν τὰ ἐπιχειρήματα τῶν πόλεων ἀπὸ χρόνων τὸ μέχρι, ἀπὸ προσώπου Θετταλῶν, τὰς δὲ ἐργασίας ἐκ παραδειγμάτων· ἦν δὲ τὸ ἐνθύμημα γνωμικὸν, ὅτι μηδεὶς τοῦ προδιδόντος ζητῶν συμφέρων καὶ τὰ ἑξῆς.

ρπέ. *Καὶ αἱ μὲν ἔννοιαι τοιαῦται σφοδρότητος*· ὅτι τέως κατὰ προσώπων δοκοῦσιν ἐκφέρεσθαι, καίτοι τὰς σφοδρὰς ἐννοίας οὐκ ἀφηγηματικὰς ἐλέγομεν εἶναι· τοῦτο γὰρ καθαρότητος, εἰ σύντομα εἴη τὰ κῶλα· εἰ δὲ διὰ μακροῦ ἐκφέροιτο μὴ διακοπτόμενα λαμπρότητα, καθ᾽ ἅς τινας νομίσειε μεμίχθαι τὴν λαμπρότητα καὶ τὴν ἀκμήν.

ρπς΄. *Τὰ δὲ ἑξῆς δῆλα*· μέθοδοι δὲ καὶ σχήματα καὶ πάντα λαμπρότητος, ἐπεὶ δὲ ἐκ τούτων ἡ ἀκμὴ, εἴησαν ἂν καὶ ἀκμῆς κατὰ δεύτερον λόγον τὰ τῆς λαμπρότητος·[14]

ρπζ. *Τοιοῦτον δὲ ἀλλ᾽ ὁ τὴν Εὔβοιαν ἐκεῖνος*. Εἰ τὰ λεγόμενα, φησὶν, κἂν τούτῳ κατασκευαί εἰσι τοῦ λύεσθαι τὴν εἰρήνην ὑπὸ Φιλίππου καὶ κατὰ πεποίθησιν προαγόμενα καὶ ὡς οὖσι φανεροῖς ἐλλαμπρύνεται, ἀλλ᾽ ὅμως πλέον ἔχουσι τὸ ἀκμαῖον, ὥσπερ ἐν ἐκείναις τὸ λαμπρόν· φανερῶς γὰρ ἐνταῦθα λέγει κατὰ προσώπων, καὶ κατὰ πνεῦμα πρόεισιν αὐτῷ ὁ λόγος, ὅπερ ἀκμῆς ἴδιον, καὶ οὐχ ὡς ἐκεῖ ἀφηγεῖται τὰς ἐννοίας περιγράφων ἐν τοῖς κώλοις, καὶ οὐ μόνον διὰ τοῦτο ἀκμα-

14 Sequitur Συριανοῦ· εἰς τὸ ὅμως γε μὴν ἔχει τι τῆς σφοδρότητος καὶ οὕτως. σφοδρότητος κ. τ. λ. ex Vol. VII. p. 1016. κθ΄.

στικὸν πλέον, ἀλλ' ὅτι καὶ ἐλεγκτικῶς μεθωδεύησαν πρὸς Αἰσχίνην καὶ ἐρωτηματικῶς· τοιοῦτον γὰρ τὸ, πότερον ὁ ταῦτα πράττων τὴν εἰρήνην ἔλυεν ἢ οὔ. ταύτας μὲν γὰρ τὰς μεθόδους, φησὶν, ἡ ἀκμὴ δέχεται, ἡ δὲ λαμπρότης οὒ, διότι σφοδρότητός [15] εἰσι.

ρπή. *Καὶ μὴν καὶ τὸ μὴ ἁπλῶς εἰς μῆκος.* Τρίτη αἰτία, ὅτι τοῦτο τὸ παράδειγμα οὐ λαμπρότητος, τὸ μὴ ἁπλῶς καὶ κυρίως ἀπολελύσθαι τὰ κῶλα καὶ εἶναι ἄφετα, ἀλλὰ δοκοῦσι μὲν εἶναι ἄφετα καὶ οἱονεὶ ἐν τῷ κεκόφθαι τοῖς συμπλεκτικοῖς συνδέσμοις, καὶ γενέσθαι κομματικαί· οὔτε δὲ λαμπρότητος οὔτε ἀκμῆς· οὐδὲ μιᾶς γὰρ τούτων τὰ κῶλα κομματικὰ, ἀλλὰ σφοδρότητος, διότι αὕτη τῆς μὲν λαμπρότητος κεχώρισται παντελῶς, τῇ δὲ ἀκμῇ κατά τι κοινωνεῖ κατὰ τὸ ἐλεγκτικὸν τῶν μεθόδων καὶ ἐρωτηματικὸν, καὶ τὸ κατὰ ἀποστροφὴν καὶ κομματικόν. [16]

ρρ'. *Ἀκμαιότερον μᾶλλον ἢ λαμπρότερον πεποιηκέναι φαίνεσθαι τὸν λόγον.* Ἀκμαιότερον πλέον ἀλλ' οὐ λαμπρότερον πεποίηκε τὸν λόγον· εἰ δὲ περιβεβλημένον εἶδος ἢ μέρος ἡ μέσωσις τῆς περιβολῆς, περιβεβλημένον μὲν ἐστιν ὁμολογουμένως, διότι ἐπάλληλοι καὶ ἄλλη ἄλλην κατεπείγουσα. Διὰ τῶν συνδέσμων αἱ ἔννοιαι καὶ μερικά τινα ὅλοις συλλαμβάνουσιν, ὡς ἐν τῷ περὶ αὐτῶν λόγῳ λελέξεται. Ζητήσειε δ' ἄν τις καὶ τὸ τοῦ θεολόγου, τὸ, ἀφ' οὗ γὰρ τοῦ ξύλου τῆς γνώσεως, ὁποῖόν τί ἐστιν, ἀπὸ τούτων ὁρμώμενος, πότερον λαμπρὸν ἢ ἀκμαῖον ἢ τὸ συναμφότερον· καὶ γὰρ λαμπρὸν εἶναι δοκεῖ· λέγω τοίνυν ἐγὼ, οὐ γὰρ ἔγνων τινὰ τὸν θεολογικὸν λόγον ἐν τοῖς τοιούτοις πολυπραγμονοῦντα, διὸ λέγω, ὅτι καὶ τοῦτο ἀκμαῖόν ἐστιν· ἡ γὰρ ἔννοια σφοδρότητός ἐστι, κατηγορίαν γὰρ ἔχει καὶ κατὰ

---

15 Par. σφοδρότητος. 16 Sequitur ex Vol. VII. p. 1017. λέ.

τοῦ ἐχθροῦ πρόεισιν, οὐ μὴν προηγουμένως, οὐ γὰρ πρόκειται αὐτῷ κατὰ πρῶτον λόγον δεῖξαι, ἢ ὅτι ἠπατήθησαν οἱ Ἕλληνες· τίνες δὲ οἱ ἀπατήσαντες; ὅτι οἱ δαίμονες· εἰ γὰρ καθ' ἑαυτὸ τοῦτο κατηγόρει ἀμφοτέρων, καὶ ἀμέσως ἐχρῆτο τῇ λαμπρότητι κομματικῶς καὶ οὐκ ἀποτάδην, σφοδρὸν ἂν ἦν μόνον· καὶ πάλιν, εἰ μηδὲν εἶχον ἐννοίας σφοδρᾶς ἤ τι τοιοῦτον, λαμπρὸν ἂν μόνως. νῦν δὲ τὰ ἄκρα ἀποφυγὼν συλλαμβάνει τὸ μέσον, καὶ τὸ ἐκ τούτων συνεστηκὸς τὴν ἀκμήν· δείκνυσι δὲ ὅμως τὴν ἀκμὴν ἐκ τῶν κομματικῶν, ὥστε φανερὰν εἶναι ἀκμὴν καὶ οὐκ ἀμφίβολον νοῦν λαμπρότητος, καὶ τὸ εἰς μῆκος ἀφηγηματικὸν, τὸ κατ' αὐτήν· καὶ τὸ κατὰ πεποίθησιν, ἀλλ' οὐ τὴν λαμπρότητα· καὶ ἔστι τὸ μὲν κεφάλαιον τοῦ δυνατοῦ τῆς πραγματικῆς· δυνατώτεροι γὰρ, φησὶν, ἡμῶν φανέντες οἱ δαίμονες ἡμᾶς ἐχειρώσαντο· τὸ ἐπιχείρημα ἀπὸ τοῦ καιροῦ καὶ τοῦ πράγματος, οὐ μὴν ἐν τοῖς περιστατικοῖς ἐμάθομεν, ἀφ' οὗ γὰρ τοῦ ξύλου τῆς ζωῆς ἐκβαλόντες ἡμᾶς τῷ ξύλῳ τῆς βρώσεως, ἰσχὺν ἔλαβον καθ' ἡμῶν· ὁ τρόπος, πῶς τὸν ἡγεμόνα νοῦν συναρπάσαντες καὶ τοῖς πάθεσι θύραν ἀνοίξαντες, διατί, ἀπὸ τῆς αἰτίας· οὐ γὰρ ἔφερον, φύσις ὄντες πονηρὰ καὶ μισάνθρωπος· διὰ δὲ τὴν ἰσχὺν τῶν ἐπιχειρημάτων οὐδὲ ἐργασίας ἔχει, ἐξ ὧν ἴσμεν γίνεσθαι ταύτας τόπων· ἔχει δὲ περιβολὴν οὐ μετρίαν ταῦτα διὰ τὰ περιστατικὰ, εἶτα μετὰ τὴν ἀπάρτισιν τῶν δύο πνευμάτων τῷ δεικτικῷ χρησάμενος καὶ ἀποστατικῷ σχήματι λαμπρότητα κατεργάζεται λέγων, ἐκ τροχαίων ἔχουσαν τὴν τοῦ πρώτου κώλου ἀρχὴν, μηδὲν βλαπτομένην εἰς τὸ μέγεθος αὐτῆς, ὡς εἶπε καὶ ὁ τεχνικὸς, διότι μετ' αὐτοὺς οἱ μεγαλοπρεπεῖς σύγκεινται πόδες, ποιοῦντες τὸ κῶλον τὸ τετράμετρον ἀκατάληκτον κατὰ τὸν προτεθέντα κανόνα· τοῦτό ἐστιν ὁ διωγμός· διὰ ταῦτα ἡ εἰκὼν τοῦ θεοῦ καθυβρίσθη, καὶ τοῦτο ὁμοίως τετράμετρον καταληκτικὸν τοὺς ἀξιωματι-

κοὺς ἔχον [17] ῥυθμούς, δάκτυλον καὶ ἐπίτριτον τοὺς πρώτους, καὶ ὁ παρατέλευτος ἀμφίμακρος, ἀξιωματικὸς ὢν καὶ αὐτός· ἀλλὰ ταῦτα μὲν εἴρηταί μοι πρὸς τὸ δεῖξαι τὸν ἄνδρα τοῦτον [18] κατὰ τὴν ἐμὴν δύναμιν νικῶντα πάντας ἀνθρώπους, ὅσον Δημοσθένην τοὺς ἄλλους, ὅς, καθά μοι δοκεῖ καὶ συμβάλλομαι ἐκ τῆς ἀναγνώσεως, οὕτως ἐστὶ πρὸς τὸν θεολόγον, ὡς ἐγὼ πρὸς αὐτὸν ἀμέσῳ διαστήματι διειργόμενος· ὁ μὲν γὰρ ὕλην ἔχων τὸ δικανικὸν χορηγῆσαν αὐτῷ τὰς ἀφορμάς, οὐδὲν καινόν, εἰ ἐν τοῖς λόγοις εὐδοκιμεῖ, φύσεως τυχὼν κατηγορικῆς, ὁ δὲ πολλῷ τοῦ τοιούτου ἤθους ὑπερανεστηκὼς τὸ κάλλιστον τῶν πολιτικῶν μεταχειρισάμενος ἐν πᾶσι τὰ πάντα δείκνυσιν ἰσχυρά· τὸ συμβουλευτικὸν ἐν τῷ δικανικῷ καὶ πανηγυρικῷ, καὶ ταῦτα ἐν ἐκείνοις καὶ ἕκαστον παρ᾽ ἑκάστῳ, καὶ κοινῶς καὶ ἰδίως, ὅς ἐστι καὶ τρόπος καινότατος, ἃ παρὰ Δημοσθένει λόγοις μόνοις, πράγμασι δ᾽ ἐστὶν εὑρεῖν οὐδ᾽ ὁπωσοῦν· καὶ πίστις ὁ ἐπιτάφιος πόσος ἐνδεὴς ὁ τοῦ Λυσίου· εἰ γὰρ ἦν ποικίλος, ὡς λέγεται, εἰς σύγκρασιν τῶν εἰδῶν ἀρίστην, μηθ᾽ ὅτε συμβουλεύεται ἢ δικάζεται χωρίζων τὸ πανηγυρικόν, μηθ᾽ ὅτε πανηγυρίζει, ταῦτα τιθεὶς παρὰ μέρος, ἦν ἂν πάντως πανηγυρίζειν, καὶ κατ᾽ αὐτὸ μόνον τὸ πανηγυρικὸν τῶν ἄλλων χωρίς· ἀλλὰ τοῦτο ἀνδριάς ἐστιν ἐν σκιαῖς, ἀλλ᾽ οὐκ ἐν πράγμασιν, ὥς φασιν, καὶ γὰρ καὶ ἐν τῷ Δημοσθένει ὁ θεολόγος ὡς ἀνδριάς ἐστιν ἐν σκιαῖς· ὁ γὰρ Δημοσθένης τὰ μὲν δύο τῆς ῥητορικῆς εἴδη ἤσκησε, τὸ δὲ πανηγυρικὸν οὔ· εἰ δέ τις αὐτὸν πανηγυριστὴν ἄριστον ἀπό τινων μερικωτέρων τόπων τῶν ἐν τοῖς ἄλλοις εἴδεσιν εὑρισκομένων θέλοι καλεῖν, [19] ἀπὸ μέρους ἑνὸς καὶ μόνου τὸ ὅλον εἶδος δεικνύειν οὗτος πειρᾶται, ἀλλὰ

---

17 Par. ἔχων. 18 Par. τοῦτο. 19 θέλοι καλεῖν Par. om., inserui ex conj.

τὸ ἐφ᾽ ἓν διαστατὸν λέγουσιν οἱ σοφοὶ μὴ ποιεῖν γεωμέτρην, ἐπεὶ μηδ᾽ ὁ φλογισμὸς καλούμενος μουσικὸν, μηδὲ δίεσις, ἀλλὰ πολὺς τὸν Μακεδόνα ψέγων· ἀλλὰ καὶ τοῦτο μέρος τοῦ ὅλου εἴδους τὸ ἥμισυ· ἀλλὰ καὶ τοῦτο σποράδην, ἀλλὰ καὶ τοῦτο παντὶ τῷ θέλοντι· εὐεπιχείρητα γὰρ τὰ οὐκ ἀγαθά· ἐγκωμιάζειν δὲ καὶ ταῦτα κατὰ συνέχειαν οὐ παντὶ, καὶ ταῦτα διῆλθον, οὐχ ἵνα δυςφημήσω τὸν Δημοσθένην· μὴ γὰρ οὕτω μανείην λογίων ὢν ἐραστὴς καὶ ταῦτα τοιούτων, εἰ καὶ κύκνοις κώνωψ καὶ ἀηδόσι συμπαραβάλλεται, ἀλλ᾽ ἵνα δείξω ὡς ἐν οἰκίᾳ τυφλῶν καὶ ὁ νυκτάλωψ ὀξυδερκής.[20]

Σύνοψις τῶν περὶ ἀκμῆς.

ά. Ἔννοιαι ἀκμῆς, οἷαί εἰσιν ἔννοιαι τραχύτητος καὶ σφοδρότητος.

β΄. Μέθοδοι ὁμοίως τῆς τραχύτητος καὶ σφοδρότητος.

γ΄. Λέξεις αἵ τε τῆς τραχύτητος καὶ σφοδρότητος, ἀλλὰ καὶ τῆς λαμπρότητος.

δ΄. Σχήματα οἷα τῆς λαμπρότητος καὶ σφοδρότητος.

έ. Κῶλα δὲ καὶ συνθῆκαι ἀνάπαυσίς τε καὶ ῥυθμὸς, ὡς ἐν λαμπρότητι πάντα.

Cap. XI.

Περὶ περιβολῆς ἐν ταυτῷ καὶ μεστότητος.

ρρά. Μετὰ τὸν περὶ σαφηνείας λόγον ὑποθέμενοι περὶ μεγέθους εἰπεῖν. Ἐπανάληψιν[1] ποιεῖται τῶν ἤδη ῥηθεισῶν καὶ ἀνακεφαλαίωσιν καὶ τὴν τῶν μελλόντων προδιατύπωσιν, πανταχόθεν σαφῆ τὴν

---

20 Sequitur ex Vol. VII. p. 1017. λς΄.

1 Par. ἐνανάλησιν.

διδασκαλίαν δεικνὺς, καὶ μιᾶς ἑκάστης τὸ χρήσιμον ὑποφαίνων, ὅθεν καὶ ἀναγκαίας οὔσης τῆς περιβολῆς περὶ αὐτῆς μετὰ τὰς ἄλλας διέξεισιν· ἀναγκαία δέ ἐστι διὰ πολλὸς αἰτίας, ὅτι τοῦ λόγου τὸ ταπεινὸν καὶ ἰδιωτικὸν ἀνίστησιν, ὅτι ταύτῃ μᾶλλον παρὰ τὰς ἄλλας πλεονάζει ὁ ῥήτωρ· ὅτι ἀσφάλειαν [2] τῷ λόγῳ περιτίθησι τῇ τῶν ποιοτήτων καὶ τῶν ἐννοιῶν προσθήκῃ, ὡς ὕστερον ἐρεῖν ὑπισχνεῖται, διὰ τὸ πολὺ συνεστραμμένον καὶ πυκνὸν αὐτῶν ἐν ἅπασιν, ἃ πρὸ αὐτῆς εἰδέναι τῶν ἀδυνάτων ἐστίν· διὸ πρῶτον ὑποτυποῖ τὴν ἑαυτῆς φύσιν, καὶ ὁρίζει ὅτι μὴ ἑτέρως τὰ τινὸς ἴδια γνῶναι δυνατὸν, πρὶν τὸ ὅλον μαθεῖν, οὗ καὶ τὰ ἴδια. [3]

ροδ'. Γίνεται τοίνυν περιβολὴ κατ' ἔννοιαν μὲν, ὅταν ἤτοι ἔξωθέν τι προσλαμβάνῃς τούτῳ περὶ οὗ ὁ λόγος, οἷον γένος εἴδει· γένος ὁ συκοφάντης καὶ τὸν πονηρὸν, τὸ δὲ κίναδος [4] εἶδος, καὶ ὁ θεολόγος οὐ πάντων, ὦ οὗτοι, τὸ θεολογεῖν, γένος, ἀλλὰ τῶν ἐξητασμένων, [5] εἶδος· καὶ πάλιν, καὶ πᾶσι μὲν διανοικτέον τὰ σπλάγχνα, ἐξαιρέτως δὲ τοῖς ὑπὸ τῆς ἱερᾶς νόσου διεφθαρμένοις.

ροέ. Ἢ ἀόριστον ὡρισμένῳ. Ἀόριστον τὰ πολλά· ὅμοιον· πολλὰ μὲν οὖν τοῦ τότε καιροῦ τὰ θαύματα· ἀόριστον τὸ, πολλὰ ἥλιος σκοτιζόμενος καὶ τὰ ἑξῆς ὡρισμένα.

ρος'. Ἢ ὅλον μέρει. Ἀλλ' ὅλης οὔσης τῆς ἀκροπόλεως ἱερᾶς ἐκ δεξιῶν ἕστηκεν· ὅμοιον, ὅλους ἡμᾶς αὐτῷ ἀνενέγκωμεν, ὅλον, μὴ λοβὸν ἥπατος, μὴ νεφροὺς καὶ τὰ ἑξῆς, μέρος.

ροζ. Τὸ κατ' ἄθροισιν. Τρεῖς αἱ ἀνωτάτω δόξαι περὶ θεοῦ· ἀναρχία καὶ πολυαρχία καὶ μοναρχία· αἱ μὲν δύο παισὶν Ἑλλήνων ἐπαίχθησαν καὶ παιζέσθωσαν· ἡμῖν δὲ μοναρχία τὸ τιμώμενον, τὸ μὲν πολλὰ ἀόριστον,

---

2 Par. ἀσφάλειαν. 3 Sequitur ex Vol. VII. p. 1017. α'—δ'. — v. 14. Par. τοῦτο, scr. τούτῳ. 4 Par. κίναιδος. 5 Par. ἐξητασμῶν.

τὸ δὲ τρεῖς καὶ δύο ἀριθμητικὸν, καὶ γνωστὸν καὶ ὡρισμένον διὰ τὸ δύο καὶ ἓν ἐμπερίβολον, καὶ ῥᾷστον ἦν τοῦτο ἐκ τριῶν τῶν ἰσχυροτάτων, καὶ τὰ ἑπόμενα· ὅτι γὰρ ἀνήρ· τοῦτο δὲ ἐκ τοῦ κατ' ἄθροισιν ποιεῖ τὴν περιβολὴν, καὶ ἐκ τοῦ ἀορίστου· τὸ γὰρ ἀνὴρ εἰ καὶ μερικὸν μετὰ τῶν μετ' αὐτὰ συνταττόμενον, ἀλλ' ἀόριστον.

ρρη΄. Τὸ ἤτοι κἀνταῦθα δύο μέρη λόγου εἰσὶν, τὸ ἢ σύνδεσμος διαζευκτικὸς καὶ τὸ τοι σύνδεσμος παραπληρωματικός· γίνεται δὲ ἡ ἀπόδοσις τοῦ ἢ διαζευκτικοῦ συνδέσμου διὰ μακροῦ μετὰ ἐπανάληψιν. — Οὐ γὰρ ἡ ἀκρόπολις γένος· ὅλον μὲν γὰρ ἡ ἀκρόπολις, μέρος δὲ ὁ ἐγγὺς τῆς Ἀθηνᾶς τόπος· οὐκ ἔστι γένος, φησὶν, ἡ ἀκρόπολις, οὐδὲ εἶδος ὁ ἐγγὺς τῆς ἀκροπόλεως τόπος.[6]

ρρθ΄. Εἰδέναι δὲ χρὴ ὡς αἱ τοιαῦται προσλήψεις. Ἤδη γὰρ εἶπεν καὶ εὐκρινείας[7] εἰσί· πῶς δὲ ποιοῦσι τὴν περιβολὴν, ἐνταῦθα δείκνυσι· καθὸ μὲν γὰρ προκατασκευάζει ἐπὶ τῷ προειδέναι τὰ λεχθησόμενα τοὺς ἀκούοντας, εὐκρίνειαν ποιεῖ· καθὸ δὲ ἔξωθεν προσλαμβάνεται, καὶ δοκεῖ εἶναι κεχωρισμένος καὶ προσεφέλκεσθαι ἐννοίας, περιβολὴν ἀπεργάζεται, καὶ τοῦτο ἀκριβοῦς ἐπιστήμονος, ἡ τῶν δοκούντων ἐναντίων εὔκαιρός τε καὶ σύμμετρος μῖξις, καὶ ἡ αἰτία· οὐ γὰρ οὕτω φασὶν ἐναντία τὰ τῶν λόγων, ὥσπερ καὶ τῶν πραγμάτων, θάνατος καὶ ζωὴ, φῶς καὶ σκότος, ψυχρὸν καὶ θερμὸν, ὑγρὸν καὶ ξηρὸν, σωφροσύνη καὶ ἀκολασία καὶ τὰ ὅμοια· τὰ γὰρ τοιαῦτα συνυπάρχειν οὐ δύνανται· τὰ δὲ τῶν λόγων ἐναντία συνυπάρχειν δύνανται, καὶ τότε μάλιστα θαυμαστὸς ὁ λόγος γίνεται συγκιρνώμενος διὰ τῶν ἐναντίων, ὅθεν καὶ δοκεῖ περιβολὴ ἐναντία εἶναι τῇ εὐκρινείᾳ, οὐ δι' αὐτὴν τὴν εὐκρίνειαν, ἀλλὰ διὰ τὴν σαφήνειαν, ᾗ ἐναντίον τὸ σαφὲς, καὶ διὰ τὴν καθαρότητα, ᾗ ἐναντίον τὸ συμμιγὲς τῶν νοημάτων καὶ ἡ σύγχυσις·

---

6 Sequitur ex Vol. VII. p. 1018. V. 7 Par. εὐκρινείαν.

διὸ καὶ δοκοῦσιν, εἶπεν, ἀλλ᾽ οὐκ εἶναι· εἶπε δὲ διὰ τοῦ αὐτοῦ πράγματος, ἀντὶ τοῦ σχήματος· τοῦτο δ᾽ ἦν τὸ καθ᾽ ἄθροισιν. [8]

σβ΄. Δυσχερὴς μὲν ἡ μίξις· εἰκότως, ὅτι ἀνδρὸς δεῖται λίαν ἐπιστήμονος, καὶ πρὸς τὰ τοιαῦτα πολυμαθοῦς, διὸ Ὅμηρον τοιοῦτον εἶναι καὶ Δημοσθένην μόνους· ἡμεῖς δὲ καὶ τὸν Θεολόγον φαμέν, ὡς διὰ πολλῶν ἐγνωρίσαμεν.

σγ΄. Πῶς δὲ οὐ δυσχερὲς μῖξαι καθαρότητα μὲν περιβολῇ· τούτων τὰ παραδείγματα αὐτὸς μὲν παρῃτήσατο πλέον εἰπεῖν· διδάσκειν δὲ ἐν τῷ περὶ μεθόδου δεινότητος ὑπισχνεῖται, ἔνθα παραγενόμενος οὐδ᾽ ὁπωςτιοῦν αὐτῶν ἐμνήσθη, καὶ τὴν αἰτίαν αὐτὸς ἂν εἰδείη. Πειρασόμεθα δὲ ἡμεῖς τινων παραδειγμάτων χρῆσιν λαβεῖν ἀπὸ τοῦ Θεολόγου, ὃν καὶ προεστησάμεθα, ἐν ᾧ καθαρὸν μὲν καὶ ἐμπερίβολον λόγον τοῦτον κρίνομεν· θεὸς ἦν μὲν ἀεὶ καὶ ἔστι καὶ ἔσται· μᾶλλον δὲ ἔστιν ἀεί· ἐνταῦθα γὰρ καθαρὸς ὁ λόγος καὶ κατὰ τὸ σχῆμα, εὐθεῖα γὰρ καὶ κατὰ τὴν λέξιν, εὐνόητος γάρ· ἐμπερίβολος δὲ διὰ τὸ περιστατικὸν τοῦ πράγματος καὶ τὴν διαίρεσιν τοῦ χρόνου καὶ τὸ ἐπιδιορθωτικόν· οὐ γὰρ πᾶν τοῦτο εὐκρινείας, καὶ τὸ δοκεῖν ἐμπεριβόλως εἰρῆσθαι καὶ ὥσπερ ἐξ ὑποστροφῆς· τὸ δὲ βραχὺ τῶν ἐπιμερισμῶν καὶ ἡ ταχεῖα τῶν ἐννοιῶν τμῆσις γοργότης· τὸ δὲ ἐφερμηνευτικόν· τὰ γὰρ ἦν καὶ ἔσται σαφηνείας ἐστίν· [9] *ἡ δὲ ἔννοια καὶ οἱ ῥυθμοὶ καὶ αἱ καταλήξεις πρόδηλον ὡς σεμνότητος· τοιοῦτον δὲ καὶ τό, ἀφ᾽ οὗ δὲ τοῦ τῆς ζωῆς ξύλου τῷ ξύλῳ τῆς βρώσεως· αἱ μὲν λέξεις καθαραὶ καὶ νοηθῆναι ῥᾴδιαι, τὰ δὲ ἄλλα περιβολῆς ἄντικρυς.*

---

8 Sequitur ex Vol. VII. p. 1019. θ΄.—ιά. litt. l. et ιά. sine nomine auctoris. 9 Par. σαφές, (ηνείας)

σδ'. *Καὶ τῷ περιττῷ καὶ μεστῷ τὴν σαφήνειαν.* Ἡ μὲν καθαρότης καὶ ἡ περίβολὴ εἴδη εἰσὶν, ἡ μὲν σαφηνείας, ἡ δὲ τοῦ μεγέθους· λέγει δὲ οὐ ταὐτὸν τῷ προτέρῳ διόλου· τὸ μὲν γὰρ περιττὸν ὁμολογουμένως τὴν περιβολὴν λέγει καὶ μέστωσιν, ἡ σαφήνεια δὲ γένος ἐστὶν εἴδει τῇ περιβολῇ συμμιγνύμενον· ὅταν μὲν γὰρ μεστωθῇ διὰ περιβολῆς ὁ λόγος, εἰ μὲν εἰς ὀρθὰ σχήματα καταντᾷ καὶ λέξεις σαφεῖς καὶ ἰαμβοκρότους καὶ τροχαϊκὰς, ἔτι δὲ ἐπαναλήψεις καὶ ὅσα τὴν σαφήνειαν ποιεῖ, ἐμίγησαν [10] αἱ ἰδέαι ὁμολογουμένως, ὡς ἐν οἷς εἴπομεν· μεστωθεὶς γὰρ ὁ λόγος τοῖς πνεύμασιν, εἶτα τῇ τῆς εὐκρινείας μεθόδῳ τοῦ δρόμου ἐπανακάμψας, εἰς εὐθέα κατήντησε σχήματα, κοινὰ ὄντα καὶ λαμπρότητος διὰ τὸ ἀποστατικὸν ἢ δεικτικὸν καὶ πολύπτωτον, τοῦτό ἐστιν ὁ διωγμὸς τοῦ πλάσματος. Δυσχερὴς δὲ ἀληθῶς τοῖς οὐκ ἀκριβέσιν ἡ μίξις, διά τε τὸ πλῆθος τῶν ἰδεῶν καὶ τὴν ὑπὲρ αἴσθησιν αὐτῶν ἕνωσιν, καὶ ἄτοπον καταῤῥοπήν· [11] αἱ μὲν γὰρ τῶν χρωμάτων μίξεις ἐξ ὅλης ἀρχῆς οὖσαι καὶ ὅλης ὡρισμένης, ἔτι δὲ καὶ ποσῷ καὶ ζυγῷ τρυτάνης ὑποκείμενα, οὐκ εἰς πολὺ τὰς σχέσεις τῆς ἑνώσεως ἐξάγουσιν, ἀλλ' εἰς τρεῖς μόνας τὰς ἀρχικάς· τριῶν γὰρ ὄντων τῶν ὅρων λευκοῦ καὶ μέλανος καὶ φαιοῦ, ἐὰν πολυπλασιασθῶσιν εἰς τὸν μονάδι ἐλάττονα, τρεῖς γίνονται μόναι αἱ σχέσεις, λευκοῦ πρὸς μέλαν, καὶ λευκοῦ πρὸς φαιὸν, καὶ μέλαν πρὸς φαιόν· τρεῖς γὰρ δύο καὶ τὸ ἥμισυ τῶν ἓξ τρία· τρεῖς ἄρα αἱ σχέσεις τῶν χρωμάτων, καὶ διὰ τοῦτο ῥᾳδίαν ἡ ἀπὸ τούτων διεξοδικὴ μίξις πρὸς τὰ λοιπὰ τῶν χρωμάτων καὶ εὐκατάληπτος· οὐ μόνον δὲ, ἀλλὰ καὶ ζυγοστατεῖσθαι ὄντα δυνατὰ εὐπερίγραπτον καὶ τὴν ἑαυτῶν τοῖς ζωγράφοις παρέχουσιν εὕρεσιν, ἔκ τε τῆς αὐτῶν ῥοπῆς καὶ τοῦ ἀριθμοῦ· στήσει γὰρ τυχὸν τὸ λευκὸν διπλάσιον τοῦ πορ-

10 Par. ἐμίγησαν. 11 Par. κατατροπήν.

φυροῦ, καὶ τὰ λοιπὰ κατὰ τὸ ἀνάλογον· ἐπὶ δὲ τῶν λόγων πολλὴ δυσχέρεια, πρῶτον μὲν ὅτι οὐ συνεχὲς ἔχει τὸ ποσὸν, δεύτερον, οὐδὲ ὑπὸ ῥοπὴν καὶ βάρος κεῖται, ἵνα τὴν ἀναλογίαν διὰ τρυτάνης ποιήσωμεν· τρίτον, ὅτι τὰ στοιχεῖα αὐτοῦ συμβαίνει γίνεσθαι πάσαις ταῖς ἰδέαις κοινά· ἡ γὰρ ἔννοια τῆς σεμνότητος, εἰ μὴ δυσνόητος εἴη, καθαρὰ ἔσται, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως· τέταρτον, πολλοὶ τῷ ἀριθμῷ οἱ τούτων ὅροι, ἑπτακαίδεκα γὰρ, καθαρότης, εὐκρίνεια, σεμνότης, τραχύτης, σφοδρότης, καὶ αἱ λοιπαὶ, αἳ πολλὰς σχέσεις ποιοῦσι πρὸς ἑαυτάς· ἑπτακαίδεκα γὰρ οὐσῶν, ἐὰν ἐπὶ τὸν μονάδι ἐλάττονα πολυπλασιάσωμεν καὶ συναχθέντων κατὰ τὰς ἀριθμητικὰς μεθόδους τὸ ἥμισυ λάβωμεν, ἑκατὸν τριάκοντα ἓξ γίνονται αἱ τούτων σχέσεις, καθ' ἃς ἥνωνται πρὸς ἀλλήλας· μία γὰρ ἑκάστη πρὸς ἀλλήλας μιγνυμένη τὸν ἀριθμὸν τοῦτον ἀποτελεῖ· ἃς τὸ μῖξαι πρὸς ἀλλήλας πότε καὶ πόσον, καὶ πῶς, καὶ ἐπὶ ποίων προσώπων καὶ πραγμάτων, καὶ δι' ἥντινα αἰτίαν, θείου ὄντος ἀνδρὸς καὶ πᾶσαν γραφὴν καὶ βιβλίον ἐπὶ στόματος ἔχοντος, ἵνα τὴν πᾶσαν σχολὴν εἰς τὴν τούτων μῖξιν ἔχῃ, ἀλλὰ μὴ ἐν τῇ εὑρέσει τῶν ὀκτὼ στοιχείων καὶ τῇ τούτων διασκευῇ καὶ συντάξει μόνον· τοῦτο γάρ ἐστι τὸ τελειότατον τῆς ῥητορικῆς, καὶ τῆς κατὰ μέθοδον δεινότητος, καὶ οὗτος ἂν γένοιτο λόγος κράτιστος, ἐξειργασμένος οὐ φύσει καὶ τύχῃ, τέχνῃ δὲ μᾶλλον καὶ ἐπιστήμῃ ἔχων πάντα ἐν ἑαυτῷ τὰ κάλλιστα, ὥσπερ ἡ ἐν μουσικῇ συμφωνία, ἡ διὰ πασῶν πάντας τοὺς ἐπιμορίους τε κατὰ τὴν μελῳδίαν λόγους καὶ φθόγγους, καὶ τὰ λεγόμενα παρὰ τοῖς γεωμέτραις στερεὰ σχήματα, πυραμίδες καὶ κύβοι καὶ εἰκοσάεδρα, καὶ τὰ τοιαῦτα, τὰ γὰρ ἐκ πλειόνων κώλων συγκείμενα πῶς οὐ κάλλιστα; εἰκότως τοίνυν τῷ ἀμαθεῖ δυσχερὴς ἡ μῖξις, τῷ δὲ πολυμαθεῖ ῥᾴδιος, Ἑρμογένει τῷ φιλανθρώπῳ καὶ σοφῷ ἑπομένῳ, ὃς πάσης τῆς ἐν τού-

τοις ταλαιπωρίας ἀπήλλαξεν ἡμᾶς καὶ ζητήσεως· αὐτίκα γοῦν, εἰ μὲν βούλοιτό τις τὸν καλλίονα τῶν πολιτικῶν ἐξεργάσασθαι λόγων, παραφυλαττέτω τὰ περὶ τούτου ῥηθησόμενα τῷ τεχνικῷ ἐν τοῖς περὶ πολιτικῶν, ἐν οἷς διέξεισι, ποῖαι τῶν ἰδεῶν τὸν ἄριστον λόγον ποιοῦσιν· εἰ δὲ συγκιρνῶν τὰς ἰδέας ἀλλήλαις φιλοτεχνοῖτο, ταῖς ἰδέαις αὐτῶν μέρεσι [12] τὴν μίξιν ποιησάτω, ἀλλ' οὐ τοῖς κοινοῖς· τίνα δὲ ἴδια αὐτῶν ἑκάστης καὶ τίνα κοινά, ἐδίδαξε μὲν ὁ τεχνικὸς καὶ διδάξει, μετ' αὐτὸν δὲ καὶ ἡμεῖς. ἀλλὰ καθαρότης μὲν καὶ περιβολὴ πῶς ἑνοῦνται, εἴρηται· διέλθωμεν δὲ καὶ τὰς λοιπάς.

στ. Σεμνότητα δὲ τὸ λεπτόν. Λεπτὸν μὲν τὴν ἀφέλειάν φησιν, ἥτις γένος οὖσα δύο εἴδη ἔχει, κατὰ ἐπίστασιν μὲν τὴν γλυκύτητα, κατ' ἰσότητα δὲ τὴν δριμύτητα, μᾶλλον δὲ αὕτη οὐδὲ εἶδός ἐστιν, ἀλλὰ λέξει μόνη θεωρεῖται καὶ γίνεται, ὡς προϊὼν δείξει· γίνεται δὲ ἀφελὴς ὁ λόγος, ὅταν τοῖς ἰδιωτικοῖς προσώποις, οἷον παισί τε καὶ γηπόνοις καὶ ἁπλῶς πᾶσι τοῖς λεγομένοις ἠθικοῖς ἐπιτηδείους πλάσωμεν λόγους· σεμνότης δὲ εἶδος οὖσα τοῦ μεγέθους τοῖς ἐνδόξοις καὶ ἀξιωματικοῖς προσώποις ἁρμοδία· ἑνοῦνται δ' οὖν, ὡς Ὅμηρος πλάττει τὸν Ἀχιλλέα, θρηνοῦντα μὲν τὸν Πάτροκλον, ἀπειλοῦντα δὲ τοῖς Τρωσί, καὶ μὴ πρότερον θάψαι λέγοντα, πρὶν ἀπὸ παντὸς εἴδους τῶν Τρωϊκῶν συγκαύσειεν ἀνὰ δώδεκα· τὸ μὲν γὰρ ἀνδρός, τὸ δὲ θρηνεῖν ἀμέτρως παιδὸς καὶ γυναικός. Διαιρήσεις δ' ἂν τὰς ἰδέας, ὅτι τῇ σεμνότητι ῥυθμοὶ μεγαλοπρεπεῖς, τῷ ἀφελεῖ δὲ τἀναντία· κάλλιον γοῦν ὁ θεολόγος· ἐγὼ δὲ ὁ φιλαθήναιος καὶ μάταιος. οὐ γὰρ ᾐσθόμην τοῦ φθόνου πιστεύων τῷ πλάσματι, τῷ μὲν γὰρ ἑαυτοῦ καταγνῶναι καὶ κατειπεῖν τὸ ἀφελὲς ἐνεδείξατο· οὐ μὴν ἀλλ' εἰσί τινες τῶν ῥυθμῶν ἀφελεῖς, ἰαμβικοὶ γὰρ καὶ τροχαϊκοί· τὸ δὲ πρύμναν κρούσασθαι

12 Par. μίξεσι. supra lineam: μέρεσι.

ἀνδρικοῦ καὶ μαχίμου· εἰσὶ δὲ τὰ σχήματα καὶ αἱ καταλήξεις σεμνότητος.[13]

σϛ'. *Καὶ τὴν χάριν τῷ διηρτημένῳ πρὸς μέγεθος.* Ὁμώνυμος ἡ τοῦ χάριν λέξις· σημαίνει γὰρ τὸ λαμπρὸν, καὶ τίθεται ἐπὶ τοῦ ὡραίου τε καὶ ἁβροῦ καὶ ἡδονὴν ἔχοντος λόγου καὶ γλυκύτητα· τίθεται δὲ καὶ ἐπὶ τοῦ κάλλους· ἀμφότερα γὰρ λεπτά εἰσι καὶ διάρμα οὐκ ἔχοντα εἴδη ὅλῳ τῷ γένει· διὰ τοῦτο τῷ μεγέθει μὲν ἐναντιοῦνται, ὡς τῷ ὑψηλῷ τὸ ταπεινόν· μιγνύμενα δὲ θαυμάσιον καὶ σύμφωνον ποιοῦσι τὸν λόγον· τὸ μὲν γὰρ κάλλος μεγέθει μίγνυται, ὡς ἐν τούτοις· ἀναλώσωμεν τὸ θῦμα μετὰ σπουδῆς ἄχρι κεφαλῆς καὶ ποδῶν· τοῦτο ὅλον καθαρὰ σεμνότης, εἰ καὶ διὰ τὰ μερικὰ δοκεῖ εἶναι ἀφέλεια μὴ οὖσα, μέθοδον ἔχουσα γοργότητος μετρίαν, τῶν τε πρώτων περὶ τῆς θεότητος θεωρημάτων, καὶ τῶν δευτέρων τῆς σαρκὸς φροντισμάτων. Αἱ μὲν γὰρ ἰσότητες κάλλους εἰσὶ καὶ αἱ συμπλοκαὶ, ἡ δὲ ἔννοια, καὶ τὰ σχήματα, καὶ ἡ μέθοδος, ἀφήγημα καὶ πάντως σεμνότητος· μετρίαν δὲ ἔχει τὴν εὐκρίνειαν διά τε τῆς ἀποδόσεως ἐμφαινομένην καὶ τῆς ἀπαριθμήσεως· κάλλος δὲ καὶ τραχύτης παρὰ μὲν τῷ θεολόγῳ οὐκ ἔστιν, ἤδη γὰρ εἴπομεν, ὡς ἡ τραχύτης ἀπὸ τῶν ἐλαττόνων προσώπων γίνεται πρὸς τὰ μείζω· μεῖζον δὲ πρόσωπον ὁ θεολόγος, εἰ μή τις τοὺς πρὸς τοὺς βασιλεῖς λόγους τραχύτητος φαίη, ὡς καὶ τοῦτο· πῶς οὖν ἐνταῦθα μόνον ἀμαθὴς καὶ ἀπερίσκεπτος; τί τὸ τάχος τῆς ἀπανθρώπου φιλανθρωπίας; τίς συνῆλθε δαιμόνων τῷ σκέμματι; εἰσὶ δὲ ὅμως καὶ ἀκμαῖα καὶ διὰ τοῦτο καὶ τραχέα· ἔχουσι δὲ κάλλος διὰ τὰς ἐπαναφοράς· εὑρήσεις δὲ πολλὰ τοιαῦτα ἐν τῷ συντακτηρίῳ, ἡνίκα παροδικῶς ποιεῖται τοὺς λόγους πρὸς τὸν θεόν· σφοδρότητι δὲ, οἶμαι, οὐδέποτε συνεισέρχεται κάλλος· οἱ γὰρ μείζονες πρὸς τοὺς ἐλάττονας ὀργιζόμενοι

13 Sequitur ex Vol, VII. p. 1020. id.

ὕποπτοι καλλωπίζειν, εἰ μὴ κατ' εἰρωνείαν, πλὴν πλήρης τῶν τοιούτων ἡ γραφὴ, μᾶλλον δὲ ἐπὶ τῶν διαλέξεων τοῦ Ἰὼβ τῶν τε φίλων καὶ τοῦ θεοῦ. Ἀπορήσειε δ' ἄν τις, πρῶτον μὲν εἰ ἔστι καὶ γίνεται πρὸς τὸν ἴσον σφοδρότης καὶ τραχύτης. Δεύτερον δὲ, πῶς εἰπόντος τοῦ τεχνικοῦ ἐν τοῖς περὶ τῶν ἰδεῶν τούτων, ὡς μετ' ὀργῆς προΐενται, καὶ οἷον τὸ ἀκράχολον καὶ ἄῤῥυθμον ἔχουσαι, ἃ οὐδένα κόσμον ἐμφαίνει, νῦν φησι γίνεσθαι τραχύτητα ἅμα κάλλει, εἴπερ τὴν χάριν ἐπὶ τοῦ κάλλους ληψόμεθα. Ἀλλὰ πρὸς μὲν τὸ πρῶτόν φησιν, ὅτι καὶ πρὸς ἴσα πρόσωπα αἱ ἰδέαι γίνονται, διχῶς δὲ ἐπὶ μὲν τῶν ἐνδόξων κατὰ ἐπιείκειαν καὶ βαρύτητα, τῆς μὲν τοῦ ἀκούοντος, τῆς δὲ τοῦ λέγοντος ἡ βαρύτης· ὡς εἶπέ που καὶ ὁ θεολόγος· ὑψηλότερόν σε τῶν ἡμετέρων ὁ θρόνος πεποίηκε, καὶ ἀποδυσπετοῦ πρὸς αὐτὸν, καὶ ἄπιστον εἰς φιλίαν καὶ μυστικῶν συνθηκῶν παραβάτην ἀποκαλεῖ· ἀλλ' ὁ μέγας Βασίλειος ἀνέχεται λυπούμενος· οὗτος δὲ πάλαι παίζων φησὶν, ὦ λάλε σὺ καὶ φλύαρε, πάνυ τραχύ· ἐπὶ δὲ τῶν μὴ τοιούτων ἄκρατος ἡ τραχύτης·

— — — κυνὸς ὄμματ' ἔχων, κραδίην δ' ἐλάφοιο.

Γίνεται τοίνυν καὶ ἀπὸ ἴσων καὶ τοῦτο, ἀλλ' ὑφειμένως[14] τὸ ἓν μόνον πρόσωπον τὴν τοῦ ἐλάττονος τάξιν ἀποπληροῖ, καὶ οὕτως ἀκριβέστατα τὰς ἰδέας ὁ τεχνικὸς ἀποδοὺς, εἰς δύο[15] διεῖλεν, ἀλλ' οὐκ εἰς τρεῖς. Σφοδρότητι δὲ, ὡς ἔφην, οὐκ ἂν γένοιτο κάλλος, ὥς γε νομίζω· καὶ τάχα εἴη κἂν καὶ τοῦτο πρὸς τὴν τραχύτητα διαφορά· ἀλλὰ μήποτε ἄρα εἴη κάλλος ἅμα σφοδρότητι· τὸ γὰρ ἐμβρόντητε[16] καὶ πολύτροπε διὰ τὰς ἰσοκαταλήκτους κάλλος ἐστὶ σὺν σφοδρότητι· οὐκοῦν ἀρκούντως δέδεικται, ὅτι καλλωπίζεται καὶ ἡ σφοδρότης, εἰ δὲ τύχῃ καὶ οὐ

---

14 Par. ὑφειμίως. 15 super δύο in Par. scriptum est: δίον.
16 Par. ἐμβρόντατε.

προνοίᾳ, οὐδὲν διοίσει, πλὴν ὅμως εὑρίσκονται ἅμα· συμπεσεῖται δὲ καὶ περιβολῇ τὸ κάλλος· τῇ ἀκμῇ γὰρ καὶ τῇ λαμπρότητι ὡς συμπίπτει πρόδηλον· περιβολῆς μὲν ἅμα κάλλει κατὰ μέστωσιν ὅλον τοῦτο τὸ χωρίον, καλὴ μὲν καὶ ἡ χθὲς ἡμῖν φωταγωγία, καὶ τὰ ἑξῆς· περιβολὴν μὲν ἔχοντα διὰ τὰ ὅλα καὶ τὰ μέρη, ἰδίᾳ τε καὶ δημοσίᾳ, καὶ διὰ τὰ ἀόριστα τὸ λαμπροφορεῖν ἢ καθόλου καὶ ἁπλῶς πάντα. Εὑρήσεις δὲ καὶ ἄλλα παραδείγματα τούτων τρανότατα· κάλλος δὲ λαμπροφορία καὶ φωταγωγία· ἰσόκωλα καὶ ἰσόληκτα, ἰδίᾳ δημοσίᾳ, καὶ οὕτως ἀποδέδεικται τὸ κάλλος συμπίπτον τῷ μεγέθει παντί· εἰ δὲ χάριν οὐ τὸ κάλλος, ἀλλὰ τὴν γλυκύτητα φαίημεν, καὶ οὕτως οὐκ ἀπορήσομεν παραδειγμάτων, αὐτίκα γὰρ ὡς ἂν ἐκ πολλῶν ἀρκέσειεν τό· ἡ βασίλισσα τῶν ὡρῶν τῇ βασιλίδι τῶν ἡμερῶν προπομπεύει. σεμνὰ ὄντα ταῖς ἐννοίαις καὶ τοῖς ῥυθμοῖς γλυκύτητός εἰσι· πλήρη διὰ τὸ τῶν πραγμάτων ἡδύ· τί γὰρ ἀναστάσεως καὶ ἔαρος ἡδύτερον ἢ ὡραιότερον, καὶ σὺ δ' ἄν, εἰ κατὰ σαυτὸν ἐρευνήσεις, καὶ μετὰ τραχύτητος καὶ τῶν ἄλλων ἰδεῶν τοῦ μεγέθους εὑρήσεις γλυκύτητα, ὡς καὶ τόδε· ἀπὸ τῆς ἀγριελαίου μετεγκεντρισθὲν εἰς τὸ καλλιέλαιον· τραχεῖα γὰρ ἡ ἐγκεντρισθεῖσα καὶ τὸ ἄγριον, ὅμως διὰ τὰ πράγματα χαρίεις ὁ λόγος.

σζ. Σφοδρότητι δὲ τὴν ἀφέλειαν. Ἡ ἀφέλεια καὶ ἡ γλυκύτης συγγενεῖς εἰσι, γένος δὲ αὐτῶν τὸ ἦθος· ἡ δὲ γλυκύτης γενικώτατον ἔχει τὸ ἦθος, γενικὸν δὲ ἁπλῶς τὴν ἀφέλειαν. ἐπιτεινομένη γὰρ αὕτη τὴν γλυκύτητα ποιεῖ, ὥστε καὶ ἡ γλυκύτης ἀντίκειται τῇ σφοδρότητι· ἅμα δὲ καὶ ἡ ἐναντία, ἀλλ' ἔμμεσα καὶ οὐκ ἄμεσα· τούτων γὰρ οὐδεὶς κοινὸς ὅρος συναπτικός· συνέσται δὲ ἀφέλεια καὶ τραχύτης, ὅταν ὑποκρινώμεθα ἄπλαστα ἤθη καὶ ὀργιζόμενα, οἷον ἐπὶ τῶν Μακκαβέων ἡ μήτηρ πρὸς τύραννον καὶ οἱ παῖδες· καὶ ἐπὶ τοῦ περὶ φιλοπτωχίας·

τέκνον ἐλεεινὸν, τέκνον οὐ γνωριζόμενον, ἱνατί ἐπλάσθης ἐν κοιλίᾳ μητρός σου καὶ οὐκ εὐθὺς ἀπώλου; ἱνατί συνήντησέ σοι γόνατα; σχεδὸν γὰρ βλασφημίαι εἰσὶ καὶ ἀποδυςπετήσεις πρὸς τὸν θεὸν, τὸν πλάττοντα καὶ διαρθροῦντα· οὕτω δὲ καὶ Ἰώβ· „ἱνατί με ἔθου κατεντευκτήν[17] σου, κύριε;“ καὶ ὁμοίως πανταχοῦ οἱ προφῆται θρηνοῦντες οὕτω ἀφελῶς καὶ ἀπλάστως ἀποδυςπετοῦσι, καὶ διὰ τοῦτο οὐ λογίζονται βλασφημίαι, ὅτι οὐκ ἐκ πονηρίας· οὓς ὁ θεολόγος μιμούμενος πολλὰ τοιαῦτα ἐν τῷ συντακτηρίῳ διέξεισι· γίνεται γὰρ ἡ τραχύτης καὶ ἀπὸ ὀργῆς καὶ ἀπὸ λύπης, λύπη γὰρ ὀργῆς μήτηρ· ἡ δὲ ἀπὸ χαρᾶς τραχύτης καὶ ἱλαρότης σκῶμμα λέγεται καὶ παιδιὰ, ὥσπερ τὸ πρὸ μικροῦ ῥηθὲν πρὸς τὸν θεολόγον τοῦ ἁγίου Βασιλείου· φέρε σοι καὶ μῦθον διηγήσομαι· οὐ γὰρ φέρω τὸ ἔπος, εἴποτε ἐπίσχω τῆς φλυαρίας.

σή. Καὶ τῇ τραχύτητι τὸ μεθ᾽ ἡδονῆς. Ἐντεῦθεν δῆλον, ὡς τὴν χάριν, ἣν εἶπεν ἀνωτέρω τὸ κάλλος ἔλεγε καὶ τὴν γλυκύτητα· ἡδονὴ γὰρ ἡ γλυκύτης ἐστὶ, πλὴν ἐῤῥέθη, πῶς συμφέρονται ἀλλήλαις αἱ ἰδέαι.[18]

σθ'. Ἔνθα δὲ τόλμης δεῖ, κάλλος· τὸ τόλμης οἱ μὲν ἐπὶ τῆς τραχύτητος εἶπον, δι᾽ ἧς τολμῶσιν οἱ λέγοντες ἐπιτιμᾶν καὶ ποιεῖν καταφορὰν πρὸς τοὺς μείζονας· καὶ εἰ τοῦτό ἐστιν, εἴρηται διὰ παραδειγμάτων ἡ ἀπόδειξις. Ἄῤῥυθμα γὰρ ὄντα τὰ τραχέα κόσμου δέεται τεχνικοῦ μᾶλλον ἢ τυχικοῦ· οὕτως γὰρ λεαίνει τὸ αὔθαδες· οἱ δὲ τὸ τόλμης σφάλμα γραφικὸν ὑπολαβόντες ἀντ᾽ αὐτοῦ τὸ ἀμελὲς ἔλαβον, ἀντὶ τοῦ ἔνθα δὲ τἀμελοῦς δεῖ, δεῖ πάντως καὶ κάλλους. πῶς; οὐκ εἰπόντες,[19] ἀλλ᾽ εἰ μὲν τοῦ ἀμελοῦς δεῖ, οὕτως ἂν προάγοιτο ἡ ἐξήγησις· ἀμελὲς λέγειν αὐτὸν οἴομαι οὐ τραχύτητα

17 Par. κατεντάκτην. Job. VII. 19. κατεντευκτήν. 18 Sequitur ex Vol. VII. p. 1020. ις'. 19 Par. εἰπόντος.

καὶ σφοδρότητα, ἤδη γὰρ προεῖπεν αὐτὰς, ἀλλὰ τὸ διαλεκτικὸν καὶ ταπεινὸν καὶ εὔζωνον ἀνωτέρω εἶπεν, ὃ μετέχει τῆς γοργότητος, οἷον· τί δὲ τὸ πτύον; ἡ κάθαρσις· τί δὲ τὸ πῦρ; ἡ τοῦ κούφου δαπάνη· καὶ πάλιν, τίς ὢν καὶ παρὰ τίνος καὶ πηνίκα; καὶ αἱ ἀποδόσεις κατὰ πόδας· οὕτως καὶ πρὸς τὸν ὕπαρχον τοῦ μεγάλου ἐν τῷ ἐπιταφίῳ· οὐκ ἔχει δὲ τὸ εἶδος τοῦτο δίαρμα, οὐδὲ ἡδονὴν καὶ δεῖται τοῦ κάλλους· αἵ τε γὰρ προτάσεις καὶ ἀποδόσεις οὕτω μεθοδευθεῖσαι, ὡς ἐν στροφῇ [20] καὶ ἀντιστρόφῳ, αἵ τε εὐρυθμίαι καὶ συντομίαι ἀνορθοῦσι τὸ διεῤῥηγμένον αὐτῶν· πάντως δέ τι κάλλους εὑρήσεις ἐν τοῖς τοιούτοις· τὸ γὰρ ἵνα τί μάθωμεν καὶ τί παιδευθῶμεν, ἰσόκωλα ὄντα κάλλους εἰσὶν ἴδια, καὶ αἱ ἀποδείξεις ὁμοίως· οὕτω μὲν οὖν ἤδη τὴν γραφὴν εἶναι τοῦ ἀμέλους, ἅπερ καὶ οὕτως ἐξητασμένα οὐ δοκεῖ θέλειν οὕτως, οὐδ᾽ εἶναι ἐσφαλμένον, ἀλλ᾽ ὀρθῶς ἔχειν καὶ ἀληθῶς τὸ συμβαλεῖν τόλμης· δεῖ γὰρ τόλμης τοῦ κάλλους ἐν τοῖς ὑψηλοῖς καὶ βαθέσι νοήμασι καὶ δυςεκφράστοις· ἃ τολμῶν ἐξειπεῖν ὁ ῥήτωρ εἰ μὲν ὡς εἰσὶ φύσεως ἔχοντα ἑρμηνεύσειεν, οὐδὲν ἧττον δυςνόητα ἔσονται διὰ τὴν κακοφράδειαν καὶ ἀπρόςδεκτα· εἰ δὲ λεπτομερῶς αὐτὰ φράσειεν, ἀκαλλῶς δὲ καὶ ἀναξίως τῆς ἑαυτῶν φύσεως ἀπεῤῥίφησαν· οὐκοῦν δεῖ μεστότητα καὶ περικαλλείαν εἰς τὸ παραδεχθῆναι, ὅτι καὶ τῆς ἀληθείας αὐτῆς κόσμου δεῖ· τὰ γὰρ ἄκοσμα καὶ ἀηδῆ, ἵνα πρὸς τῷ πιστευθῆναι καὶ εὐφράνῃ. Οὗτος οὖν ὁ θεῖος Γρηγόριος, εἰ ἔλεγε τολμήσας τοιούτων νοημάτων, φαίνεται τοῖς ἁγίοις ὁ θεὸς, ὡς μὴ εἴη ἀνέλπιστος, ἵνα θαυμάζηται, καὶ καθαίρῃ, καίπερ ὑψηλὰ ἔχων νοήματα, ἧττον ἂν ἔπεισε καὶ ᾖσεν· [21] ἑρμηνεύσας δὲ τὸν νοῦν σχήμασιν ἀξίοις ταῖς ἡδοναῖς ὑπερ-

---

20 Par. τροφῇ. 21 Par. ᾖσεν, scripsi ἦσεν. fort. magis placet: ἤνυσεν.

ὑπερενίκησεν, οἷον τὰς αἰτίας διηγούμενος τοῦ καταληπτοῦ καὶ ἀκαταλήπτου ταῖς τῶν ἄλλων [22] ἐμφάσεσιν ἐμοὶ δοκεῖν φησιν, ἵνα τῷ ληπτῷ μὲν ἕλκῃ πρὸς ἑαυτὸ, καὶ ἡ κατασκευὴ ὥσπερ ἐξ ὑποστροφῆς γοργότητα· τὸ γὰρ τελέως ἄληπτον, τῷ δ' ἀλήπτῳ θαυμάζεται· θαυμαζόμεμενον δὲ ποθεῖται καὶ τὰ ἑπόμενα· ὁρᾷς, ὅτι καὶ τὰ λαμπρὰ καὶ τὰ μεγάλα τῆς τεχνικῆς ἐπικοσμήσεως δεῖ· οὕτω γοῦν καὶ ἄνδρες καὶ γυναῖκες καλαὶ εἰ ζώννυνται ἢ ἐνδύονται, ἢ καλύπτονται τὴν κεφαλὴν οὐ καλῶς, ἢ οὐ κτενίζονται καὶ τὰς τρίχας ἐξομαλίζουσιν, ἧττόν εἰσι καλαί· τὸ μὲν οὖν τόλμης οὕτω μοι θεωρεῖται καὶ τρισὶ θεωρίαις, καὶ ὅτῳ δ' ἂν ἀρεσθείης αὐτὸς, τοῦτ' ἂν εἴη κύριον, καὶ τὸ κεκοσμημένον ἅμα πιθανότητι, τοῦ αὐτοῦ ἐστι καὶ τοῦτο μέρος· τὸ γὰρ κάλλος καὶ τὸ κεκοσμημένον τὸ αὐτό ἐστι· τὸ δὲ πιθανὸν ἰδέας ἐστὶν ἑτέρας, ἥντινα μαθησόμεθα· ἁρμόδιον δὲ τοῦτο τοῖς τολμηροῖς λόγοις· λέγεται δὲ καὶ ἀληθινὸν, ὡς τό· οὐκ οἶδα δὲ, εἰς ὅ τι ἂν ἄλλο χρησαίμην τοῖς λόγοις μὴ νῦν χρησάμενος, καὶ ὡς ἀπόλοιτο ἡ κακία, καὶ ὁ καθεύδουσιν ἡμῖν ἐπισπείρων τὰ ζιζάνια πονηρός· πῶς δ' ἂν ἁρμόσειε καὶ τοῦτο τοῖς ῥηθεῖσιν, εἰ φαίημέν τι μεταξὺ τῶν λόγων ὥσπερ καὶ ἀναμιμνησκόμενοι ἢ εὐχόμενοί τι ἢ κατευχόμενοι· ὡς τὸ, ἀλλ' ὅ με μικροῦ παρέδραμε μέσον τῶν εἰρημένων, τοῦτο κοινὸν εἶναι καὶ λυπουμένων καὶ εὐφραινομένων.

σί. *Λαμπρότητα τὸ γοργόν τε καὶ ἀγωνιστικόν.* Ἡ λαμπρότης μακροκωλίᾳ χαίρει· ἡ δὲ γοργότης ταῖς ταχείαις ἀπαντήσεσι καὶ τοῖς τοιουτοτρόποις· τὸ γοῦν ἀξιωματικὸν καὶ μέγα καὶ δυσκίνητον τοῦ λόγου εὐκινητότατον καὶ τροχαλὸν ποιῆσαι τῆς ἀκριβοῦς ἕξεως, ὡς ὁ θεολόγος· πεντηκοστὴν ἑορτάσωμεν καὶ πνεύματος ἐπιδημίαν καὶ τὸ μυστήριον ὅσον, ὡς μέγα τε καὶ σεβά-

22 Super ἄλλων in Par. scriptum est ἁγίων.

σμιον· τὸ μὲν γὰρ πρᾶγμα λαμπρὸν τῇ ποιότητι καὶ τὸ σχῆμα ἐξ ἀποστάσεως, αἱ δὲ ταχεῖαι μεταβάσεις γοργότητος.

σιά. *Καὶ οἷον εὔζωνον·* ἀγωνιστικὴ γὰρ ἡ γοργότης καὶ εὔζωνος· διὸ καλῶς εἰρήκαμεν τὸ διαλεκτικὸν καὶ γοργόν· ἀναγκαῖον οὖν συμπλέκειν τῇ λαμπρότητι τὴν γοργότητα, κατά τινα διαστήματα τοῖς κομματικοῖς καὶ ἀσυνδέτοις τὸ ἄφετον αὐτῆς ἀνακόπτοντας.

σιβ. *Χωρὶς εὐτελείας καὶ ταπεινότητος.* Ταὐτὸν εὐτέλεια καὶ ταπεινότης ἐστίν· ἔστι δὲ καὶ ἀφέλεια, μᾶλλον δὲ τὸ ἰδιωτικὸν καὶ ἀγροῖκον· τὸ γὰρ λαμπρὸν ἅπαν καὶ γοργὸν αἰσχρὸν γίνεται καὶ ἀκίνητον, συνεζευγμένον τῷ ταπεινῷ καὶ εὐτελεῖ, καὶ ἀνοίηστον,[23] ὥσπερ ἵππος ὄνῳ.

σιγ'. *Τῷ δὲ ἀκμαίῳ πάλιν τὸ πιθανόν.* Πῶς γίνεται ὁ ἀκμαῖος λόγος, εἴρηται, καὶ διὰ τίνων; ὅτι διὰ λαμπρότητος καὶ τραχύτητος καὶ σφοδρότητος· τὸ δὲ πιθανὸν καὶ ἀληθές, ὃ καὶ ἐνδιάθετον λέγει, ῥηθήσεται· πιθανὸν δὲ κατ' ἐξοχὴν καὶ κατ' ἰσχύν· πάντα μὲν γὰρ πιθανά· ἀλλὰ τῇ τέχνῃ τοῦ ῥήτορος γίνονται πιθανά, καὶ εἰ μὴ τοιαῦτα τῇ φύσει· τὸ δὲ δυνατὸν ὂν τῇ φύσει καὶ μᾶλλον πεῖθον πιθανὸν λέγεται, ὡς τὰ παραδείγματα δείξει· ἀληθὲς δὲ λέγεται διὰ τὸ εἶναι αὐτόπιστον, καὶ κατασκευῶν οὐ δεόμενον, καὶ ὥσπερ ἐξ ἀναμνήσεως εἰσαγόμενον καὶ ἀληθοῦς καὶ βεβαίας κινήσεως τῆς ψυχῆς, καὶ διὰ τὸ μὴ ἀνατραπῆναι δύνασθαι· τοιαῦτα γὰρ τὰ ἀληθῆ· ἐνδιάθετον δέ, ὡς ἐξ ὀρθῆς καὶ ἀδόλου τῆς διαθέσεως προϊὸν ἐκ τοῦ νοηματικοῦ καὶ κατὰ διάθεσιν λόγου· τὸν γὰρ λόγον τῆς ψυχῆς τὸν κρυπτὸν καὶ ἀνεξάκουστον ἀκοαῖς ἐνδιάθετον λέγουσι, καὶ ἐκ διαθέσεως· συνίσταται γοῦν οὗτος μετὰ τῆς ἀκμῆς, ὅταν τινῶν κατηγοροῦντες ἢ κατατρέχοντες καὶ ἐπιτιμῶν-

---

23 Nota vocem: ἀνοίηστος.

τες μεταξὺ τραγῳδήσωμεν οἰκτιζόμενοι, εἰρωνευόμενοι, ἤ τι τῶν οἰκείων τῆς ἰδέας ταύτης εἰσάγωμεν, ὡς ταῦτά ἐστι· σὺ δὲ τί λέγεις ἢ τί νομοθετεῖς; μέχρι τοῦ οὐ δακρύεις δάκρυον· εἶτα τὸ ἐνδιάθετον· μὴ σύγε τοιούτου κριτοῦ τύχῃς· πείθει γὰρ ἄκοντα, ὡς εἰ μὴ ἀφήσει οὐκ ἀφεθήσεται· πάλιν, οὐκ αἰδῇ τὸ Ἰησοῦ φιλάνθρωπον; καὶ τὰ διὰ μέσου, καὶ πάλιν τὸ ἐνδιάθετον, ὡς μακάριόν σου τὸ ὑψηλὸν, εἰ καθαρότης ἦν ἀλλὰ μὴ τύφος, καὶ πάλιν· νῦν δέδοικα, μὴ βρύων ἕλκεσι· καὶ πάλιν· ἢ οὐδὲ τελειωθέντα δέχῃ δι' αἵματος· εἶτα τὸ ἀληθὲς, ἔστι γὰρ καὶ τοῦτο τῆς σῆς ἀπονοίας· εἶτα μετὰ πολλὰ ἡ εἰρωνεία, σχῆμα τοῦ πιθανοῦ οὖσα, σὺ διδάσκαλος, καὶ πάλιν· μετάδοτε καὶ ἡμῖν τῆς λαμπρότητος· τινὲς δὲ ἐπλανήθησαν ἀπὸ τῆς ὁμωνυμίας, ἀρετὴν λόγου εἰπόντες τὸ πιθανὸν, ἣν ἐργάζονται ἀφέλεια, ἀλήθεια, γλυκύτης, ἐπιείκεια, αἱ τοῦ ἤθους ἰδέαι· ἀγνοήσαντες, ὡς ἡ τοῦ λόγου ἀρετὴ οὐ μόνον ἐν τῷ ἤθει ἐστὶν, ἀλλὰ καὶ τῷ μεγέθει καὶ πάσαις ταῖς ἰδέαις γινομέναις πιθαναῖς,[24] μὴ τὴν φύσιν τῶν προσώπων καὶ πραγμάτων· μηδὲ τὴν ποιότητα ἢ τὸ ἦθος ἢ τὰ τοιαῦτα παρεκβαινόντων διὰ πάντων τῶν τοῦ λόγου εἰδῶν καὶ μερῶν καὶ διασκευῆς· αὕτη δὲ ἡ πιθανότης, μᾶλλον δὲ τὸ πιθανὸν ἰδέα ἐστὶ, μόρια ἔχουσα συστατικὰ ἑαυτῆς, ἥτις λέγεται ἰδικῶς καὶ ἀλήθεια, ὡς μαθησόμεθα· οὐ γὰρ τὸ πιθανὸν ἡ ἀλήθεια ποιεῖ, ὡς αὐτοί φασιν, ἀλλὰ ταὐτὸν ἀλήθεια καὶ πιθανόν· ἢ κατὰ συγχώρησιν τὸ πιθανὸν τὴν ἀλήθειαν· εἰδείη γὰρ ἄν τις τὴν ἀτοπίαν[25] ἐκ τῶν ἑκάστης ὁρισμῶν· ἡ μὲν γὰρ ἀρετὴ τοῦ λόγου, ἡ δὲ πιθανότης ἡ τὰ παρακολουθοῦντα τοῖς οὖσι πιθανῶς ἀπαγγέλλουσα· πιθανὰ δέ εἰσι τὰ μὴ ταῖς ἀνασκευαῖς ὑποπίπτοντα, οἷον ὅτι ὁ ταῦρος ἑάλω ὑπὸ ἀλώπεκος, ἡ ἀλώπηξ ὑπὸ ἀλε-

---

24 Par. γινομένῃ πιθανῇ. 25 Par. ἀτοπείαν.

κτρυόνος· ταῦτα γὰρ ἄπιστα· πιθανὸν δέ ἐστι τὸ καὶ ἐνδιάθετον, λόγος τὸ πάθος ἐξαγγέλλων τοῦ λέγοντος, ὅπως διάκειται περὶ τὸ λεγόμενον, ὡς ἐν τοῖς περὶ αὐτοῦ μαθησόμεθα· ἔτι μέντοι τὸ ἐπὶ ταῖς διηγήσεσι μόναις ἁρμόδιον καὶ μάλιστα ταῖς πλείσταις, τὸ δὲ λόγῳ παντί· καὶ μὴν ἡ μὲν ὑπάρχει ἀμερὴς, τὸ δὲ μέρη ἔχει καὶ μόρια τὰ ἑαυτοῦ στοιχεῖα. ἐξ ὧν καὶ συνίσταται, καὶ τὸ μὲν ὡς ὅλον τι ὑπὸ χαρακτῆρα καὶ ἰδέαν ἀνάγεται, ἡ δὲ μόλις ἐστὶν ἔσχατον μόριον.

σιδ΄. Ὅσα δὲ ἄλλα τῶν εἰδῶν τοῦ λόγου. Εἰς τὸ καθολικώτερον [26] ἀνήγαγε τὸν λόγον, πάσας περιλαμβάνων· δοκεῖ δὲ, εἶπεν, ἀλλ' οὐκ εἰσὶν ἐναντία· τὰ γὰρ κυρίως ἐναντία τὰ καὶ ἄμεσα καὶ δοκοῦσι καὶ εἰσί· τὰ δὲ ἔμμεσα καὶ τὰ συνερχόμενα δοκεῖ μὲν, οὐκ εἰσὶ δέ· οὐ γὰρ ἂν συνῆλθον, εἰ τῷ ὄντι ἦσαν ἐναντία.

Εἰς τὸ αὐτό.

Ὅσα τε ἄλλα· εἰς τὸ περιεκτικώτερον τὸν λόγον ἀνήγαγε λέγων, δυσχερῆ εἶναι τὴν μίξιν αὐτῶν, καὶ εἴ τις αὐτῶν ἐναντιότητος γνῶσις, καὶ τὸ ἀκριβῶς μαθεῖν, καὶ τὰ τί ἀλλήλαις ἐναντιοῦνται, κατὰ νοῦν ἢ λέξεις ἢ σχῆμα, ἤ τι τῶν τοιούτων, χαλεπὸν εἰδέναι· ἄλλως τε χαλεπὸν οὐ μόνον τὸ εἰδέναι τά τε ὅλα αὐτῶν καὶ τὰ μέρη, ἀλλ' εἰ καὶ βουλήσαιτό τις αὐτοῖς χρήσασθαι ἑκάστοις εἰς λογογραφίαν καὶ ταῖς μίξεσιν αὐτῶν εἰς δέον· ἤδη γὰρ προεῖπεν, ὅτι χρησίμη ἡ γνῶσις αὐτῶν εἴς τε τὸ τὰ τῶν ἄλλων κρίνειν, ὅποι ποτὲ καλῶς ἔχει καὶ ἀκριβῶς, καὶ εἰς τὸ ποιεῖν· εἴη δ' ἂν καὶ τρίτον εἰς τὸ διδάσκειν, ὃ καὶ τὰ δύο περιέχει· ὁ γὰρ ἀκριβῶς ἕκαστα εἰδὼς οὐ μόνον εἰς τὸ αὐτὸς γράψαι χρήσαιτο αὐταῖς συγκρίνων, [27] ἀλλὰ καὶ ἄλλους διδάξει, ἡ γὰρ περὶ τούτων δι-

26 In Par. supra lineam: περιεκτικόν. 27 In Par. supra lineam συγκρινῶν.

δασκαλία τὸ ἀξιόπιστον ἐκ παραδειγμάτων ἔχει, ὅτι μηδεὶς κατ' ἐπιστήμην διδάσκων ὠφελήσει μὴ λαμβάνων παραδείγματα τῇ διδασκαλίᾳ κατάλληλα, εἰ μὴ μαθητὰς ἠλιθίους ἔχει, εὔδηλον ὅτι καὶ κρίνει, καὶ πρὸς τὸ κρῖναι καὶ γράψει· ἐὰν γὰρ διδάσκων λέγω, ὅτι καλὸν τὸ μῖξαι γοργότητα τῇ σεμνότητι καὶ ἄλλο τι, καὶ μὴ λέγω, πῶς καὶ παρὰ τίνος τοῦτο ἐγένετο, ἀκούσομαι τὸ τοῦ μύθου· [28] πρόελθε μήτηρ καὶ καθηγοῦ τοῦ τέκνου ὀρθὴ βαδίζουσα, ὃ ποιοῦσιν οἱ νῦν διδάσκαλοι, ἃ παρὰ τῶν παλαιῶν ἐκμανθάνουσι, ταῦτα διεξερχόμενοι μαρτυρίας χωρὶς, ὅπερ εἶδον ἐγώ τινα τῶν μεγάλων παθόντα· ἐπειδὴ γὰρ ἔγραψέ τι, πυνθανομένου τοῦ μαθητοῦ, πόθεν εἴληπται αὐτῷ τὸ προοίμιον, φησὶ, λύχνον ἅψας ζήτει· καὶ τί γὰρ τούτου γελοιότερον; καὶ πάλιν περὶ προτάσεων φιλολόγου [29] διαλεκτικῶν διεξιόντος, ὅπως γίνονται, εἶτα παραγαγόντος καὶ μεμψαμένου εὐνόμενον ὡς κακῶς θέντα τὴν ἀπόφασιν εἰς τὸν ὑποκείμενον ἐν τῷ ἐρωτῆσαι· θέλων ὑπέστησεν ὁ θεὸς τὰ πάντα ἢ μὴ θέλων; ἐμοῦ δὲ πυνθανομένου, πῶς; ἔχανεν ὥσπερ ὁ κύων ἐπὶ τῇ σκιᾷ τοῦ κρέατος. Οὐκ ἂν δὲ ἠπόρησεν οὐδὲ οὕτως, εἰ καλῶς ἔγνω τὸ, θέλων ὑποκείμενον εἶναι ἢ μὴ, καὶ εἰ μετατιθέμενα τὰ ὀνόματα καὶ τὰ ῥήματα ταὐτὸν σημαίνουσι· διὰ ταῦτα δεῖ τὸν διδάσκαλον μὴ τοὺς ἐξηγητὰς μόνον ἀποστοματίζειν, ἀλλὰ καὶ ἀφ' ἑαυτοῦ ταῖς θεωρίαις ἐμβατεύειν, καὶ ταύταις τοὺς κανόνας δεικνύειν διὰ τῆς μαρτυρίας, ἐὰν αἰτηθείη, ποίας ἰδέας τὸ ἀναστάσεως

28 Fabulam exponit in Homil. ad Aphthon. c. I. ιή.: Ἡ μήτηρ πρὸς τὸν καρκῖνον, τί δὴ λοξὸν, ὦ παῖ, βαδίζεις ὁδὸν, ὀρθὴν ἰέναι προσῆκον, ὁ δὲ πρὸς αὐτήν· ἡγοῦ τῶν ὁδῶν, ὦ μῆτερ, καὶ αὐτὸς βαδίζειν πειράσομαι· τῆς δὲ βαδίζειν ἀπορούσης, ὀρθῶς κατήγορος ὁ παῖς τῆς παρανόμου ἐγίνετο. ἐπιμύθιον· ῥᾷον παραινεῖν, ἃ ποιεῖν ὑπῆρξεν ἀδύνατον. 29 In Par. supra lineam θεολόγου.

ἡμέρα ὁ λόγος· ἐρεῖ που πάντως, εἰδὼς ὅτι σεμνῆς μὲν αἱ ἔννοιαι αἱ τῆς τρίτης διαφορᾶς, θεῖα γὰρ τὰ πράγματα καὶ περὶ ἀνθρώπους ὁρώμενα· ἡ δὲ μέθοδος ἀποφαντικὴ, ἀνενδοίαστος γάρ· καὶ ἁπλῶς ἅπαντα σεμνά· οὐ μὴν, ἀλλ᾽ ἔχει καὶ γοργότητος μέθοδόν τινα τὴν ταχεῖαν τῶν πραγμάτων ἐπὶ πράγματα μετάβασιν· ὁρᾷς [30] γὰρ, ὡς ὁ λόγος τρέχει· ἔχει δέ τι καὶ κάλλους ἡ περὶ τὰς βάσεις παρίσωσις, καὶ τί ἂν εἴποιμι· τὸν λόγον φαίη τις ἂν σεμνὸν ἀπὸ τοῦ πλεονάζοντος· προϊὼν δὲ ἤδη καὶ εἰς ἀκραιφνῆ σχήματα καταντήσει γοργότητος τὰ ἀσύνδετα, καὶ τὴν αἰτίαν τῆς γοργότητος ἡ τέχνη πεποίηκε καὶ ὁ καιρός· ὁ μὲν δὲ τῷ διδάξαι, πότε καὶ ἐπὶ τίνων, καὶ διατί, καὶ πῶς καὶ πόσον· ὁ καιρὸς δὲ τῷ εἶναι σύντομος καὶ ἀσχολίας δεόμενος, καὶ ἄλλα τινὰ ἐν ἄλλοις ἡμῖν προεξετασθέντα, ὅτι χορεύοντι ταῖς εὐφροσύναις ὁ λέγων ἔοικεν, ὡς προσήκει ταῖς προσφωνητικαῖς ἰδέαις· δι᾽ αὐτὰ δὲ ταῦτα οὐδ᾽ ἐν προοιμίοις ἵσταται καθ᾽ ἡμᾶς, καὶ τῶν πολλῶν αἰτιῶν μία εἰρήσεται· οὐδεὶς εὖ εἰδὼς ταῦτα εὐκίνητον θεμέλιον θήσεται [31] ἐπὶ μεγάλων καὶ εὐκαίρων πραγμάτων· ἀλλ᾽ ἐπανέλθωμεν, ὅθεν ἐξέβημεν.

σιέ. Εἰς δέον χρήσασθαι ὅλον καλῶς· καλῶς τὸ εἰς δέον· οἶδε γὰρ πολλοὺς χρησαμένους ἀλλ᾽ οὐκ εἰς δέον. Τίνες οὗτοι, ἄλλοι τέ τινες, καὶ οἷς εἶναι φύσει δήπουθέν ἁμαρτία, μονοειδεῖς τοὺς λόγους ποιεῖν· πολλοὶ δὲ τοιοῦτοι κἂν τοῖς ἡμετέροις καιροῖς, οἱ περὶ τὸ κομματικὸν εἶδος ἀπασχολούμενοι τὴν φαινομένην δεινότητα, ἀλλ᾽ οὐ τὴν οὖσαν καὶ δοκοῦσαν ἔχουσιν· ἐπισπῶνται δ᾽ οὖν ὅμως ἀκροατὰς καὶ ἐπαινέτας, ὥσπερ ἡ ἐν ἡμῖν Λαῒς ἡ ὁμώνυμος τοῖς τῶν θύννων κομματίοις.

σις΄. Τοῦ περὶ μεθόδου δεινότητος. Ἐν τῷ

---

30 Par. ὀργᾷς. 31 Super θήσεται scriptum: τίθησι.

περὶ μεθόδου δεινότητος οὐ τὸ πῶς δεῖ μιγνύειν τὰ εἴδη διδάσκει, τοῦτο γὰρ σχεδὸν ἄῤῥητον, ἀλλὰ πότε καὶ ἐπὶ ποίων πραγμάτων ἢ προσώπων ἢ χρόνων ἢ αἰτιῶν ἢ τόπων τῇδε τῇ ἰδέᾳ χρηστέον ἢ τῇδε· μᾶλλον οὐδὲ τοῦτο· ἀλλὰ σχήματά τινα καὶ τοῦ πότε μόνον καὶ τῶν ἄλλων μετρίως ἢ ἐπιλαθόμενος πάντων τῶν ὑποσχεθέντων ἢ ἐν ταῖς ἐκδόσεσιν ἀμεληθέντων· τὸ μὲν οὖν ἀκριβέστερον ταῦτα κ. τ. λ. quae plurium foliorum jactura perdita sunt usque ad litt. *σοβ'.*

σοβ'. Τό τε οὖν κατ' ἄρσιν καὶ θέσιν περιβάλλει· ἄρσις καὶ θέσις καὶ γοργότης ἐστὶ, διὸ τὸ τάχος τῆς μεθόδου, ὡς ἐροῦμεν· ἀλλὰ γοργότητος μὲν, ὅταν οὐ περικόπτωνται διά τινος μέσου, ὡς τόδε· τὸ γὰρ ἄλλως οὐκ ἐπὶ τῶν ἀλλοτρίων, ἀλλ' ἐπὶ τῶν ὁμοουσίων οἶδα λεγόμενον· ἧττον γὰρ ἔχει περιβολῆς, μᾶλλον δὲ, ὡς τόδε· οὐδὲ τῶν πορνικῶν, ὥς τις ἔφη διασύρων ἡμᾶς τῶν πόρνων καὶ λόγον καὶ τρόπον, ἀλλὰ τῶν λίαν σωφρόνων· τοῦτο δὲ τὸ σχῆμα τρεῖς ἔχει μορφὰς, μίαν μὲν, ἡνίκα προηγεῖται ἡ ἄρσις, ὡς ἐνταῦθα, οὐκ ἐξ ἐπιπολῆς[32] *χαρασσομένη, ἀλλ' εἰς βάθος ἐνσημαινομένη, οὐ μέλανι, ἀλλὰ χάριτι τοῦτο ἤδη καὶ κάλλος ἔχει διὰ τὴν ὁμοιοκαταληξίαν, δεύτερα δὲ τὸ ἀνάπαλιν, τοῦτο δὲ συνδεσποτείας, ἀλλ' οὐκ ἀτιμίας ὄνομα. τρίτον, ὅταν ἡ ἄρσις τίθεται μόνη· οὐ γὰρ ἄλλοθεν αὐτῆς ἡ τελείωσις, ἀλλὰ καὶ δύο καὶ τρεῖς ἄρσεις τίθενται χωρὶς θέσεως· καὶ μία θέσις ὑποτάττει δύο ἄρσεις καὶ πλείους καὶ τὸ ἀνάπαλιν· καὶ θέσεις εὑρίσκονται μόναι χωρὶς ἄρσεως, ἀλλὰ μὴ κατὰ γοργότητα, δύο μὲν ἄρσεις προηγούμεναι μιᾶς θέσεως, οὐ μικροῦ μέρους τῆς οἰκουμένης· οὐδὲ πρὸς ὀλίγον, ἀλλὰ παντὸς τοῦ κόσμου, καὶ πλήρη τῶν παραδειγμάτων τὰ βιβλία, κατὰ γοργότητα δέ· οὐχ υἱϊκῶς,*[33] *ἀλλ' ἐκπορευτῶς· ἐκ τοῦ σύνεγγυς γὰρ ἡ ἀπάν-*

---

32 Vind. ἐπιπολλῆς. 33 Par. υἱϊκῶς. Vind. υἱκῶς.

τησις· καὶ κατὰ λαμπρότητα, ὅταν πεποίθησιν ἔχῃ, καὶ κατὰ ἦθος, ὅταν ἀμφιβολίαν.

σογ΄. Καὶ τὸ ἐξ ἀναιρέσεως συμπλεκτικόν· οὐ γὰρ τοῦτο μόνον δεινὸν τὸ πεποιημένους ἐπ' ἔργοις ἀγαθοῖς καὶ τὸ καὶ τὸ, ἀλλὰ καὶ τὸ θεοὺς στήσασθαι συνηγόρους τοῖς πάθεσιν· ἐξ ἀναιρέσεως μὲν λέγεται τὸ σχῆμα διὰ τὴν ἀναίρεσιν τοῦ ὀνόματος τοῦ ου· συμπλέκεται διὰ τῆς συμπλοκῆς τῶν συνδέσμων, οἷς συμπλέκονται τὰ νοήματα.

σοδ΄. Περιουσιαστικὰ γὰρ τὰ οὕτω προφερόμενα· περιουσιαστικὰ γὰρ τὰ οὕτω προφερόμενα νοήματα δοκεῖ πως εἶναι· περιουσίας λέγει τὸ πλῆθος τῶν νοημάτων τῶν διὰ τὴν σύμπλεξιν χορηγουμένων.

σοε΄. Καὶ μὴν καὶ τὸ κατὰ συστροφήν· καὶ τὸ κατὰ συστροφήν· εἰ γὰρ τὸ πόλιν τῆς οἰκουμένης ὀφθαλμὸν γῆς καὶ θαλάσσης, ἥτις [34] κράτιστον ἑῴας καὶ ἑσπερίας λήξεως οἷον συνδέσμου, εἰς ἣν τὰ πανταχόθεν ἄκρα συντρέχει, καὶ ὅθεν ἄρχεται ὡς ἐμπορίου κοινοῦ τῆς φύσεως, στηρίξαι τε καὶ σθενῶσαι τοῖς ὑγιαίνουσι λόγοις τῶν οὐ μεγάλων καὶ ταῦτα τοσαύταις δονουμένην γλώσσαις· καὶ οὕτω πανταχόθεν· σχολῇ γε [35] ἂν ἄλλο τι φανείη μέγα καὶ σπουδῆς ἄξιον· κατὰ συστροφὴν δὲ λέγεται τὸ σχῆμα, ὅτι συστρέφει τὰ νοήματα καὶ περικλείει· ὡς περιδίνησιν αὐτοῖς καὶ μετάστασιν ἀπεργαζόμενον· καθάπερ ἐπ' ἀνέμων· ἢ ὅτι συνεστραμμένην ἔχει τὴν ἀπόδοσιν ἐν δευτέρᾳ τῇ πρώτῃ· ὁ γὰρ εἰπὼν, εἰ γὰρ τὸ πόλιν στηρίξαι τοσαύτην οὐ τῶν μεγάλων, εὐθὺς ἤσχυνε τοὺς ἀντιλέγοντας· ἢ κατὰ συστροφὴν λέγεται, ὅτι διεχώρισε [36] τὸ νόημα τῆς προτάσεως κατὰ τὴν ἀρχὴν καὶ τὸ τέλος κἀν τούτοις πολλὰ συγκλείσας, καθάπερ σαγήνης ἄκρα διὰ τῆς ἀρχῆς καὶ τοῦ τέλους συνέ-

34. Vind. ἤτι. 35 Par. σχολῇ γ' ἂν. Vind. χολή γε ἄν.
36 Par. διεχώρισε. Vind. διεχώρησε.

στρεψεν εἰς ἄλληλα καὶ συνέσφιγξεν· εἴρηται δὲ ἀπὸ τῶν συστρεφόντων ἀνέμων τὰ ὑποπίπτοντα· καὶ διαφέρει τοῦ στρογγύλου, ὅτι τοῦ μὲν, ὅθεν ἂν βουληθῇς, ἄρξῃ, συνέχονται γὰρ ἀλλήλαις τῶν νοημάτων αἱ λέξεις· ὥσπερ τὸ ἐπ' οὐδενὸς οὖν τῶν ἁπάντων ἐφ' ὅτῳ οὐχὶ τῶν ἁπάντων· τὸ δὲ οὐχ οὕτως, πολὺ δὲ κοινωνεῖ τῷ ἀγχιστρόφῳ ἐπιχειρήματι· κἀκεῖνο γὰρ συστροφὴν ἔχει τῆς ἀξιώσεως πρὸς τὴν πρότασιν· διαφέρει δὲ, τὸ μὲν γὰρ ἐκ τοῦ σύνεγγυς ἀντιστρέφει· καὶ προοιμίοις συντάττεται· τοῦτο δὲ ἀγωνιστικώτερον καὶ διὰ μακροῦ τὴν ἀποδεδομένην ὑπερβίβασιν ἔχει. Πάντων δὲ τούτων καὶ τῆς ἑξῆς ἱκανὰ τέθειται τὰ παραδείγματα· τῶν τε [37] ἐπεμβολῶν καὶ τῶν ἐξαιρόντων τὴν ὑπτιότητα.[38]

σοζ. Εἰδέναι μέντοι χρὴ, ὅτι αἱ τοιαῦται ἐπεμβολαὶ καὶ ὑπτιότητα ἐξαιροῦνται· κατὰ γοργότητα μὲν ἐπεμβολὴ πᾶσα γίνεται· ἀλλ' εἰ μὲν εἴη βραχεῖα ἡ ἐπεμβολὴ, προφανὴς γοργότης· εἰ δὲ διὰ μακροῦ καὶ περιβολῆς, οἷον χθὲς τῇ λαμπρᾷ τῶν φώτων ἡμέρᾳ πανηγυρίσαντες· εἶτα ἡ κατὰ περιβολὴν ἐπεμβολὴ, καὶ γὰρ ἔπρεπε, γοργότητος· ἄνδρες, ἀδελφοὶ, καὶ συμπένητες, πτωχοὶ γὰρ ἅπαντες, πλὴν ἴσως τῆς καθαρότητος· πῶς μὲν οὖν ἐξίσταται ἡ καθαρότης ἑαυτῆς· εἴπε βληθείη πρόδηλον, ἐν γὰρ τῷ περὶ αὐτῆς λόγῳ τοῦτο μεμαθήκαμεν· προσετέθη δὲ τὸ ἴσως, διὰ τὰς ἐννοίας καὶ τὰ σχήματα· ταῦτα γὰρ εἰ πλαγιασθείη, περιβέβληται, καὶ τὰ νοήματα, εἰ τὴν πολλῶν ἐκφεύγει γνῶσιν, καὶ συνεπιφέρονται ἄλλα ἄλλοις, περιβέβληται· ἀλλὰ μήποτε οὐ διὰ ταῦτα τὸ ἴσως, ἀλλὰ διὰ τὴν μέθοδον, ἥτις εἰ [39] ἑτέρως γένηται, περιβέβληται· ζητητέον τὰς ἀορίστους λέξεις· οἷον τὸ πολλὰς, καὶ τὰς προσηγορικὰς καὶ τὰς ὁμωνυμούσας καὶ ὅσαι μὴ μονοσήμαντοι, ποίας ἰδέας φήσομεν εἶναι· πό-

37 Vind. δέ. Par. τῶν τε ἐπεμβαλῶν. 38 Sequitur ex Vol. VII. litt. ξγ'. 39 Vind. εἰς.

τερον περιβολῆς ἢ δεινότητος· ἀλλὰ περιβολῆς μὲν οὐκ εἰσίν· οὐ γὰρ δυνατὸν ἀπὸ λέξεως ταύτην χαρακτηρίζεσθαι· εἴπερ τὸ περιβάλλειν οὗ καθ' ἑαυτὸ λέγεται καὶ ἔστιν· ἀλλὰ μεθ' οὗ περιβάλλεται· ἀλλ' οὐδὲ δεινότητος πᾶσαι, ἀλλ' ὅσαι κρύπτουσι τὰ νοήματα, ὡς τὸ ἰσχάζοσαν καὶ ἐλίαζον· καὶ ὅσαι νομικαὶ καὶ τεχνικαί, ὡς τὸ ζεύξαντες τὰς παλαιὰς ναῦς, καὶ διὰ τεσσάρων καὶ διὰ πασῶν· αἱ δὲ ἄλλαι σεμνότητος· ὡς τὸ ὑποθέσεις, ὡς τὸ πολλάς, ὡς τὸ προτιθείς, ὡς τὸ ἐφιλοτιμεῖτο, καὶ τὰ ὅμοια, ἀλλὰ καὶ αἱ προειρημέναι χωρὶς τῶν ποιητῶν καὶ τῶν πεποιημένων πᾶσαι σεμνότητος· ἀκριβῶς δὲ τὰς δεινάς· καὶ ποσαχῶς αὗται καὶ ποῖαι κυρίως, ἐν τῷ περὶ δεινότητος μαθησόμεθα· καὶ ἔννοιαν δὲ περιβάλλει τοῖς ἄλλοις καθαροῖς τῶν λόγων ὁ λέγων, μὴ λοβὸν ἥπατος, μὴ τὸ καὶ τό, ἀλλ' ὅλους ἡμᾶς· περιέλαβε γὰρ τῷ ὅλῳ τὸ μέρος· καὶ νεκρῷ μὲν ἤδη προσῆλθέ τις, καὶ τούτῳ τυχὸν ὀδωδότι καὶ τὰ ἑξῆς· πολλὰ γὰρ καθαρὰ ταῖς ἐννοίαις περιέβαλε·[40] καὶ μὴν τοῖς ἄλλοις περιβάλλων ταῖς ἐννοίαις τὸν λόγον ποιεῖ καθαρὸν οὕτω· καλὸν ἡ φιλοξενία, καὶ μάρτυς ἐν μὲν δικαίοις Λὼτ ὁ Σοδομίτης καὶ οὐ Σοδομίτης τὸν τρόπον, ἐν δὲ ἁμαρτωλοῖς Ῥαὰβ ἡ πόρνη καὶ οὐ πόρνη τὴν προαίρεσιν· οἵ τε γὰρ μερισμοὶ μακρόποδοι[41] ὄντες περιβολῆς εἰσιν, αἵ τε ἄρσεις χωρὶς οὖσαι θέσεως ὁμοίως· οὐδὲν οὖν δυσφορήσει περὶ τὴν μίξιν ὁ ἄμικτα τῶν λόγων εἴδη ἐξακριβώσας· ἤδη γὰρ προεῖπεν, ὡς οὐκ ἄμεσα ἐναντία τὰ τῶν λόγων, οὐδ' ἄλλοις ἀντιμαχόμενα πρὸς ἓν ὑποκείμενον, ἔχθρας ἀσπόνδου νόμῳ· ἀλλὰ καὶ φιλία καὶ εἰρήνη· καὶ εἰς ἓν θαυμασίως συναγόμενα καὶ κιρνώμενα, ἀλλὰ τὰ τῆς περιβολῆς καὶ τῶν ἄλλων τῶν πρὸ αὐτῆς ἰδεῶν ἱκανὸς ὁ λόγος· περὶ κάλλους δὲ τοῦ φροντίδι καὶ ἐπιμελείᾳ τοῦ ῥή-

---

40 Par. Vind. $\overset{\text{ἔλαβε}}{\text{περιέβαλε}}$. 41 Sic Par. et Vind.

τορος γινομένου ῥητέον, ὅτι δεῖ τῷ σαφεῖ καὶ ὑψηλῷ λόγῳ καὶ τούτου, ἵνα πρὸς τῷ φυσικῷ καὶ τῷ ἐπεισάκτῳ τῶν ἀκουόντων κρατῇ· καὶ γὰρ πάντα τὰ [42] ἐκ τῆς φύσεως καλὰ καὶ ὡραῖα, εἰ ἀμελοῖντο κόσμου καὶ τῆς ἐπιμελείας, αἰσχρὰ φαίνεται· ὁρᾷς, ὅτι καὶ οἱ θεῖοι καὶ ἱεροὶ οἶκοι, λαμπροὶ ὄντες, λαμπρότεροι φαίνονται ταῖς ἁγίαις εἰκόσι καὶ πέπλοις, καὶ ταῖς τῶν ἄλλων πολυειδέσι ποικιλίαις, οὐκοῦν καὶ περὶ τούτου λεκτέον.

Συριανοῦ [43] καὶ τῶν λοιπῶν· εἰς τὸ ὅτι αὗται αἱ ἐπεμβολαὶ καὶ ὑπτιότητα, ὅτι αἱ ἐπεμβολαὶ γοργότητος ποιητικαί, εἰ καὶ βραχεῖαί εἰσι· τοῦ γὰρ Φωκικοῦ συστάντος πολέμου, εἰ καὶ μὴ τῇ ἐννοίᾳ καὶ τῇ μεθόδῳ γοργός ἐστιν, ὡς τό τε δημηγορῶν ἔφη, τὸ γὰρ ὡς τὸ δημηγορῶν ἔφη, ἐπεμβολή' ἐστι.

Σύνοψις τῶν τῆς περιβολῆς.

ά. Ἔννοιαι ὅσαι ἔξωθέν τι προσλαμβάνουσιν εἰς τοῦτο, περὶ οὗ ὁ λόγος· οἷον γένος εἴδει, ἢ ἀόριστον ὡρισμένῳ, ἢ ὅλον μέρει· περιβολὴν δὲ ποιεῖ καὶ τὸ κατὰ ἄθροισιν ἔξωθεν προσλαμβανόμενον, εἰ καὶ μὴ προσληφθείη τὸ ἀόριστον, καὶ ὅταν μὴ ψιλὰ καὶ καθ' ἑαυτὰ λέγῃς τὰ πράγματα, ἀλλὰ μετὰ τῶν παρακολουθούντων.

β'. Μέθοδος τὸ ἀναστρέφειν τὰ πράγματα καὶ τὰ δεύτερα πρῶτα λέγειν τῇ τάξει, καὶ τὸ τὰς κατασκευὰς καὶ πίστεις προτάττειν τῶν προτάσεων, καὶ ἡ ἐπιμονή.

γ'. Λέξις ἰδέα οὐκ ἔστι περιβολῆς, πλὴν εἴτις τὰς ἰσοδυναμούσας ἑτέραις εἴποι· οἷον τὸ δεσπότης καὶ κύριος, ὅπερ οὐ δοκεῖ αὐτῷ.

δ'. Σχήματα τὰ ἐφελκόμενα ταῖς πρώταις δευτέρας ἢ καὶ τρίτας ἐννοίας, ἥ τε ἀπαρίθμησις καὶ τὸ ἀπαριθμητικόν, καὶ τὸ κατὰ προτίμησιν, καὶ τὸ κατὰ πρόσ-

42 Par. Vind. τήν. 43 Non invenio haec in Vol. VII.

θεσιν μερισμοῦ· καὶ οἱ πλαγιασμοὶ καὶ τὸ ἐπιτρέχον, καὶ ἡ ὑπόστασις καὶ οἱ μερισμοί, διὰ μακροῦ ἀποδιδόμενοι. εἶτα τὸ κατὰ ἄρσιν καὶ θέσιν καὶ τὸ ἐξ ἀναιρέσεως συμπλεκτικόν, καὶ τὸ συστρέφον καὶ ἡ ἐπεμβολή.

ε΄. Κῶλα δὲ καὶ τὰ λοιπὰ περιβολῆς ἴδια οὐκ ἔστιν, πάντα γὰρ τὰ ἐν ταῖς ἄλλαις ἰδέαις δέχεται.

Cap. XII.

Περὶ ἐπιμελείας καὶ κάλλους.

α΄. Μετὰ τὰ περὶ σαφηνείας τε καὶ ἀξιώματος· ἤδη εἴπομεν, ὡς καταλλήλως τοῖς κανόσιν, οὓς ἐκτίθεται,[1] καὶ τὴν διδασκαλίαν ποιεῖται τῆς εὐκρινείας καὶ σαφηνείας προνοούμενος· ἐπαναλαμβάνει γὰρ τὰ ῥηθέντα καὶ διατυποῖ ταῖς προκαταστάσεσι καὶ ταῖς προκατασκευαῖς τὰ μέλλοντα καὶ τὴν χρείαν προλέγει, καὶ ἐπιλέγει τῆς τῶν ἰδεῶν τάξεως, καὶ τὸ ἀναγκαῖον· δεῖ γάρ, φησί, τῷ σαφεῖ καὶ μεγέθους καὶ κάλλους μετέχειν[2] καὶ εὐρυθμίας, ἑκατέρου διὰ τῆς ἀκοῆς κρινομένου· κάλλος μὲν γὰρ τὸ ἀπὸ τῶν συνθηκῶν καὶ σχημάτων τοῦ λόγου γινόμενον εὐπρεπές· ῥυθμὸν δὲ τὴν εὔκρατόν τε καὶ εὔφθογγον[3] ποιὰν ἀπήχησιν τῆς φωνῆς, πολλαχῶς γὰρ καὶ οὕτως·[4] καὶ ἡ αἰτία, ἵνα μὴ ἀγκλευκής τις εἴη καὶ ἀηδὴς καὶ τὸ ὅλον ἄμοιρος εὐπρεπείας καὶ ἀηδής· γλεῦκος γὰρ λέγεται οὐχ ἁπλῶς ὁ ἐπιλήνιος οἶνος, ἀλλ' ὁ γλυκάζων, κἂν παλαιὸς ᾖ, ὃν διὰ τῆς σταφυλῆς ποιοῦσι· σίκερα παρὰ τῇ γραφῇ λεγόμενον πολλὴν ἔχοντα γλυκύτητα καὶ ἡδονὴν ἐν τῇ πόσει· εἶτα τὸ χρήσιμον προθεὶς καὶ τὸ ἀναγκαῖον διδάσκει, καὶ τοὐναν-

---

1 Med. Vind. Par. *ἐκπίθεται.* 2 Vind. *μετέσχειν.* Med. Par. *μετέχειν.* 3 Vind. *εὔφογγον.* 4 Par. *οὗτος.*

τίον τῷ κάλλει τὸν κανόνα φυλάττων τὸν φιλόσοφον· τῶν γὰρ ἐναντίων, φησὶν, ἡ αὐτὴ ἐπιστήμη, καὶ τὰ ἐναντία διὰ τῶν ἐναντίων γινώσκεται· τὸ γὰρ μέλαν διὰ τοῦ λευκοῦ μανθάνομεν, καὶ τὸ λογικὸν διὰ τοῦ ἀλόγου, ὥσπερ καὶ αἱ ἕξεις ἀπὸ τῶν στερήσεων, καὶ τὸ ἀνάπαλιν· μὴ γὰρ γιγνωσκομένης τῆς τυφλότητος οὐδὲ ἡ ὅρασις γνωστή· λέγει τοίνυν καὶ τὰ ἐναντία τῷ κάλλει, ἅ ἐστι τραχύτης καὶ σφοδρότης. ἄῤῥυθμα δὲ ταῦτα καὶ ἀμελῆ, ὅτι ἀπὸ ὀργῆς καὶ χόλου προΐασιν· οὐδεὶς δὲ ὀργιζόμενος τοὺς λόγους καλλωπίζει, ὥσπερ οὐδ' ὁ λυπούμενος, ἀλλὰ τὸ ἐπιὸν, ὡς ἔτυχε, φθέγγεται· εἶπε δὲ σύνταξιν τὴν συνθήκην, ὅτι καθολικῶς τῷ γενικῷ μεγέθει ἐναντίον τὸ ταπεινὸν καὶ εὐτελὲς, ὃ καὶ εὔζωνόν πού φησι καὶ οὐκ ἀγωνιστικὸν, καὶ ὑπεθέμεθα εἶναι τοῦτο τὸ ἐξ ἀλέους·[5] τῷ δὲ κάλλει κατὰ τὴν συνθήκην ἤδη ἐναντιοῦνται τραχύτης καὶ σφοδρότης καὶ τὰ ταύταις ἑπόμενα σχήματα[6] καὶ λέξεις καὶ ῥυθμοὶ, καὶ τάξεις καὶ κῶλα, ὅλῳ ὅλα, κατὰ γὰρ ταῦτα εὐτελῆ καὶ ἄῤῥυθμα ἐκεῖνα, ὡς ἐν τῇ περὶ τούτων διεξῆλθε διδασκαλίᾳ· ἐπιμέλειαν δὲ ὀνομάζει τὸ τοιοῦτον κάλλος, ὅτι οὐ φυσικόν ἐστιν, ἀλλὰ ἐκ τῆς ἐπιμελείας τοῦ ῥήτορος φαίνεται· καὶ ἔστι τὸ ἐπιμελὴς ἡ λέξις προσδιορισμὸς κάλλους πρὸς ἄλλα τινὰ καὶ ἀφωρισμένος·[7] τὸ γὰρ κάλλος ἢ ἐν λόγῳ φαίνεται, ἢ ἐν πράγματι· ταὐτὸν δὲ εἰπεῖν ἢ οὐκ ἐν λόγῳ· τὸ οὐκ ἐν λόγῳ κάλλος ἀπὸ τῆς φύσεως τῶν πραγμάτων γίνεται, ὡς τὸ ἐν ῥόδῳ, τὸ ἐν κρίνῳ, τὸ ἐν ταῶνι. καὶ δέεται καὶ τοῦτο φρασθῆναι διὰ καλοῦ λόγου καὶ εὐπρεποῦς καὶ παραπλησίως τῷ πράγματι, καὶ ἔστι τοῦτο ἴδιον λαμπρότητος· περὶ γὰρ τὰ τοιαῦτα αὕτη· τὸ δὲ ἐν λόγοις κάλλος ἢ ἀνεπιτήδευτόν ἐστι, καὶ οὐκ ἠκριβωμένον διὰ τῆς τοῦ ῥήτορος ἐπινοίας, ἀλλὰ μόνον κατὰ τὸ

5 sic Vind., in Par. ἐξαλέους. 6 Par. Vind. σχήματι. 7 Par. Vind. ἀφορισμένος.

προσῆκον τεταγμένον, ὥσπερ τὰ μόρια ὑπὸ τοῦ δημιουργοῦ, καθάπερ ἔχει τάξεως ἕκαστον τεταγμένον καὶ συντεθειμένον. τὰ γὰρ καλὰ, εἰ μὴ καλῶς τεθείη καὶ συνταχθείη κατὰ φύσιν, ἐπίψογα. διὸ καὶ τὰ ἐμπρόσθια τοῦ ἀνθρώπου περικαλλῆ, καὶ ὀφθαλμοὶ ἐν προσώπῳ καὶ ἡ ῥὶς ὑπόκειται· εἰ δὲ τῆς τάξεως ταύτης καὶ θέσεως ἔτυχον [8] αἱ ἀκοαὶ, πάνυ ἂν ἀπρεπὲς ἦν· καὶ εἰ ὁ δακτύλιος ἔμπροσθεν ἦν, πρηνεῖς ἂν ἐποιοῦμεν τὰς ἐκκρίσεις, οὔκουν τοίνυν ὁ τοιοῦτος λόγος ἐπιτηδεύσεως δεῖται, ἀλλὰ μόνον τάξεως τῶν μερῶν αὐτοῦ προσηκούσης· εἰ μὲν οὖν τοιοῦτον εἴη, ἢ συγκεκραμένον ἐστὶν ἐκ πασῶν ἰδεῶν καὶ μικτὸν, ὥσπερ τὸ θεολογικὸν καὶ Δημοσθενικὸν, ἢ ἀσύγκρατον καὶ ἄμικτον καὶ μιᾶς· τὰ γὰρ πολλὰ καὶ καλὰ εὐτάκτως εἰς ταὐτὸ συγκραθέντα ὑπέρκαλα, ὥσπερ ἐν στεφάνῳ λίθοι· λέγεται δὲ καὶ τοὺς Κροτωνιάτας κελεῦσαι τῷ γραφεῖ ποιῆσαι τὴν Ἑλένην ὑπερκαλλῆ· ὁ δὲ τὰς παρθένους πάσας συναγαγὼν καὶ ἄλλης ἄλλο καλὸν ἐρανισάμενος καὶ ἀπανθίσας ἀμίμητον δεῖξαι τὴν Τυνδαρίδα, δεικνύντος τοῦ λόγου, ὅτι καὶ τὰ φύσει καλὰ τέχνη συντίθεται, εἰ φυλάττειν ἐθέλει τὸ εἶναι καλά· εἰ δὲ μὴ εἴη συγκεκραμένον ἐκ πασῶν τῶν ἰδεῶν, ἀλλὰ ἀσύγκρατον, καὶ μιᾶς οὐδὲν ἧττον, καὶ τοῦτο καλόν ἐστιν. ἐπειδὴ ἑκάστη ἰδέα ἁρμοδίως τοῖς ἑαυτῆς μορίοις συντεθεῖσα καὶ συνταγεῖσα περικαλλὴς ὁρᾶται, ὥσπερ ἀκαλλὴς ἢ μὴ οὕτως ἔχει· καὶ ὁρᾶται τὸ τοιοῦτον κάλλος ἔν τε ἀφελείᾳ καὶ γλυκύτητι, οὐ μὴν ἀλλὰ καὶ ἐν ταῖς ἄλλαις καθ᾽ ἑαυτὰς καὶ χωρίς· ὁ γοῦν Τίμαιος ἐν Πλάτωνι περὶ τῆς τῶν ὄντων παραγωγῆς διεξιὼν σεμνότητι μόνῃ χρώμενος κεκαλλωπισμένος ἐστὶ διὰ τὴν τῆς ἰδέας εὐταξίαν καὶ εὐπρέπειαν, καὶ ἡ οὖσα καὶ δοκοῦσα αὐτῷ δεινότης τῇ φύσει τῶν πραγμάτων οὐ συνηκολούθησεν, ὑπέρκαλα δὲ καὶ ταῦτα τῷ ἐπιστήμονι· οὕτω γοῦν καὶ

8 in Par. et Vind. supra lineam: ἔλαχον.

Δείναρχος καίτοι τραχὺς ὢν καὶ μονοειδὴς, ὡς καὶ Θουκυδίδης, κάλλους ἄμοιρος οὐκ ἔστι τοιαύτου. ἐπεὶ [9] καὶ Θερσίτης, ἢ καὶ χαλκὸς εἰκὸς ἔχειν καλόν τι καὶ εὔρυθμον. ὅτι καὶ τοὺς Αἰθίοπας ὁρῶμεν μυρία τινὰ καλὰ ἔχοντας [10] καὶ εὔρυθμα. καὶ εἰ μὴ πλείω εἴη τὰ τοιαῦτα, εἴη ἄν τις καὶ ἀπ᾽ αὐτῶν ἡδονή· τοῦτο δ᾽ εἴρηται, ὡς οὐδὲν τῶν ὄντων κάλλους τινὸς καὶ εὐρυθμίας ἀμοιρεῖ· οὕτως οὖν καὶ ταῖς ἰδέαις ἑκάστῃ καὶ κοινῇ καὶ χωρὶς κάλλους μέτεστι. τοσαυταχῶς οὖν λεγομένου [11] τοῦ κάλλους τέταρτόν ἐστι τὸ δι᾽ ἐπιμελείας καὶ δι᾽ ἐπιτετηδευμένης ὥσπερ ἐκ παρατριμμάτων τινῶν γινόμενον, περὶ οὗ νῦν διδάσκειν βούλεται, πρότερον τὴν ὁμωνυμίαν χωρίζων.

Συριανοῦ [12] καὶ τῶν λοιπῶν.

β΄. Εἴπερ μὴ ὡς ἀγλευκής τις γενήσεσθαι μέλλοι [13] κ. τ. λ.

δ΄. Κυρίως μὲν ἂν εἴη τὸ ἐκ πάντων τῶν ποιούντων τὰς ἰδέας αὐτοῦ πάσας. τὰ δύο περιέλαβεν ἐν ταὐτῷ, τό τε ἐκ μιᾶς ἰδέας γινόμενον καὶ τὸ διὰ πασῶν, ὡς ὑποκατιὼν δηλώσει.

ε΄. Εὐάρμοστον καὶ σύμμετρον· μετά τινος ἐμφαινομένης δι᾽ ὅλου τοῦ λόγου ποιότητος. — τὸ εὐάρμοστον καὶ σύμμετρον ἢ ἐφ᾽ ἑαυτοῦ ἔχει ἢ ἀπὸ τοῦ ῥήτορος· τὸ δὲ ἐφ᾽ ἑαυτοῦ πρόδηλόν ἐστιν, ὡς ἔχει τοῦτο· ἀλλ᾽ ὁ ῥήτωρ συμμέτρως τοῦτο λαβὼν καὶ καλῶς συναρμόσας, ἀλλὰ μὴ χύδην· ἀνωτέρω δὲ δεδήλωται, ὅτι τὸ καλὸν κάλλος ἀπεργάζεται μετά τινος ἐμφαινομένης καὶ τὰ ἑξῆς· προςδιορισμός δέ ἐστι καὶ τοῦτο καὶ διαστολὴ

---

9 Vind. ἐπί. 10 Vind. et Par. ἔχοντα. 11 in Vind. et Par. ad marg. ὁρωμένου. 12 Vol. VII. litt. ά. 13 Med. μέλλει (οι). Par. μέλλοι (ει). Vol. VII. ά. β΄. vide Vol. V. p. 511. v. 20. — p. 512. v. 5.

τοῦ κυρίως κάλλους τοῦ μὴ κυρίως· τὸ μὲν γὰρ κομμωτικὸν καὶ ἐπείσακτον καὶ ἐπὶ λόγων, καὶ ἐπὶ προσώπων οὐ κατὰ βάθος ἐστὶ καὶ δι' ὅλου τοῦ λόγου, ἀλλ' ἐπιπόλαιον καὶ ἐπὶ τῆς ἐπιφανείας μόνον ἱστάμενον· διὸ οὔτε ἔννοιαν ἔχει οὔτε μέθοδον, ὡς οὐδὲ τὸ ἐν τοῖς προσώποις ἐπείσακτον ὑπόστασιν· τὸ δὲ κυρίως καὶ ἀληθινὸν κάλλος ἐπὶ μὲν τῶν πραγμάτων διὰ βάθους χωρεῖ καὶ ὅλου τοῦ σώματος· ἐπὶ δὲ τῶν λόγων δι' ὅλου τοῦ λόγου, διὰ μιᾶς καὶ τῆς αὐτῆς ποιότητος ἐμφαινομένης ὑπὸ τοῦ ἤθους τοῦ ῥήτορος. πανηγυρικῆς ποιότητος, ἢ δικανικῆς ἢ συμβουλευτικῆς, ἢ πολιτικῆς ἤ τινος ἄλλης, καὶ ἢ συντόνου, ἢ ἀνειμένης, ἢ μέσης· ἦθος δὲ ῥήτορός φησι τὰ [14] διὰ τοῦ στόματος [15] καὶ τῆς φωνῆς σχήματα, δι' ὧν μία ποιότης τοῦ λόγου δείκνυται πᾶσα καὶ διεγείρει τοὺς ἀκούοντας, καὶ μᾶλλον δείκνυται πιθανὸς καὶ ἀληθὴς, [16] ὡς τὰ ὄντα καὶ ὡς ἐγένετο λέγων, ἐπιτηδείως μιμούμενος τὰ ὑποκείμενα πρόσωπα καὶ πράγματα, ὥσπερ καὶ τὰ κατὰ βάθος κάλλη, καὶ διὰ ποδῶν καὶ διὰ δακτύλων καὶ μηρῶν καὶ παντὸς τοῦ σώματος δεικνύμενα καὶ φαινόμενα ἐραστὰ καὶ ποθεινὰ ποιεῖ. διὸ καὶ τῶν βασιλέων τις οὐράνιον μὲν ἔχουσαν τὴν βασιλίδα κάλλος, μόνον δὲ τοῖς ποσὶ προσόν τι ἀηδὲς, ὥσπερ τὸ ἐν σελήνῃ νεφίδιον, ταῖς ἐμβάσιν ἐκέλευε χρῆσθαι, ὅταν δεήσῃ χρηματίζειν καὶ προκαθέζεσθαι· τοιοῦτο μὲν οὖν τὸ κυρίως κάλλος καὶ οὕτως συγκεκραμένον, εἴτε ἐκ πασῶν τῶν ἰδεῶν, εἴτε καὶ διὰ μιᾶς ὑπὸ τοῦ ἤθους τοῦ λέγοντος φαίνεται, ἀλλ' οὐ τῶν ἠθικῶν προσώπων τῶν ἐν ταῖς στάσεσι δεδιδαγμένων. οὐδὲ ἐν ταῖς τοῦ ἤθους ἰδέαις καθ' ἑαυτὸ, ἀλλὰ μετὰ πασῶν.

ϛ'. Ὡς πεφύκασι μίγνυσθαι· [17] τοῦτο δὲ πάνυ ἀκρι-

---

14 Par. Vind. τήν. 15 Par. Vind. σώματος. 16 Vind. ἀληθός. Par. ἀληθῶς. 17 Par. μίγνυσθαι. Vind. μίγνυται.

ἀκριβῆ γενέσθαι τὴν μίξιν δηλοῖ· καὶ τὴν ἔντεχνον καὶ κατὰ φύσιν καὶ ἁρμοδίαν [18] τὴν κρᾶσιν γίνεσθαι· διὸ καὶ τὸ παράδειγμα ἐπιφέρει τὸν ποικίλον τε καὶ Δημοσθενικὸν λόγον· ὡσανεὶ λέγων Δημοσθενικὴν καὶ θεολογικὴν δεῖ γενέσθαι τὴν μίξιν καὶ τὴν κρᾶσιν τῶν ὄντων καὶ κατὰ ἀλήθειαν μετιόντα τὸν [19] ῥητορικὸν καὶ πολιτικὸν λόγον, εἴτε πάσας ἰδέας ὁμοῦ συνεισφέρειν, εἴτε καί τινας συγκιρνᾷν ἀλλήλαις· ἡ γὰρ μία πρὸς ἑαυτὴν οὐ συγκιρνᾶται καὶ ἔστω τὸ τινὰς σὺν ἀλλήλαις μιγνυμένας ποιεῖν ἄλλο παρὰ τὸ εἰρημένον κάλλος συναρμόττειν καὶ συγκιρνᾷν, συμμιγνύειν, συντάττειν.

ζ. Ἐπειδὴ γὰρ καθόλου τὸ κάλλος· ἐπειδὴ περιβεβλημένην διδασκαλίαν προέτεινε καὶ τὸν περὶ τοῦ κάλλους λόγον ὁριστικῶς καὶ κατὰ ἀναλογίαν ἐπάγει λέγων ἀπὸ τοῦ ἐν σώματι κάλλους τὴν πίστιν ποιούμενος· διότι γάρ, φησί, τὸ κάλλος καθόλου τῶν περὶ κάλλους λόγων. [20]

ή. Ἡ συμμετρία ἐστὶ μελῶν καὶ μερῶν καὶ τὰ ἑξῆς· ὅταν γάρ, ὥς φησιν ὁ Γαληνός, αἱ συστατικαὶ κράσεις εὖ καὶ καλῶς πρὸς ἀλλήλας συγκραθῶσι καὶ εἰς εὐαρμοστίαν συνέλθωσι καὶ τὴν λεγομένην εὐάρμοστίαν ἀποτελέσωσι, τότε εἰς ὑγείαν καταστὰν τὸ σῶμα τὸ τοιοῦτον κάλλος ἀποτελεῖ, ἀπὸ τῶν εἰσαγομένων καὶ τῶν οἰκείων χυμῶν ἀποτελούμενον, καὶ ἐπανθοῦν διόλου ὡς χρῶμα ἓν καὶ μία μορφή· οὐκοῦν εἰ τὸ κάλλος, φησίν, ἅπαν συμμετρία ἐστὶ τῶν μελῶν καὶ μερῶν τοῦ σώματος, καὶ λόγου δηλονότι, μέλη δὲ καὶ μέρη τοῦ λόγου, δι' ὧν γίνονται [21] αἵ τε ἰδέαι καὶ τὰ μόρια αὐτῶν, ἂν μέλλῃ καλὸς ἔσεσθαι, εἴτε ποικίλος καὶ πολυειδὴς· ἐκ

18 Par. et Vind. ἁρμοδίαν. 19 Vind. τῶν. Par. τόν. 20 Vind. λέγων, scripsi λόγων. Sequitur ex Vol. VII. litt. γ'. vide Vol. V. p. 512. v. 5—14. 21 τίνωνται Vind. et Par.

πασῶν μεγνυμένων καὶ συγκιρναμένων, εἴτε μονοειδὴς καὶ μιᾶς ἰδέας, εἴτε τινῶν εἴη, δεῖ συμμετρίαν ἔχειν τῶν μελῶν καὶ τῶν μερῶν τῶν αὐτοῦ, καὶ ἐπανθεῖν [22] αὐτῷ, καθάπερ ἐπὶ τῶν σωμάτων, εὔχροιαν καὶ μορφὴν, ἣν καὶ μίαν λέγει ποιότητα τοῦ ἤθους τοῦ ῥήτορος· κἂν γὰρ ἐκ πολλῶν συγκέκραται, ἀλλὰ μία ἐστὶν ὡς ἀληθῶς ἡ τῆς ποιότητος εὔχροια, ἡ δι' ὅλου τοῦ λόγου ἐμφαινομένη, καθ' ἣν ἕκαστος τῶν ῥητόρων χαρακτηρίζεται, ὁ θεολογικὸς τυχὸν ἢ ὁ Χρυσοστομικὸς, ἢ ὁ Βασίλειος, σχεδὸν εἰπεῖν ἀκατονόμαστος οὖσα κατ' αὐτὸ τοῦτο· κἂν ὁ μὲν λέγεται σεμνὸς, ὁ δὲ λαμπρὸς, ὁ δὲ ἄλλο τι. καὶ ἔστιν ἡ μίξις τελείας ἕξεως, ἐπὶ μὲν γὰρ τῶν σωμάτων ἡ φύσις δημιουργὸς καὶ τεχνίτης, ὅμως καὶ αὐτὴ ἀνερμήνευτος· ἐπὶ δὲ τῶν λόγων ἡ ἐπιστήμη καὶ ἡ πολυπειρία, καὶ ἡ μετὰ ἀκριβείας ἀνάγνωσις καὶ ἐπιστασίας· ὥσπερ γὰρ τόδε τὸ κάλλος, λευκὸν ὂν ἢ ξανθὸν ἤ τι τῶν τοιούτων δι' ὅλου χωρεῖ τοῦ σώματος, καὶ ἀνερμήνευτον ἔχει τὴν ἀπὸ τῶν κράσεων μίξιν καὶ ὕπαρξιν, καὶ τὴν εἰς ἅπαντα τὰ τοῦ ὅλου σώματος διαχώρησιν καὶ διέξοδον, οὕτω καὶ τὸ ἐν λόγοις, κἂν τὸ μὲν λέγηται τυχὸν λαμπρὸν, τὸ δὲ πομπικὸν, τὸ δὲ ἄλλως πως, ὥστε ἡ μίξις λεπτὴ μόνη καὶ ἔντεχνος καὶ ἡ κρᾶσις τῷ ἐπιστήμονι, ὁ δὲ ἐκ ταύτης ἀποτελούμενος τρόπος ἄῤῥητος· μέλος δὲ καὶ μέρος ἐναντίως [23] ὁ φιλόσοφος λόγος ἔχειν βούλεται πρὸς ἄλληλα, ἢ ὡς ἐνταῦθα παρὰ τῶν ἐξηγητῶν λέγεται· μέλος γάρ ἐστι τὸ καθολικώτερον τοῦ μέρους. τὸ μὲν γὰρ ἄρθρα ἔχει καὶ κατὰ ἄρθρα τέμνεται, τὸ δὲ ἄναρθρόν ἐστιν· ὥσπερ ὀφθαλμὸς καὶ ῥίς· καὶ σκυτάλη καὶ σκυτάλη δακτύλου· ἃ τὰ μέρη κυρίως λέγεται, καὶ τοῦτο εἴρηται ἐν τῇ εἰσαγωγῇ καὶ ταῖς κατηγορίαις, καὶ ἐν ταῖς στάσεσιν· ἀλλὰ καὶ βιβλίον ἐστὶν οὐδὲν ἄλλο ἔχον, ἢ περὶ ὅλου καὶ

22 Vind. ἀπανθεῖν, scr. ἐπανθεῖν. — v. 10. Vind. ἀκατανόμαστος. 23 Par. et Vind. ἐναντίος.

μέρους, ἀλλ᾽ οἱ ῥήτορες ἀδιαφόρως λαμβάνουσιν· ἐχρῆν δὲ οὕτως ἐν μεθοδικαῖς ἀποδείξεσιν·[24] ἀναλογοῦσι δὲ ἐν τοῖς λόγοις αἱ μὲν ἰδέαι μέλεσι,[25] τὰ δὲ αὐτῶν στοιχεῖα μέρεσιν ἤτοι μορίοις· οἱ δὲ χαρακτῆρες ὅλῳ· ὅλον γάρ τι ὁ χαρακτήρ· καὶ ταῦτ᾽ εἴρηται παρὰ τὴν ἀρχήν.

θ'. Ὃ μοι δοκεῖ καὶ ὁ Πλάτων εἰπεῖν· σαφὲς τὸ λεγόμενον. κεφαλὴν μὲν τὰ προοίμια λέγων, μέσα δὲ τοὺς ἀγῶνας, ἄκρα δὲ τήν τε πρότασιν τοῦ προοιμίου καὶ τὴν ἀπόδοσιν καὶ τὸν ἐπίλογον καὶ τὴν συμπλήρωσιν αὐτοῦ ἀλλήλοις ἁρμοδίαν, καὶ συνεπόμενα καὶ συνταττόμενα· οὕτω γὰρ ἂν φαίνοιτο ἡ τοῦ ἤθους ἅπασα ποιότης μία, ὅτι ὥσπερ ἡ κεφαλὴ δοχεῖόν[26] ἐστι πασῶν τῶν τοῦ ἀνθρώπου δυνάμεων, τῶν τε αἰσθητῶν καὶ νοητῶν, καὶ ἐν αὐτῇ προηγεῖται τὸ κάλλος κατὰ πρόσωπον, καὶ τὰ μόρια αὐτοῦ, οὕτω καὶ τὸ προοίμιον σπερματικῶς δεῖ ἔχειν τὴν τοῦ λόγου ὑπόθεσιν καὶ περικαλλὲς αὐτὸ ἀνάγκη εἶναι καὶ συγκεκροτημένον, ἵν᾽ ἕποιτο κατὰ ἁρμονίαν αὐτοῦ τὰ μέσα καὶ τὰ ἄκρα, ὥσπερ χεῖρες καὶ πόδες κεφαλῇ, καὶ μὴ ἑτεροζυγῶσιν. ἢ κεφαλὴν εἶπεν ὁ Πλάτων· καὶ μέσα καὶ τὰ ἄκρα τὸ ἀκόλουθον τῶν λέξεων τὸ κάλλος, τὸ διῆκον ἀπ᾽ ἀρχῆς καὶ περιλαμβάνον τὰ μέσα καὶ τὰ ἄκρα οἰκείως καὶ συγγενῶς, εἰς ὁμοιότητα μίαν εὖ καὶ καλῶς ταῖς ἐπιβολαῖς τῶν μερῶν καὶ ταῖς κράσεσι συνεμφαινόμενον καὶ εἰσαγόμενον· τὸ μὲν μακρὸν νῦν ὁμοιούμενόν τῷ μετ᾽ αὐτό, ὥσπερ τραχήλῳ πρόσωπον, καὶ τράχηλος στήθει. τὸ δὲ μέσον τοῖς πέρασιν τῶν ὧν μέσον ἐστὶ συνοικειούμενον παραπλησίως κατὰ τὴν μουσικὴν μεσότητος· αὕτη γὰρ μᾶλλον ἁρμοδία τῷ λόγῳ, ἐπεὶ πεζὴ μουσικὴ ἡ ῥητορική· τούτῳ δὲ μόνῳ διαφέρουσα τῆς μουσικῆς καὶ τῷ χωρὶς ᾠδῆς καὶ μέλους προάγεσθαι· οὕτω

---

24 in Par. et Vind. supra lineam: ἐξηγήσεσιν. 25 Par. et Vind. μέρεσι (λ supra). 26 Vind. δαχοῖον.

γὰρ καὶ αὐτὴ πρὸς τὰ πάθη μεταμορφοῦται τῶν ψυχῶν, καὶ ταύτας συνδιατίθησιν αὐτῇ, ἵνα ᾖ καὶ ἑαυτῷ συνῳδὸς καὶ τοῖς μέρεσι καὶ ἓν χρῶμα εἶναι δοκῇ, καὶ μία ἁρμονία ἐκ πολλῶν συγκειμένη, καθὰ καὶ ἐν μουσικῇ διὰ πασῶν καὶ τὸ καλούμενον χρωματικόν.

ι. Ἀλλὰ μὴ χύδην ἕκαστα βεβλῆσθαι· τὰ γὰρ χύδην γενόμενα, καὶ ὡς ἔτυχεν, ὃ πάσχουσιν οἱ μὲν τὴν φύσιν ὀξεῖς, τὴν δὲ τέχνην οὐκ ἀκριβεῖς, ἣν ὑποτάττουσι [27] μᾶλλον τῇ φύσει, οὐ τὴν φύσιν τῇ τέχνῃ, κἂν καλὰ ἦν καθ' ἑαυτά, αἰσχρότερα πάντων φαίνεται. οὐ μὴν ἀλλὰ καὶ εἰ ἕν τί που ἀνοικείως συνταγείη καὶ οὐ λανθάνει, [28] τῷ αὐτοῦ μέρει ἅπαντα τὸν λόγον ᾔσχυνεν· οὕτω γάρ τοι καὶ τὰ ποικίλα τῶν ζώων ἤτοι τῶν ἵππων καὶ τῶν τοιούτων, καίτοι καλοῖς χρώμασι κοσμούμενα ὅμως ὁ ὀφθαλμὸς ἢ ἡ κεφαλὴ παρὰ τὸ πρέπον εἴη, ἢ ὑπέρλευκος, ἢ ὑπέρξανθος, ἤ τι τῶν τοιούτων, αἰσχρὸν τὸ πᾶν ποιεῖ· οὕτω γοῦν καὶ ἐπὶ τοῦ ταῶνος. οἱ πόδες Αἰθίοπος, τὸ δ' ἄλλο ἅπαν οὐράνιον· ὁ δὲ ψιττακὸς κροκοβαφὴς ὢν τὰ ἄκρα ἥδιστος ὄψει, καὶ ἡ περιστερὰ κροκόβαφὴς καὶ ὁ φασιανός· τοὐναντίον γοῦν πάλιν, εἰ μὴ καλὰ εἴη, καλῶς δὲ συντεθείη τὴν κατὰ μέρος ἀσχημοσύνην τῷ ὅλῳ συγκαλύπτειν καὶ τῷ κοινῷ. [29]

ιά. Καὶ τοῦτο αἰτιᾶται γε τοῦ Λυσίου· οἱ παλαιοὶ γυμνάζοντες ἑαυτοὺς παλαιαῖς ὑποθέσεσιν ἐξήσκουν τὴν τέχνην. διὸ καὶ μετὰ καὶ ἄλλων πολλῶν τοὺς ἐρωτικοὺς ἐμελέτων λόγους, ὁποίους ἄν τις φαίη πρὸς τὸν ἐρώμενον. καὶ οὐκ ἐμπαθὴς ὁ ἔρως ἦν, ἀπό γε [30] τῆς τοῦ Πλάτωνος δόξης, ὅπου γε μηδὲ γυναικὶ συνῴκησε, καὶ τοῦ Δημοσθένους μιᾷ ἀρκεσθέντος, ἀλλὰ σώφρων καὶ ἀπαθής· φέρονται οὖν λόγοι τῆς ῥητορικῆς

---

27 Par. ὑποτάπτουαι. 28 Vind. λανθάνειν. 29 Sequitur Συριανοῦ εἰς τὸ αὐτὸ ex Vol. VII. litt. ή. vide Vol. V. p. 513. v. 1—5. 30 Vind. Par. ἄπαγε.

ἰδέας τοῦ τε Πλάτωνος καὶ τοῦ Δημοσθένους· ὁ μέντοι Λυσίας πρὸς γυναῖκας ἦν ἐρωτικός, οὐ πρὸς τὴν ἐναντίαν μοῖραν καὶ βδελυκτήν· διὸ μετὰ τὸν Ὅμηρον πρῶτος ἐρωτικῶν λόγων δημιουργός ἐστιν ἐν πεζῷ λόγῳ. χρῆται δὲ τῇ περὶ τοῦτον τὸν λόγον οἰκονομίᾳ ἀτάκτῳ καὶ ἀναρμόστῳ. καίτοι καλὰς ἔχων ἐννοίας καὶ τὴν ἄλλην ὕλην, αἷς καὶ Πλάτων χρῆται, ὡς ὁ λόγος δείκνυσι, ταῖς αὐταῖς, μετὰ πολλῆς δὲ τῆς ἁρμονίας καὶ ἀκριβοῦς.

ιβ'. Εὖ φάσκων τοῖς τε ὀνόμασι καὶ τοῖς ῥήμασι τὸν λόγον ἀποτετορνεῦσθαι· καθάπερ, φησὶν, ἐπὶ τόρνου τὰ σκεύη ῥυθμίζεται καὶ ἰσάζεται, οὕτω καὶ ἡ τοῦ ῥήτορος λέξις ἐστὶν ἐξηκριβωμένη καὶ ἀβιάστως ἐξαγγελλομένη, εὔηχός τε καὶ ἄῤῥυθμος, [31] καὶ συγκεκροτημένη.

ιγ'. Τὸ ἐπιὸν τῷ ῥήτορι, τὸ ἐπερχόμενον, τὸ ἐνθυμηθέν.

ιδ'. Ἀναβεβλήσθω εἰς τὰ περὶ τῶν χαρακτήρων· ἐκεῖ γὰρ ἐξ ἑνὸς ἑκάστου τὴν ἰδέαν χαρακτηρίζει.

ιε'. Ἐπεὶ δ' ἐστί τινα· μέχρις ἐνταῦθα ἡ ἀπόδοσις τοῦ μὲν ἐκταθέντος ταῖς ἐπεμβολαῖς καὶ μεστοῦ γενομένου [τοῦ] λόγου. τὸ ἐπεὶ δὲ ἀπόδοσίς ἐστιν.

ιϛ'. Ἐκπρέπει τῶν ἄλλων πολλάκις. ἡ ἐκ πρόθεσις κατὰ αὔξησιν εἴληπται καὶ ἐπίτασιν, οἱονεὶ πάνυ πρεπόντως. εἶτα ἐπειδὴ τὸ πάνυ πρέπει ἀντιπίπτον εἰσάγει πρὸς τὸ φυσικὸν κάλλος, οἱονεί τινος ἐπάγοντος· εἰ πάνυ πρέπει τῷ λόγῳ τὸ τοιοῦτον κάλλος, τίνι διαφέρει; τὸ δ' ἀληθοῦς λύων τὸ ἀντιπίπτον φησὶν, ὅτι ἐκεῖνο μὲν διὰ βάθους χωρεῖ, τοῦτο δὲ ἔξωθέν ἐστι τοῦ λόγου καὶ κατὰ τὴν ἐπιφάνειαν δείκνυται, καθάπερ τὸ κομματικὸν ταῖς γυναιξὶν, ἐκ παρατριμμάτων τινῶν καὶ κομμάτων γινόμενον, ὅπερ οἱ ἀμαθεῖς κάλλος ὀνομάζουσιν οὐκ ὄν,

---

31 Par. φ Vind. ἄρυθμος.

περὶ οὗ καὶ Ἰσοκράτης λέγει, ἢ καὶ περὶ ὃ καὶ Ἰσοκράτης καταγίνεται.

ιζ. Καὶ ἀναγκαῖον ὂν οὐδενὸς ἧττον· δύο ζητοῦμεν ἐνταῦθα, ἐν τίσι τέ ἐστιν ἀναγκαῖον τὸ κομματικὸν κάλλος τῷ ῥήτορι, καὶ διὰ τί; ἐν τοῖς μικροπρεπέσι τῶν πραγμάτων καὶ φυσικῶς ἀήθεσι φράζοντι τῷ ῥήτορι.

ιη. Δεῖ δὴ καὶ περὶ τούτου τοῦ κάλλους εἰπεῖν· δεῖ τῷ τοιούτῳ κάλλει, ἵνα τῇ εὐειδείᾳ τοῦ λόγου συνέχηται ὁ ἀκροατὴς καὶ πείθηται καὶ ἐν τοῖς δυσθεωρήτοις καὶ καταπληκτικοῖς θεωρήμασιν, ἵνα μὴ διὰ τὸ βάθος ἀποκναίῃ ὁ ἀκροατὴς καὶ δυσφορῇ,[32] καὶ τρίτον ἐν τοῖς καλοῖς τῶν προσώπων ἢ τῶν πραγμάτων, ἐκφράζων αὐτὰ καὶ ἀφηγούμενος. δεῖ γὰρ τῷ καλῷ καὶ φρασθῆναι καλῶς εἰς πειθὼ καὶ κοσμεῖσθαι τῷ λόγῳ, ἵνα ἡδύνῃ τοὺς ἀκροατὰς καὶ ψυχαγωγῇ, καὶ μὴν καὶ ὅταν ἀήθεις ὦσι τοῦ λέγοντος ἢ τῶν λεγομένων, κοσμεῖν δεῖ τὸν λόγον, καὶ ὅταν δέῃ καταπλῆξαι καὶ ὑποτάξαι, καὶ ἁπλῶς ὅταν χρεία τούτου γένηται· τοῦ μὲν προτέρου παράδειγμα ἐν ἐπιταφίῳ συνεπαινῶν ἑαυτὸν τῷ μεγάλῳ· μικροπρεπὲς γὰρ τὸ τὸν συνετὸν ἄνδρα παίδων ἀθύρμασιν ἐπτοῆσθαι καὶ λουτροῖς. ὁ δὲ μετὰ πόσου κόσμου τοῦτο διέξεισιν. ἀλλὰ καὶ ἀηδὲς τὸ ἑαυτὸν ἐπαινεῖν· διὸ καὶ λέγει, παρὰ τοσοῦτον οἱ ἡμέτεροι παιδευταὶ καὶ τὰ ἑξῆς· τοῦ δὲ δευτέρου ὡς ἐν τούτῳ. ἵνα τῷ ληπτῷ μὲν ἕλκῃ, τῷ δ' ἀλήπτῳ θαυμάζηται καὶ τὰ ἑξῆς. τοῦ δὲ τοῦ τρίτου ὡς ἐν τῷ περὶ τῶν ἐγκαινίων· ἡ βασίλισσα τῶν ὡρῶν τῇ βασιλίδι τῶν ἡμερῶν προπομπεύει καὶ τὰ ἀκόλουθα. τοῦ τετάρτου ὁ λόγος τοῦ γενεθλίου ὅλος· πρῶτον γάρ, ὥς φησι, τοῦτον ἐξεῖπεν ἐν Κωνσταντίνου πόλει. διὸ τοὺς μὲν ὑπεναντίους κατέπληξε, τοὺς δὲ φίλους εἵλξε.

32 Vind. δυσφορεῖ. — v. 26. Vind. θαυμάζεται.

καὶ ἄλλαι δὲ πολλαὶ τούτου διαφοραὶ, ἃς ἐκ τῶν βιβλίων ἐρανιζόμεθα· ἐν τοῖς τοιούτοις οὖν ἀναγκαῖον τὸ τοιοῦτον κάλλος· διὰ τίνων δὲ γίνεται; φησὶν, ὅτι διὰ λέξεων καὶ σχημάτων καὶ τῶν τοιούτων, καὶ αὐτίκα λέγει.

ιθ'. Πλὴν εἴ τις λέγει τὴν δριμύτητα· ὅτι ἐν δριμύτητι κάλλος παρὰ τὰ εἰρημένα, καὶ ἡ ἀφέλεια καὶ ἡ γλυκύτης. καὶ τίνων καὶ πῶς ἐρεῖ· ἀλλ' ἀμφιβάλλονται, εἰ τοῦ ἐπεισάκτου κάλλους εἰσί.

Περὶ λέξεως.

κ'. Λέξις τοίνυν· ἐπειδὴ τῶν τοῦ κάλλους προηγεῖται ἡ λέξις, περὶ αὐτῶν πρῶτον [33] διαλαμβάνει· φησὶ δὲ εἶναι κάλλους λέξεις τὰς ἁρμοζούσας τῇ καθαρότητι, καὶ καλῶς, συγγενὲς γὰρ καὶ ποιητικὸν κάλλους πᾶν καθαρόν.

κά. Ἐναργεῖς· ἐκφαντικαὶ μεγέθους, τοῦ κατὰ σεμνότητα σημαντικαί. ἐνάργεια γὰρ ἡ ἀπὸ τῆς τροπῆς γινομένη ἔννοια τοῦ κατὰ τὸ δεύτερον ὑποκείμενον· τὸ γὰρ ἐκνενευρισμένοι [34] τὸ ἀδύνατον σημαίνει, καὶ οὐχ ἁπλῶς νεύρων διατομήν· τὸ δὲ ἄλλο τι ἀντὶ τοῦ σφοδρότερον, τραχύτατον· διστακτικῶς δὲ εἶπε, διότι οὐ πᾶσαι αἱ τοιαῦται τραχεῖαι καὶ σφοδραί.

κβ'. Καλαὶ δὲ ὡς ἐν τοιούτῳ κάλλει· ὡς ἐν τῷ κομμωτικῷ κάλλει καὶ ἐπεισάκτῳ· ἐν δὲ τῇ λαμπρότητι καὶ λίαν καλαὶ καὶ σεμνότητι. ἢ ἐν τῷ κάλλει αἱ τοιαῦται λέξεις καλαὶ, τῷ διὰ παντὸς τοῦ λόγου χωροῦντι. κατὰ μίαν ποιότητα, καὶ ἐκ τῆς συγκράσεως τῶν ἰδεῶν, ἢ ἐκ μιᾶς ἰδέας· κάλλος δὲ καὶ ἡ γλυκύτης, ἀλλὰ τοῖς ἐπιθέτοις μᾶλλον χαίρει.

κγ'. Αἱ μικραὶ τῶν λέξεων· αἱ μονοσύλλαβοι καὶ δισύλλαβοι καὶ τρισύλλαβοι, ἀλλὰ καὶ αἱ τετρασύλ-

33 Vind. πρότων. Med. Par. πρῶτον. 34 Par. Vind. ἐκνενεριςμένοι.

λαβοι κατὰ ἰσολεξίαν προερχόμεναι, λίαν καλαί· καταυλήσωμεν, καταπορνεύσωμεν, ἀνθοσμίας, μαγγανείας, πολυτελείας· δισύλλαβοι μὲν καὶ μονοσύλλαβοι ὡς αὗται, ὑπὸ μὲν τῶν, ὑπὸ δὲ τῶν, φῶς μὲν ἦν, καὶ ὅσα τοιαῦτα.

Περὶ σχημάτων.

κδ'. Σχήματα δὲ καλὰ αἵ τε παρισώσεις· Διττὴ ἡ παρίσωσις· κατὰ κῶλον καὶ κατὰ μέρος λόγου, καὶ τὸ μὲν δὲ ἢ κατ' ἀρχὴν γίνεται ἢ κατὰ τὸ τέλος· κατ' ἀρχὴν μὲν δελφὶς ἀναφυσῶν καὶ ἀναπετόμενος· κατὰ δὲ τὸ τέλος· εἴτε ἀπειθείας εἴτε προμηθείας καὶ ἀσφαλείας· τῆς δὲ κατὰ τὸ τέλος ἡ μέν ἐστιν ὁμοιοτελεύτητος· οἷον τὸ πνεῦμα πραΰνει, ὁ ζῆλος ἀνάπτει· ἐν ἀμφοτέροις γὰρ ἡ αὐτὴ συλλαβὴ καὶ ἡ λέξις τρισύλλαβος· ὁμοιότητα δὲ, ὅταν εἰς τὰς αὐτὰς πτώσεις λήγωσιν, ὡς αἵ τε προλεγόμεναι καὶ ἔτι αἱ τοιαῦται· χορῶν συστήματα, στρατῶν στρατηγήματα, νηῶν πληρώματα· μὴ φθονήσεις τῷ κατορθοῦντι ὁ φθονηθεὶς καὶ φθονεῖσθαι πεισθεὶς καὶ διὰ τοῦτο κατασχεθεὶς· κατὰ κῶλα δὲ παρισώσεις τότε γίνονται, ὅταν τὰ κῶλα μετὰ τοῦ ὁμοιοτελεύτου καὶ ἰσοσύλλαβα ὦσιν, ὡς ἐπὶ τούτων, οὐ δέχομαι πηγὴν φράσεσθαι, καὶ χείμαῤῥον φέρεσθαι, ἥλιον κρύπτεσθαι, καὶ ἀστέρα δείκνυσθαι: ἰσοσύλλαβα γὰρ ταῦτα, πλὴν τοῦ πρώτου καὶ ὁμοιοτέλευτα. τοιαῦτα γὰρ ἦσαν καὶ τὰ πρῶτα, τὸ πραΰνει καὶ τὸ ἀνάπτει. τὴν γὰρ αὐτὴν ἔχει διαφορὰν τὸ κῶλον καὶ τὸ κόμμα. κατὰ τοῦτο οὖν λέγονται αἱ μὲν κατὰ πτῶσιν, ἢ κατὰ λέξιν, ἁπλῶς παρισώσεις, αἱ δὲ κατὰ κῶλον παρισώσεις.

κε'. Οὐ μὴν τοσαῦταί γε οὐδὲ τοιαῦται. διὰ πολλὰς αἰτίας οὐ ταῖς παρισώσεσι Δημοσθένης ἐχρῆτο. μία μὲν, ὅτι πρὸς ὕδωρ ἐλάλει, καὶ περὶ τὰ ἀναγκαῖα ῥηθῆναι κατηπείγετο. δεύτερον, ἐναγώνιος ἦν καὶ τὰς τοιαύτας παρισώσεις ποιῶν ἀπίθανος ἦν. τρίτον, ὅτι

ὑποπτεύεται ἀπατᾷν· τέταρτον, ὡς παιδικὸν καὶ τὸ ὅλον Ἰσοκρατικὸν· τὸ ἐν οἷς οὐ δεῖ καλλωπίζειν. Ἰσοκράτης δὲ τοῦτο ἐπιτηδεύει, καλλωπίζει δέ τις κατὰ τοὺς τρόπους, οὓς προεθέμεθα, ἀγωνιζόμενος. Ἰσοκράτης δὲ τοῦτο ἐπιτηδεύει καὶ μὴ αὐτόματον ἐπιόν· ὅτι οὔτε παθαίνεται ἐπὶ τὸν λόγον, οὔτε ἐπὶ βήματος [1] λέγει· διὸ καὶ οἱ συμβουλευτικοὶ αὐτῷ, ὥσπερ καὶ οἱ πανηγυρικοὶ ἐπιτετηδευμένοι εἰσὶ τῷ κάλλει, ἀλλὰ καὶ οἱ δικανικοὶ, ὥσπερ ὁ πρὸς Εὐθύνουν.

κς'. Εὐθὺς ἐν προκαταρκτικοῖς παρασχέσθαι· ἀπορῶν γὰρ ὡς ἀληθῶς, διὰ τί τοῦτο πεποίηκε· καὶ περὶ τὴν ἀρχὴν τοῦ λόγου, πολλὰς αἰτίας εἶπε, καὶ εἴη ἂν πρώτη αἰτία αὕτη.

κζ'. Ὁ [2] Ἀνδροτίων Ἰσοκρατικὸς ἦν ῥήτωρ, καὶ οἱ πλείους τῶν δικαστῶν· ἑκατὸν γὰρ ἔτη διδάξας Ἰσοκράτης σχεδὸν τῶν πολιτῶν πάντων διδάσκαλος ἦν, καὶ τῶν ὑπὲρ τούτους· δεικνύσιν οὖν ὁ ῥήτωρ διὰ τῆς τῶν ἰσοτήτων εἰσβολῆς τοῖς Ἰσοκρατικοῖς, [3] ὡς οὐ δυσχερὲς τὰ τοιαῦτα καλλύνειν, εἴ τις βούλοιτο δηλοῦν· παιδικὸν δὲ μᾶλλον τὸ πρᾶγμα καὶ οὐ σπουδῆς ἄξιον· διὸ καὶ παραδείξας αὐτὸ, ὡς ἔστι ῥᾴδιον, εὐθὺς ἀπέστη καταγέλαστον ἀποφήνας τὸν περὶ ταῦτα σπουδάζοντα· δεύτερον ὁ Δημοσθένης μέν ἐστιν ὁ τοῦ λόγου πατὴρ, Διόδωρος δὲ ὁ χρώμενος ἰδιώτης ἀνήρ· μέθοδος δὲ τῷ ποιητῇ τοῦ λόγου ἡττᾶσθαι διὰ ἰδιώτου τὸν Ἀνδροτίωνα ῥήτορα ὄντα ἐκ τῶν οἰκείων ἐπιτηδευμάτων, αὐτοῦ δηλαδὴ τοῦ προςποιητοῦ [4] κάλλους· εὐκαταφρονητότερον γὰρ τὸ καὶ ὑπὸ ἰδιώτου δυνάμενον κατορθοῦσθαι· τρίτον, μιμηλὸν πρᾶγμα ἡ ῥητορική· καὶ πᾶν ὑποκρίνεται τὸ ὑποπίπτον αὐτῇ μέχρι τοῦ

1 Par. Vind. βήματα, Par. ad marg. ἐπὶ βήματος. 2 Par. Vind. ἡ. Par. ad marg. ὁ. 3 Par. Vind. σωκρατικοῖς. Par. ad marg. ἰσοκρατικοῖς. 4 Par. Vind. πρὸς ποιητοῦ. Par. ad marg. προσποιητοῦ.

εἰκότος· [5] οἶδε γάρ, ὅτι τὸ ὑπὲρ τοῦτο χαμαίζηλον καὶ ψυχρόν· διὸ μιμεῖται μὲν τὸν Ἰσοκράτην ῥήτορα, ὡς αὐτὸν ἐκεῖνον εἶναι δοκεῖ τὸν Ἀνδροτίωνα κατὰ τὴν ἀρχήν, ἡνίκα προσακτικώτερα τὰ τῶν ἀκροατῶν περὶ τὴν ἰδέαν τοῦ λόγου· ἀφίσταται δὲ ἡνίκα περὶ τῶν ἐγκαλουμένων ποιοῦνται τὴν προσοχήν· τέταρτον εἰκὸς καὶ κατὰ τύχην οὕτω τὸν λόγον πάρισον προενηνοχέναι, κατάτεχνον δὲ τὸ μὴ τοῦ πρέποντος ἀφίστασθαι· πέμπτον δικανικὸς ὁ λόγος καὶ συμβουλευτικός· τὸ δὲ κάλλος πανηγύρεσιν οἰκεῖον· δείξας οὖν, ὡς ἱκανὸς τοιαῦτα λέγειν κἀν τούτοις, ἀπέστη τούτου ὡς μὴ συμφέροντος· ἕκτον οὐ σπουδαίου ἀνδρὸς καὶ πολιτικοῦ, ἐν τοῖς μὴ ἀναγκαίοις ἐνθρύπτεσθαι ἢ ἐναβρύνεσθαι, κἂν δυνατὸς ᾖ· δείξας οὖν, ὡς δυνατὸν μέν, οὐκ ἀναγκαῖον δὲ ἐν τοῖς ἀγῶσι τὸ πρᾶγμα, μικρὸν ὑποφλυαρήσας τῷ ἀντιδίκῳ, ἐπήχθη περὶ τὰ ἀναγκαιότερα· ἕβδομον, ὑπόληψιν εἶχεν Ἀνδροτίων ἡταιρηκότος καὶ πεπορνευμένου· ἔδειξεν οὖν ἐξ ἀρχῆς, ὅτι πρὸς παράνομον καὶ ἀνάξιον τὸ δικαστήριον συνέστη, καὶ ὅτι ἴδιον τῶν ἑταιρίδων τὸ μετὰ ἀναισχυντίας προκατάρχεσθαι, οἷος ἦν, πρὸς ὃν ὁ λόγος· ἄλλως τε καὶ τὸ παίζειν καὶ θρύπτεσθαι ἐπὶ τοῖς σπουδαίοις ἀπίθανον τὸν λέγοντα ὑποτίθησι· τὸ γὰρ τούτοις θαῤῥεῖν καὶ μὴ τῇ ἀληθείᾳ ὕποπτον καὶ ἀνίσχυρον· καὶ ἄλλαι δὲ τρεῖς αἰτίαι, δι᾽ ἃς νοῶ ἐν προκαταρκτικοῖς μὲν καλλωπίσαι, ἐν τοῖς μετὰ ταῦτα δὲ ἀποστῆναι, ὅτι καὶ τὸ ἔθος ᾧ τηνικαῦτα ἐδούλευον Ἀθηναῖοι περὶ τοὺς λόγους, καὶ τὸ ἔτη τὰ τῆς νεότητος ἔχειν Δημοσθένην καὶ μὴ κατ᾽ ἐπιστήμην ὄντα τέλειον, ἱκανὰ πρὸς ἀπολογίαν τῆς κατ᾽ ἀρχὴν παρισώσεως· φαίνεται δὲ ὁ τεχνικὸς κατὰ τέχνην τοὺς λόγους ἐξηγήσασθαι, ἀλλ᾽ οὐκ ἐμφέρονται τυχὸν κατὰ τὴν ἐπιφορὰν τῆς τῶν ῥητόρων [6] ἀπω-

---

5 Par. Vind. εἰκότως. in Par. correctum εἰκότος. 6 Par. ῥητόρων.

λείας, ἢ τοῦ τῆς Ῥώμης ἐμπρησμοῦ ἀφανισθέντων τῶν ἐξηγητικῶν πρὸ τοῦ ἐκδοθῆναι· ἢ γὰρ ἂν λείψανά τινα παρέμειναν, εἴπερ ἐξεδόθησαν· ἐπεὶ καὶ ἡ ῥητορικὴ πολλὰ ὑπέσφαλται τῷ λόγῳ καὶ τῷ χρόνῳ, καὶ ἔτι παραμένει· ἀλλὰ διὰ τὸ ἐκδοθῆναι πρὸς πλείους τὰ ἀναγκαιότατα σώζεται.

κή. Ἤτοι γὰρ διακόπτον· τὰ λεγόμενα δῆλα, καὶ οὐ πάνυ δεόμενα τῆς ἀκριβολογίας· καὶ τὴν αἰτίαν τούτων προείπομεν· κατ᾽ ἐπεμβολὴν δὲ τῆς παρισώσεως διακοπὴ, καὶ οὐ κοινοῦται [7] οὔτε τῶν ἐπαινουμένων, οὔτε τῶν ψεγομένων· τοῦτο δὲ καὶ ἀντίθετον λέγεται διὰ τὰ ἐναντία, ἀλλὰ καὶ οὕτω κάλλους ἴδιον· καὶ φανερώτερον τόδε· ἐμβρόντητε καὶ πολύφοβε· καὶ ἐπεμβαλὼν πολλὰ οὕτως ἐπάγει τὸ ἀνοητότατον· ἰσόκωλον δὲ διακοπὲν κατ᾽ ἐπεμβολὴν οὕτω· τὸ παρὰ πάντων μὲν ἐπαινούμενον, εἶτα ἐπεμβαλὼν κατὰ ἀποστροφὴν, ἀγαθὸν, μεθ᾽ ὃ τὸ ἴσον, ὑπ᾽ ὀλίγων δὲ φυλαττόμενον ἔφη· κατὰ ἐναλλαγὴν δὲ τῶν συλλαβῶν, οὔτε Δαυὶδ πρότερον τὸν Ἰωνάθαν τὸν ἑαυτοῦ [8] φίλον, οὔτε τὸν Ἀβεσαλὼμ ὕστερον· εἰ γὰρ τὰ ἰσάζοντα ἢ κατ᾽ ἀρχὴν τέθεικεν ἢ κατὰ τὸ τέλος, σαφὲς ἦν τὸ κάλλος.

Συριανοῦ καὶ τῶν λοιπῶν.

κθ΄. Ἀλλὰ [9] κατ᾽ ἐκείνους τοὺς τρεῖς τρόπους· ὅτι χρώμενος ὁ ῥήτωρ ταῖς παρισώσεσιν τριχῶς τὴν ἐν αὐτοῖς παραμυθεῖται κακίαν.

Τῶν αὐτῶν.

λ΄. Διακόπτει μὲν οὖν τὰς παρισώσεις· ἡ μὲν παρίσωσις οὕτως ἂν γένοιτο· τὸ μὲν γὰρ πολλὰ ἀπο-

7 Med. κοινοῦται. Vind. κινεῖται. Par. κινοῦται. 8 Par. Vind. ἐμαυτοῦ. Vind. ἑαυτοῦ. 9 Litt. κθ΄. non invenio in Vol. VII.

λωλεκέναι κατὰ τὸν πόλεμον τῆς ἡμετέρας ἀμελείας ἄν τις θείη, τὸ δὲ μήτε πάλαι τοῦτο πεπονθέναι τῆς παρ' ἐκείνων εὐνοίας εὐεργέτημ' ἂν ἐγὼ θείην· αὕτη ἐστὶν ἡ παρίσωσις· ἡ δ' ἐπεμβολὴ αὕτη, πεφηνέναι τέ τινα ἡμῖν συμμάχων τούτοις ἀντίῤῥοπον, ἂν βουλώμεθα χρῆσθαι· ἐναλλάττει [10] δὲ τὰς συλλαβὰς τὰς κατὰ τὸ τέλος, καταλήγων τὴν ἐπὶ τέλους ἐναλλαγήν.

λά. Κατ' ἐπιβολὴν γινόμενον, τουτέστι κατ' ἐπιτήδευσιν· εἴπομεν δὲ περὶ Ἰσοκράτους, ὅτι οὐκ ἐν ἀγῶνι ὁ ἀνὴρ, οὐδ' ἀληθείας φροντίζων, ἀλλὰ τοὺς πρὸ αὐτοῦ μιμούμενος τὸν Γοργίαν καὶ Πῶλον· ὁ δὲ Δημοσθένης ταῦτα πάντα ἔχων εἰ ἐκαλλώπιζε, πόῤῥω ἂν ἦν πιθανότητος· ὑπωπτεύοντο γὰρ οἱ καλλωπίζοντες, ὡς οὐκ ἀληθείᾳ, ἀλλὰ δυνάμει λόγου πείθουσι τοὺς ἀκροατὰς ἢ τοὺς δικαστάς. [11]

Εἰς τὸ αὐτὸ τοῦ Σικελιώτου· εἴπομεν [12] καὶ τούτων θεολογικὰ πρὸ μικροῦ παραδείγματα. καὶ ἔτι ταῦτα ἀττικίζειν μὲν ἐκώλυσεν, ἀληθεύειν δὲ οὐκ ἔπαυσεν, καὶ ἀναῤῥαγῇ μὲν γῆς ἕδρα, μεθαρμοσθῇ δὲ θάλασσα, ἅμα δὲ ταῦτα καὶ γοργὰ, διὰ τὴν μέθοδον καὶ τὴν ταχεῖαν τῶν μερισμῶν ἀπόδοσιν· καὶ ἔτι κἀκείνη ἐπαινουμένην καὶ τούτων σιωπωμένων· ἀλλὰ καὶ κατὰ ἀπόστροφὴν ἥτις παθαινομένου ἐστὶ καὶ εὐκινήτου, οὐ μακρὰν Ἰσοκράτης. [13]

κή. Σχεδὸν γὰρ οὐδ' ὅλως ἐστὶ παρ' αὐτῷ· πῶς [14] γὰρ ὁ μὴ παθαινόμενος χρήσαιτο τῇ ἀποστροφῇ·

---

10 ἐναλλάττει δὲ — — ἐπὶ τέλους ἐναλλαγὴν abest a Vol. VII. Vind. ἐναλλάττειν. 11 Sequuntur ex Vol. VII. litt. κδ'. — λ'. T. V. p. 514. v. 8. — p. 515. v. 5. 12 Par. εἴπομεν. Vind. εἴπωμεν. 13 Sequitur ex Vol. VII. p. 1039. litt. λδ'. sub nomine Συριανοῦ καὶ τῶν λοιπῶν. quod nomen Med. non habet. 14 Est etiam in Vol. VII. inter schol. minora.

Περὶ παρισώσεων.

λθ'. Γίνονται δὲ αἱ παρισώσεις καὶ κατ' ἀρχὰς καὶ κατὰ τέλος· αἱ κατ' ἀρχὰς παρισώσεις καὶ κατὰ λέξιν γίνονται καὶ κατὰ συλλαβὴν, ὡς εἴρηται μικρὸν πρότερον· αἰδεσθῶμεν τοῦ εἰρηνικοῦ τὴν εἰρήνην·[15] τοῦτο δὲ τὸ εἶδος καὶ παρήχησις λέγεται, καὶ ἔφεσις καὶ γεωργοῦσα καλὸν γεώργιον· καὶ τὰ λοιπὰ εἴρηται.

μ'. Καὶ δὴ κατὰ κῶλον ἐπαναφοραί· κατὰ κῶλον ἐπαναφορὰς εἶπε διὰ τὰς κατὰ λέξιν, ὡς τό· Χριστὸς γεννᾶται, Χριστὸς, αἵτινες κατ' ἐπιμονὴν γινόμεναι καὶ ἦθος τῆς εὐκρινείας εἰσί· κατὰ κῶλον δὲ, ὅτι τὸ κῶλον τῆς δευτέρας προτάσεως, ἥτις ἀπόδοσις λέγεται, καὶ ἐπαναφέρεται πρὸς τὴν πρώτην, καὶ ἡ δευτέρα ἀπόδοσις πρὸς τὴν δευτέραν πρότασιν, ἤδη δὲ καὶ πρὸς τὴν πρώτην· τοῦτο δὲ οὐ δυνατὸν ἑτέρως γίνεσθαι, εἰ μὴ τετράκωλος εἴη ἡ περίοδος, ὡς τοῦτο· τοιούτους μὲν αὐτοὺς γεγονότας· ὥστε μὴ καὶ τοιούτων ἦσαν πατέρες, ἑαυτοῖς εἰς εὐδοξίαν ἀρκεῖν· τοιούτων δὲ πεφηνότας πατέρας, ὥστε εἰ μὴ[16] καὶ αὐτοὶ τοσοῦτοι ἦσαν εἰς ἀρετὴν, πάντας ὑπεραίρειν τῇ εὐτεχνίᾳ· τὰ τοιαῦτα δὲ καὶ κατὰ κῶλον παρισώσεις λέγεται· ὡς καὶ τοῦτο, οὕτω μὲν ἅπαντα διελθὼν ὡς οὐδεὶς ἕν· οὕτω δὲ εἰς ἄκρον ἕκαστον, ὡς τῶν ἄλλων οὐδέν· τοῦτο δὲ καὶ πλέον ἔχει τὴν ἀναστροφήν· τοιοῦτον καὶ τό· παρὰ τοσοῦτον οἱ ἡμέτεροι παιδευταί· καὶ οὐ μόνον ἐπαναφορὰν ἔχει, ἀλλὰ καὶ ἀντιστροφὴν, ὡς γίνεσθαι καὶ κλίμακα, ἀντιστροφὴ δὲ γίνεται, ὅταν τὸ[17] τέλος τοῦ κώλου τέλος ἑτέρου κώλου τεθῇ καὶ αὐτίκα δειχθήσεται.

μά. Διαφέρει δὲ τῆς κατ' ἀρχὰς παρισώσεως. Διαφορὰν τίθησι τῆς τε κατ' ἀρχὴν παρισώσεως

---

15 Vind. Par. εἰρήμην. 16 Par. Vind. μί. 17 Par. Vind. τῷ.

καὶ τῆς ἐπαναφορᾶς, καὶ τὸ ἀντιπίπτον ἐν τούτοις λύει· ἡ μὲν οὖν διαφορὰ, ὅτι ἡ παρίσωσις διὰ συλλαβῶν γίνεται, ἡ δὲ ἐπαναφορὰ διὰ μέρους λόγου τελείου, ἀλλὰ καὶ συμπίπτει τῷ τὴν τοιαύτην ἐπαναφορὰν παρίσωσιν λέγεσθαι, φησὶν, ὅτι εἰ τὴν αἰτίαν ἐξετάσωμεν τῆς ἑκατέρου θέσεως,[18] οὐ συμπεσοῦνται αἵδε οὐδὲ ταὐτὸν ἔσονται· ἡ μὲν γὰρ ἐπανάληψις κατὰ μέθοδον δεινότητος γινομένη, τότε λαμβάνεται καὶ διὰ τοῦτο, ὅτι ἢ μεστωθῇ ὁ λόγος, ἢ δεηθῇ σαφηνείας, καὶ διὰ τοῦτο ἐπαναλαμβάνει, ἢ ἐπιμένων[19] ὁ ῥήτωρ τῷ ἤθει προσεκτικωτέρους ποιεῖ τοὺς ἀκούοντας· ἡ δὲ παρίσωσις κατ᾽ οὐδὲν τούτων, οὐδὲ δι᾽ ἕτερόν τι ἀλλ᾽ ἢ διὰ κάλλος, ὥστε πρόδηλος ἡ διαφορὰ καὶ τὸ μηδόλως κοινωνεῖν. ἡ μὲν γὰρ καὶ διὰ πολλῶν γινομένη οὐκ ἀηδής· ἡ δὲ παρίσωσις εἰ ὑπερβαίη τὸ μέτρον, ἀηδὴς καὶ ψυχρά· μέρος δὲ λόγου μὴ κατὰ γραμματικὴν νοήσης, ἀλλὰ κατὰ ῥητορικήν· εἰ δὲ καὶ πλείους, τοῦτο ἀντιπίπτοντος λύσις· οἶδα γὰρ, ὡς καὶ πλείους συλλαβαὶ ποιοῦσι παρίσωσιν, ὡς τὸ προφῆτα προφήτευσον·[20] καί φησι τὸ τοιοῦτον οὐ γίνεσθαι μέρος λόγου τέλειον· μέρος λόγου μὴ κατὰ γραμματικούς[21] νοήσῃς, ἀλλὰ κατὰ ῥητορικήν. μέρη δὲ λόγου ῥητορικοῦ καὶ τὰ σχήματα καὶ τὰ ἐπιχειρήματα· καὶ τὰ κῶλα καὶ ἡ ἐπιμονή· φησὶν οὖν, ὡς ἡ τοιαύτη παρίσωσις οὐκ ἐπὶ πλειόνων γίνεται, ὥσπερ ἡ ἐπαναφορὰ, ἑξῆς συμβαίνει καὶ περιέχεσθαι τὴν παρίσωσιν, οὐ τὸ ἀνάπαλιν.[22]

μβ΄. Οὐδὲν θαυμαστὸν, εἴτι καὶ λαμπρὸν καὶ ἀκμαῖον ἔχει. οὐδὲν θαυμαστὸν, εἰ λαμπρότητα μὲν ἔχει· ὅτι οὐ διηγηματικόν ἐστιν οὐδ᾽ αὐτὸ τὸ πρα-

---

θέσεως
18 Par. Vind. φύσεως. 19 Par. ἐπιμένων. Vind. ἐπιμένει. 20 Vind. προφήτευον. Med. Par. προφήτευσον. 21 Vind. γραφικούς. Par. γραμματικούς. supra lineam γραφικούς. 22 Sequitur ex Vol. VII. p. 1040. litt. λβ΄.

γμα διέξεισιν· οὐδὲ διστακτικῶς ἀλλ' ἀποφαντικῶς, καὶ κατὰ πεποίθησιν καὶ ἀφήγησιν· καὶ ἀποστατικῶς ἅμα, εἰ καὶ ἡ λαμπρότης κάλλει συγγενής· ἀκμαῖον δὲ, ὅτι κατὰ προδοτῶν εἶναι δοκεῖ· εἰ καὶ μὴ ἄντικρυς καὶ κατὰ ἀποστροφὴν, παράδειγμα δὲ καλὸν καὶ ἄμικτον τὸ τοῦ θεολόγου.

μγ'. Εἰ κατὰ κόμμα γίνονται· κατὰ κόμμα δὲ, ὡς τὸ Χριστὸς γεννᾶται, δοξάσατε, καὶ τὰ ἑξῆς· καὶ ὅσα τοιαῦτα γοργά εἰσι· καὶ ὅρα, πόσων ἰδεῶν ἐστιν ἡ ἐπαναφορά· εὐκρινείας,[23] ὅταν τὴν μέστωσιν θεραπεύῃ, δεινότητος, ὅταν ἐπιμένῃ, ἤθους, ὅταν ἀπλάστως καὶ ἰδιωτικῶς λέγῃ καὶ ἀφελῶς, λυπούμενος ἢ χαίρων· κάλλους, ὅταν κατὰ συζυγίαν προάγηται ἡ ταχεῖα τῶν μερισμῶν τοῦ μὲν καὶ τοῦ δὲ, καὶ εἴρηται πολλάκις.

μδ'. Καὶ ἡ ἀντιστροφὴ ἀντιπρόθεσις ποτὲ μὲν τὴν κατὰ πρόσωπον τοπικὴν σημασίαν δηλοῖ· ποτὲ δὲ τὴν ἐναντίαν διάθεσιν, ποτὲ δὲ τὴν ἴσην, ὡς ἐνταῦθα· ἀντιστροφὴ γὰρ λέγεται ἢ διὰ τὸ στρέφειν τὸν ῥήτορα τὴν αὐτὴν λέξιν ἐν τῷ αὐτῷ τόπῳ τοῦ δευτέρου κώλου· ἢ διὰ τὸ ὥσπερ ἀντιπρόσωπα ἀλλήλων εἶναι τὰ αὐτὰ σχήματα· ἔχει δὲ καὶ τοῦτο τὸ σχῆμα ὁ θεολόγος· καίτοι, κἂν εἰ τοῦτο ἦν, οὔπω δῆλον ὥσπερ Ἑλληνικὸν ἦν· καὶ εἴπερ τοῖς συνθέτοις τὸ εἶναι μόνον συνθέτοις, καὶ Ἀβραὰμ οὐκ ἔγνω ἡμᾶς· καὶ Ἰσραὴλ οὐκ ἐπέγνω ἡμᾶς.

μέ. Διαφέρει δὲ τοῦτο τῆς κατὰ τὸ τέλος παρισώσεως τῷ τὴν αὐτὴν εἶναι λέξιν ἐνταῦθα ἐν ἀμφοτέροις τοῖς κώλοις, ἐν δὲ τῇ παρισώσει τὴν αὐτὴν εἶναι συλλαβὴν μόνην· οἷον τοὺς μὲν ξηρᾷ παραπέμπουσα, τοὺς δὲ κατὰ φύσιν αὐτῆς ἐπιῤῥέουσα·[24] πάρισα ταῦτα καὶ κατὰ τὰς ἀρχὰς καὶ κατὰ τὸ τέλος· εἰ δὲ διότι ἡ ἀρχὴ τὴν αὐτὴν ἔχει λέξιν, εἶναί τις βούλοιτο ἐπαναφορὰν, ἔστω τὸ σχῆμα σύνθετον· εἰ δ' οὖν, ἔστω παρι-

23 Vind. Par. εὐκρινοίας. 24 Par. Vind. ἐπειῤῥέουσα.

σωσις, εἰ κατὰ κόμμα γένοιτο· ὥσπερ τὸ εἴπερ μηδὲ τοῖς συνθέτοις· ἀλλὰ καὶ τοῦτο τῆς ἀντιστροφῆς ἐστιν· ἐπιφέρει γὰρ τὸ εἶναι μόνον συνθέτους.

μς΄. Εἰ δ' ἔχει τι καὶ ἐναργείας. φασί τινες τῶν τεχνικῶν τὴν ἐνάργειαν εἶναι πράγματος ἢ τινος τῶν περιστατικῶν μετὰ τῶν παρακολουθούντων διατύπωσιν καὶ εἰκονισμόν· οἷον ὁ δὲ προὐκάθητό πως, βρίθων θυμοῦ καὶ τὸ φρονεῖν ὑπὸ τῆς ἐξουσίας ἀφῃρημένος· οὐδὲ θρύψις αὐχένος, ἢ φωνῆς ὕφεσις ἢ προσώπου δέσις ἢ βάθος ὑπήνης ἢ κεφαλῆς ἐν χρῷ κόσμησις ἢ βαδίσματος ἦθος ταπεινὸν ὑπεκρίνετο· ἐν τούτοις γὰρ ἐναργῶς δείκνυται τοῦ [25] ἁγίου τὸ ἦθος· καὶ ἅμα ἔνεστί πως τὰ μικρὰ μεγάλα ποιῆσαι· οὕτως ἄν τις καὶ πρᾶγμα εἰκονίζων καὶ τόπον καὶ πάντα τὴν ἐνάργειαν ποιήσειεν, ἵνα μὴ καθ' ἕκαστον ἐκλεγόμενος μακρηγορῶ· γίνεται δὲ καὶ κατὰ σχῆμα, ὡς ἐπὶ τοῦ τοιούτου, εἰ κρίνεις φόνου τὸν φονικὸν δίχα τοῦ φόνου ἐκ μόνου τοῦ βούλεσθαι· βεβαπτίσθω σοι καὶ τὸ βάπτισμα δίχα τοῦ βαπτίσματος, καὶ τὰ ἑξῆς· τὰ τοιαῦτα γὰρ καὶ πλαστά εἰσι· καὶ ἁπλῶς ὅταν ὁ λόγος ὥσπερ ὑπ' ὄψιν ἄγων τὸ ὑποκείμενον δεικνύῃ, κατὰ σχῆμα μὲν ἢ ἄλλο τι τῶν τοῦ λόγου μερῶν, ἐνάργεια· ἔσονται δὲ κατὰ τούτους μὴ μόνον αἱ διατυπώσεις καὶ αἱ ἐκφράσεις, ἀλλὰ καὶ πάντα τὰ τοῦ λόγου· ἐγὼ δὲ τὴν ἐνάργειαν ἑτέρως γίνεσθαι νοῶ· ὅταν γάρ τι τῶν μὴ δυνατῶν λεχθῆναι διά τινος σημείου ἢ λέξεως ἐμφαίνωμεν, ἐνάργειαν τοῦτό φημι, ἢ καὶ ἐπὶ τῶν μύθων γίνεται, καὶ ἐπὶ τῶν τρόπων τῶν ἀλληγορικῶν καὶ τῶν ἐσχηματισμένων, ὡς τὸ, καὶ ἡ λαμπρότης ἐγγύθεν καὶ τὸ δύσφημον σιωπήσομαι· κατὰ σεμνότητος τρόπον, παραδηλώσας τὸ πρᾶγμα· καὶ ἔγνω ὁ Ἀδὰμ Εὔαν τὴν γυναῖκα αὐτοῦ· τοῦτο πρῶτον ἐναργείας εἶδος τίθεμαι· δεύτερον, ὅταν ἐπιμένω-

μεν

25 Vind. τὸ, scr. τοῦ.

μεν ταῖς ἐννοίαις, ἢ διὰ σχήματος ἐπαναφορικοῦ, ἢ τοῦ κατηγορικοῦ κατὰ χορηγίαν, ἢ ἄλλου του, καὶ κινῶμεν τὸν ἀκροατὴν εἴς τι τῶν παθῶν. ἐναργείας οἶμαι καὶ τοῦτο, Χριστὸς γεννᾶται, Χριστὸς ἐξ οὐρανῶν, Χριστὸς ἐπὶ γῆς· τὴν γὰρ ἡδονὴν τὴν ἐπὶ τῷ πράγματι ἡ ἐπιμονὴ παρυπέφηνε· καὶ τὸ ἐναντίον, τέκνον ἐλεεινὸν, τέκνον ὃ κρημνοῖς καὶ ὄρεσιν ἐθρεψάμην· εἰς γὰρ θρῆνον ἡμᾶς διὰ τῆς ἐναργείας τοῦ μητρικοῦ πάθους ἐκίνησε· ταῦτα καὶ τὰ τοιαῦτα ἐναργείας [27] ἐγὼ εἶναι τίθεμαι, ὅτι ἐναργῶς καὶ φανερῶς ὑποτυποῦσι τὰ πράγματα, ἀλλὰ τὰ μὲν διὰ μακροτέρων ταύτην δεικνύντα πιθανωτέραν ὑποδηλοῦσι τὴν ἔμφασιν· τὰ δὲ διὰ συντόμου, ἀμυδροτέραν· ἅπερ καὶ ὁ τεχνικὸς ὑπεσημήνατο· [28] διδάσκει δὲ Ἵππαρχος, οὐχ ὁ ἀστρονόμος, ἐν τοῖς περὶ τρόπων ἐναργέστερον περὶ ἐναργείας. [29]

μζ. Ἑτέρου λόγου· ἑτέρου λόγου εἶναί φησι, τοῦ κατὰ μέθοδον δεινότητος, ἐν ᾧ μανθάνομεν τὰς αἰτίας ἑκάστου καὶ τὸν καιρὸν τῆς τούτων εἰσαγωγῆς· τὸ γὰρ εἰπεῖν, „ὡραῖοι [30] μὲν οἱ πόδες τῶν εὐαγγελιζομένων εἰρήνην," καὶ ἄλλο που ἀγαθὸν, μεθ' ὧν ἐληλύθατε· καὶ προσειπεῖν, ὡραῖοι δὲ τὰ πρὸς ὑμᾶς, οἷς εἰς καιρὸν ἐληλύθατε, ἐπαναφορὰ τῆς κατὰ περιβολὴν, οὐ τύχης ἐστὶν, ἀλλ' ἐπιστήμης ἐμφαίνεται· καὶ μὴ κατ' ὀργὴν ποιοῦντα τὸν λόγον, ἀλλὰ προσοχὴν καὶ εὔνοιαν· πολὺ δὲ τὸ δριμὺ καὶ ὡραῖον τὸ μετὰ ταῦτα ἔχει· τὸ ποιμένα συνέκδημον ἐπισκέψησθε, κατὰ μετάληψιν γὰρ ῥηθὲν μετρίως ἅπτεται τοῦ προσέχοντος· ἀντὶ γὰρ τοῦ διώξετε κρίνετε εἴρηται· ἐδέησε γὰρ αὐτῷ καὶ τούτου, ἵνα μὴ κόλαξ εἶναι δόξῃ· ἐσήμηνε γὰρ αὐτὸ, ἵνα μὴ φορτικός τις εἶναι δόξῃ, ἀμφότερα τηρήσας, καὶ τὴν εὔνοιαν καὶ τὴν προσοχήν·

26 Vind. Par. ἀλλ' οὗτου: 27 Vind. Par. ἐνάργεια. 28 Vind. Par. ὑπεσημήνατο. 29 Med. ἐναργείας. Vind. Par. ἐνεργείας. 30 Rom. X. 15.

καὶ τὸ μὴ κολακεύειν δοκεῖν, καὶ πρός γε τὸ μὴ ὑβριστικός τις εἶναι καὶ θρασύς· πολλῆς οὖν ταῦτα τῆς ἀκριβείας.

μή. Καὶ ἡ ἐπαναστροφή· σαφῶς οὖν ἡ διαφορὰ τῶν σχημάτων, παρισώσεως καὶ ἐπαναφορᾶς, ἀντιστροφῆς, ἐπαναστροφῆς, ἐπαναλήψεως, ἣν καὶ τῆς πρώτης συζυγίας εἴπομεν ἤδη· τῆς γε τρίτης ἡ μὲν ἐπανάληψις διαφέρει, τῆς ἐπαναφορᾶς, ὅτι αὕτη ἐπὶ τῶν κατὰ μέστωσιν γινομένων γίνεται· ἵνα γὰρ μὴ εἰς ἀσάφειαν ἐμπεσούμεθα, ἐπαναλαμβάνομεν, καὶ ἅμα τὴν μνήμην ἐπιφέρομεν καὶ τῇ διανοίᾳ ἐφιστῶμεν τὸν λόγον· ἡ δὲ ἐπαναφορὰ κατὰ κῶλον γίνεται, ὡς μικρῷ πρόσθεν εἰσήχθη· ἡ δὲ ὑποστροφὴ γίνεται, ὅταν διακοπέντος τοῦ λόγου ὑπὸ ἐπεμβολῆς τινος πάλιν ἐπαναλαμβάνωμεν αὐτόν· οἷον τὸ δὲ ὅπως· οὐ γὰρ ἄξιον σιωπᾶν πρᾶγμα τοσοῦτον· οὐκ ἐνουθέτησα δὲ ταῦτα, ἵν' οὕτως ἐμοὶ γένηται· εἶτα κατὰ διακοπὴν ἐπεμβαλὼν πολλὰ, ὑποστρέψας ἀναλαμβάνει τὴν ἔννοιαν, ἵν' ὑμεῖς μάθητε Χριστὸν εὖ ποιεῖν· ἔστι γὰρ ἐκ τοῦ εἰς ἑαυτὸν ἐπιστάντα μετὰ τὰ κατὰ τὸν Μάξιμον· λέγεται δὲ ἡ ἐπανάληψις, ὅταν ἀμέσως ᾖ καὶ ἐπαναδίπλωσις· ὡς ἡ θεία γραφὴ τοῦ Λευιτικοῦ· [31] „ἄνθρωπος, ὃς ἂν τὴν θυσίαν αὐτοῦ," καὶ αἰνίττεται τὸ τοῦ πράγματος σπουδαῖον· καὶ ἄλλως·

Βαρὺς σύνοικος, ὦ φίλοι, βαρύς.

τῆς δὲ μεσούσης συζυγίας τὸ διάφορον πρόδηλον, ὅτι ἡ μὲν ἀναστροφὴ κατὰ τὸ τέλος τῶν συνεχῶν κώλων γίνεται, ὡς ἐδείχθη· ἡ δὲ ἐπαναστροφὴ τοῦ μὲν κατὰ τὸ τέλος, τοῦ δὲ κατὰ τὴν ἀρχήν· οἷον πρότερον οὐδενὶ συγχωρήσας, πρότερον γὰρ οἶμαι τοῦτό τινας ἐπανάληψιν ἐρεῖν· οὐκ ἔστι δέ· εἰ δ' οὖν, ἀλλὰ ταῦτα πρόδηλα· αὐτὸ παραστήσομεν· καὶ πάλιν, οὕτω δὲ καὶ τῷ λόγῳ

---

31 XXII. 21.

λόγον ἀναθείς· τῷ Χριστῷ [32] χαριστήριον, καὶ ὑπὸ τούτων ἐγὼ δέσμιος ἐν Χριστῷ δεθείς.

μθ'. Ἐκφανὲς δὲ καὶ τὸ ἐπιβουλῆς· τὸ νόθον κάλλος ἐπιβουλὴν καλεῖ, [33] ἀπὸ μεταφορᾶς τῶν ἑταιρουσῶν καὶ τοῖς νέοις ἐπιβουλευουσῶν.

ν'. Μίαν λέξιν ἐπιμερίσας· παιδικὸν τοῦτο καὶ οὐ σπουδαῖον, ὡς Ἰσοκράτης, εἰποῦσα σαφῆ, ἡλίκα καλά, ἔνθα Θαλῆς· καλοῦσι δὲ ταῦτα ἐπαναλήψεις καὶ ἐφέσεις· καὶ ἴσως παρὰ τὸ ἐφίεσθαι, ἢ ἐφιστάνειν καὶ ἐπιμένειν τῇ λέξει· ἀπορῆσαι δὲ ἄξιον, πότερον, θεωρία γὰρ ἦν τὸ φυτὸν ὡς ἐμὴ θεωρία, ἀντιστροφή ἐστιν ἢ ἄλλο τι τῶν εἰρημένων· ἀλλ' εἰ μὲν κῶλον* γὰρ ὄντων τὴν ταυτολογίαν ἔχει· ἀντιστροφὴ γὰρ ἦν. καὶ εἰ κατὰ συζυγίαν ἦν τὰ κῶλα, ἢ κατ' ἐπιμονήν, ἐπαναφορὰ ἂν ἦν· καὶ εἰ ἐμεσολαβεῖτο ἡ ταυτολογία ὑπό τινος, ἢ ὑπό τινων ἔξωθεν, ἐπανάληψις ἂν ἦν· νῦν δὲ οὐδὲν τούτων ὄν, ἀλλὰ μονόκωλος περίοδος, κύκλος ἄρα ἐστίν· εἰ δὲ δύο κῶλα ταῦτά τις φήσειε, καὶ οὕτω κύκλος ἐστὶ τῷ εἰς τὸ αὐτὸ λήγειν, ἀφ' οὗ ἤρξατο· καλλωπίζει δὲ ὅμως καὶ τοῦτο· λέγεται δέ τις καὶ παρὰ τοῖς γραμματικοῖς ἀναστροφή· ἀλλὰ τοῦτο σχῆμα οὐκ ἔστιν, ἀλλὰ τρόπος, ὡς τό· [34]

Ὧι ἔπι πόλλ' ἐμόγησα.

ἐφ' ᾧ γάρ· διαφέρει δὲ σχῆμα καὶ τρόπος τῷ τὸ μὲν σχῆμα διὰ πολλῶν ὀνομάτων γίνεσθαι, τὸν δὲ τρόπον δι' ἑνός.

να'. Ἔτι τῶν ἐπιφανῶς καλλωπιζόντων ἐστὶν μετὰ ἐναργείας· ἐντεῦθεν δῆλον, ὅτι καὶ τὴν ἐπιμονὴν καὶ τὴν παλιλλογίαν [35] τῶν σχημάτων ἐνάργειαν καλεῖ· ὅθεν οὐκ ἠρκέσθη τῷ εἰπεῖν ἐπιφανῶς, ἀλ-

32 τῷ Χριστῷ in Par. et Vind. scriptum est supra χαριστήριον. 33 Par. Vind. καλήν. scripsi καλεῖ. 34 Il. α. 162. 35 Vind. παλιλογίαν.

λὰ πρόςέθηκε καὶ τὸ μετὰ ἐναργείας, δεικνὺς, ὡς μὲν τὸ ἐπιφανῶς ἐπὶ τοῦ προδήλου κάλλους· ὡσανεὶ λέγων, ὅτι πρόδηλόν ἐστιν, ὡς ἐπεβουλεύθη τεχνωθὲν εἰς κάλλος· τὸ δὲ μετὰ ἐναργείας ἀντὶ τοῦ ὁμολογουμένης καὶ μηδεμιᾶς ἐχόμενον ἀμφιβολίας· τρανοτέρα γὰρ ὁρᾶται ἡ τῆς ταυτολογίας ἐπιμονή.[36]

νβ. Ἔστι δὲ οὐδὲν ἄλλο ἢ πλεονάζουσα ἐπαναστροφή· τὴν ἐπαναστροφὴν λέγει ἀναστροφήν· εἰ μὴ σφάλμα γραφικόν ἐστι, δεόμενον εἶναι ἀπαναστροφή· ἐπαναστρέφει γὰρ καὶ τὸ τέλος τῶν προτέρων κώλων ἀρχὴν ποιεῖται τῶν δευτέρων· εἴρηται δὲ οὕτως ἀπὸ μεταφορᾶς τῶν κλιμάκων, ὅτι καὶ ἐπὶ τούτων τὸ τέλος τῆς προτέρας ἀναβαθμίδος ἀρχὴ γίνεται τῆς δευτέρας· οἷον ἵνα τῷ ληπτῷ μὲν ἕλκῃ πρὸς ἑαυτὸν, τῷ δ' ἀλήπτῳ θαυμάζηται, θαυμαζόμενον δὲ ποθῆται πλέον, ποθούμενον δὲ καθαίρῃ, καθαῖρον δὲ θεοειδεῖς ἀπεργάζηται· τοῦτο τὸ κλιμακωτὸν θαυμάσιόν τι ἔχει καὶ παρὰ τὰ ἄλλα ἐξαίρετον· οὐ γὰρ κατ' ἐπιτήδευσιν γέγονεν, ἀλλ' ὡς αἰτὴ τοῦ πράγματος ἡ φύσις ἀπῄτει· ἀπὸ γὰρ τῶν πρακτικῶν ἡ πρὸς θεωρίαν ἐπίδοσις καὶ ἡ θέωσις· καὶ πάλιν· ἆρ' οὖν προεθυμήθημεν οὕτως, ἠγώνισται δὲ τῆς προθυμίας ἔλαττον· ἢ ἠγώνισται[37] μὲν, οὐκ ἀνδρικῶς δὲ, ἢ ἀνδρικῶς μέν· εἰλήφθω δὲ καὶ τὰ ἑξῆς.

νγ. Αἱ δὲ ταχεῖαι τῶν μερισμῶν ἀποδόσεις· εἴρηται πολλάκις, ὅτι αἱ ταχεῖαι τῶν μερισμῶν ἀποδόσεις γοργότητός εἰσιν· ἡ δὲ ἐπιμονὴ τῶν λέξεων κάλλους, αἱ δ' ἀναιρέσεις λαμπρότητος· τὸ δεύτερον δὲ σχῆμα τὸ θεολογικὸν τεχνικόν ἐστι, καὶ οὐ τοσοῦτον φυσικόν.

Εἰς τὸ αὐτὸ Συριανοῦ.[38] Γοργὸν εἶπεν,

---

36 Par. et Vind. ἀντεπιμένη. Fort. scribendum: αὐτῆς ἐπιμονή. 37 Vind. ἀγώνισται. 38 Non invenio haec in

ἐπειδὴ διὰ τοὺς μερισμοὺς ἐμπερίβολος γίνεται ὁ λόγος· ὁ γὰρ μερισμὸς ἐπιβάλλει.

νδ'. Ἐπὶ μιᾶς ἰδέας εἶναι· οὐ κατὰ τὸ ἓν καὶ τὸ αὐτό εἰσι μιᾶς ἰδέας· ἀλλὰ κατ' ἄλλο καὶ ἄλλο, ὡς ἐδείξαμεν· καὶ μὴν καὶ ἡ λέξις αὐτὴ καθ' ἑαυτὴν ἁπλῆ χωρὶς τῆς ἐπιμονῆς, τοῦ μὲν προτέρου κλιμακωτοῦ κατὰ θέσιν ὄντος σεμνότητός ἐστι, μεγαλοπρεπὴς γάρ· τοῦ δὲ δευτέρου καθαρότητος, σαφὴς γάρ· καὶ [39] οἱ ῥυθμοὶ μεγέθους, καὶ τὸ σχῆμα κατὰ ἄρσιν γοργότητος ὄν.

νε'. Οὕτω τῇ κράσει καὶ τῇ μίξει· ὁ τεχνικὸς μὴ τὸν Θεολόγον εἰδὼς ἐκπλήττεται Δημοσθένην· ἡμεῖς δ' ἀπεδείξαμεν τὸν Θεολόγον καὶ τοῦτον ὑπερβάλλοντα, καίτοι μὴ περὶ μόνον τὸ εἶδος ἀσχολούμενον τοῦτο, ἀλλὰ καὶ τὰ βάθη τῆς γραφῆς ἀνερευνῶντα, καὶ περὶ τὰς τῶν ἐκκλησιῶν φροντίδας ἐνασχολούμενον· ἀλλὰ καὶ περὶ ποιημάτων.

νϛ'. Καθάπερ ἐκ συμφθάρσεως· ὥσπερ γάρ, φησί, τῶν βρωμάτων φθειρομένων ἐν τῷ στομάχῳ ἓν ἀποτελεῖται εἶδος τοῦ ζώου, οὕτω καὶ ἐπὶ τῶν ἰδεῶν· εἰς ταὐτὸν γὰρ συνελθοῦσαι ἓν εἶδος ἀποτελοῦσι λόγου, τὸ Δημοσθενικόν· τοῦτο δὲ οὐκ ἀκριβῶς εἶπε· διὸ καὶ ἐπιστήσας καθάπερ ἐκ συμφθάρσεώς φησι, καὶ οὐχ ἁπλῶς συμφθάρσεως· ἔστι δὲ ἡ λέξις ἰατρικὴ καὶ φυσικὴ καὶ τεχνική, καὶ οὐ παντάπασι τὴν παντελῆ φθορὰν αἰνίττεται· τὸ γὰρ τοῦτο δηλοῦν καταφθορὰ γίνεται, ἣ λέγεται, ὡς ἐπὶ τῶν ἀλόγων ζώων. τῷ σώματι συνδιαφθειρομένης καὶ τῆς τούτων ψυχῆς· ἔχει δὲ ταῦτα μεθ' ἡμῶν καὶ τὴν διαφθοράν, ἥτις λέγεται ἐπὶ τῆς διαλύσεως τῶν στοιχείων, ἐξ ὧν συνεκράθημεν, ἀλλ' οὐκ ἐπὶ τῆς ψυχῆς, ἀθάνατος γάρ· τεχνικὴ δέ, ὡς ἐπὶ τῶν ζωγράφων, συγκιρνώντων τεχνητὰ χρώματα· ἡ φυσικὴ δὲ διττή ἐστιν, ἡ μὲν καλεῖται σῆψις ὕλης τινὸς καὶ ἀποτελεῖ ζῶα, ψύλλας,

---

39. Vind. Par. οἱ καὶ [illegible]

σκώληκας, γῆς ἔντερα καὶ εἴ τι ὅμοιον· ἢ δὲ οὐ τοῦτο, ἀλλὰ ταῖς ζωτικαῖς δυνάμεσι πεπτόμενα τὰ βρώματα ἐν τῷ στομάχῳ καὶ συγκιρνώμενα [40] ἀλλοιοῦνται κατὰ τὸ εἶδος· ἡ γὰρ ὕλη ἢ ψυχρὰ πάντως ἐστὶ, ἢ ὑγρὰ, ἢ ξηρὰ ἢ θερμή· καὶ τὸ κατὰ ταύτην ἀλλοιούμενον εἰς τὸ μηδὲν χωρεῖ, καὶ οὔτε ἕν τι ἀποτελεῖ, οὔτε εἰς τὰ στοιχεῖα μεταβαίνει· ἀλλοιουμένων δὲ τῶν βρωμάτων καὶ συμφθειρομένων ἀλλήλοις κατά τι εἶδος τῇ ἀλλοιωτικῇ δυνάμει διακρίνονται ὑπὸ τῆς διακριτικῆς δυνάμεως εἰς φλέγμα, αἷμα καὶ τὰς ἀμφοτέρας χολάς· εἶτα ἔρχεται ἡ ἑλκτικὴ δύναμις, καὶ τὸ μὲν φλέγμα ἕλκει ἡ κεφαλή· αὕτη γὰρ δοχεῖον τούτου· τὴν δὲ ξανθὴν χολὴν ἡ χοληδόχος κύστις· τὴν δὲ μέλαιναν τὰ ἔντερα· τινὲς δὲ τὸν σπλῆνά φασι· τοῦ δὲ αἵματος τὸ μὲν καθαρώτατον ἡ καρδία ἕλκει, καὶ ταῖς φλεψὶ διαδίδωσι καὶ ἀρτηρίαις· τὸ δὲ ἧττον καθαρὸν τὸ ἧπαρ· ἐπὶ τὸ [41] θερμαῖνον τὸν στόμαχον εἰς πέψιν· [42] τὸ δὲ ἔτι ἧττον ὁ σπλήν· διὸ οὗτος ψυχρότερός ἐστιν, ἵνα μήτε ὑπὸ τῆς τοῦ ἥπατος θερμότητος βλάπτηται τὸ ζῷον, μήτε ὑπὸ τῆς τοῦ σπληνὸς ψυχρότητος· τὰ δὲ περιττὰ καὶ σκυβαλώδη διὰ τῶν πόρων ἐξέρχονται, τῶν τε δήλων καὶ ἀδήλων, καὶ τοῦτό ἐστιν ἡ σύμφθαρσις καὶ οὕτως γίνεται· ἐπὶ δὲ τῶν λόγων οὐ τοῦτο συμβαίνει, οὐ γὰρ ἂν ἦν ἀποδοῦναι ἐν ἑνὶ καὶ τῷ αὐτῷ σχήματι· ὅτι τοῦτο μέν ἐστι σαφὲς, τοῦτο δὲ γοργόν· τοῦτο δὲ ἄλλο τι, ἀλλ' ἕκαστον ἰδίᾳ κείμενον ὁρᾶται τῷ τεχνίτῃ· οὐκοῦν ἐκ συμφθάρσεως ὁ λόγος, ἀλλ' ἐξ ἑνώσεως, καὶ διὰ τοῦτο οὐδὲ κράσεως, ὅτι καὶ αὐτὴ δύσκριτος· διὰ ταῦτα εἶπε, καθάπερ καὶ οὐχ ἁπλῶς ἐκ συμφθάρσεως.

ιζ. Ἔτι κάλλους ποιητικὸν καὶ οἱ κατὰ συζυγίαν μερισμοί· εἴρηται περὶ τούτων καὶ [43] ἐν τῇ περιβολῇ· γίνονται δὲ οὗτοι κατὰ χιασμὸν, ὡς τὸ τοι-

40 Par. Vind. συγκιρνόμενα. 41 Par. τῷ. 42 Vind. πέμψιν. 43 καὶ Med. Par. om., est in Vind.

οὗτον, τοὺς μὲν πτηνοὺς τὴν φύσιν φιλοπονίᾳ νικήσας, τοὺς δὲ γενναίους τὴν ἄσκησιν διανοίας ὀξύτητι· εἶτα ὁ χιασμός· μᾶλλον δὲ τάχει μὲν τοὺς ταχεῖς, σπουδῇ δὲ τοὺς φιλοπόνους ὑπερβαλών· γίνεται δὲ κάλλος καὶ ἀχιάστως μετὰ τῶν ἐπιμερισμῶν· ὁ μὲν πόθος πρεσβύτερος, ὁ δὲ βίος ὕστερος· καὶ τούτων πάλιν χωρὶς, μήτε τὸ ἀλλότριον ἐπαινείσθω, εἰ μὴ δίκαιον, μήτε τὸ οἰκεῖον ἀτιμαζέσθω, εἰ τίμιον· ἰσόκωλοι γὰρ αἱ ἀποδόσεις καὶ πάρισοι, καὶ αἱ προτάσεις κατ' ἐπανάληψιν καὶ ἀντίθεσιν, ὡς εἶναι τὸ σχῆμα τετραγενὲς, τετράγωνον, ἐπαναληπτικὸν, ἀντιθετικὸν κατὰ τὸ οἰκεῖον, καὶ ἀλλότριον· καὶ τὸ ἐπαινείσθω καὶ ἀτιμαζέσθω παρίσωσις· καὶ πάλιν ὅμοιον, μήτε ἀθυμῶν ἀπελπίσῃς εὐημερίαν, μήτε πράττων καλῶς ἀθυμίαν· κάλλους οὖν καὶ τὰ [45] τοιαῦτα.

νή. Καὶ τὸ ὑπερβατὸν δέ· διαφορὰν τῶν ὑπερβατῶν καὶ πρότερον μεμαθήκαμεν, κατὰ παράθεσιν, τὸ [46] καὶ κατ' ἐπεμβολὴν γινόμενον· ὑποστροφὴ δὲ λέγεται καὶ εἴρηται ἐν τῇ περιβολῇ· εἰ καὶ νῦν ἡμᾶς εἰς τὴν κρείττονα μοῖραν ὁ θεὸς ἔταξεν, ὑμᾶς ταῦτα παιδεύειν τοὺς ἐν ἐξουσίᾳ· ὀκνῶ γὰρ εἰπεῖν βαρύτερον· τὸ ὅλον γὰρ εἶναι ἡμᾶς ὁ θεὸς ἔταξεν εἰς τὴν κρείττονα μοῖραν· ὀκνῶ γὰρ εἰπεῖν βαρύτερον· ἔστι γὰρ κώλῳ ἢ κόμματι ὑπερβιασθέν· τὸ δὲ κατ' ὑπέρθεσιν λέξει ἢ ὀνόματι, οἷον τούτοις ἐγὼ σύνειμι νύκτωρ καὶ μεθ' ἡμέραν τοῖς λογισμοῖς· τὸ ὅλον γὰρ τούτοις τοῖς λογισμοῖς ἐγὼ

---

44 Par. Vind. ὀξύτητα. Med. ὀξύτητι. In Med. scriptum est ad marginem: καὶ τοῦ Δημοσθένους· περὶ μὲν γὰρ τὰς τῶν χορηγῶν δαπάνας μικρὸν ἡμέρας μέρος ἡ χάρις τοῖς θεωμένοις γίνεται· περὶ δὲ τὰς τῶν εἰς τὸν πόλεμον παρασκευῶν ἀφθονίας τὸν πάντα χρόνον ἡ σωτηρία τῇ πόλει. in Lept. p. 465. 45 Vind. κατὰ, scr. καὶ τά. 46 Vind. Par. ὁ.

σύνειμι καὶ νύκτωρ καὶ μεθ' ἡμέραν· εἰ δέ τις ταὐτὸν εἶναι φήσειεν, ἀλλὰ πολὺ τὸ παραλλάττον.

νθ'. Ἔτι σχήματα καλλωπίζειν τὰ καινοπρεπῆ· τὰ καινοπρεπῆ συντάξει, ἑνικῶν τε καὶ πληθυντικῶν ὑποταττομένων ἀλλήλοις ἢ προταττομένων·[47] οἷον χαίροις ἀνατολὴ καὶ δύσις, ἑνικῶς, ὑπὲρ ὧν καὶ ὑφ' ὧν πολεμούμεθα· τὸ ἐναντίον, χαίρετε ἀπόστολοι, πληθυντικῶς, ἡ καλὴ μετοικία, ἑνικῶς· τρεῖς δὲ μορφὰς ἔχει τοῦτο, μίαν μὲν, ἣν εἰρήκαμεν· δευτέραν δὲ, ἡ δι' ἀριθμοῦ γινομένη ὡρισμένου, ἢ ἀντὶ ἀορίστου ὀνόματος κοινοῦ. ὡς τό· εἰ καὶ μηδὲν ἄλλο εἶχες ἐγκαλεῖν ἡμῖν· εἰ μὴ ἄλλο τι εἶχες ἐγκαλεῖν ἡμῖν· τρίτον, ἐν ᾧ προταττομένου ἀριθμοῦ ἐπάγεται ἄρθρον, ὡς τὸ οὐδὲ εἷς ποτε τῶν ἀσεβῶν, ὃς οὐκ ἐπιστρέψας σώζεται· καὶ διὰ δύο ἀποφάσεων, ὡς τὸ, οὐκ ἄδηλον, ὅπη τάξετε τὸ ζητούμενον, ἀντὶ τοῦ δῆλον· τὸ γὰρ στερητικὸν α ἀντὶ τοῦ ου προσρήματος λαμβάνουσιν οἱ φιλόσοφοι· τοιοῦτον καὶ τό· ἐπ' οὐδενὸς οὖν τῶν ἁπάντων οὐκ ἔστιν, εἰ καὶ περιβολὴν ἔχει διὰ τὸ διάστημα, τοῦτο δὲ οὐκ ἀεὶ κάλλους, ἀλλ' ὅταν μὲν αἱ δύο ἀποφάσεις κατάφασιν ποιῶσι, κάλλους ἐστὶν, ὡς τὸ οὐδ' οὐ σπεύδων ἀντὶ τοῦ σπεύδων· καὶ ὅταν δὲ ἢ μένωσιν ἀποφάσεις ἢ κατὰ αὔξησιν λαμβάνωνται, τότε λαμπρότητος καὶ οὐ κάλλους· κατὰ αὔξησιν μὲν οὐκ ἔστι ταῦτα, οὐκ ἔστι· μένουσι δὲ ἀποφάσεις, οὐ μὴ συναγάγω τὰς συναγωγὰς αὐτῶν, καὶ ὁ θεολόγος, οὔτε θέλων, οὔτε μὴ θέλων.

ξ'. Ἔτι κάλλους ἴδιον καὶ τὸ πολύπτωτον· πολύπτωτον λέγει τὸ εἰς διαφόρους πτώσεις μεταβαλλόμενον, ποτὲ μὲν ἑνικὴν, ποτὲ δὲ πληθυντικὴν, ἢ ἀρσενικὴν, ἢ οὐδέτερον ἢ θηλυκήν· ἥδιστον γὰρ τοῦτο, ὥσπερ καὶ τὰ ἐκ ποικίλων χρωμάτων πράγματα, καὶ πολυειδῆ βρώματα· ταῦτα δὲ καὶ λαμπρότητος λέγεται· ἀλλὰ λαμ-

47 Vind. πραττομένων.

πρότητος μὲν, ὅταν πνευματικὸν γένηται τὸ κῶλον, γοργότητος δὲ, ὅταν κομματικὸν, κάλλους δὲ, ὅταν τὸ μὲν ὑπερβαίνῃ, τὸ δὲ ὑποβέβηκεν· ὡς ταῦτα, ἃ οὗ καὶ παρόντες λαμπρὸν ἐποίουν καὶ ἀπόντες συνέστελλον· ταῦτά μου συνέχει [48] τὴν ψυχὴν καὶ συνεῖχε· ἐκ τούτων ἐγὼ πενθῶν καὶ σκυθρωπάζων πορεύομαι καὶ ἐπορευόμην· κατὰ γοργότητα· οἱ σαρκὸς ἔξω καὶ ἐν σαρκὶ, ὧν μερὶς κύριος· τοσαῦτα περὶ σχημάτων κάλλους, λοιπὸν καὶ περὶ κώλων ἐροῦμεν.

Περὶ κώλων.

ξά. Κῶλα δὲ κεκαλλωπισμένα· φύσει μὲν τὰ μήτε μακρὰ, λαμπρότητος γὰρ, μήτε λίαν μικρὰ, γοργότητος γὰρ, ἀλλ᾽ ἐνδεῶς ἔχοντα δακτυλικοῦ πενταμέτρου· καὶ τοῦτο μὴ ὑπερβαίνοντα, ὡς τὸ, καὶ εἰσι πῶς ἂν εἴποιμι κοσμίως θεατριζόμεναι δι᾽ εὐσχημοσύνης ἀσχήμονες, καὶ δι᾽ αἴσχους αἰσχρότεραι, τούτων τὸ μὲν πρῶτον μικρὸν τοῦ κάλλους ἀπέχει· διὰ τὴν παρένθεσιν καὶ ὑποστροφήν· τὰ δὲ λοιπὰ κάλλους· κάλλους δὲ καὶ ταῦτα· τίς δὲ ἡ τῶν κυανέων ὀφρύων ἐπίνευσις, [49] καὶ ἡ τῶν ἀμβροσίων τριχῶν συγκίνησις; τίς δὲ ὁ τιτρωσκόμενος Ἄρης, καὶ χαλκῷ κεράμῳ κατακλειόμενος; [50] οὐ μολύνει δὲ αὐτὰ ἡ πεῦσις πρὸς τὸ μὴ εἶναι καλὰ ἑτέρας οὖσα ἰδέας· ἐπεὶ τὸ εὐκρινὲς διὰ τὸ καθαρὸν οἰκεῖον κάλλει· ἥ τε γὰρ ἐπιμονὴ καὶ ἐπαναφορὰ κάλλους γλυκέα διὰ τὴν ἔννοιαν οὖσαν μυθικωτέραν.

ξβ'. Φύσει μὲν τά· κατὰ φύσιν γὰρ τοιαῦτα εἶναι τὰ κῶλα δεῖ.

ξγ'. Εἰ τῇ συνθήκῃ μὴ διεστήκοι· τραχύνουσι γὰρ αἱ συγκρούσεις τῶν φωνηέντων κατὰ τὴν συν-

---

48 Par. συνεῖχ (ε supra) τ. ψ. καὶ συνέχει (ει supra). Vind. bis συνέχει. 49 Il. α. 528. 50 Il. ἑ. 387.

θήκην τῶν λόγων, ὥσπερ οἱ λίθοι πρὸς ἀλλήλους συντιθέμενοι χωρὶς ἀσβέστου καὶ πηλοῦ· λειαίνουσι δὲ τὰ σύμφωνα· καὶ μάλιστα εἰ μὴ τὸ ρ καὶ τὸ π καὶ τὸ τ συμφέροιτο. ὥσπερ τὸ θεατριζόμεναι καὶ αἰσχρότεραι· αἱ γὰρ τοιαῦται κἂν οὕτω συντίθενται, μιμοῦνται ὅμως τὸ ἀναιδὲς τοῦ τρόπου, οὗ σύμβολά εἰσι· καὶ ἐν τῇ συνηθείᾳ λανθάνουσιν.

ξδ'. Οἷά ἐστι καὶ τὰ Ἰσοκράτους· παράδειγμα τοιούτου κάλλους ἀεὶ τὸν Ἰσοκράτην λαμβάνει, ὅτι καὶ ἔστιν ὁ ἀνὴρ τοιοῦτος, εἴπερ τις ἄλλος.

ξέ. Δοκεῖ δέ πως κἀκεῖνα τὰ κῶλα· ἔχουσι μέντοι, φησὶ, κάλλος ἀλλ' ἧττον· διὸ καὶ δοκεῖ, τελείως δὲ οὐκ εἰσίν.

ξς'. Ὅμως γοῦν τὰ ἐξ ἐπιπλοκῆς βραχείας· ἐπιπλοκὴν λέγει τὴν διὰ τῶν συνδέσμων συμπλοκήν· εἰ καὶ δι' ἐπεμβολῆς γίνεται· ἀκριβέστερα δὲ παραδείγματα ταὐτὶ τὰ θεολογικὰ τῆς συμπλοκῆς, ὅτι καὶ ἡ ἔννοια περιγράφεται· θαυμαστὸν δὲ οὐδὲν εἰ μάλιστα μὲν κατ' οἶκον ἕκαστον ἐπιζητεῖται τὸ πρόβατον, εἰ δὲ μὴ, καὶ κατ' οἴκους πατριῶν, διὰ πενίαν ἐρανιζόμενον· καὶ τὰ πλείω εἴρηται, ὅλος γὰρ οὗτος ὁ λόγος λάμπει τῷ τοιούτῳ κάλλει.

ξζ'. Ἐκδεδυκέναι τὰς λειτουργίας· τὰς εἰσφορὰς τὰς ἐκ πολλῶν συνηγμένας· τὸ [51] δὲ πλείστῳ τούτῳ χρήσεται τῷ λόγῳ τοῦ αὐτοῦ ἐστι παράδειγμα.

ξή. Καὶ ὡς ἐπεμβολαί· οὐδ' ἐπεμβολαὶ δοκοῦσί πως εἶναι τελείως. εἶπε γὰρ ἀνωτέρω, ὅτι ὑπερβατόν ἐστι τοῦτο κατὰ παρένθεσιν, ἐξ ἐπεμβολῆς, ὃ οὐχ ἁρμόττει κάλλει, ἀλλὰ γοργότητι καὶ περιβολῇ. τὸ δὲ καθ' ὑπέρθεσιν ὑπερβατὸν ἁρμόττει τῷ κάλλει· καθὸ δὲ ὅλως ὑπερβατόν ἐστιν, ἔχει τι ἐπιμελείας.

ξθ'. Διόπερ ἐν ἐκείνῳ μὲν τὸ τῆς γοργότη-

51 Vind. τῷ, scr. τό.

τος πλέον ἐστίν· ἐν τῷ πρώτῳ δηλονότι παραδείγματι, ἐνταυθοῖ δὲ ἐν τῷ δευτέρῳ· τὸ μὲν γὰρ μᾶλλον γοργὸν, τὸ δὲ ἧττον· καὶ τὸ μὲν ἧττον καλὸν, τὸ δὲ μᾶλλον. οὐ γὰρ ἐξ ὑποστροφῆς.

σ΄. Ὅ γε μὴν περὶ τῆς ἀτελείας ἅπας ἐστὶν ὁ λόγος τοιοῦτος σχεδόν· νόμους ἑρμηνεύων ὁ ῥήτωρ ἐν τούτῳ τῷ λόγῳ, ἐκ περινενοημένων διανοιῶν συγκειμένους, εἰκότως ἐδεήθη τοῦ κάλλους. καὶ αὕτη ἐστὶν ἡ αἰτία, δι' ἣν ἐπιμελὴς ὁ λόγος, ὥσπερ καὶ ἐπὶ τοῦ θεολόγου εἴρηται, οὐχ ὅτι μόνον τὸ τοῦ Λεπτίνου πρόσωπον μιμεῖται, Σωκρατικὸν ὂν καὶ ἔνδοξον· τὸ δὲ Κτησίππου, ὑπὲρ οὗ ὁ λόγος, ἄδοξον, ἀλλ' ὅτι καὶ ὕστερον τῷ χρόνῳ [52] τῆς τοῦ Κτησίππου γραφῆς ἡ τοιαύτη γέγονε κατηγορία, διὰ τοῦτο τῷ κάλλει ἡδίους ποιεῖ τοὺς ἀκούοντας. προκατηγόρησε γὰρ γραφὴν ἑτέραν Βάθιππος, καὶ μὴν διὰ τὸ συμφέρειν τὸν νόμον οὐ χρῆται τραχύτητι ὁ τούτου δημιουργός, ἀλλὰ τῇ τοῦ κάλλους, ὥς φησιν, ἀπάτῃ πρὸς πειθὼ καθυπάγει. εἰ γὰρ μὴ οὕτως ἐγένετο, καὶ πρὸς ὀργὴν ἔτρεψεν ἂν τὸν ἀκροατήν. ὅθεν καὶ τὸ δίκαιον προὔθηκε καὶ τὴν τοῦ συμφέροντος ἀντίθεσιν διέβαλε, τὴν ὑπὸ τοῦ Λεπτίνου, φήσας δίκαιον μὲν οὐδὲν ἐρεῖ, φήσας δ' ἂν ἀξίους τινὰς εὑραμένους ἀτέλειαν ἐκδεδυκέναι τὰς λειτουργίας· καὶ τούτῳ πλείστῳ χρήσεται τῷ λόγῳ· ὑπὲρ τοῦ Κτησίππου, Ἰσοκρατικὸν εἶναι, καὶ διὰ τοῦτο καὶ ὁ λόγος τοιοῦτος· οὗ μοι δὲ δοκεῖ καλῶς ἔχειν. οὐ γὰρ ἄν, εἰ τοιοῦτος ἦν Φορμίων, ἠξίωσεν ἕτερον εἰς τὸ παρασχεῖν αὐτῷ λόγον, αἰσχύνην οὐ τὴν τυχοῦσαν ἐπιτριβόμενον ἑαυτῷ· αὗται γοῦν' αἱ αἰτίαι τοῦ μετρίου κόσμου τοῦ λόγου· [53] τὴν δὲ αἰτίαν, δι' ἣν

---

52 Par. Vind. Med. τοῦ χρόνου (ῶ, ω). 53 Med. Fol. 345. finitur in voce κόσμου τοῦ λόγου: inde Fol. 270. continuatio quaerenda.

αἱ τῶν λόγων τεχνολογίαι οὐχ εὑρίσκονται, ἤδη προείπομεν.

Περὶ συνθήκης.

οά. Ἐκ μέντοι τῶν προειρημένων· ἤτοι τῶν παραδειγμάτων, ἢ ἐξ ὧν εἴρηκεν ἐν τῷ περὶ κώλων, κῶλα εἶναι κεκαλλωπισμένα φάμενος τὰ μετρίως μακρότερα.

οβ'. Τῆς ἄνευ συγκρούσεως τῶν φωνηέντων· ἵνα τὸ κάλλος δι' ὅλων χωρῇ τῶν ἰδεῶν, πάσας προκαλλῦνον,[1] κἂν καλαί εἰσιν. οὐκοῦν ὅταν σεμνὰς ἐννοίας προχειρισώμεθα, ἔστι καὶ ἡ συνθήκη καὶ ὁ ῥυθμὸς σεμνὸς, ἥττους ἔχοντες καταλήξει τῆς σεμνότητος.

ογ'. Καὶ μέτρου γε τοῦ οἰκείου· Συριανοῦ καὶ ἑτέρων. Ζητεῖται κ. τ. λ. quae vide in Vol. VII. p. 1046, litt. μθ'. usque ad verba: οὐκ ἔχει τὸ κάλλος ἰδίως. tum Sic. pergit: ἄλλο δὲ ἄλλης ἰδέας ὡς καθ' ἕκαστον. οἷον τὸ σπονδειακὸν[2] καὶ τὸ ἐξ ἐπιτρίτων· οἷον τῆς καθαρότητος ἡ ἰαμβικὴ καὶ τροχαϊκὴ καὶ τῶν ἄλλων ἀκολούθως μετὰ πασῶν τῶν ποιουσῶν τὸ κάλλος, οἷον ἐπειδὴ πιστεύεται, πλέον ἡ χάρις δοξάζεται, ὥσπερ ὄντως θεοῦ χάρις, ἀλλ' οὐκ ἀνθρώπων. ἄλλο γὰρ εἶδος ἀντιστροφῆς ἐφάνη παρὰ τὰ προειρημένα· τὸ μὲν γὰρ δεύτερον κῶλον μέσον ἔχει τὴν ταυτολογίαν, τὸ δὲ τρίτον εἰς τὸ τέλος, δεικνύοντος τοῦ δημιουργοῦ, ὡς ἔστιν καλῶς καινοτομεῖσθαι καὶ τέχνην, καὶ πάλιν κάλλος κατὰ γοργότητος μέθοδον, κατὰ δὲ συνθήκην σεμνότητος· ἀλλ' ἦν τῶν μὲν λόγῳ δυνατῶν εὐσεβέστερος, τῶν ὀρθῶν δὲ τὴν διάνοιαν λογικώτερος· ἐν τούτῳ τῷ τετραγώνῳ τὴν τῶν πρώτων ἰσότητα παρεκρούσατο, ἀνταλλάξας τῆς ὀρθῆς εἰς τάξιν ἑτέραν κατὰ τοὺς προῤῥηθέντας κανόνας, ὅμοιον, ᾧ θάλασσα τέμνεται καὶ ἄρτος ὕεται καὶ τὰ ἑξῆς· καὶ πάλιν

1 Vind. προκαλλύνῃ. Par. προκαλλύνων. 2 Vind. σπονδιακὸν κ. τ. ἐξ ἐπιτρίτου.

κατ' ἐπαναφορὰν ἡ γοργάτης καὶ ἀντιστροφήν. καὶ μήτε ἄλλως ἄρξασθαι πρέπειν, ἢ ὡς ἐτελεύτησε, μήτε εἰς ἄλλο προελθεῖν τέλος, ἢ οὗ προήρξατο· ἐπιτήρει, καὶ περιβολικὸν κάλλος συνθήκη σεμνή. οὕτως μὲν τὸν οἶκον συναύξουσα ταῖς ἑαυτῆς ἐπιμελείαις καὶ περινοίας κατὰ τοὺς τοῦ Σαλομῶντος περὶ τῆς ἀνδρείας γυναικὸς ὅρους ὡς εὐσεβεῖν οὐκ εἰδυῖα. οὕτω δὲ προσκειμένη θεῷ καὶ τοῖς θείοις, ὡς οἰκουρίας πλεῖστον ἀπέχουσα, ὅρα πῶς αἱ δοκοῦσαι ἐναντίαι συνῆλθον θαυμασίως μετὰ τῶν καθαρῶν ἐναντιοτήτων. ὅρα καὶ τὴν ἰαμβικὴν, εἰ βούλει, τῆς καθαρότητός σύνθεσιν μετὰ τοῦ κάλλους· ὃ δὲ κἀνταῦθα[3] μετὰ τῆς χάριτος ἀπήντησε θαῦμα, σφόδρα ἂν ἀδικοίην τὴν χάριν, εἰ σιωπῇ παρέλθοιμι· ἔλαθε γάρ τὴν ἀκοὴν ἡ ἐπίκρουσις διὰ τὸ κάλλος καὶ τὴν ἀντιστροφήν· οὐκοῦν εἰ τὸ κάλλος ποιοῦμεν μεθ' ἑτέρας ἰδέας, ἐκείνης ἐν αὐτῷ καὶ τῇ συνθήκῃ χρησόμεθα. κατὰ γὰρ ταῦτα τὸ πλεῖστον αὐτοῦ ἐμφαίνεται· ἡ γὰρ ἀκριβὴς συνθήκη καὶ ὅσα περὶ σχημάτων εἶπε τὸ κάλλος συνίστησιν.

οδ'. *Ἄλλο μὲν γὰρ σεμνοῦ λόγου μέτρον*· οἰκεῖον μέτρον μὲν εἶναι δεῖ, ὅταν εὔκροτος ᾖ καὶ συγκεκροτημένος τοῖς οἰκείοις ῥυθμοῖς· οὐ μέτρον δὲ, ὅταν μὴ τὸ ἀκριβὲς σώζῃ, κακία γάρ· τοῦτο δὲ, καθάπερ καὶ ἐν καθαρότητι καὶ σεμνότητι εἴπομεν, Ἰσοκράτης δὲ καὶ μὴ τυγχάνων μέτρον ἂν ἐποίησεν· ἄλλος δὲ καὶ συμπεσὸν τῇ φύσει διέλυσεν ἂν καὶ ἠλλοίωσε τὸ προςκορὲς, τὴν περὶ ταῦτα σμικροπρέπειαν φεύγων.

οέ. *Ὥσπερ ἐν τοῖς μέτροις εἰ κατὰ κόμμα ἀπαρτίζοιντο αἱ ἔννοιαι.* οὐ φαίνεται εἶναι μέτρον, δοκεῖ δέ· οἷον·

Αὐέρυσαν[4] μὲν πρῶτα καὶ ἔσφαξαν καὶ ἔδειραν.

οὕτω κἂν τοῖς πεζοῖς λόγοις, εἰ καὶ μέτρον ἐμπέσοι, οὐ δοκεῖ μέτρον εἶναι, ἢ διὰ τὴν περὶ τὸ μέτρον τομὴν, ἢ

3 Par. Vind. καὶ ταῦθα. 4 Vind. Par. ἀνέρεσαν. Il. α. 459.

διὰ τὴν καταληκτικὴν ἀπόθεσιν, ἢ διὰ τὴν τῶν μέτρων ἄγνοιαν. τὸ γοῦν τά γε παρόντα θαύμασον, παιωνικόν ἐστι δίμετρον ἀκατάληκτον καὶ τὴν ἑξῆς ὁμοίως· ὥσπερ καὶ τὸ σοφοῦ τὰ τοιαῦτα τροχαϊκὸν καὶ ἄλλα μυρία.

Περὶ ῥυθμοῦ.

ος'. Εἰ οἱ πόδες ἐξ ὧν σύγκειται ὁ ῥυθμὸς οἰκείως ἔχοιεν πρὸς ἀλλήλους, δεύτερος οὗτος κανὼν τοῦ κεκαλλωπισμένου λόγου· οἰκεῖοι δὲ πόδες ἐπὶ μὲν τῶν τρισήμων τροχαῖος καὶ ἴαμβος, ἐπὶ δὲ τῶν τετρασήμων, ὅσοι σπονδεῖοι καὶ δακτύλῳ συγγενεῖς, ὥσπερ οἱ παίωνες, οἱ ἐπίτριτοι, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. τὸ γὰρ τῶν ἐκ τοῦ αὐτοῦ πηλοῦ τε καὶ κράματος δακτυλικὸν ὂν ἀκατάληκτον, συγγενεῖς ἔχει τοὺς ῥυθμούς. ἀνάρμοστοι δὲ γίνονται οἱ μὲν οἰκείως ἔχοντες πρὸς ἀλλήλους, καὶ τροχαϊκὸς καὶ ἐπίτριτος, ὡς ἴαμβος καὶ ἀνάπαιστος· καὶ ὅσοι τοιοῦτοι· οἱ μὲν γὰρ τρίσημοι, οἱ δὲ πολύσημοι· διὸ καὶ τὸ ἰαμβικὸν καὶ τροχαϊκὸν οὐ κατὰ λόγον τὸ μέσον καὶ τὴν συνθήκην ἔχουσιν ἐκ τῶν σπονδείων. τροχαῖα γὰρ ἀμφότερα, τοῦ μὲν κατὰ τὴν ἄρσιν ὄντος τὴν βραχεῖαν, τοῦ δὲ κατὰ τὴν θέσιν· εἰδέναι δὲ δεῖ, ὅτι καὶ τὸ κράτιστον ἐν τοῖς πεζοῖς λόγοις καὶ κατὰ ταύτην τὸ εὔρυθμον ἥδιστον ἐμπίπτει· ὁ μὲν οὖν ἰαμβικὸς μιμεῖται τὴν ἐκ μικροῦ τῆς μάχης ἐπίτασιν· ὁ δὲ τροχαῖος τὸν ἐκστάσεως δρόμον· χρῶνται δὲ τοῖς σπονδείοις οὐ λόγῳ τινὸς ῥυθμικῆς ἀναλογίας· ἄῤῥυθμος γὰρ ἡ πλοκὴ, ἀλλὰ κατὰ φύσιν· ἔσπενδον γὰρ ἐν ταῖς τῶν Διονυσίων θυσίαις, τὸ ἰαμβικὸν ᾄδοντες καὶ τροχαϊκόν· ὅτι καὶ ἡ σπονδὴ κατὰ τὸ φαίνεσθαι εὐκινητοτάτη·[5] ὁ δὲ σπονδεῖος τὴν ἕδραν καὶ στάσιν ἐδήλου τῶν σπενδομένων, ἀφ' οὗ δὲ σπένδονται καὶ πρὸς οὕς· ἀκριβολογεῖσθαι δὲ οἶμαι ταῦτα τὸν τεχνικὸν, οὐ τῇ ἑαυτοῦ φύσει χρώμενον,

---

5 Vind. εὐκινηκοτάτη.

ἀλλὰ Διονυσίῳ ἑπόμενον τῷ Ἁλικαρνασσεῖ, ὃς τὰς τοιαύτας λεπτότητας ἐδίδαξε μὲν, οὐκ ἐποίησε δέ· τὸ μὲν γὰρ τὸν λόγον ἔμμετρον[6] δοκεῖν, ἔντεχνον καὶ ἀπόδεκτον, τὸ δὲ εἶναι τοὺς πόδας τοῦ κώλου συγγενεῖς, σεσοφισμένον ὁρᾶται, ὅτι μηδέτερος αὐτῶν τοῦτο διεφυλάξατο· ὁ μὲν γὰρ ἀρχόμενος τῆς ἱστορίας σεμνῶν πραγμάτων ἀκαταλλήλοις ἐχρήσατο τοῖς ῥυθμοῖς οὑτωσί πως λέγων· ναὸς ἐν Ῥώμῃ δείκνυται τῆς ἀγορᾶς οὐ πρόσω·[7] ἐν τούτῳ τὸ μὲν κῶλον εὐεπὲς, οἱ δὲ ῥυθμοὶ ἀνοίκειοι· ὁ δὲ ἐν οἷς ἐμφέρεταί που προσφωνήσας γράφει·[8] ἥκω σοι, βασιλεῦ, ῥήτωρ ἔτι παιδαγωγούμενος· ἐνταῦθα πάλιν τετορνευμένον τὸ κῶλον, οἱ δὲ πόδες ἀκατάλληλοι. Ταῦτά μοι εἴρηται οὐκ ἀνατρέποντι τὴν δόξαν· μαινοίμην γὰρ ἂν, ἀλλ' ἐνδείξασθαι ὡς τὸ κράτιστον ἐν πεζοῖς λόγοις τὰ τῆς συνθήκης ἔχει· καὶ κατὰ ταύτην τὸ εὔρυθμον ἐμπίπτει· ὅρα γὰρ καὶ τοῦ λόγου τὸ ἀξιόπιστον, ἀναστάσεως ἡμέρα. πότερον κάλλους ὂν τὰ πρῶτα διὰ τοὺς πόδας κάλλιόν ἐστιν ἢ διὰ τὴν συνθήκην, ταύτην γε δήπουθεν. οὐκοῦν ἐπὶ πάντων οὕτως καὶ ἐπὶ τῶν ῥυθμῶν, εἰ μὴ καλῶς γὰρ συντάξεις, ἀγλευκὴς ἔσῃ,[9] καὶ οὐ μόνον τοῦτο, ἀλλὰ καὶ τῶν οἰκείων ῥυθμῶν ἑκάστη ἰδέα· οὐ μὴν τοσοῦτον ὅσα λέγεται, ἀλλ' ὅσα τοῖς οἰκείοις πλεονάζειν τῶν ἀλλοτρίων καὶ εἰς τὴν ἰδέαν χαρακτηρίσαι γένοιτο, καθ' ἣν καὶ ὁ τεχνικός φησιν, ὅτι περιττεύειν δεῖ τοὺς οἰκείους ἐν τῷ ἐκείνης λόγῳ.[10]

οζ. Μὴ ἰσοσύλλαβα μηδὲ ἰσόχρονα μηδὲ ἰσότονα. Δεῖ γὰρ τῶν ἐν τῷ κώλῳ λέξεων τὰς μὲν μονοσυλλάβους εἶναι, τὰς δὲ δισυλλάβους εἶναι καὶ ἐπέκεινα, μηδὲ ἰσότονα· καὶ τὰ παραδείγματα πάντων προείρηται.

---

6 de comp. p. 382. 7 Par. et Vind. supra lineam ὀρεω. fortasse legendum πόῤῥω. 8 vide Planudae Proleg. Vol. V. p. 222. v. 8. 9 Par. ἔσει. 10 Sequuntur ex Vol, VII. litt. νγ΄. νδ΄. Vol. V. p. 519. v. 18. — p. 520. v. 6.

Εἰς τὸ αὐτὸ Συριανοῦ καὶ ἑτέρων. Vol. VII. litt. νέ. vide T. V. p. 520. v. 6—9.

οή. Ὥστε μεταξὺ τῶν μακρῶν λέξεων ἀκριβέστατα εἴρηκεν. εἰ γὰρ μουσικὴ μὲν ἡ ῥητορική, τὰ δὲ τῆς μουσικῆς πολύφωνα ὄργανα ἄνισά εἰσι διαστήματα, εὔδηλον ὅτι καὶ τοῦ κάλλους τοῦ κατ' αὐτὰς τὰς λέξεις ἀνίσους εἶναι δεῖ, ὥσπερ μέλη σώματος. οὕτω γὰρ ἂν εἴη τὸ εὔρυθμον καὶ ἐναγώνιον, ὡς ἐν τοῖς περὶ σχημάτων ἐδείχθη.[11]

Περὶ ἀναπαύσεως.

π'. *Ἀναπαύσεις δὲ λόγῳ. Συριανοῦ καὶ ἑτέρων·* τουτέστιν αἱ εἰς κῶλον πλῆρες [12] τὴν διάνοιαν ἀπαρτίζουσαι κ. τ. λ. Vol. VII. litt. νζ'. νή. Vol. V. p. 520. v. 12. — p. 521. v. 1.

πά. *Οὐχ αἱ βεβηκυῖαι·* εἴρηται γάρ, ὡς αἱ βεβηκυῖαι σεμνοῦ λόγου εἰσίν· εἰσι δὲ αὗται αἱ συμπληροῦσαι τὰς ἐννοίας εἰς λέξεις μακράς, ὡς τό· δεινὸν ἐπιείκειαν δαπανῆσαι τῷ συνεχεῖ τῆς γνώμης· τό γε μὴν ἐπιφερόμενον ἔχει τι τοῦ περικαλλοῦς, ταῦτα περικαλλὲς μὲν ἔχει τῷ λόγῳ· βεβηκὸς δὲ διὰ τὸ μακρόν· τὸ μὲν γὰρ δισύλλαβον, τὸ δὲ μακροχρόνιον· βραχεῖα δὲ ἀνάπαυσις, ὡς τὰ τοιαῦτα καὶ λέξις καὶ ἱκέτευσα αὐτόν. καὶ τοὺς λόγους, οὓς ἐπόθει, [13] καὶ ὅμοια.

πβ'. *Ἐμέλησε γὰρ τῷ ῥήτορι. Συριανοῦ καὶ τῶν λοιπῶν.* Vide Vol. VII. p. 1047. litt. νθ'—ξβ'.

Τῶν αὐτῶν.[14]

πδ'. *Εἰς γὰρ βραχύτερόν τι μέρος·* ἴδιον γὰρ βραχύτητος τὸ ἀνάρμοστον καὶ ἀνακόλουθον τῶν ποδῶν.

Τῶν

11 Sequitur ex Vol. VII. litt. νς'. sine nomine auctoris. vide Vol. V. p. 520. v. 9—12. 12 Par. Vind. πλῆρις. 13 Par. et Vind. ἐπόθεῖ. 14 Absunt haec a Vol. VII.

Τῶν αὐτῶν.

πέ. Κατὰ δὲ τὴν λέξιν οὐχ ὡσαύτως· εἶπε γὰρ κ. τ. λ. Vol. VII. p. 1047. litt. ξγ΄. ξδ΄.

Τῶν αὐτῶν.

πζ. Τὴν [15] τοῦ συμφέροντος ἡμῖν αἵρεσιν γενέσθαι· τὸ γὰρ γενέσθαι καὶ τρισύλλαβον καὶ μακρὰς ἔχει δύο.

πή. Οὐ βεβηκὼς δὲ ῥυθμὸς ἀλλ' οἷον κρεμάμενος· τὸ μὲν βεβηκότα ῥυθμὸν μόνον διὰ πολλῶν εἴπομεν, ὁμοίως καὶ τὸν οὐ βεβηκότα καὶ τὰ ἑξῆς· τὸ δὲ ἐάσω καὶ τὰ ὅμοια ῥήτορσι βραχέα καὶ πάντα τὰ δίχρονα· γραμματικοῖς δὲ οὐ πάντα· κάλλους δὲ τῶν τοιούτων πέρι τὰ ἀνωτέρω ῥηθέντα καὶ ἄλλα μυρία, εἰ παρὰ τοῦ θεολόγου βουληθείης ἐκλέξασθαι, καὶ πάλιν κἂν τις ἄλλος· ἐν τούτοις ταῖς μὲν βραχείαις, ταῖς δὲ μακραῖς ἐχρήσατο καταλήξεσιν, ὥστε προσκορὲς τὸ ὅμοιον.

Εἰς τὸ αὐτὸ Συριανοῦ καὶ τῶν λοιπῶν· κεκαλλωπίσθαι κ. τ. λ. Vol. VII. p. 1048. litt. ξε.

πθ΄. Καὶ χρήσιμοί γε οὗτοι τῷ κεκοσμημένῳ· οἱ ἀνηρτημένοι καὶ μικροὶ καὶ εὐειδεῖς καὶ μὴ τελείως περατοῦντες τὴν διάνοιαν, βραχὺ δέ τι ταύτας διαναπαύοντες· διὰ μακροτέρων κώλων ἐξαγόμενοι καὶ βραχυτέρων τῶν λέξεων καὶ εἰς βραχείας συλλαβὰς λήγοντες ἢ παραλήγοντες· ὥσπερ ταῖς μακραῖς οἱ μέγεθος ἔχοντες.

ϙ΄. Οὐ μὴν ἀλλ' εἴτε βεβηκώς· εἶπεν ἐν τῇ σεμνότητι ἡ ει δίφθογγος οὐ μεγαλοπρεπής, σεσηρέναι γὰρ τὸ στόμα ποιεῖ ἐν τῇ ἐκφωνήσει. ἔδει δὲ τὸν ῥήτορα εἰπεῖν συνειπεῖν, ὁ δὲ εἶπε σύνερξε· διὰ τὸ ἀμφιβάλλεσθαι γοῦν ἐπήγαγεν, ὅτι καθὸ μὲν εἰς μακρὸν λῆξε, βέβηκε· καθὸ δὲ διὰ τῆς ει διφθόγγου, ἀτελής ἐστιν.

ϙά. Ἵνα μὴ πάντη τῷ Διονυσίῳ· ἐν τῷ περὶ

15 Absunt haec a Vol. VII.

συνθέσεως ὀνομάτων οὗτος διέστειλε, τίνες μὲν οἱ μεγαλοπρεπεῖς ῥυθμὸν καὶ μέγεθος ἔχοντες, τίνες δὲ οἱ ἑτέρως· τοιαῦτα δὲ περὶ χαρακτήρων.

ρβ'. Εἰ μονοσύλλαβον εἴη τὸ τελευταῖον· εἰ γὰρ ἡ δισύλλαβος,[16] καλλωπίζει πολλῷ μᾶλλον ἡ μονοσύλλαβος, ὡς τὸ καὶ τοῖς μὲν ἐστι φῶς, τοῖς δὲ πῦρ, καὶ τὸ, οὐδὲ γὰρ ἦν, ὅτε ἄλλος ἦν· καὶ ὅσα ἀνωτέρω περὶ λέξεως ἐῤῥέθη. διαστέλλει δὲ τὴν ὁμωνυμίαν τῷ προσδιορισμῷ· ὅτι καὶ ὁ ὡραῖος καὶ ὁ ἁβρὸς λόγος κάλλος λέγεται, ἀλλὰ τοῦ ἐν γλυκύτητι, περὶ ἧς ἐν τῷ ἤθει διδάξει· διαφέρουσι δὲ τούτῳ, ὅτι τούτου μὲν ἔννοιαι καὶ μέθοδοι οὐκ εἰσίν· ἐκείνου δὲ ἔννοιαι αἱ μυθικαὶ καὶ ἀφελεῖς, καὶ ὅσας ἐκεῖ μαθησόμεθα·[17]

Σύνοψις τῶν περὶ κάλλους.

Ἔννοιαι ἢ μέθοδοι τοῦ τοιούτου κάλλους οὐκ εἰσί, πλὴν εἴ τις λέγοι τὴν δριμύτητα.

Σχήματα αἱ παρισώσεις καὶ αἱ κατὰ κῶλον ἐπαναφοραί, ἀλλὰ μὴν καὶ κατὰ κόμμα ἡ ἀντιστροφή· εἰ μὴ κατὰ λόγον λέγοιτο ἡ ἐπαναστροφή, ἡ κλίμαξ, αἱ ἀναιρέσεις, οἱ κατὰ συζυγίαν μερισμοί, τὸ καθ' ὑπέρθεσιν ὑπερβατόν, τὰ καινοπρεπῆ, ἡ διὰ δύο προφάσεων κατάφασις καὶ τὸ πολύπτωτον.

Κῶλα τὰ μετρίως μακρότερα καὶ μὴ ἔχοντα σύγκρουσιν φωνηέντων, καὶ τὰ ἐξ ἐπιπλοκῆς βραχέα.

Συνθήκη, ἡ ἄνευ συγκρούσεων καὶ ἐγγὺς μέτρου.

Ἀνάπαυσις, ἡ μὴ βεβηκυῖα, ἀλλ' ἡ κρεμαμένη, καὶ εἰς μονοσύλλαβον κατάληξις· ῥυθμὸς ὁ μὴ βεβηκὼς ἀλλ' οἷον κρεμάμενος καὶ ἀνηρτημένος.

---

16 Vind. δισσύλλαβος. 17 Sequuntur litt. οα'. οβ'. ex Vol. VII. p. 1049. Litt. οβ'. vide Vol. V. p. 522. v. 15—22.

ΤΟΜΟΣ ΔΕΥΤΕΡΟΣ

ΠΕΡΙ ΓΟΡΓΟΤΗΤΟΣ.

Ἰδέα δ'.

Cap. I.

α. Ἑπόμενον [1] ἂν εἴη καὶ ἀναγκαῖον οὐδενὸς ἧττον εἰ μὴ καὶ μᾶλλον μετὰ τὰ προειρημένα περὶ τῆς γοργότητος διελθεῖν, ὅτι τρόπον τινὰ ποιεῖ τὸν λόγον, τὸν σαφῆ τε καὶ ὄγκον ἔχοντα, ἔμψυχον καὶ ἀκινητότατον· διὸ καὶ ψυχὴν λόγου τοῦτον ἄν τις εἰπὼν δικαίως ἐρεῖ· καὶ ὅ γε ταύτης στερόμενος λόγος ἄψυχός ἐστι καὶ ἀκίνητος· ὥστε καὶ ἡμεῖς ἑπόμενοι τῷ τεχνικῷ τὴν ταύτης δείξομεν φύσιν καὶ ὅπως γίνεται, ἀφ' οὗ προηρήμεθα τὰς μαρτυρίας λαβόντες.

β. Γοργότητι γὰρ ἐναντίον τὸ ἀνειμένον καὶ ὕπτιον· ἀνειμένον, διαλελυμένον, χαῦνον, ἐῤῥιμμένον, πεπτωκὸς, ἄναρθρον, ἄῤῥυθμον, ἀκίνητον, χωλὸν, ἄστατον, ἀσθενὲς, σαθρὸν, ἀλλ' οὐκ ἰδέα τις τυχὸν ἀφέλεια, ἢ ἄλλη τις· ἡ τοίνυν γοργότης συνίστασθαι μέν φησι τὴν γοργότητα ἐκ τῶν ὀκτὼ στοιχείων, καὶ τοὺς ταύτην οἰομένους ἔχειν τέως παραπέμπει πρὸς ἄλλας μαθησομένους. [2]

γ' Ἀλλ' ἥγε λέξις, ὁποία ποτ' ἂν ᾖ· καὶ τὴν λέξιν φησὶ βραχέα συμβάλλεσθαι πρὸς γοργότητα, ἤ τι ἀνάπαλιν ἐναντιοῦσθαι· πλὴν συμβάλλεται μὲν, εἴτε βραχυσύλλαβος καὶ βραχύχρονος καὶ ἔλαττον ἢ ἴσην ἔχουσα [3] τὴν μακρὰν, ὁποῖαί εἰσιν αἱ πυῤῥιχιακαὶ [4] καὶ

1 Par. Vind. ἐπειμένον. Med. ἑπόμενον. 2 Par. Vind. μαθησομένως. 3 Vind. ἔχοντα. 4 Vind. πυῤῥιχαϊκαί.

τῶν ἰάμβων καὶ τροχαίων καὶ τῶν χορείων καὶ τῶν τοιούτων· ἐναντιοῦνται δὲ αἱ ἐξ ἐπιτρίτων καὶ χοριάμβων καὶ ἀντισπάστων· συγκλᾶται γὰρ ἐν τούτοις ὁ ῥυθμὸς καὶ χωλαίνει.

δ'. Ἢ τ' οὖν μέθοδός ἡ ποιοῦσα τὴν γοργότητα σχεδόν ἐστι μία· καὶ ἐπὶ τὸ πλεῖστον ἀμφίβολον τοῦτο παρήνεγκεν· εἰπὼν μὲν γὰρ σχεδὸν ἀνέφηνεν, ὡς οὐκ ἔστι μία· εἰπὼν δὲ καί, ὡς ἐπὶ τὸ πλεῖστον, μίαν εἶναι προσεῖπε· τὰ γὰρ σπάνια καὶ ἐπ' ἔλαττον ἐν ταῖς μεθόδοις τέχνην οὐ ποιεῖ· εἶτα τῆς ἀκαταλληλίας τοῦ λόγου ἀκαταλληλοτέραν τὴν αἰτίαν ἐπιφέρει, διὰ τοῦτο λέγων, ἐστὶ μία ἡ μέθοδος, ὅτι διὰ τμητικοῦ τύπου γίνεται· ἀντείπῃ γὰρ ἄν τις, εἰ διὰ τοῦ τμητικοῦ τύπου γίνεται [5] οὐ μία ἂν εἴη· τέμνεται γάρ τι καὶ εἰς μικρὰ καὶ μεγάλα, καὶ κατ' ἄρθρα καὶ μέρη καὶ μόρια, τούτων δὲ οὐ μία ἡ μέθοδος· φημὶ οὖν πρὸς ταῦτα, ὡς ἐὰν εἰς τὴν κατὰ μέρος τοῦ τμητικοῦ εἴδους ἀποβλέψαντες εἴπωμεν μεθόδους πλείους· τέμνεται γὰρ ὁ τῆς γοργότητος λόγος οὐ μόνον εἰς ἀπαντήσεις βραχείας, ἀλλὰ καὶ εἰς μακράς, καὶ οὐ μόνον συμπεπλεγμένως, ἀλλὰ καὶ ἀσυνδέτως, καὶ οὐ μόνον ἐν ἀντιλογίᾳ, ἀλλὰ καὶ ἐν ἑτέρᾳ, φημὶ δὴ πανηγυρικῇ· αὐτίκα γὰρ τὸ μὲν ἀναστάσεως ἡμέρα γοργότητός ἐστι· τρέχει γὰρ ὁ λόγος κατεπειγόμενος τῷ καιρῷ χωρὶς ἀντιλέγοντος· τὸ δὲ τίς ἡ ἀπόνοια, οὔπω γὰρ ἔχω γινώσκειν, καὶ οὐ νόμος ἐκκλησίας τὸ σπάνιον· καὶ εἰ μὲν ἀληθῆ μὴ μύθους ὀνομάζεσθαι, ἀντιλογικαί· τὸ δὲ ὁ ἄσαρκος, ὁ ἀπερίληπτος, ὁ ἀναλλοίωτος, καὶ τὰ ὅμοια, ἀσύνδετα· τὸ δὲ καὶ σαρκοφορεῖ διὰ τὴν σάρκα, καὶ ψυχῇ νοερᾷ διὰ τὴν ἐμὴν ψυχὴν μίγνυται συνδεδεμένως· τὸ δὲ οὐχ υἱϊκῶς [6] ἀλλ' ἐκπο-

5 Vind. γίνεσθαι. scr. γίνεται. 6 Vind. ὑϊκῶς. scr. υἱϊκῶς· ut p.

ρευτῶς, ἐγγύθεν· μακρὰ δὲ γοργότητος κατὰ ἀποστροφήν· τί φῂς, ὦ παῖ Δαθᾶν καὶ Ἀβειρὼν, καὶ στρατηγὲ ἀσωφρόνιστε· οὐ γὰρ δήπου λαμπρὰ ἡ μέθοδος· οὕτως μὲν οὖν πολλαί· μία δὲ, εἰ ταῖς ἀπαντήσεσι ταχείαις χρώμεθα, καθ' ἣν καὶ τὸ παράδειγμα προήνεγκεν· ἀλλ' ἔστι γοργότης καὶ χωρὶς ἀπαντήσεως, οὐκοῦν δύο εἴησαν ἄν· ἡ μὲν δὲ ἔχουσα ἀπάντησιν, ἡ δὲ οὐκ ἔχουσα· δηλοῖ δὲ καὶ τὰ περὶ σχημάτων παραδείγματα, ὡς πλείους [7] μιᾶς αἱ μέθοδοι· τί οὖν, φαίη τις ἂν, ὁ τεχνικὸς ἠγνόει ταῦτα; οὔκουν· ἀλλὰ συντομίας ὢν ἐραστὴς, συλλαβὼν τὸ καθόλου, τουτέστι τὸ τμητικὸν, ἡμῖν ἀφίησι νοεῖν τὰ μερικά· εἶτα καὶ προϊὼν διὰ τῶν σχημάτων τὸ ἡμῖν λεγόμενον διδάσκει· εἰ δ' ἑτέρως τις οἴεται, λυσάτω τὴν ἀπορίαν καὶ στέρξομεν. Ἄλλως· τοῦτο διὰ τὴν ἀποστροφὴν εἶπεν, ἥτις οὐ μέθοδος, κἂν τισι τοῦτο ἔδοξεν· εἰ γὰρ μέθοδος ἦν, πάντως ἂν ἐπεδέχετό τι σχῆμα ἕτερον παρ' ἑαυτήν· νῦν δὲ οὐ μέθοδός ἐστιν, ἀλλὰ σχῆμα, ὡς ἐν τοῖς προλαβοῦσι λέλεκται, εἰς ἕτερόν τι σχῆμα οὐ μεταβαίνουσα. Ἄλλως· ἢ τ' αὖ μέθοδος· τὸ σχεδὸν εἶπε διὰ τὴν ἀποστροφὴν, ἣν καὶ αὐτὴν μέθοδόν τινες οἴονται γοργότητος σχῆμα οὖσαν, ὡς αὐτὸς τίθεται. Ἄλλως· γίνεται δὲ διὰ τοῦ τμητικοῦ τύπου, ὡς ἄν τινος πυθομένου; καὶ διὰ τί ἐν τούτοις ὁρᾶται ἐπιπολὺ, καὶ ἐν ἐκείνοις ἐπ' ἔλαττον; φησὶν, ὅτι διότι τὴν γοργότητα ὁ τμητικὸς ποιεῖ τύπος, οὗτος δὲ οὐκ ἐννοίαις οὐδὲ ἐν μεθόδοις ἢ λέξεσιν πέφυκεν ὁρᾶσθαι, ἀλλ' ἐν κώλοις καὶ σχήμασιν καὶ ἀναπαύσεσιν.

Συριανοῦ [8] καὶ τῶν ἑτέρων.

Ἢ τὰ ἀνάπαλιν ἐναντιοῦται, εἴτε διὰ μακρῶν

153. v. 14. 7 Par. Vind. πλεῖον. 8 non invenio haec in Vol. VII. ex parte consentiunt cum Planuda p. 523. v. 6.

φωνηέντων ἡ λέξις ἐκφέροιτο, εἴτε διὰ βραχέων· εἰ μὲν διὰ βραχέων, συμβάλλεται τῇ γοργότητι, οἷον λόγος, εἰ δὲ διὰ μακρῶν, ἐναντιοῦται, οἷον Πηλεύς.

ε. Οὗτος δὲ ἐν σχήμασίν ἐστι καὶ κώλοις· ὁρᾷς τῶν εἰρημένων τὸ ἀληθές· ὁ τμητικὸς, φησὶ, τύπος γενικῶς εἷς ὢν καὶ διὰ σχημάτων γίνεται καὶ κώλων καὶ τῶν λοιπῶν, ἅ εἰσι μερικά· οὐκοῦν πῶς ἂν ἕκαστον γένηται μεθόδου δεηθήσεται· αὕτη δὲ οὐ μία, οὐδὲ γὰρ ταῦτα ἕν.

ς'. Πλὴν εἰ τὴν ὀξύτητά τε καὶ δριμύτητα· πολλαχῶς ἡ δριμύτης καὶ ἡ ὀξύτης ἐπὶ τῶν λόγων· ἡ μὲν διανοίας, ἡ δὲ λόγου, ἡ δὲ καὶ τοῦ συναμφοτέρου, ἡ δὲ καὶ τοῦ ὀξέως τι νοεῖν, ἣν ἐν πάσαις ἰδέαις εὑρήσεις· ἡ μὲν διανοίας ἀφελείας ἐστὶ καὶ δεινότητος, καὶ πῶς ἐν αὐταῖς ῥηθήσεται· ἡ [9] δὲ λόγου καὶ τοῦ συναμφοτέρου γοργότητος· [10] λόγου μὲν, ὅταν δέῃ πλάττειν τὸν ἀντίδικον· οὐ δέχῃ μετάνοιαν, οὐ δίδως ὀδυρμοῖς χώραν, οὐ δακρύεις δάκρυον· ἄγχει γὰρ τὸν ἀντίδικον· ἡ δὲ λόγου καὶ διανοίας αἱ ταχεῖαι ἀπαντήσεις μετὰ σχήματος οἰκείου γοργότητι· οἷον, ἀπεστάλη μὲν, ἀλλ' ὡς ἄνθρωπος· εἰ δὲ καὶ ὡς θεὸς, τί τοῦτο; καὶ τὰ ἑξῆς· ὥστε ἐστὶ καὶ ὀξύτης ἐν γοργότητι διανοίας ἡ ταχεῖα διὰ λόγου ἀπάντησις· εἰ γὰρ μὴ ὀξέως νοήσει, οὐδ' ὀξέως ἀντείπῃ, ἣν καὶ ὁ τεχνικὸς νοήσας μὴ πόῤῥω εἶναι, μηδὲ ταύτην ἐκείνων [11] ἔφη.

Περὶ μεθόδου γοργότητος.

ζ'. Συριανοῦ. Μέθοδος τοίνυν ὅπερ ἔλεγον· μέθοδον μίαν ἡμῖν γοργότητος παραδίδωσιν· οὐδὲ γὰρ ἂν εὕροις ἑτέραν πλὴν τῆς λεχθησομένης.

---

9 in Vind. et Par. supra lineam αἱ. 10 Par. γοργότητες. 11 Vind. ἐκείνου. Par. Med. ἐκείνων. 12 Vind. δεινότητος. 13 Vol. VII. p. 1051. litt. ζ'.

Τὸ ταῖς ἀπαντήσεσι ταχείαις χρῆσθαι καὶ βραχείαις· ταχείαις μὲν τῇ διανοίᾳ καὶ προαγγελίᾳ, βραχείαις δὲ τοῖς κώλοις· εἰ καὶ ἐναντίως αὐτοῦ τὰ παραδείγματα ἐτέθη· μακρόκωλά τινα ὄντα δεικνύντα,[14] ὡς χρήσαιτ' ἄν τις καὶ μὴ βραχείαις,[15] ἐπεὶ καὶ αἱ ἐρωτήσεις γοργότητός εἰσιν ὡς δείκνυσιν, ἀλλ' ὁ πατήρ, φησίν, οὐσίας ἢ ἐνεργείας ὄνομα; οὔτε οὐσίας οὔτε ἐνεργείας· ἔστω δὲ ὑμῶν χάριν καὶ οὐσίας ὁ πατήρ· συνεισάξει τὸν υἱὸν, οὐκ ἀλλοτριώσει· ἐγεννήθη μὲν, ἀλλὰ καὶ γεγέννηται, καὶ μετὰ κάλλους ἐν φάτνῃ μὲν ἐτέθη, ἀλλ' ὑπ' ἀγγέλων[16] μὲν ἐδοξάσθη καὶ ὑπὸ ἀστέρος ἐμηνύθη, καὶ ὑπὸ μάγων προσεκυνήθη· ἐβαρύνθη[17] μὲν ὕπνῳ, ἀλλ' ἐπὶ πελάγους κουφίζεται· ἀλλ' ἐπιτιμᾷ πνεύμασιν, ἀλλὰ Πέτρον κουφίζει βαπτιζόμενον, καὶ ἄλλα μυρία· ταῦτα γάρ πώς εἰσι καὶ ὀξέα· ὀξέα ταῖς ταχείαις ἀπαντήσεσιν, ἀλλ' οὐ τῇ κατὰ διάνοιαν μόνῃ, καθάπερ ἐπὶ τῆς δριμύτητος· εἴρηται δὲ αὐτῷ ταῦτα κατὰ συνδρομήν· συνδρομὴ δέ ἐστι καὶ συγχώρησις τὸ συντρέχειν τοῦ ἀντιδίκου τῇ προτάσει· ἔπειτα ἐξ ὑποστροφῆς εἰς τὸ ἐναντίον αὐτὸν περιάγειν, καὶ γίνεται ἢ κατὰ ἀντιπαράστασίν[18] ἐστιν· οὐδαμοῦ γὰρ διδάσκει περὶ αὐτῆς, κἂν ὑπισχνῆται τυχὸν ἐπιλαθὼν, ἢ χωρὶς ταύτης, καὶ ἁπλῶς ὅσα οἱ περὶ ἀντιθέσεων εἰπόντες ἡμᾶς διδάσκουσιν· ἔστι δὲ τοιαύτη πρόθεσις, εἰ βούλει, καὶ ὅσα τούτων ταπεινότερα, τὸ ὑπνοῦν, τὸ πεινῆν, τὸ κοπιᾷν καὶ τὰ ἑξῆς· ἔτι δὲ γίνεται κατ' ἐρώτησιν καὶ χωρὶς ἐρωτήσεως· καὶ ἢ τέως οὐ συντρέχομεν παρακρούοντες, ἢ μετὰ τὴν συνδρομὴν εἰς ἄτοπον ἄγομεν, ἢ συντρέχομεν, ὡς ἄν τινα παραληφθέντα ἢ μὴ νοηθέντα προστίθεμεν ἢ ἑρμηνεύομεν ἀπατῶντες, ὡς ἐκ τῶν βιβλίων ἐμάθομεν· δια-

---

14 Vind. Par. δεικνῦντι. 15 Par. βραχείας. 16 Par. ὑπαγγέλω. Vind. ὑπ' ἀγγέλω. 17 Vind. ἐβαρύνθην. scr. ἐβαρύνθη. 18 Par. ἀντιπαράστησιν.

φέρει δὲ συνδρομὴ καὶ συγχώρησις· εἴ τι μὲν γὰρ συγχώρησις, τοῦτο καὶ συνδρομή, οὐ μὴν τὸ ἀνάπαλιν· συγχωρεῖ γάρ τις ὅλως, οὐ μέντοι καὶ τὴν συνδρομὴν παραχωρεῖ· τὰ μὲν γὰρ προειρημένα συνδρομῆς ἦσαν· τὸ δὲ λέγειν οὐ καιρὸς τοῦ εἰπεῖν συγχώρησις· ἀλλ' οὐ συνδρομή ἐστιν ἡ συγχώρησις ἢ εἰς ἄλλην [19] διάλεξιν παραπέμπει τὴν ζήτησιν, ἢ παντάπασιν ἐᾷ τὸ πρᾶγμα, ἢ τῷ ἄτοπον ἔχειν ἢ τῷ [20] μικρὸν εἶναι πρὸς τὴν ζήτησιν, ἢ τῷ σαφὲς ἢ τῷ ὑπὲρ λόγον.

Ἄλλως· τὸ ταῖς ἀπαντήσεσιν ταχείαις χρῆσθαι καὶ βραχείαις· εἰ μὴ γὰρ ταχεῖαί εἰσιν καὶ βραχεῖαι, οὐκ ἂν γένοιτο μέθοδος γοργότητος· οἷόν ἐστι τὸ ἐν τῇ μελέτῃ τῆς ἀνασκευῆς παρὰ τῷ Ἀφθονίῳ· [21] ποῦ γὰρ ἡ παῖς εἶχε τὴν δίαιταν; νὴ Δία παρὰ τῷ φύσαντι. οὐκοῦν ἐλάνθανεν ὁ πατὴρ ἀποπνίγων τοῖς ὕδασιν ἢ τρέφων τοῖς ῥεύμασιν· ἀλλ' ὑπὸ γῆν ἡ παῖς διῃτᾶτο· οὐκοῦν ἐλάνθανεν καὶ θεατὴν οὐκ εἶχε λανθάνουσα· ἧς δὲ τὸ κάλλος ἐκρύπτετο, πάθους [22] οὐκ ἐδέχετο γένεσιν.

θʹ. Ταῖς ἀντιθέσεσιν ὡσαύτως· ἐμάθομεν [23] ἐν τῷ περὶ εὑρέσεων βιβλίῳ ἐν τῷ τρίτῳ τόμῳ, ὅτι τὸ τοῦ ἐναντίου κεφάλαιον ὅτε κατὰ ἀντίθεσιν εἰσάγομεν, χρώμεθα προτάσει, ὑποφορᾷ, ἀντιπροτάσει καὶ λύσει· καὶ ἀναγκαίως μὲν ὑποφορᾷ καὶ τῇ λύσει· ἐνδεχομένως δὲ τῇ προτάσει καὶ ἀντιπροτάσει· ταχείας μὲν οὖν τὰς ἀντιθέσεις ποιοῦμεν, εἰ τὴν ὑποφορὰν χωρὶς προτάσεως ἐκφέρομεν, τὰς δὲ λύσεις, εἰ χωρὶς προτάσεως ταύτας ταῖς ἀντιθέσεσιν, ἤγουν ταῖς ὑποφοραῖς ἐπάγομεν· ἀλλὰ ταχείας μὲν οὕτως ποιοῦμεν τὰς ἀντιθέσεις, καὶ κατὰ τὰς ἀπαντήσεις· βραχείας δέ, εἰ διὰ βραχέων κώλων

19 Vind. ἄλλον. scr. ἄλλην. 20 Vid. τό. scr. τῷ. 21 p. 75. nostr. ed. 22 Aphth. πόθος. 23 Vind. ἐμάθημεν.

ταύτας ἐκφέρομεν, οἷον λόγος, καὶ μὴ διὰ μακρῶν, οἷον Πηλεύς.

ι. *Τί γὰρ καὶ βουλόμενοι μεταπέμπεσθε·* [24] εἰ γὰρ ὑμεῖς ἅμα τοὺς μὲν ἄλλους Ἕλληνας εἰς πόλεμον παρεκαλεῖτε· αὐτοὶ δὲ πρὸς Φίλιππον περὶ εἰρήνης πρέσβεις ἐπέμπετε, Εὐρυβάτου πρᾶγμα, οὐ πόλεως, οὐδὲ χρηστῶν ἀνθρώπων ἔργον διεπράττεσθε· ἀλλ' οὐκ ἔστι ταῦτα, οὐκ ἔστι· τί γὰρ καὶ βουλόμενοι.

ιά. *Ἀλλὰ τὸ τοῦ Κεφάλου καλόν·* [25] εἰπὼν ὁ ῥήτωρ, ὅσων ἀγαθῶν αἴτιος γέγονε τῇ πόλει, καὶ δεικνύς, ὅτι δικαίως ἔγραψε Κτησιφῶν στεφανωθῆναι αὐτὸν ἐπιφέρει, τούτων οὕτως ἐχόντων τί προςῆκεν ἢ τί δίκαιον ἦν τοῖς ὑπ' ἐμοῦ πεπραγμένοις θέσθαι ὄνομα τὸν Κτησιφῶντα, οὐχ ὃ τὸν δῆμον ἑώρα τιθέμενον, οὐχ ὃ τοὺς ὀμωμοκότας δικαστάς, οὐχ ὃ τὴν ἀλήθειαν παρὰ πᾶσιν βεβαιοῦσαν; ναί, φησίν, ἀλλὰ τὸ τοῦ Κεφάλου καλόν, τὸ μηδεμίαν γραφὴν φυγεῖν.

ιβ'. *Καὶ νὴ Δία εὐδαιμόν γε·* ἀλλὰ τί μᾶλλον ὁ πολλάκις μὲν φυγών, μηπώποτε δὲ ἐξελεγχθείς, ἐν ἐγκλήματι γίνοιτ' ἂν διὰ τοῦτο δικαίως· ἰστέον δέ, ὅτι ὁ Κέφαλος ῥήτωρ γέγονεν Ἀθήνησι, μηδ' ἅπαξ κατηγορηθείς· ἐπεὶ οὖν ὁ Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος ἅμα μὲν καὶ τὴν τοῦ Κεφάλου πολιτείαν ὡς μηδέποτε κατηγορηθέντος ἐπήνεσεν, ἅμα δὲ καὶ τὸν Δημοσθένην, ὡς πολλὰς γραφὰς φυγόντα διέβαλεν, ὁ Δημοσθένης κατὰ ἀντίθεσιν τὰ περὶ τοῦ Κεφάλου τῷ Αἰσχίνῃ ῥηθέντα λαβὼν λύει κατὰ ἀντιπαράστασιν, λέγων, εἰ καὶ τὸ μηδέποτε κατηγορηθῆναι καλόν, ὅπερ ἦν τοῦ Κεφάλου, ἀλλὰ καὶ τὸ πολλὰς γραφὰς γραφέντα καὶ ἐν μηδεμιᾷ τούτων ἁλῶναι οὐ φαῦλον.

ιγ'. *Καὶ πάλιν κακοδαιμονοῦσι Βυζάντιοι·* ταῦτα ἐν τῷ ὑπὲρ Διοπείθους [26] εἴρηται τῷ ῥή-

---

24 pro cor. p. 233. 25 pro cor. p. 310. 26 de Chers.

τορί· ἐν ᾧ ἐπειδὴ τοῦ Διοπείθους δύναμίν τινα ἔχοντος τῶν Ἀθηναίων ἐν Χεῤῥονήσῳ, [27] καὶ τὸν Φίλιππον ἐναντία τοῖς Ἀθηναίοις διαπραξάμενον ἀμυνομένου, ἐνταῦθα οἱ φιλιππίζοντες τῶν ῥητόρων τοῦ τε Διοπείθους, ὡς μάτην προςκεκρουκότος τῷ Φιλίππῳ, κατηγόρουν καὶ τὴν ὑπ' αὐτῶν δύναμιν καταλυθῆναι ἠξίουν, ὁ Δημοσθένης ἐναντιούμενος αὐτός φησι, „θεωρεῖτε γὰρ τὸ παρὸν πρῶτον ὃ γίνεται, νυνὶ δύναμιν μεγάλην ἔχων ὁ Φίλιππος ἐν Θρᾴκῃ διατρίβει καὶ μεταπέμπεται πολλήν, ὥς φασιν οἱ παρόντες ἐκ Μακεδονίας καὶ Θετταλίας· ἐὰν οὖν ἐπιμείνας [28] τοὺς ἐτησίας ἐπὶ Βυζάντιον ἐλθὼν πολιορκῇ, πρῶτον μὲν οἴεσθε τοὺς Βυζαντίους μένειν ἐπὶ τῆς αὐτῆς διανοίας, ὥσπερ καὶ νῦν, καὶ οὔτε παρακαλέσειν ἡμᾶς, οὔτε βοηθήσειν αὐτοῖς ἀξιώσειν; ἐγὼ μὲν οὐκ οἶμαι, ἀλλὰ καὶ εἴ τισι μᾶλλον ἀπιστοῦσιν ἢ ὑμῖν, καὶ τούτους εἰςφρήσεσθαι μᾶλλον ἢ ἐκείνους παραδώσειν τὴν πόλιν, ἄνπερ μὴ φθάσῃ λαβεῖν αὐτούς· οὐκοῦν ἡμῶν μὲν μὴ δυναμένων ἐνθάδε ἀναπλεῦσαι, ἐκεῖ δὲ μηδεμιᾶς ὑπαρχούσης ἑτοίμου βοηθείας οὐδὲν αὐτοὺς ἀπολωλέναι κωλύσει, νὴ Δία κακοδαιμονοῦσι Βυζάντιοι, ἀλλ' ὅμως αὐτοὺς δεῖ σῶς εἶναι· συμφέρει γὰρ τῇ πόλει."

ιδ'. Ἡ δὲ ἀποστροφή· οἷον, παρὰ σοὶ κατέλυον, Αἰσχίνη· [29] ἡ ἀποστροφὴ μέθοδος μὲν κατὰ τὴν κίνησιν τὴν τοιάνδε τῆς ψυχῆς καὶ τὸ πῶς δεῖ σχηματίσαι τὴν προφοράν· σχῆμα δὲ διὰ τὴν λέξιν καὶ τὴν εἰς πρόςωπον ἀπὸ προσώπου μετάβασιν τοῦ λόγου· ἐῤῥήθη αὕτη καὶ ἄλλης ἰδέας ἐπέκτασιν ἔχουσα, ἡ δὲ σύντομος γοργότητος· οἷον Ἰησοῦς καθαίρεται, καὶ σὺ καταφρονεῖς τῆς καθάρσεως, καὶ πάλιν εἰς τοιαύτην καταφεύγων ἀπολογίαν, εἶτα ἡ ἀποστροφὴ τὰ προςκυνούμενα· ὁ γὰρ

p. 93. 27 Vind. Χεῤῥοννήσῳ. 28 Par. Vind. ἐπιμήνας. 29 pro cor. p. 252.

θεολόγος κατὰ πολλῶν λόγων καὶ ἀορίστων κυρίας ὀνομασίας οὐ τίθησιν, οἷον Αἰσχίνην ἢ Δημοσθένην.

ιέ. Ἡ καὶ μέθοδος· οἶδε τὴν ἀποστροφὴν [30] καὶ τὴν ταχεῖαν κίνησιν καὶ μέθοδον οὖσαν, διὸ δισταχτικῶς εἴρηκεν· ὅθεν καὶ ἐπάγει περὶ σχημάτων εὐθὺς λέγων, σχήματα δὲ τὰ μὲν ὁμολογουμένως ἐστὶ φύσει γοργά.

ις'. Παρὰ σοὶ κατέλυον, Αἰσχίνη, καὶ σὺ προὐξένεις αὐτῶν· πρόξενος ὁ ὅλης πόλεως ξένος, ἰδιόξενος ὁ ἰδίᾳ καθ' αὑτὸν ξένος ὤν· πρόξενος καὶ ἰδιόξενος κατὰ τοῦτο διαφέρει· πρόξενος μὲν ὁ φανερῶς πόλεώς τινός τισι πολίταις ξένος· ἰδιόξενος δὲ ὁ ἰδίως ἑνὶ ξένος· ἀπόξενος δὲ ὁ κοινῇ πᾶσι τοῖς ἐκ τῆς πόλεως ξένος, ὁποῖοί ποτ' ἂν ὦσι τὸ ἦθος. οἱ μέντοι νεώτεροι τῶν ῥητόρων προξένους καλοῦσι τοὺς παραιτίους τινὸς πράγματός [31] τισι γινομένους· καὶ ἴσως ἀπὸ τοῦ καὶ τοὺς προξένους σπουδάζειν τοῖς ὧν εἰσι πρόξενοι τὰ παραίτια τῶν καταθυμίων καὶ ἐκπορίζειν ἐπὶ τὸ ῥᾷστον προάγοντας, εἰ καὶ ἐπὶ τῶν χειρόνων παρείληπται, τούτῳ καταχρησαμένων οὕτω λοιπὸν τῶν μὴ κεκριμένως [32] τῇ χρήσει προσχόντων· ἕτεροι δέ φασι προξένους μὲν τοὺς κατὰ δόγμα πολιτικὸν προστάτας ὅλων πόλεων γινομένους, ἰδιοξένους δὲ τοὺς ἐκ πλείονος χρόνου ἢ ἐκ πατέρων παραδοχῆς τηροῦντας [33] τὴν ὁμόνοιαν, κἂν πολὺ ταῖς πατρίσιν ἀπέχουσιν, οἳ φαίνονται καὶ σφραγίδας ἀλλήλοις δεικνύντες καὶ σύμβολά τινα ποιούμενοι, ἵνα οὓς ἂν πέμπωσιν ἀγνῶτας, οἷον υἱοὺς ἢ οἰκείους προσδέχωνται [34] ἕτεροι [35] διὰ τὰ σύμβολα· φασὶ δὲ καὶ δορυξένους, [36] οἷον τοὺς

ἀπο
30 Vind. Par. ἀντιστροφήν. 31 Par. πράξεως et supra lineam πράγματος. tum Vind. Par. γινόμενοι. 32 Vind. κεκριμμένως. 33 Par. Vind. τηροῦντες. 34 Par. Vind. προσδέχονται. 35 Par. ἄτεροι. 36 Vind. Par. δοριξένους.

κατὰ πόλεμον [37] ἀλλήλους φιλοποιησαμένους, ὡς Διομήδης Γλαῦκον· ξένους δὲ ἁπλῶς, τοὺς ἐξ ἑτέρας πόλεως παρεπιδημοῦντας, ἐάν τε ἀγνῶτες ὦσιν, ἐάν τε ἐγνωσμένοι· τοὺς δὲ ἰδίως ξένους τινὲς, οὓς ἐν οἰκίᾳ τις ὑπεδέξατο καὶ συνέπραξέ τι τῶν χρησίμων ἢ ἐμήνυσέ τι τῶν ἀπορουμένων.

Περὶ σχημάτων.

ιζ. Σχήματα δὲ τὰ μὲν ὁμολογουμένως· εἰς δύο διεῖλε τὰ σχήματα, εἴς τε τὰ γνήσια ὄντα γοργότητος, καὶ εἰς τὰ δι' ἄλλην αἰτίαν παραλαμβανόμενα, περὶ ὧν ἑκάστου ἐρεῖ, καὶ πρῶτον περὶ τούτων τῶν διὰ τὴν ὑπτιότητα παραλαμβανομένων.

ιη. Τὸ καθ' ὑποστροφήν· τοῦτο καὶ περιβολὴν ἔλεγεν εἶναι καὶ κάλλους· καὶ πῶς καὶ πότε, εἴρηται μὲν ἐκεῖσε· ἐμοὶ δὲ ἐνταῦθα οὐ δοκεῖ σχῆμα μόνον εἶναι, ἀλλὰ καὶ μέθοδος, ὥσπερ καὶ ἡ ἀποστροφή· ᾗ μὲν γὰρ ἐπέβαλεν, ἐξαῖρον τὴν ὑπτιότητα, σχῆμά ἐστι καὶ περιβολή· ᾗ δὲ διέκοψε τὴν τοῦ λόγου συνέχειαν, ὥσπερ ἀναχαιτίσαν τῷ τάχει τῆς ἐπιδρομῆς, μέθοδος γοργότητος ἐπανορθοῦσα τὴν ὑπτιότητα καὶ εἰς ὄγκον αἴρουσα καὶ ὕψος, ὥσπερ ἡ εὐκρίνεια τὴν καθαρότητα· οἷον κατὰ κάλλους ἐπαναστροφὴν, ἔγωγ' οὖν ὁσάκις ἂν ταύτην ἀναλέξωμαι τὴν βίβλον, καὶ τοῖς θρήνοις συγγένωμαι· συγγίνομαι δὲ, ὁσάκις ἂν εὐημερίαν ἐθελήσω σωφρονίσαι τῷ λόγῳ· ἐκκόπτομαι τὴν φωνὴν καὶ συγχέομαι δάκρυσι. καὶ πάλιν· τοῦτον ἔθετο μὲν ἐν τῷ παραδείσῳ, ὅστις ποτὲ ἦν ὁ παράδεισος οὗτος, ἡ ὑποστροφὴ, τῷ αὐτεξουσίῳ τιμήσας, καὶ ἀλλαχοῦ· ἄνδρες οἱ τῆς Ἀρεθούσης πίνοντες· οἷον δὴ λέγω Σικελιώτας, ὡς ὁ περὶ αὐτῶν χρησμὸς, [38] τὸ ἔκκριτον τῶν ὁμομενῶν ἔχουσαι.

---

37 Vind. Par. πόλεων. scr. πόλεμον. — v. 2. Vind. Par. Γλαύκῳ. supra lineam Γλαῦκον. 38. Oraculum sc., Megarensibus vel secundum alios Aegeensibus a Pythia datum,

ιθ'. Τοῦτο τὸ σχῆμα καταπλοκήν τινες ὠνόμασαν, οὐ συμπλοκὴν, τῷ τὴν μὲν ὥσπερ ἔξωθεν εἶναι, τὴν δὲ ἔσωθεν καὶ συνδέουσαν· ἐπιδρομὴν δὲ ἄλλοι πάλιν καλοῦσιν, ἀλλ' οὐκ ἀεὶ ἐπιτρέχει, ὅτι καὶ ἐν πανηγυρικοῖς γίνεται, καὶ πανταχοῦ, εἰ μὴ ἄρα ὥσπερ ἐπιτρέχουσα τὸν λόγον τῆς φορᾶς ἀνακόπτει, καλεῖται δὲ καὶ ἐπεμβολὴ καὶ ὑπερβατόν· καὶ παρένθεσις καὶ τὸ ἐπιτρέχον περιβολῆς εἴρηται· ἐπεὶ γὰρ τὸ μὲν ἐπιτιμᾶν οὐ μέγα καὶ τὰ ἑξῆς.

κ'. Αἱ δὲ ὑποστροφαὶ, ἂν μὴ ὦσι μακραὶ, ἧττον περιβάλλουσι· βραχεῖαι, ὡς αὕτη· φύσει μὲν οὖν πρόχειρον ἡ κακία. καὶ πολὺς ἐπὶ τὸ χεῖρον ὁ δρόμος, ῥοῦς κατὰ πρανοῦς τρέχων καὶ καλάμη τις πρὸς σπινθῆρα καὶ ἄνεμον ῥαδίως ἐξαπτομένη καὶ γινομένη φλόξ· καὶ συνδαπανωμένη ἰδίῳ γεννήματι, εἶτα ἡ ὑποστροφή· πῦρ γὰρ ὕλης γέννημα, εἶτα τὸ ἀκόλουθον καὶ δαπανᾷ τὴν ὕλην ὡς τοὺς κακοὺς ἡ κακία· καὶ τῇ φλογὶ συναπέρχεται· καὶ τὰ ἑξῆς τοῦ ὕφους δῆλα, ὅτι τε, φησὶν, ἐπανορθοῖ τὴν ὑπτιότητα καὶ γοργὸν ποιεῖ τὸν λόγον· ὥς ποτε ἡ καθαρότης καθ' ἑαυτὴν ὁρωμένη σαφῆ τὸν λόγον ἐποίει, προςεδεῖτο δὲ τῆς εὐκρινείας ἐπὶ τῷ μὴ συγκεχύσθαι τὸν λόγον, οὕτως κἀνταῦθα ποιεῖ μὲν τὴν γοργότητα τμητικὸν εἶδος, τουτέστι τὸ τέμνειν εἰς λεπτὸν τὰ πράγματα, διὰ τῆς μεθόδου καὶ τῶν κώλων, εἰ δὲ διὰ τοῦτο εἰς ὑπτιότητα ὁ λόγος πίπτει, ἐπιφερόμενα τὰ ῥηθέντα σχήματα εἰς ὕψος αἴρει καὶ μέγεθος· εἶτα, φησὶν, εἰ καὶ ἄλλο τι ποιεῖ τμητικὸν λόγον καὶ γοργὸν, ἀλλὰ μάλιστα κατ' ἐξαίρετον τὰ σχήματα καὶ οἱ ῥυθμοί· ἐπεὶ δὲ ἐνταῦθα ἡ τῶν ῥυθμῶν ὀνομασία διττὴ, ὡς θεωρεῖται κατά τε τὴν φωνὴν καὶ τοὺς πόδας, ἀμφότερα

in Phot. Lex. et Suid. s. v. ὑμεῖς, ὦ Μεγαρεῖς.

Ἵππον Θετταλικὴν, Λακεδαιμονίαν τε γυναῖκα,
Ἄνδρας δ' οἳ πίνουσιν ὕδωρ καλῆς Ἀρεθούσης κ. τ. λ.

νοητέον· ἐπὶ μέντοι τῆς φωνῆς τὸ εἶναι ταχεῖαν καὶ σύντομον, καὶ μὴ κατ' ἐπαλληλίαν τῶν φωνηέντων ἐπαγομένην, πρὸς ἃ τά τε κῶλα συμφέρεται καὶ ἡ συνθήκη καὶ ἡ βάσις, εἰ μὴ εἰς μακρὸν καταλήγοιτο καὶ κατὰ λέξιν σεμνήν· ἐπὶ δὲ τῶν ῥυθμῶν, εἰ βραχύχρονοί εἰσιν καὶ βραχύλεκτοι, καθάπερ ἐπὶ τοῦ κάλλους ἐλέγετο· οὕτω γὰρ καὶ ὁ ὢν καὶ δοκῶν λόγος γένοιτο τμητικὸς καὶ γοργός.

κά. *Τμητικὸς λόγος μάλιστα ἐν τοῖς σχήμασι καὶ τοῖς ῥυθμοῖς θεωρεῖται·* ποιεῖ τμητικὸν καὶ ἄλλα λόγον καὶ γοργὸν, ἀλλὰ μάλιστα κατ' ἐξαίρετον τὰ σχήματα καὶ οἱ ῥυθμοί. ἤγουν τὰ κῶλα, αἱ συνθῆκαι καὶ αἱ ἀναπαύσεις· ἀντὶ γὰρ τούτων εἶπε *τοῖς ῥυθμοῖς* διὰ τὸ τοὺς ῥυθμοὺς εἶναι τούτων ἀποτελέσματα· πολλαχῶς δὲ ὁ τμητικὸς λόγος λέγεται· τεσσάρων γὰρ αὐτῷ ὅρων λαμβανομένων [39] κατὰ γεωμετρικὴν ἀπόδειξιν καὶ ἀναλογίαν, ἔστιν οὐκ ἔστι, δοκεῖ οὐ δοκεῖ· αἱ γοῦν κατὰ βάθος καὶ διαγώνιοι συνίστανται, πλὴν τῶν κατὰ μῆκος, καὶ ποιοῦσιν εἴδη τμητικοῦ λόγου ταῦτα ἔστι καὶ δοκεῖ, ἔστι καὶ οὐ δοκεῖ· οὐκ ἔστι καὶ δοκεῖ· οὐκ ἔστι καὶ οὐ δοκεῖ· τίνες δὲ οὗτοι, λελέξεται μὲν καὶ ἐν ὑστέρῳ, ὅπου καὶ ὁ καθηγητὴς τὸν περὶ τούτων ἀποπέμπεται λόγον· νυνὶ δέ, φησὶ, λεκτέον, τίνα τμητικὰ σχήματα καὶ γοργά.

κβ'. *Ἃ τμητικὰ ὄντα κατὰ ἀνάγκην γίνε-*

---

39 Vind. et Par. λαμβανόμενον. — v. 16. iidem ἔτι. scr. ἔστιν. in iisdem schema ad marginem, lineis ab α ad δ et a β ad γ ductis.

α. ἔστιν — γ. οὐκ ἔστιν

ἀσύστατον

ἀσύστατον.

β. δοκεῖ — δ. οὐ δοκεῖ

ται καὶ γοργὰ, τὸ ἀσύνδετόν φησι κομματικὸν, ἀσύνδετον μὲν λέγων τὸ μὴ ἔχον συνδέσμους· οὗτοι γὰρ συνδέουσι τὸν λόγον, ὥσπερ ἄρθρα καὶ νεῦρα τὸ ζῶον· κομματικὰ δὲ τὰ μικρόκωλα, μονόλεκτα ἢ δισύλλαβα, ἢ τρισύλλαβα, ἢ καὶ τετρασύλλαβα· οἷά φησιν ὁ θεολογος, ἀρχὴ σοφίας σφραγίς· χαρακτὴρ καὶ ὅσα τοιαῦτα· τοιαῦτα γὰρ τὰ κατ᾽ ὄνομα κομματικά· κατὰ δὲ κῶλον ἀσύνδετα, κομματικὰ δὲ, οἷον ἐγώ εἰμι ἡ ὁδὸς, ἐγώ εἰμι τὸ φῶς· δύναμις θεοῦ, σοφία θεοῦ, ἀπαύγασμα τῆς δόξης· καὶ ὅσα ἐν τῷ περὶ υἱοῦ πρώτῳ, καὶ ἔμπαλιν· πρῶτον ἀποστόλους, δεύτερον προφήτας, τρίτον διδασκάλους· ταῦτα καὶ εὐκρινείας εἶναι ἐλέγετο· ἀλλὰ κατὰ τὸν ἀριθμὸν, οὐχὶ καὶ κατὰ τὸ γοργόν.

κγ'. Προσῆλθε τῇ βουλῇ· τοῦτο ἐν τῷ κατὰ Τιμοκράτους λόγῳ κεῖται· [40] ἡ δὲ ὑπόθεσις τοῦ λόγου τοιαύτη· ἐν τούτῳ τῷ λόγῳ ὁ Δημοσθένης, ὡς ἀπὸ προσώπου τινὸς Διοδώρου ποιούμενος τὸν λόγον κατηγορεῖ Τιμοκράτους, ὡς νόμον θέντος κελεύοντα τοὺς ὀφείλοντας τῷ δήμῳ εἰ ἐγγυητὰς παράγοιεν ἐγγυωμένους αὐτοὺς ἐντὸς ῥητῆς προθεσμίας ἐκτῖσαι τὸ ὄφλημα, μὴ δεδέσθαι, ἀλλ᾽ ἀφεῖσθαι τοῦ δεσμοῦ· τοῦτον γάρ φησι τὸν νόμον ὁ Τιμοκράτης θεῖναι ὑπὲρ Ἀνδροτίωνος καὶ Γλαυκέτου καὶ Μελανώπου, οἳ ὦφλον τῷ δημοσίῳ χρήματα· οὗτοι γὰρ, φησὶ, πεμφθέντες εἰς Καρίαν πρεσβευταὶ, καὶ πλέοντες ἐν τριήρει ἐπιπεσόντες [41] Ναυκρατίταις, ἀνθρώποις ἐμπόροις, ἀφείλοντο αὐτῶν τὰ χρήματα· εἶτα οἱ Ναυκρατῖται ἐλθόντες Ἀθήναζε τὸν δῆμον ἱκέτευον· ὁ δὲ Δημοσθένης ἔγνω πολεμίων εἶναι τὰ χρήματα, καὶ μὴ δεῖν ἀποδοῦναι ταῦτα τοῖς ἐμπόροις ἔλεγεν· τούτων δὲ οὕτω γινομένων Ἀρχέβιος καὶ Λυσιάδης οἱ τριηράρχαι τῆς νεὼς ἔπλεον, οἱ δὲ περὶ Ἀνδροτίωνα εἰσεπράττοντο τὰ

ἐπι

40 p. 703. 41 Par. Vind. περιπεσόντες.

χρήματα· ὡς καὶ ἐκεῖνοι μὲν οὐκ ἐφάνησαν ἔχοντες αὐτὰ, οἱ πρεσβευταὶ δὲ ὡμολόγουν ἔχειν αὐτὰ, ἔδει παραχρῆμα καταβάλλειν ἢ τοῖς νόμοις ὑποπίπτειν τοῖς τῶν ὀφειλόντων τὰ δημόσια· διὰ τοῦτό φησι τοῦτον τὸν νόμον Τιμοκράτης βοηθοῦντα ἐκείνοις τέθεικεν· ὅμοιον δὲ τούτῳ κἀκεῖνο· ἀποθανεῖν κόσμῳ, ζῆσαι Χριστῷ, σάρκα κενῶσαι.

κδ'. Οἵ τε δι' ἐλαχίστου μερισμοί· ὃ μὲν οὖν διέμεινεν, ὃ δὲ οὐκ ἦν προςέλαβεν· ἐγεννήθη μὲν, ἀλλὰ καὶ ἀγέννητος,[42] ἀποθνήσκει μὲν, ζωοποιεῖ δέ.

κέ. Κατ' ἐπαναφορὰν κομματικόν· τινὲς διαφέρειν εἶπον ἐπανάληψιν καὶ ἐπαναφορὰν, τῷ τὴν μὲν[43] κατὰ συλλαβὴν γίνεσθαι, τὴν δὲ κατὰ λέξιν, τὴν ἐπαναφοράν· οἷς καὶ ἡμεῖς ἑπόμενοι ἐν τῷ περὶ κάλλους διαφορὰν εἴπομεν ἑκάστης· ἕτεροι ταῦτα εἶναι τὰς δύο τίθενται, τήν τε ἐπαναφορὰν καὶ τὴν ἐπανάληψιν· τινὲς δὲ τὴν ἐπανάληψιν καὶ ἐπάλληλον καὶ σύνεγγυς λέξεων καὶ πολιλλογίαν[44] ἐκάλεσαν· ὡς τὸ μιαρὸν μιαρὸν θηρίον, ἢ καὶ ἐπίζευξιν καὶ παράλληλον· ὁ δὲ τεχνικὸς ἐπανάληψιν μὲν γινώσκει τὴν διά τινος πτώσεως ἐπαναλαμβάνουσαν καὶ συστρέφουσαν τὸ νόημα· οἷον ταῦτα μὲν παιζέτωσαν Ἑλλήνων παῖδες, καὶ ἃ μὲν οὖν εἴπῃ τις ἂν, καὶ ὅσα τοιαῦτα· ἐπαναφορὰ δὲ ἡ ἀπὸ τῆς αὐτῆς λέξεως ἀρχομένη πολλάκις περίοδος ἢ συλλαβῆς· συλλαβῆς μὲν, τί λύετε[45] τάξιν ἐπαινουμένην; τί βιάζετε γλῶσσαν νόμῳ δουλεύουσαν; λέξεως δὲ, Χριστὸς γεννᾶται, δοξάσατε, Χριστὸς ἐξ οὐρανῶν, ἀπαντήσατε· ταῦτα δὲ ἡμῖν εἴρηται, ὅπως τὴν ἀπὸ λέξεως ἀρχομένην προφορὰν[46] τὴν αὐτὴν τοῦ λόγου ἢ συλλαβῆς ἐπαναφορὰν νομίσωμεν, οὐκ ἐπ-

---

42 Vind. γέννητο. scripsi ἀγέννητος 43 Par. Vind. τὴν μὲν δέ. 44 Vind. παλλιλογίαν. 45 Par. Vind. λύεται. 46 Sequitur in Vind. Par. ἐπαναφοράν.

ἐπανάληψιν· ἔστι δὲ τὸ σχῆμα τοιοῦτον· οὐ γὰρ ἦν ὅτε [47] οὐ λόγος ἦν, οὐδὲ παῖς, ὅτε οὐ πατὴρ ἦν, οὐδὲ ἦν ὅτε οὐκ ἀλήθεια· σύνθετον· σύνθετον δέ ἐστι καὶ τὸ τοῦ Αἰσχίνου καὶ ἐπαναφορὰ καὶ ἀντιστροφή, ἡ μὲν κατὰ τὴν ἀρχὴν, ἡ δὲ κατὰ τὸ τέλος· διαφέρει δὲ τῶν ἐν τῷ κάλλει τῷ βραχεῖ καὶ συντόμῳ.

Εἰς τὸ αὐτὸ Συριανοῦ [48] καὶ ἑτέρων· ἐπαναφορά ἐστιν ἡ ἀπὸ τῆς αὐτῆς λέξεως ἀρχομένη περίοδος ἢ συλλαβῆς· εἴρηται δὲ περὶ τούτων καὶ ἐν τῷ περὶ κάλλους. Ἄλλως· ὥσπερ τὸ ἀσύνδετον, εἰ μὲν διὰ μακρῶν κώλων ἐκφέροιτο, λαμπρότητα ποιεῖ, εἰ δὲ διὰ μικρῶν καὶ κομματικῶν, γοργότητα, οὕτω δὴ καὶ ἡ ἐπαναφορὰ διὰ μακρῶν μὲν ἐκφερομένη κάλλος ποιεῖ, διὰ δὲ κομματικῶν γοργότητα· τὸ αὐτὸ δὲ καὶ περὶ τῆς ἀναστροφῆς· ἀλλὰ καὶ ἡ ὑποστροφὴ καὶ ὁ μερισμὸς, δι' ἐλαχίστου μὲν εἰ γένοιντο, γοργότητα ποιοῦσι, διὰ [49] μακροῦ δὲ περιβολήν.

κς'. Ἐπὶ τοὺς νόμους καλεῖς, ἐπὶ σεαυτὸν καλεῖς· τοῦτο ἐν τῷ κατὰ Κτησιφῶντος λόγῳ κεῖται παρὰ Αἰσχίνῃ· [50] ἐν ᾧ τοῦ Κτησιφῶντος [51] κατηγορεῖ ὁ Αἰσχίνης, καὶ ἀξιῶν τοὺς δικαστὰς μὴ δέξασθαι τούτου συνήγορον τὸν Δημοσθένην φησίν· ἂν τοίνυν Κτησιφῶν ὑπερπηδήσας τὴν δικαίαν ἀπολογίαν παρακαλῇ Δημοσθένην. μάλιστα δὲ προςδέχεσθε σοφιστὴν οἰόμενον τοὺς νόμους ἀναιρήσειν, μηδὲν ἀρετῇ, τοῦθ' ὑμῶν μηδεὶς καταλογιζέσθω, ὃς ἂν ἐπερομένου Κτησιφῶντος εἰ καλέσω Δημοσθένην, πρῶτος ἀναβοήσει, κάλει, κάλει, ἐπὶ σαυτὸν καλεῖς, ἐπὶ τοὺς νόμους καλεῖς, ἂν ἄρα

---

47 Par. Vind. οὔτε οὐ λόγος ἦν, οὐδηναῖς, ὅτε οὐ πατήρ.
48 Non sunt haec in Vol. VII. 49 Vind. Par. τά. scr. διά.
50 §. 202. p. 452. Bekk. 51 Vind. repetit hoc loco λόγῳ κεῖται.

ὑμῖν δοκῇ ἀκούειν ἀξιώσατε τὸν Δημοσθένην τὸν αὐτὸν τρόπον ἀπολογεῖσθαι, ὅνπερ κατηγόρηκα ἐγώ.

κζ'. Τὸ κατὰ ἀντιστροφὴν κομματικόν· οἷον, ὁ ἐν ἀρχῇ, ὁ μετὰ τῆς ἀρχῆς ἡ ἀρχὴ καὶ μετὰ σοῦ ἡ ἀρχή· καὶ τὰ ὅμοια.

Εἰς τὸ αὐτό. ὅ ἐστι κατὰ ἀντιστροφὴν κομματικὸν, τοῦτο καὶ κατὰ ἐπαναφοράν· καθὸ μὲν γὰρ ἐν τῇ ἀρχῇ ἀμφοτέρων τῶν κώλων ἡ ἐπὶ πρόθεσις κεῖται, καθ' ἐπαναφοράν· καθὸ δὲ πάλιν ἐν τῷ τέλει τὸ καλεῖς, κατὰ ἀντιστροφήν.

κη'. Αἱ ταχεῖαι καὶ δι' ἐλαχίστου συμπλοκαί· τοὺς μετὰ συμπλοκῆς συντόμους καὶ διὰ βραχέος ἐκφερομένους λόγους καλεῖ συμπλοκάς· ὡς τὰ τοιαῦτα, ὁ ὢν καὶ ὁ ἦν, καὶ ὁ ἐρχόμενος, καὶ ὁ παντοκράτωρ, καὶ πάλιν ἀνάγει ψυχάς, ἀλλ' εἰς οὐρανὸν ἄνεισιν· ἀλλ' ἥξει κρῖναι ζῶντας καὶ νεκρούς· πολλαὶ δὲ, ὅτι λύχνον ἧψε τὴν ἑαυτοῦ σάρκα, καὶ τὴν οἰκίαν ἐσάρωσε, καὶ τὴν δραχμὴν ἐζήτησε, καὶ συγκαλεῖται τὰς φίλας αὐτῷ δυνάμεις, καὶ κοινωνοὺς ποιεῖται τῆς εὐφροσύνης· ταῦτα γὰρ καὶ τὰ τοιαῦτα, εἰ καὶ γοργὰ καὶ τμητικὰ, ἀλλ' ὅμως κατὰ περίοδον ἐκτεθέντα καὶ μακρόκωλα ὄντα καὶ εὐερμηνευτικὰ τῶν τρόπων περιβολαί εἰσι.

κθ'. Καὶ ὁ Θουκυδίδης· καὶ οἱ ἡμῶν πατέρες, ὦ Λακεδαιμόνιοι, τοῦτο ἐν τῷ δευτέρῳ τῆς συγγραφῆς Θουκυδίδου ἐστί· [52] Λακεδαιμονίων μετὰ τὰ ἐν Πλαταιαῖς παραγγειλάντων ταῖς πόλεσι στρατιὰν παρασκευάσαι, ὡς ἂν τῇ Ἀττικῇ ἐπιβάλωσιν, ἐπειδὴ ἕτοιμα ἐγένοντο ἕκαστα, καὶ κατὰ τὸν εἰρημένον χρόνον συνῄεσαν εἰς τὸν Ἰσθμὸν, ὁ Ἀρχίδαμος πᾶν τὸ στράτευμα συνειλεγμένον [53] ἰδὼν, ὅστις ἡγεῖτο τῆς τότε ἐξόδου, συγκαλέσας τοὺς στρατηγοὺς πασῶν πόλεων καὶ τοὺς ἐν τέλει μάλιστα καὶ ἀξιολογωτάτους τοιάδε ἔλεξεν· ἄνδρες Πελο-

52 c. 11. 53 Par. Vind. συνειλεσμένον.

ποννήσιοι, καὶ οἱ ξύμμαχοι καὶ οἱ πατέρες ἡμῶν πολλὰς στρατείας καὶ ἐν αὐτῇ Πελοποννήσῳ ἐποίησαν, καὶ ἔξω, καὶ ὑμῶν αὐτῶν οἱ πρεσβύτεροι οὐκ ἄμοιροι πολέμων εἰσίν· ὅμως δὲ οὔ ποτε μείζονα παρασκευὴν ἔχοντες ἐξήλθομεν.

λ'. Εἰ δὲ πολλαὶ γένοιντο αἱ συμπλοκαί· τὰ τοιαῦτα χωρία [54] δοκοῦσι μὲν ἔμφασιν ἔχειν τοῦ τμητικοῦ λόγου· τὸ ταχέως ἀφ' [55] ἑκάστου τῶν πραγμάτων ἀπαλλάττεσθαι τὸν ῥήτορα· γοργότητος δὲ μετέχουσι τῷ τὰ πλείονα τῶν κώλων κομματικώτερα εἶναι· περιβολῆς δὲ γέμουσι τῷ τε ἐφέλκεσθαι πολλὰ νοήματα καὶ διὰ μερισμῶν ἐξετάζεσθαι διὰ μακροῦ τε τὴν ἀνταπόδοσιν ἔχειν τῆς ἐρωτήσεως.

λα. Περιβολὴ δὲ μᾶλλον γενήσεται ἢ γοργότης· ἀλλ' ὁ τὴν Εὔβοιαν ἐκεῖνος σφετεριζόμενος, τοῦτο ἐκ τοῦ περὶ στεφάνου [56] ἐστίν· ἡ δὲ ὑπόθεσις τοῦ λόγου τοιαύτη· ἐπεὶ ὁ Αἰσχίνης ᾐτιᾶτο τὸν ῥήτορα, ὡς συμβουλεύσαντα τοῖς Ἀθηναίοις πολεμῆσαι Φιλίππῳ, καταλύσασι τὴν πρὸς αὐτὸν εἰρήνην φησὶν ὁ ῥήτωρ, ὅτι καλῶς ἐποίησα, διὰ τί γὰρ ἐκεῖνος παρεσπόνδει καὶ τὴν εἰρήνην ἔλυεν ἀδικῶν τὴν πόλιν.

λβ. Τοῦ φαινομένου τμητικοῦ λόγου· προσεχὲς τοῦτο τῆς καταδρομῆς παράδειγμα καὶ τὰ ἑξῆς· τοῦ φαινομένου τμητικοῦ λόγου, μὴ ὄντος δέ, τὰ δὲ πρὸ τούτων καὶ τοῦ ὄντος καὶ φαινομένου· τὸ μὲν γὰρ πνευματικῶς ἐξενήνεκται κατὰ περίοδον, τὰ δὲ ὡς ἑτέρως· τοῦ μέντοι τέμνοντος μέν, μὴ μέντοιγε δοκοῦντος τέμνειν, οἱ πλαγιασμοί, οἵ τε εἰς γενικὴν καὶ τὰς ἄλλας πτώσεις, οἵ τε εἰς χρόνους παρὰ τὸν ἐνεστῶτα, πολλῶν ὄντων ἡμῖν εἰς ὁδηγίαν τοῦ κρείττονος καὶ τὰ ἑξῆς· καὶ

54 cfr. Vol. VII. litt. ιδ'. 55 Vind. ἐφ'. scr. ἀφ'. 56 p. 248.

πάντων δὲ ἀτοπώτατον ποιητὴν καὶ δεσπότην τοῦδε τοῦ παντὸς καὶ τὰ ἑξῆς.

λγ'. Τοῦ δ' αὖ κατὰ συστροφὴν σχήματος· κατὰ συστροφὴν ὡς τοῦτο· ὁ γὰρ τὸν δεύτερον τιμήσας, οἷς οὐκ ἄν τις ἤλπισεν, οὐδὲ αὐτὸς ὁ τυχὼν τῆς τιμῆς, δῆλον ὡς οὐδὲ τὸν πρότερον ἄνευ δικαίας ὀργῆς ἐκολάσατο· καὶ τοῦτο δὲ τῶν κατὰ συστροφήν· τί τοῦτο ἀγωνιζόμενον σφόδρα ἐνὸν κρατεῖν καὶ ἡττημένον· εἰ γὰρ ὁ πιστεύσας κακὸς, τί ποτ' ἂν εἴη παρ' ἐκεῖνον ὁ πιστευθεὶς, καὶ εἰ τὸ μὴ προϊδέσθαι τὸν τρόπον ὑπαίτιον.

λδ'. Ὁ γὰρ Μεσσήνην[57] Λακεδαιμονίοις ἀφεῖναι κελεύων· τὴν Μεσσήνην διαφέρουσαν Λακεδαιμονίοις καὶ ἀποστᾶσαν αὐτῶν προςέταξεν ὁ Φίλιππος ἀδίκως ἀφεῖναι· φησὶν οὖν ὁ ῥήτωρ, ὅτι ὁ ἀδικῶς τοῖς Λακεδαιμονίοις ἐπιτάττων, ἀφεῖναι τὴν Μεσσήνην, πῶς ἂν τὸν Ὀρχομενὸν καὶ τὴν Κορώνειαν τοῖς Θηβαίοις παραδοὺς ἐξαιτοῦσι φήσειεν, ὅτι οὐ διὰ τὸ συνεργοὺς ἔχειν[58] τῆς ἀδικίας δέδωκε ταῦτα αὐτοῖς, ἀλλὰ διὰ τὸ νομίζειν δικαίως παρ' αὐτῶν ἐξαιτεῖσθαι ταῦτα.

λε'. Τοῦ δ' αὖ δοκοῦντος μὲν τέμνειν τὰ πράγματα, οὐ τέμνοντος δέ· εἰπὼν τοῦ τέμνοντος μὲν, μὴ δοκοῦντος δὲ τέμνειν τὰ παραδείγματα, τὸ κατὰ τὰς πλαγίας γινόμενον εἶδος τίθησι τοῦ δοκοῦντος μὲν τέμνειν, μὴ τέμνοντος δέ γε ὡς ἀληθῶς, ὡς ἂν ταῦτα νοήσωμεν ἀκριβῶς, ὑπογραψώμεθα δὲ διάγραμμα τετράγωνον στοιχεῖα ἔχον· α β γ δ. καὶ ἀναλάβωμεν τὴν θεωρίαν ἄνωθεν· τοῦ μέντοιγε τέμνοντος, μὴ δοκοῦντος δὲ τέμνειν οἱ πλαγιασμοὶ καὶ τὰ κατὰ συστροφήν, τὴν ἄλφα δέλτα συζυγίαν λέγω· ἧς τὰ παραδεί-

57 Par. Μεσήνην. constanter. — Phil. II. p. 69. 58 Par. Vind. ἔχει.

γματα ἤδη τεθείκαμεν, τὰ δὲ ἥν, πολλῶν ὄντων ἡμῖν εἰς ὁδηγίαν τοῦ κρείττονος, τοῦ δ᾽ αὖ δοκοῦντος τέμνειν, οὐ μὴν τέμνοντος, ἀλλὰ καὶ ἐπεμβάλλοντος τὴν βῆτα γάμμα λέγω συζυγίαν· ἣν ἀνωτέρω ἔλεγε κατὰ περίοδον γίνεσθαι· ἧς καὶ τὰ παραδείγματα τεθείκαμεν τὰ κατὰ-δρομὴν θεολογικὰ, ὅτι λύχνον ἧψε καὶ τὰ ἑξῆς· ἓν γάρ ἐστι τὸ πρᾶγμα, ὅτι θεός ἐστιν ὁ Χριστός· τὰ πολλὰ δὲ εἰς ἀπόδειξιν τούτου ἐλήφθησαν· τὰ δὲ γένη καὶ εἴδη καὶ ὅσα φησὶν εὑρήσεις ἐν τῷ θεολόγῳ· τοῦ δ᾽ αὖ καὶ ὄντος τμητικοῦ λόγου καὶ δοκοῦντος τὴν α γ λέγω· ἧς τὰ παραδείγματα πρὸ πάντων εἶπε τὰ ἀσύνδετα λέγων κομματικὰ, καὶ τὰ ἑξῆς εἰσιν, ὡς προεῖπον, ἕξ· αἱ[59] δύο ἀσύνδετοι, αἱ αβ γδ, αἱ δὲ λοιπαὶ, ἃς καὶ εἶπε, συνίστανται, ἢ βγ, ἢ αγ, ἢ βδ· σπάνιον δὲ τὸ τοιοῦτον· τοῦ κατὰ μικρὸν τέμνοντος τὰ πράγματα, καὶ οὐ μόνον αὐτὸ, ἀλλὰ καὶ εἴ τις ὕψους καὶ κάλλους ἐπιμελεῖται· οἱ γὰρ συνεχεῖς διαμερισμοὶ καταβάλλουσι τὸ μέγεθος, καὶ ἐοίκασι τοῖς ἀεὶ κινουμένοις ἀτάκτως καὶ ὀρχουμένοις· δι᾽ ἃς δὲ αἰτίας Δημοσθένης τοῦτο ποιεῖ, ἐν τῇ μεθόδῳ φησὶν ἐρεῖν· τὸ πότε μὲν οὕτω ποιεῖ, πότε δὲ ἑτέρως, καὶ ἐν ποίῳ εἴδει· περὶ δέ γε λέξεων καὶ κώλων καὶ συνθηκῶν ἀρκεῖ τὰ προειρημένα παρ᾽ ἡμῶν ἐν τῇ ἀρχῇ τῆς ἰδέας· καὶ μὴν καὶ τοὺς ῥυθμοὺς εἴπομεν, ὅτι τροχαῖοι καὶ ἴαμβοι, καὶ τὰς καταλήξεις, ὅτι βεβηκυῖαι.

λς΄. Γένη γὰρ εἴδεσι καὶ ὅλα μέρεσι· τὸ μὲν ῥητὸν οὕτως ἔχει· ἀλλ᾽ ὁ τὴν Εὔβοιαν ἐκεῖνος σφετεριζόμενος, καὶ κατασκευάζων ἐπιτείχισμα ἐπὶ τὴν Ἀττικὴν, καὶ Μεγάροις ἐπιχειρῶν, καὶ καταλαμβάνων Ὠρεὸν,[60] καὶ κατασκάπτων Πορθμὸν, καὶ καθιστὰς ἐν μὲν Ὠρεῷ Φιλιστίδην τύραννον, ἐν δ᾽ Ἐρετρίᾳ Κλείταρχον καὶ τὸν Ἑλλήσποντον ὑφ᾽ ἑαυτὸν ποιούμενος, καὶ Βυζάντιον πολιορκῶν καὶ πόλεις Ἑλληνίδας ἃς μὲν αἱρῶν, εἰς ἃς δὲ

59 Vind. οἱ δ. ἀσ. οἱ αβ. tum Par. Vind. συνίσταται. 60 Par. Vind. ὠρόν.

τοὺς φυγάδας κατάγων, πότερα ταῦτα πάντα ποιῶν ἠδίκει καὶ παρεσπόνδει, [61] καὶ τὴν εἰρήνην ἔλυεν, ἢ οὔ· προςλέληπται δὲ ἐν αὐτῷ [62] γένος μὲν εἴδει, καθό φησι τὸν Φίλιππον ἀδικεῖν· γένος μὲν γὰρ ἡ ἀδικία· εἶδος δὲ ταύτης ἡ παρασπόνδησις καὶ ἡ λύσις τῆς εἰρήνης· ὅλον δὲ μέρει, καθὸ ὅλον μὲν ἡ Εὔβοια· μέρη δὲ ὁ Ὠρεὸς, ὁ Πορθμός· καὶ ἀόριστον μὲν αἱ Ἑλληνίδες πόλεις, ὡρισμένον δὲ τὸ Βυζάντιον, ἡ Ἐρετρία· ἔστι δὲ καὶ ἄλλα περιβλητικὰ ἐν αὐτῷ, οἱ δύο μερισμοὶ καὶ ἡ διὰ μακροῦ ἀπόδοσις. [63]

Περὶ λέξεως.

λή. Λέξις γὰρ, ὅπερ [64] ἔφην, βραχεῖα· περὶ λέξεων καὶ κώλων καὶ συνθηκῶν ἀρκεῖ τὰ προειρημένα παρ' ἡμῶν ἐν τῇ ἀρχῇ τῆς ἰδέας, καὶ μὴν καὶ τοὺς ῥυθμοὺς εἴπομεν, ὅτι τροχαῖοι καὶ ἴαμβοι, καὶ τὰς καταλήξεις, ὅτι βεβηκυῖαι.

Συριανοῦ εἰς τὸ αὐτό· βραχεῖαν λέγει τὴν κ.τ.λ. Vol. VII. p. 1055. litt. ις'. et ιζ'. Litt. ις'. vide Vol. V. p. 525. v. 8—12.

Περὶ συνθήκης.

λθ'. Οὐ γὰρ δὴ [65] κεχηνέναι δεῖ τόν γε ὡς ἀληθῶς λόγον γοργὸν, πλὴν εἰ τραχύνεσθαι δέοι· εἰ μὴ ἄρα τις τραχύτητα θέλει ἐργάσασθαι· οἱ γὰρ συγκρουσμοὶ τῇ τραχύτητι προςήκουσι.

μ'. Καὶ τούτου [66] τεκμήρια ἐναργῆ πολλὰ καὶ τῆς τραγῳδίας· Συριανοῦ. καὶ τῆς τραγῳδίας, οἷον παρ' Εὐριπίδῃ κ. τ. λ. Vol. VII. litt. ιή. vide Vol. V. p. 525. v. 14.—p. 526. v. 1.

---

61 Par. παραάσπονδει. 62 Par. Vind. ἐν αὐ. 63 Sequitur ex Vol. VII. p. 1054. litt. ιέ. 64 ὅπερ ex Med. recepi. Vind. et Par. om. 65 Vind. δεῖ. 66 Vind. τοῦτο. scr. τούτου.

Σύνοψις τῶν περὶ γοργότητος.

α. Ἔννοια γοργότητος οὐκ ἔστιν, εἰ μή τις ἄρα τὰ ὀξέα τῶν νοημάτων γοργὰ λέγει.

β. Μέθοδος τὸ ταῖς ἀπαντήσεσι ταχείαις χρῆσθαι καὶ βραχείαις καὶ ταῖς ἀντιθέσεσιν ὡσαύτως.

γ. Σχήματα ἐξαιρούμενα τὴν ὑπτιότητα, οἷον ὑποστροφὴ ἐξ ἐπεμβολῆς τὸ ἐπιτρέχον, τὰ δὲ ποιοῦντα γοργότητα, οἷον τὰ τμητικὰ, ἅ ἐστι ταῦτα· τὸ ἀσύνδετον κομματικὸν, τὸ κατ' ὄνομα κομματικὸν, αἱ δι' ἐλαχίστου ἐξαλλαγαὶ, οἱ δι' ἐλαχίστου μερισμοί· τὸ κατ' ἐπαναφορὰν κομματικόν· τὸ κατὰ ἀντιστροφὴν κομματικόν· αἱ ταχεῖαι καὶ δι' ἐλαχίστου συμπλοκαί.

δ. Λέξις ἡ βραχεῖα.

ε. Κῶλα τὰ βραχέα.

ς. Συνθήκη ἡ μὴ σύγκρουσιν ἔχουσα τῶν φωνηέντων, δεῖ δὲ πλεονάζειν τοὺς τροχαίους.

ζ. Ἀνάπαυσις ἡ εἰς τροχαϊκὸν φύσει καταλήγουσα καὶ μὴ βεβηκυῖα.

Cap. II.

Περὶ ἤθους.[1]

α. Ἐπειδὴ τῆς σαφηνείας ἡμῖν τὰ ἤθη καὶ τοῦ μεγέθους καὶ ἔτι τοῦ κάλλους ἤνυσται καὶ γοργότητος σὺν θεῷ, ὑπόλοιπον περὶ τοῦ ἤθους διαλαβεῖν καὶ τῶν ὑποτεταγμένων αὐτῷ· χρησιμώτατον γάρ ἐστι πολιτικοῖς ἀνδράσιν, οὐδενὸς ἧττον τῶν ἄλλων ποσαχῶς τε λέγεται, καὶ ὅπως γίνεται, οἷς ὑπόκειται πᾶν πρόσωπον καὶ πᾶν πρᾶγμα. ἤθους τοίνυν πολλὰ τὰ σημαινόμενα· τὸ

1 Vind. habet titulum: περὶ ἀναπαύσεως, περὶ ἤθους.

μὲν γάρ ἐστι φιλόσοφον καὶ ἐν ἀρετῇ ὁρᾶται· καθὸ ἐκεῖνοι φυσικάς τινας ἀρετὰς λέγουσι καὶ ἠθικάς, ἔτι γε μὴν καὶ λογικάς, ἃς προχειρίσαιτ' ἂν πολιτικὸς φιλόσοφος, ἤτοι ῥήτωρ· καὶ οὐχ ἁπλῶς ῥήτωρ, ἀλλὰ τὰ τῶν ἀνθρώπων ἤθη κοσμῶν εἰς τὸ λογικώτερον καὶ ἀληθῶς ἀνθρώπινον μετάγων· ἀκολασίαν εἰς σωφροσύνην, καὶ θυμὸν εἰς πρᾳότητα, καὶ εἰς ἐπιείκειαν τὴν ἀπόνοιαν· καὶ ἁπλῶς ἅπαντα τὰ τῆς ἀλογίας εἰς τὰ ἀνθιστάμενα καὶ σύμμετρα, καθὰ ἠθικά τινα λέγεται λόγοι ἀνδρῶν ἁγίων τῆς γηγενοῦς ἰλύος ἀπανιστάντες, καὶ πρὸς τὴν ἄνω ζωὴν καὶ ἀγγέλοις πρέπουσαν διαγωγὴν μεθαρμόζοντες, καθ' ἃς καὶ βασιλεία δίδοται οὐρανῶν, καὶ μακαριότης ἀΐδιος, ὥσπερ καὶ τοῖς [2] τὰ ἐναντία φρονοῦσι τὰ πρόσφορα· τοῦτο μὲν οὖν τὸ φιλόσοφον· τοῦ δὲ ἁπλῶς ῥητορικοῦ τὸ μὲν δὲ ἢ μίξει τοῦ λόγου φαίνεται, καθάπερ καὶ τὰ λοιπὰ τῶν λόγων εἴδη, τὸ δὲ δι' ὅλου τοῦ λόγου χωρεῖ· ὥσπερ κἀν τῷ κάλλει ἐλέγετο· τούτου τοῦ ἤθους τὸ μὲν ὁρᾶται ἐν τοῖς ἰδίως [3] καλουμένοις ἠθικοῖς προσώποις, γεωργοῖς, λίχνοις, δυσκόλοις, φιλαργύροις, δειλοῖς, γελωμένοις καὶ ἐλεουμένοις προσώποις, ὧν μεμαθήκαμεν τὴν μεθοδικὴν πλάσιν ἐν ταῖς Λιβανίου μελέταις· τὸ δὲ ἐν τοῖς ἄλλοις προσώποις κυρίως [4] πρός τι προσηγορικοῖς ἁπλῶς διῆκον διόλου, ὥσπερ διὰ σώματος χρῶμα· ἃ πάντως μιμούμενος ὁ ῥήτωρ κινητικώτατος γίνεται καὶ πιθανώτατος· περὶ τούτων οὖν τῶν ἠθῶν τέως οὐδὲν διέξεισι, περὶ δὲ τοῦ ἐγκαταμιγνυμένου καὶ πλεονάζοντος ἢ ἐλλείποντος, καθάπερ καὶ αἱ λοιπαὶ ἰδέαι τοῖς προχειριζομένοις αὐτὸ, νῦν ποιεῖται τὸν λόγον· γένος δὲ ὂν καὶ τοῦτο οὕτως εἰδοποιεῖται· ἢ γὰρ μειοῦμεν τὸ ὑποκείμενον πρᾶγμα καὶ περὶ οὗ ὁ ἀγὼν, καὶ γίνεται ἡ ἐπιείκεια, οἷον τούτου τοῦ στεφάνου κἀγώ τι τοῖς πλέκουσι συνεισ-

---

2 Par. τῆς. 3 Par. ἰδίως. Vind. ἰδίοις. 4 Par. κυρίοις. Vind. κυρίως.

ἤνεγκα, ἢ ὑπερβάλλομεν καὶ γίνεται τὸ ἀληθὲς καὶ ἐνδιάθετον· μέγα γὰρ τὸ πρᾶγμα βουλόμενοι δεῖξαι καὶ θαυμαστὸν ἢ φοβερὸν ἢ ἐλεεινὸν ἤ τι τοιοῦτον, τὴν αὐτοῦ φύσιν διὰ τῆς ἐν λόγῳ διαθέσεως ἐμφαίνομεν. οἷον ὢ τοῦ θαύματος, αὐτοὶ[5] τοῦ θηράματος ἦσαν ταμίαι, φεῦ τῆς ὕβρεως, φεῦ τῆς ἐμῆς ἀσθενείας, ἐμὴ γὰρ ἡ τοῦ προπάτορος· καὶ ἀλλά με μικροῦ παρέδραμεν ἐν μέσῳ τῶν εἰρημένων κείμενα, ἢ τοῖς ἀτελέσι πράγμασιν ἐξισοῦμεν τοὺς λόγους καὶ τοῖς προσώποις, καὶ γίνεται ἡ ἀφέλεια. Ἐργῶδες θεολογικὸν παρασχεῖν ἐκ τῶν λόγων παράδειγμα, εἰ μὴ ἄρα τῶν ἐπιστολῶν· τὰ γὰρ ὑποκείμενα πράγματα καὶ πρόσωπα ὑπέρκειται τοῦ εἴδους τούτου. πειρασόμεθα δ' οὖν ὅμως· αὗται αἱ δύο, ἡ μὲν ἐπιείκεια λαβοῦσα πάθους τινὸς ἐπίτασιν ποιεῖ τὴν βαρύτητα, ἡ δὲ ἀφέλεια τὴν γλυκύτητα· ποῖαι δὲ οὔ, ὥσπερ ἡ βαρύτης, ἐν τοῖς ἑπομένοις ῥηθήσεται.

β'. *Εἰδέναι δὲ ὅπως γίνεται καὶ ποιεῖν δυνάμενον*· τὸ χρήσιμον ὑποφαίνει διττόν· εἴς τε τὸ εἰδέναι πῶς γίνεται, καὶ εἰς τὸ ποιεῖν· τὸ γὰρ τέλειον τῆς ἐπιστήμης ἐκ τούτων προσγίνεται· εἴτε τέλειον ἠθικόν τις λόγον βούλοιτο ποιεῖν, εἴτε ἄλλοις συμπλέκειν τὸ τοιοῦτον ἦθος, τὸ νῦν αὐτῷ προχειρισθέν, τό τε ἀφελὲς καὶ ἐπιεικὲς καὶ τὰ λοιπά· οὐχ ἁπλῶς δὲ τὴν ὁμωνυμίαν διαστέλλει τοῦ ἤθους· καθὰ καὶ ἐν τῇ προθεωρίᾳ διείλομεν.

Εἰς τὸ αὐτὸ Συριανοῦ χρησιμώτατόν ἐστι κ. τ. λ. Vol. VII. p. 1057. v. 10.

γ'. *Ἦθος τοίνυν ἐν λόγῳ*· ἀπαριθμεῖται τὰ εἴδη τοῦ ἤθους καὶ λέγει ποῖα καθ' ἑαυτὰ καὶ ποῖα οὔ· περὶ δὲ τοῦ ἀληθοῦς προείπομεν καὶ πάλιν ῥηθήσεται. *Εἰς τὸ αὐτό*· ὅρα πῶς οὐκ ἐμνήσθη ἐνταῦθα τῆς γλυκύτητος καὶ τῆς δριμύτητος, ὡς καὶ αὐτῶν ὑποβεβηκυιῶν τῷ ἤθει, καίτοι ἐν τῇ διδασκαλίᾳ τῶν συμπλεκου-

---

5 Vind. Par. αὐτό.

σῶν τὸ ἦθος ἰδεῶν μετὰ τῶν ἄλλων καὶ αὐτὰς συντάττων.

δ΄. Ἡ δὲ βαρύτης ὑπόκειται μὲν καὶ αὐτὴ ὑπὸ τὸν ἠθικὸν λόγον· ὃ λέγει τοιοῦτόν ἐστιν, ὅτι τεσσάρων οὐσῶν τῶν συμπλεκουσῶν τὸ ἦθος ἰδεῶν, καὶ ὑποβεβηκυιῶν αὐτῷ, [6] ὡς εἰδῶν γένει ἐπιεικείας, ἀφελείας, ἀληθινοῦ λόγου καὶ ἐνδιαθέτου καὶ βαρύτητος, συμπληροῖ μὲν καὶ ἡ βαρύτης τὴν τοῦ ἤθους ἰδέαν· πλὴν οὐχὶ παραπλησίως ταῖς λοιπαῖς τρισὶν, αἱ μὲν γὰρ κατ᾽ ἔννοιαν καὶ μέθοδον καὶ τὰ λοιπὰ, αὐταὶ καθ᾽ ἑαυτὰς συνιστάμεναι συμπληροῦσι τὸ ἦθος, καθάπερ καὶ αἱ προειρημέναι, ἀλλ᾽ ἔννοιαν ἔχουσι, καὶ οὐδὲ ταύτην καθαρὰν πρὸς τὰς ἄλλας ἀκοινώνητον καὶ μέθοδον μόνον, κατὰ τὰ ἄλλα μέρη τὰ τῶν ἄλλων ἔχουσα οὐχ ὁλοκλήρως συμπληροῖ τὸ ἦθος, ἀλλ᾽ ἢ μόνον κατὰ ἔννοιαν καὶ μέθοδον.

ε΄. Οὐ μὴν συμπληροῖ γε αὐτόν· εἴπομεν ἤδη, ὅτι τῶν τοῦ ἤθους ἰδεῶν αἱ μὲν αὐτῶν εἰσι συμπληρωτικαὶ τοῦ κατὰ τὸ ἦθος λόγου, ὥσπερ ἐπιείκεια, ἀφέλεια, γλυκύτης, ἀλήθεια. αἱ δὲ οὔ· ἡ γὰρ βαρύτης μιγνυμένων ἐπιεικοῦς ἐννοίας, ἀφελείας, ἐν διαθέσει γίνονται. αὗται γὰρ μετὰ εἰρωνείας ἐξενεχθεῖσαι βαρύτητα ποιοῦσιν· οἷον μετάδοτε ἡμῖν τῆς λαμπρότητος· εἰρωνεία φανερά.

ϛ΄. Καὶ πρῶτον περὶ ἀφελείας ῥητέον· ῥητέον γε καὶ πρῶτον περὶ τῆς τάξεως αὐτῶν. εἶθ᾽ οὕτως ἑνὸς ἑκάστου τὴν φύσιν· οὐ γὰρ ὡς ἔτυχε τετάχαται· προτάττει τοίνυν τὴν ἀφέλειαν, ἢ διότι φυσικωτέρα ἐστὶν ἡ ἰδέα. πάντες γὰρ καὶ οἱ ἐπιστήμονες καὶ οἱ ὑπὲρ τοὺς πολλοὺς ἀφελῶς πρότερον διακείμεθα παῖδες ὄντες τυχὸν, ἢ ἄλλην τινὰ τοιαύτην προπέτειαν ἔχοντες, ἢ ὅτι μακρότερος τῶν ἄλλων ὁ περὶ αὐτῆς λόγος· ἢ ὅτι πολλοὶ τῶν λογίων ἀνδρῶν ταύτῃ μονοειδῶς καὶ χρῶνται καὶ κρίνονται, ὥσπερ

6 Vind. αὐτοῦ, scr. αὐτῷ.

Ξενοφῶν, Θεόκριτος, Μένανδρος, καὶ τῶν παρ' ἡμῖν πλείους. μετὰ ταύτην ἐστὶν ἡ γλυκύτης, ὅτι τε τοῖς ἀφελέσιν ἕπεται, καὶ τῷ[7] εἶναι γλυκεῖα, ὡς ἐπὶ τῶν παίδων, καὶ ὅτι ἐξ ἐπιτάσεως γίνεται τῆς ἀφελείας· ὁ γὰρ μᾶλλον ἀφελὴς τῶν λόγων μᾶλλον γλυκύς· καὶ ὅτι καὶ ταύτῃ πολλοὶ χρῶνται καθ' ἑαυτήν· ὥσπερ Ὀρφεὺς καὶ Ἡσίοδος, καὶ οἱ λεγόμενοι ἐγκύκλιοι, καὶ σχεδὸν πάντες οἱ ποιηταί· ἡδέως γὰρ καὶ τὰ ἄλλως ἔχοντα ἐξαγγέλλουσιν. ἔπειτα ἡ δριμύτης καὶ ὀξύτης ὡς ἑπόμεναι γλυκύτητι λέξει καὶ μόνῃ καὶ τῷ[8] ἀφελεῖ λόγῳ, ὡς μαθησόμεθα· μεθ' ἃς ἐπιείκεια καὶ ἀλήθεια, ὡς ἀντιδιῃρημέναι τῷ ἀφελεῖ· καὶ ἔδει λοιπὸν καὶ περὶ τούτων εἰπεῖν, τούτων δὲ αὐτῶν προετάγη ἡ ἐπιείκεια· ὡς ἐκ μειώσεως τῶν πραγμάτων γινομένη· τὸ δὲ ἀληθὲς ἐξ ὑπερβολῆς· ἡ δὲ ὑπερβολὴ πάντων ἐκ μικροτέρων γίνεται, ὧν καὶ ὑπερβάλλειν λέγεται· τὸ γὰρ ὑπερβάλλον πρὸς ἕτερον λέγεται· οὐκοῦν πρότερον τὸ μικρὸν, καὶ δεύτερον τὸ μέγα, ὃ πρὸς τὸ μικρὸν συγκλίνεται· ἐπὶ τοῖς τελευταία ἡ βαρύτης, ὅτι ἐκ πασῶν γίνεται καὶ τρόπον τινὰ σύμμικτός ἐστι· ταῦτα εἰπόντες ἀρξώμεθα τῆς ἀφελείας.

Συριανοῦ[9] εἰς τὸ αὐτό· προτάττει τὴν ἀφέλειαν, ἢ διότι φυσικωτέρα ἐστὶν ἰδέα. καὶ δι' ὅσα ἄλλα μικρὸν ἀνωτέρω εἴρηται.

Cap. III.

Περὶ ἀφελείας.

Περὶ ἐννοιῶν.

ζ. Ἔννοιαι τοίνυν εἰσὶν ἀφελεῖς ἁπλῶς μέν· τὸ ἁπλῶς ἀντὶ τοῦ καθόλου συντόμως καὶ κοινῶς εἰ-

7. Vind. Par. τό. 8 Vind. Par. τό. 9 non exstant haec in Vol. VII.

πεῖν, αἱ καθαραὶ, ἃς μεμαθήκαμεν ἤδη· ἰδίως δ' ἂν λέγοιντο ἀφελεῖς αἱ τῶν ἀπλάστων ἠθῶν, οἷά εἰσι τὰ ἀπερίεργα καὶ ἀπάνουργα καὶ μηδὲν ἔχοντα ὕπουλον καὶ πανοῦργον καὶ γνώμης διπλόην· οὐκ ἀφρόνων καὶ γελωμένων ἢ μισουμένων, ἀλλὰ θαυμαζομένων, οἷος ὁ Ἰσαὰκ εἰπὼν, πάτερ ἰδοὺ τὸ πῦρ καὶ τὰ ξύλα, τὸ πρόβατον ποῦ; εἰ μὴ ἄρα ὁ λόγος θεοῦ ἔμπνευσις· εἰς ἔνδειξιν τῆς τοῦ πατριάρχου φιλοθεΐας· καὶ ἐπὶ τοῦ Ἰακώβ· ἐὰν μὴ δῷς ἄρτον καὶ ἱμάτιον, ἀλλὰ καὶ τὰ τοῦ Ἰὼβ ῥήματα πάντα τοιαῦτα· καὶ ἄλλα πολλὰ τῆς θείας γραφῆς, μηδεμιᾶς ἀνάγκης οὔσης, μηδὲ ἐπερωτῶντός τινος· μήποτε δὲ ἄρα τὸ ἐν τῷ ἐπιταφίῳ τοῦ λουτροῦ διήγημα, κατὰ τὴν ἔννοιαν τοιοῦτόν ἐστιν· εἰ καὶ κατὰ τὰ ἄλλα· εἰ δ' οὖν, ἀλλὰ τάγε πρὸς τὴν ἰδίαν αὐτοῦ ψυχὴν καταληπτικὰ τοιαῦτα. τί σοι θέλεις γενέσθαι ψυχὴν ἐμὴν ἐρωτῶ; καὶ τὸ, ἐμὲ φοβοῦσι καὶ τῶν φαρισσαίων οἱ ὀνειδιζόμενοι [1] καὶ τὰ ἑξῆς. καὶ ἤδη γὰρ ἀποπέμπομαι τὴν ὀργὴν, ὡσανεὶ οὐκ ἔχω σοι μάχην. καὶ τὸ, περιλάβω καὶ πολλὰ τοιαῦτα.

η΄. *Κωμάσδω ποτὶ τὴν Ἀμαρυλλίδα.* [2] Δωρὶς ἡ διάλεκτος, οὗτοι γὰρ διαιροῦσι τὸ ζ εἰς σ καὶ εἰς δ. κωμάσδω οὖν ἀντὶ τοῦ κωμάζω. καὶ ὄσδος ἀντὶ τοῦ ὄζος καὶ τὰ παραπλήσια· Θεόκριτος δὲ ποιητὴς τῶν βουκολικῶν. ἡ χρῆσις, ᾄσματα τοῦ κωμαστοῦ. Ἀμαρυλλὶς δὲ ὄνομα ἑταίρας· τὸ δὲ ταίγε, [3] ἀντὶ τοῦ αἱ δὲ αἶγες.

θ΄. *Ἐν τῇ ἀλληλογραφίᾳ·* τὰ καθαρώτατα παραδείγματα πολιτικώτερα ἦσαν καὶ ἐναγώνια. φησὶν οὖν, ὅτι ἐν τῇ ἀφελείᾳ μνησθήσομαι καὶ τῶν ἄλλων συγγραμμάτων, τουτέστι τῶν ποιητικῶν καὶ ἄλλων τινῶν.

ι΄. *Χωρίζωμεν γὰρ οὐδαμῶς τὰς καθαρὰς παρὰ τὰς ἀφελεῖς.* οὐδ' αὖ τὰς ἀφελεῖς· παρὰ τὰς

---

1 Par. Vind. οἰονειδιζόμενοι. 2 Theocr. Id. III. 1. 3 Vind. Par. τέγε.

καθαράς, διὰ τοῦτο λέγω, φησὶν, ὅτι τῶν καθαρῶν ἐννοιῶν αἱ μὲν μᾶλλον ἁρμόττουσι τῷ πολιτικῷ λόγῳ, αἱ δὲ ἧττον, αἱ δὲ οὐδόλως, ἃς καὶ φαίη τις ἂν ἀφελείας· εἶτα διαιρήσας τὰς λέξεις ἀπαριθμεῖται τὰ πρόσωπα τὰ τὴν τρίτην διάνοιαν ἔχοντα. τῶν μὲν οὖν προτέρων ἀπεδείξαμεν ἐν τῇ καθαρότητι τὸν θεολόγον πλουτεῖν, τῆς δὲ τρίτης ὀλίγα τὰ παραδείγματα, ὡς εἰς καλὸν ἡμῖν ἐπανήκομεν, καὶ ἐπόθουν ὑμᾶς, ὦ τέκνα, καὶ ἀντεποθούμην· ταῦτα γὰρ καὶ τὰ τοιαῦτα πάνυ ἰδιωτικὰ καὶ ἀφελῆ.

Εἰς τὸ αὐτὸ ἀλληλογραφίας Συριανοῦ·[4] ἀλληλογραφίαν λέγει τήν τε κωμῳδίαν καὶ τὴν τραγῳδίαν καὶ τοὺς ἀμοιβαίους τῶν πανηγυρικῶν· κἂν τοῖς ἀμοιβαίοις γὰρ τῶν πανηγυρικῶν χρήσιμοι αἱ τοῖς ἁπλάστοις ἤθεσι προσήκουσαι ἔννοιαι. ὡς προϊόντες ἐν τῷ περὶ πολιτικοῦ λόγου εἰσόμεθα, διὰ τὸ δραματικὸν καὶ μιμητικὸν δεχομένου.

ια΄. *Ἀνδρῶν ἐγγὺς ἡκόντων φρενῶν·* τὸ ἑξῆς ὄντος καὶ ἀνδρῶν ἡκόντων ἐγγὺς τοῦ νηπίου· ἕνεκα φρενῶν ὡς νηπιαζόντων, κἂν γέροντες ὦσιν, οὐχὶ κατὰ χρόνον, ἀλλὰ κατὰ φρένα.

ιβ΄. *Οἷον ὡς καλός μοι ὁ πάππος, ὦ μῆτερ·* ταῦτα ἐν τῇ πρώτῃ τῆς Κύρου παιδείας[5] εἴρηται τῷ Ξενοφῶντι.

ιγ΄. *Ἁδύ τι τὸ ψιθύρισμα καὶ ἁ πίτυς αἰπόλε τῆνα·* τὸ τῆνα ἀντὶ τοῦ ἐκείνη· Θεοκρίτου καὶ τοῦτο ἐκ τοῦ Θύρσιδος·[6] ἐρώντων δὲ λόγος καὶ ὑπερσέμνων καὶ ἀπαθῶν ἀνθρώπων τὰ ἐν τῷ ᾄσματι τῶν ᾀσμάτων. φιλησάτω[7] με ἀπὸ φιλημάτων στόματος αὐτοῦ· ὅτι ἀγαθοὶ οἱ μαστοί

4 non est in Vol. VII. 5 I. 3, 2. 6 Id. I. 1. 7 Vind. φιλησάτο. — Cant. I, 1. Nota profanam Siceliotae de cantico sententiam.

σοῦ ὑπὲρ οἶνον· καὶ τράχηλός σου ὡς πύργος τοῦ Δαυὶδ, καὶ ὅσα ὅμοια.

ιδ. Ἃ καὶ ἰδίως ἠθικὰ καλεῖται, ἃ ἐν τῇ τετάρτῃ τάξει τῶν προσώπων ἔταξεν, ὑποκρινομένων δὲ ἦθος τῶν τοιούτων προσώπων ἀναγκαίως[8] εἶναι, ὅταν τις μιμῆται τὰ τοιαῦτα πρόσωπα, ὡς ὁ Λιβάνιος ἐν ταῖς μελέταις δείκνυσιν.

ιε. Ἔτι ἀφελεῖς ἔννοιαι καὶ αἱ πλησιάζειν πως δοκοῦσαι τῷ εὐτελεῖ· οὐδὲ ταύτας ἡ θεολόγος ἔχει γλῶσσα τὰ πατερικά[9] τε καὶ ἀσκητικὰ βιβλία πολλὰ, ἃ μακρὸν ἂν εἴη λέγειν δῆλα ὄντα καὶ σαφῆ.

ις. Ὡς ἐν τῷ κατὰ Στεφάνου ψευδομαρτυριῶν· Ἀπολλόδωρός τις τελευτήσαντος τοῦ πατρὸς, ἐπεὶ ἡ μήτηρ αὐτοῦ συνῴκησε τῷ ἰδίῳ δούλῳ Φορμίωνι, αὐτοῦ ἀποδημοῦντος ἐπανελθὼν ἐνεκάλει τῷ Φορμίωνι ὑπὲρ τῶν τοῦ πατρὸς χρημάτων·[10] ὁ δὲ παρεγράψατο τὴν δίκην Στέφανόν τινα τοὔνομα καί τινας ἑτέρους παραγαγὼν μάρτυρας, μαρτυροῦντας συγκεχωρῆσθαι ταύτην τὴν δίκην παρ' Ἀπολλοδώρῳ Φορμίωνι· οὕτως οὖν νικήσαντος τοῦ Φορμίωνος ὁ Ἀπολλόδωρος τῷ Δημοσθένους λόγῳ χρησάμενος ἐγκαλεῖ τῷ Στεφάνῳ ψευδομαρτυρίας· μετὰ γοῦν τὴν τοῦ Στεφάνου διαβολὴν λέγει καὶ μετὰ Φορμίωνος.

ιζ. Ἢ[11] τὰ καταχύσματα αὐτοῦ, φησὶ, κατέχεε· καταχύσματά εἰσι τὰ ἐπὶ τοῖς νεωνήτοις δούλοις διδόμενα τραγήματα, ὥς φησι Μένανδρος ὁ τὸν Δημοσθένην ἐξηγούμενος. καθίζουσαι[12] γὰρ τούτους ἐπὶ τῆς ἑστίας, ὅ ἐστι τόπος πυρὸς ἐν τῷ μαγειρίῳ, αἱ δέσποιναι ἐδίδοσαν κάρυα καὶ κάστανα· εὔκαρπον[13] καὶ

---

8 Vind. Par ἀναγκέας. 9 sic Vind. et Par. 10 Med. χρη- Vind. Par. πραγμάτων. 11 Vind. ut Codd. et Edd. Hermog. ἤ. tum bis καταχύματα. — Dem. c. Steph. p. 1123. 12 Vind. καθίζοντες, scr. καθίζουσαι. 13 Par. Vind. ἄκαρπον.

ὀνήσιμον τὴν[14] κτῆσιν εὐχόμεναι γενέσθαι· τοιαῦτα δὲ ἐν ἰδιωτικοῖς λόγοις πάμπολλα. ὁ γὰρ περὶ εὐτελῶν πραγμάτων λέγων ἀνάγκη τοιαύταις κεχρῆσθαι ταῖς ἐννοίαις. καὶ τῷ κατὰ Κόνωνος αἰκίας. φήσαντες[15] γὰρ καπνίζειν ἀριστοποιουμένους ἔτυπτον καὶ τὰς ἀμίδας κατέκλων καὶ προσούρουν· ἀμίδας[16] δέ τινες σκεῦος οὐροδόχον φασί. μετὰ ταῦτα δὲ ἐν θεάτρῳ εὑρών, παίσας τε καὶ καταβαλών, φησίν, ἐμὲ Κόνων οὑτοσὶ ἐπὶ τοσοῦτον ἔπληξεν πληγὰς ἐπιθείς, ἕως ἐγενόμην ἡμιθνής· ἐφ' οἷς κροτήσας τοῖς ἀγκῶσιν ἐπὶ τὰ πλευρὰ καθάπερ ἀλεκτρυὼν τὰς πτέρυγας ἐκόκκυσεν ᾄδων ὡς ἀλεκτρυὼν νενικηκώς.

ιη΄. Ἐν δὲ τοῖς δημοσίοις σπάνιά τε τὰ τοιαῦτα· ὁ Δημοσθένης, ἀλλ' οὐχ ὁ Λυσίας τὸ ὕπτιον παρεμυθήσατο· εἰ γὰρ μόνον εἶπεν, ἄνευ τοῦ προσωπείου κωμάζειν,,[17] αἰσχρὸν ὂν τὸ πρᾶγμα καὶ ἑταιρικὸν εὐτελὲς ἂν ἦν καὶ ὑπερευτελές· νῦν δὲ ἐπαρασάμενος, τὰ γὰρ τοιαῦτα τοῦ ἐνδιαθέτου λόγου, παρεμυθήσατο τὴν ἀτοπίαν.

ιθ΄. Ἀλλ' ὡς ἡ μήτηρ σου τοῖς μεθημερινοῖς γάμοις· ἐκ τοῦ ὑπὲρ τοῦ στεφάνου,[18] κἂν ἡ ἐπιφορὰ κατ' Αἰσχίνου, καὶ οὐκ εἰρωνεία, ὥς φασί τινες· ἀλλὰ ἀλληγορία κατὰ σεμνότητα· ἀποφεύγουσα τὸ αἰσχρὸν τῆς ἀκολασίας, ᾗ λέγει χρῆσθαι τὴν μητέρα αὐτοῦ, ὥς φησι ψευδόμενος· λέγεται γὰρ μὴ εἶναι τοιαύτην, εἰ καὶ διὰ τοὺς τριάκοντα τυράννους ὁ Ἀτρόμητος τοῦ δήμου ἐξέπεσέ τε καὶ ἐπενήτευσε.

Συριανοῦ[19] εἰς τὸ αὐτό· τὸ εἰπεῖν μεθημερινοῖς οὐκ εὐτελές ἐστιν· ἐμφαντικῶς γὰρ διαβάλλει τὴν ἀκρασίαν, καὶ οὐκ ἔστιν εὐτελές· εἰρωνεία δέ ἐστιν ἐνταῦθα τὸν καλὸν ἀνδριάντα.

---

14 Par. Vind. τόν. 15 Vind. φήσαντα — ἀριστοποιούμενος. correxi ex or. in Con. p. 1257. 16 Vind. ἀμίδες, scr. ἀμίδας. 17 de fals. leg. p. 433. 18 p. 270. 19 in Vol. VII. ιά.

κ'. Τὸν καλὸν ἀνδριάντα· ἐκωμῴδησεν αὐτὸν παρονομάσας ἀπὸ τοῦ ἀνδρός· φασὶ γὰρ ὡς ἀνδρεῖος ὁ Αἰσχίνης ὑποκρινόμενος τὸν Οἰνόμαον. ἦν γὰρ ὡς ἀληθῶς ἀνδρεῖος, ὃς καὶ ἐξέπεσε τοῦ ἅρματος· διὸ κατειρωνεύεται αὐτοῦ καὶ διὰ τοῦ τριταγωνιστοῦ ὁμοίως. μονομάχος δὲ ὁ πολλάκις νικήσας τριταγωνιστής· ταῦτα μὲν μᾶλλόν εἰσι σφοδρὰ, ἧττον δὲ ἀφελῆ, διὰ τὴν εἰρωνείαν μόνον καὶ τοὺς αὐτοὺς τόπους.

κά. Καὶ μὴν καὶ τὸ τοὺς ὄφεις τοὺς παρίας· ὄφις ἐστὶν Ἀττικὸς ὁ παρίας, παρειὰς ἔχων μεγάλας·[20] ἀβλαβὴς μὲν ἀνθρώποις εἰς δῆξιν, τῶν δ' ἄλλων ὄφεων ἀναλωτικὸς, ὡς Εὔδημος ὁ Ἀργεῖος ἐν τοῖς περὶ τῶν ῥητόρων ζητουμένοις φησίν· ἔστι δὲ καὶ τοῦτο ἐκ τοῦ αὐτοῦ λόγου κατὰ παράθεσιν εἰσαχθέν· ὡς ἐγὼ μὲν τοιῶσδε καὶ τοιῶσδε ἀνήχθην καὶ ἐπαιδεύθην· οὐ δὲ μετὰ πολλὰ ἄλλα φησίν· ἐν δὲ ταῖς ἡμέραις τοὺς καλοὺς θιάσους ἄγων, διὰ τῶν ὁδῶν τοὺς ἐστεφανωμένους τῷ μαράθῳ καὶ τῇ λεύκῃ καὶ τοὺς ὄφεις τοὺς παρίας θλίβων καὶ βοῶν, εὐοῖ, εὐοῖ· ὕης, ὕης, ἄττις, ἄττις· ἐπιφωνήματα δὲ ταῦτα Διονυσιακὰ καὶ τάδε ὑπὸ τῶν γραϊδίων προσαγορευόμενος. παρεμυθήσατο γὰρ, φησὶν, ὁ ῥήτωρ τὴν ἀτοπίαν τῶν λόγων ἐκ τοῦ εἰπεῖν ὑπὸ τῶν γραϊδίων· ταῦτα, φησὶ, τὰ γραΐδια αὐτὸν ὠνόμαζον ὄντως, οὐκ ἐγώ.

κβ'. Ὠβέλισάν τινες· ἀντὶ τοῦ ἐσημειώσαντο, ὡς ἀλλότρια, τοιούτῳ σημείῳ.

κγ'. Ἔτι ἀφελεῖς ἔννοιαι· καὶ ἐν τοῖς ἐπιχειρήμασιν ἀπὸ τῶν ἀλόγων ζώων λαμβανόμεναι· τετάρτη ἔννοια τῆς ἀφελείας, ἀλλ' οὐδὲ ταύτην ἔχει θεολόγος· ὅτι μὴ ἀγωνικὸν μηδὲ εὔκρατον τὸ τοιοῦτον εἶδος· εἰ δέ τις παραδέξεται ἀφελῆ εἶναι τὰ κατὰ μέρος, ἐκεῖνα ἂν εἴη τοι-

20 Vind. μεγάλως.

τοιαῦτα· αἱ παρθένοι τὸν νυμφαγωγὸν, αἱ χῆραι τὸν προστάτην, οἱ ὀρφανοὶ τὸν πατέρα· πλὴν ἐν τῷ καθόλου ληφθέντι καὶ κατὰ ἀντίθεσιν ἀντεισφερόμενα τὰ μερικὰ περιβολῆς εἰσι μᾶλλον· καὶ διὰ τὸ ἀσύνδετον καὶ κομματικὸν γοργότητος, εἰ δὲ καὶ τοιαῦτα τὰ τοῦ τεχνικοῦ παραδείγματα,[21] εἴησαν ἂν καὶ τὰ τοιαῦτα· εἰ δὲ καὶ δοκεῖ ἀφελείας, ἀλλ' οὐ κατὰ ἀντίθεσιν προήχθη ταῦτα, ἀλλὰ κατὰ τὸ ἀνταπόδοτον ἀποφαντικὸν, οὐκ ἄρα ἐκεῖνα ἀφελείας.

κδ΄. Οἷον ὁ βοῦς κέρατι παίει· τοῦτο ἐν τῷ δευτέρῳ τῆς τοῦ Κύρου παιδείας[22] κεῖται παρὰ τῷ Ξενοφῶντι, ἐν ᾗ ἀξιοῦντος τοῦ Κύρου, ἤν τι ἀγαθὸν ἀγαθῷ διδῷ ὁ θεὸς ἐκ τῆς μάχης, μὴ ἰσομοιροῦν τοῖς ἀγαθοῖς τοὺς κακοὺς, ἀναστὰς Φεραύλας[23] Πέρσης οὐ τῶν ὁμωνύμων, ἀλλὰ τῶν ἰδιωτῶν πρὸς αὐτὸν διελέξατο, ὡς οὐ δίκαιόν ἐστι τοῦτο. Ἐν ταῖς ἐπιχειρήμασιν ἀπὸ τῶν ἀλόγων ζώων οἱ ποιηταὶ τὰ παραδείγματα εἰσάγουσιν ἐξ ἑνὸς οἷον·[24]

Ὡς δὲ λέων ἐχάρη μεγάλῳ ἐπὶ σώματι κύρσας·

καὶ,[25]

Ὡς δ' ὅτ' ὄνος παρ' ἄρουραν ἰὼν ἐβιήσατο παῖδας.

Εἰς τό· ἔτι ἀφελεῖς ἔννοιαι καὶ ἐν τοῖς ἐπιχειρήμασιν ἀπὸ τῶν ἀλόγων ζώων λαμβανόμεναι· ἐπιχειρήματα γενικῷ λόγῳ οὐ μόνον τὰ ἰδίως τούτῳ τῷ ὀνόματι ὀνομαζόμενα λέγεται, ἀλλὰ καὶ πᾶσα ἀγωνιστικὴ πίστις, αἵ τε ἐργασίαι καὶ τὰ ἐνθυμήματα. τοῖς ἐπιχειρήμασι γοῦν λέγει νῦν ἀντὶ τοῦ, ταῖς ἐκ παραβολῶν ἐργασίαις· ἔσθ' ὅτε γὰρ αἱ ἐκ παραβολῆς ἐργασίαι ἀπὸ τῶν ἀλόγων ζώων γίνονται.

---

21 Vind. παραδείγματος, scr. παραδείγματα. 22 II. 3, 9.
23 Vind. Φεράβλας. 24 Il. γ. 23. 25 Il. λ. 558.

κέ. *Καὶ εἰ* [26] *ἀπὸ τῶν φυτῶν δέ τις ἐπιχειροίη·* ὡς ὁ ποιητής· [27]

"Ογχνη ἐπ' ὄγχνῃ γηράσκει, μῆλον δ' ἐπὶ μήλῳ·

καὶ τὰ ἑξῆς· εἴποις δ' ἂν καὶ αὐτὸς, ἡ πόλις, ἡ βασιλὶς πάμφορος ἀγαθῶν τῶν τε ἄλλων καὶ τῶν ἐπετείων· κἀνταῦθα μόνον οὐκ ἔστιν ἐφ' ὥραις τὰς ὀπώρας περιγραφῆναι· ἄπιοι γὰρ φθάνουσι τοὺς ἀπίους, καὶ μῆλα τὰ μῆλα· ἤδη δέ που καὶ σταφυλὴν παλαιὰν εἶδέ τις ἐπὶ νέᾳ μὴ ῥυτιδωθεῖσαν τῷ χρόνῳ.

κϛ'. *Ἐγγὺς* [28] *γάρ ἐστι γλυκύτητος·* ἡ γλυκύτης κατ' ἐπίτασιν τῆς ἀφελείας γίνεται γλυκύτης, καὶ εἴ τι μὲν ἀφελὲς, εἰκὸς εἶναι καὶ γλυκύ· οὐ μὴν τὸ ἀνάπαλιν· γλυκύτητα μὲν εὑρίσκω παρὰ τῷ θεολόγῳ. ἀφέλειαν δὲ βραχεῖάν τινα, ὡς μετ' ὀλίγον ἐροῦμεν. Ἔτι εἰς τὸ, καὶ εἰ ἀπὸ τῶν φυτῶν δέ τις. Vol. VII. ιγ. vide Vol. V. p. 531. v. 3—6.

κζ'. *Μέθοδος δέ τις αὕτη ἀφελείας τὸ πλεονάσαι τοῖς κατὰ μέρος·* μέθοδόν φησιν ἀφελείας εἶναι, ἀλλ' οὐκ ἔννοιαν· εἰκότως. ἡ μὲν γὰρ ἔννοια ἁπλῶς ψυχῆς νόημα τῷ ῥηθησομένῳ πράγματι ἁρμόδιόν ἐστι· ἡ δὲ μέθοδος τὸ πῶς δεῖ προάγειν τὸ νόημα ταχέως καὶ συντόμως, ἢ ἐπιμένοντα καὶ περὶ τὴν προφορὰν διατρίβοντα ἢ ἄλλως πως, οὐκοῦν τὸ ταῖς ἐννοίαις ἐπιμένειν μέθοδος δικαίως, οὐκ ἔννοια.

κή. *Εἰ ἀφέλοι τις τὸ ἀόριστον·* τὸ ἄλλο τι ἀόριστόν ἐστιν, ἢ εἰς περιβολὴν τὸ κατὰ μέρος ἀναγάγῃ· τὸ δὲ χωρὶς τούτου ὡρισμένον καὶ ἀφελές· ἡ δὲ χρῆσις ἐκ τοῦ περὶ στεφάνου καὶ κατ' Αἰσχίνου· φησὶ γὰρ εἰ τοὺς μισθωτοὺς πρέσβεις τις οἴεται, πρέσβυν ἡγήσεται τὸν Αἰσχίνην μισθὸν λαβόντα ἐπὶ τῷ προδοῦναι.

κθ'. *Ἔτι ἀτελὲς καὶ ἠθικὸν κατ' ἔννοιαν καὶ τὸ δι' ὅρκων πιστοῦσθαι·* ἔχει ταύτην ὁ θεο-

26 Vind. ἢ. 27 Od. η, 120. 28 Vind. εἴτις.

λόγος, ἤδη [29] δέ μοι πηδᾷ καὶ ἵεται πρὸς πανηγυρισμὸν ὁ λόγος καὶ καλεῖ πάντας καὶ τὰ ἑξῆς· καὶ καλῶ καὶ τὴν ἑτέραν μοῖραν εἰς τὴν πανήγυριν· καὶ οὐδὲν διαφέρει, εἰ καὶ διάφορα τὰ καλούμενα. πολλῷ γὰρ ἐκείνων ταῦτα σεμνότατα· ἀλλ' ἐκεῖνο ζητητέον, εἰ ταῦτα ὅρκος, ἀλλ' οὐ κλητικὰ τὰ παραδείγματα, πλὴν ἀλλ' εἰ καὶ κλητικὰ, ὅρκου δύναμιν ἔχουσιν, ὅτι εἰς μαρτυρίαν τινὰ καὶ πίστιν παρελήφθησαν, διὸ κρείττονα ἀφελείας τὰ τοῦ θεολόγου παραδείγματα, ὅτι σχεδὸν ἰδιωτικὰ καὶ ἀφελῆ. ὥσπερ καὶ τὰ τοῦ προφήτου· γυναῖκες ἀπὸ θέας δεῦτε, δεῦτε γὰρ, φησὶ, χορεύσατε. καὶ δεῦτε, ἴδετε τὸν τάφον. τὰ δὲ ἑξῆς, ἀριθμητικὰ ὄντα, εὐκρινείας ἐλέγετο καὶ περιβολῆς· τυχὸν δὲ καὶ γοργότητος, ἀλλὰ γοργότητος μὲν κατὰ τὴν μέθοδον ταῦτα, εἰ ταχέως ἀπαλλάττονται τοῖς κώλοις, εὐκρινείας δὲ διὰ τὸ εἰς ἀρχὴν ἵστασθαι τὰ τοῦ λόγου. περιβολῆς δὲ διὰ τὸ μακροαπόδοτον τῶν ὁρισμῶν· ἀφελείας δὲ διὰ τὸ ἄπλαστον τῆς ἐννοίας· οἷον ἦν καὶ τὸ, πρῶτον ἀποστόλους καὶ τὰ ἑξῆς· καὶ μὴν καὶ τοῦτο πρῶτος μὲν κακούργως τὴν προσηγορίαν μετέθηκεν ἐπὶ τὸ δοκοῦν, ἔπειτα ὅτι λανθάνειν ἡμᾶς ὑπέλαβεν. εἰ γὰρ εἰς τὴν ἔννοιαν ἀποβλέψεις, πάνυ ἀφελὴς καὶ συνήθης τοῖς ἰδιώταις· ὀμοτικὸν δὲ τοῦτο· πείθομαι γὰρ, εἰ δεῖ καὶ πίστιν προσθεῖναι τῶν λόγων καὶ τὴν ἡμετέραν καύχησιν ἀδελφοί· καὶ μάρτυς ὁ εἰρηνεύσας ἡμᾶς καὶ τὰ ἑξῆς· ἀλλὰ καὶ ἡ ἀρχὴ τοῦ λόγου τούτου εὐθὺς ἐρωτικὴν καὶ φιλόστοργον ἔμφασιν δηλοῖ· ἦν γὰρ καὶ τοῦτο ἀφελείας· ἐπόθουν ὑμᾶς, ὦ τέκνα, καὶ ἀντεποθούμην τοῖς ἴσοις μέτροις· καὶ τὰ ἑξῆς.

Λ'. Καὶ εἰ τοὺς ἀκούοντας ὁρκίζοι, ὡς τὸ, τί οὖν ἔδει ποιεῖν, ὦ πρὸς τῆς τριάδος αὐτῆς, κατὰ τὴν τῆς γοργότητος ἀποστροφὴν εἰσαχθέν· τοῦτο δὲ λαμπρότητα εἰπόντος μᾶλλόν ἐστιν ἀφελές· ὥσπερ μᾶλλον λαμπρὸν,

29 Vind. ἔδη, scr. ἤδη.

ὡς τὸ, οὐ μὰ τοὺς ὑπὲρ ἀρετῆς τοῦ ἀνδρὸς κινδύνους, φυλάττον τὴν οἰκείαν δύναμιν· εἰ γὰρ καὶ μεθωδεύθη, φησὶν, εἰς ὅρκον ἐμπεσεῖν, οὐδ' αὖ παρὰ τοῦτο γέγονεν ἀφελὲς, ἀλλὰ μᾶλλον λαμπρόν ἐστι, καὶ τῷ εἶναι λαμπρὸν φυλάσσει πίστιν ἀγωνιστικήν· ἤτοι ἀπόδειξιν ἀγῶνι πρέπουσαν, καὶ γὰρ αἱ ἀποδείξεις διὰ πάντων γίνονται ὥσπερ αὕτη· λαμπρότητος γὰρ ἔννοια, ὅταν θαῤῥῶν τις λέγῃ διὰ τὸ ἔνδοξα εἶναι τὰ πράγματα καὶ χαίρειν τοῖς λεγομένοις τοὺς ἀκούοντας.

Περὶ μεθόδου.

λά. Μέθοδοι ἀφελείας, αἵπερ καὶ καθαρότητος· οὐκοῦν τὰ [30] ἐκεῖσε ῥηθέντα παραδείγματα καὶ τούτοις ἀρκέσουσιν. εἶπε δὲ ἐν τῷ περὶ καθαρότητος, ὅτι φαινόμενός ἐστι λόγος καθαρὸς ὁ ἀφελὴς, οὐ μήν γε ὡς ἀληθῶς.

λβ'. Δύναταί τις, φησὶν, μὴ ἔχων ἀφελεῖς ἐννοίας, διὰ σχημάτων καὶ λέξεων καὶ τῶν λοιπῶν ὑποτυποῦν τὴν ἀφέλειαν, καὶ πῶς διδάσκει.

λγ'. Ἡ δὲ ὀξύτης καὶ ἡ δριμύτης, ταὐτὸν γὰρ ἑκάτερον, ἣν εἰπόν τινες ἀφελείας, οὐκ ἔστιν ἀφελείας, ἀλλὰ δεινότητος· τὸ μὲν γὰρ ἀφελὲς ἄπλαστον καὶ μηδὲν ἔχον βαθὺ, τὸ δὲ ταχέως καὶ ὀξέως πρὸς τὰς ἐρωτήσεις ἀπαντᾷν, γοργότητος ὂν βάθος τι ἔχει. καὶ οὐκ ἔστιν ἐπιπόλαιος, πλήρης, ὥς ἡ ἀφέλεια, ἀλλὰ καὶ ἐναντία, τί οὖν θεὸς τὸ πνεῦμα; καὶ ἡ ἀπάντησις ὀξεῖα καὶ πυρώδης· πάνυ γε· τί οὖν ὁμοούσιον; εἴπερ θεός φησιν· γίνεται δὲ καὶ ἑτέρου ἐρωτῶντος τὸν ῥήτορα, καὶ αὐτοῦ ἑαυτὸν, τοῦτο γάρ ἐστιν ἢ ἐρωτῶντός τινος.

λδ'. Ταὐτόν ἐστιν ἡ ὀξύτης καὶ ἡ δριμύτης ἐπὶ τῶν λόγων· κἂν τινες διαφέρειν [31] εἶπον ἐπὶ τῶν πραγμάτων, ὀξὺ μὲν γὰρ μάχαιρα ἢ τι τοιοῦτον, δριμὺ δὲ

30 Par. Vind. τὴν ἐκεῖθε. 31 Par. Vind. διαφέρει.

σίνηπι καὶ ὄξος· τὸ μὲν γὰρ πᾶσι τοῖς μέρεσι τοῦ ζώου αἰσθητὸν, τὸ δὲ γεύσει καὶ ὀσφρήσει· καὶ εἰσὶ ταῦτα τρόποι μεταληπτικοὶ, καὶ ἐπὶ παθῶν λεγόμενοι· ἐρεῖ δὲ τρανότερον περὶ τούτου ἐν τῷ περὶ αὐτῶν λόγῳ καὶ τόπῳ.

Εἰς τὸ αὐτὸ Συριανοῦ καὶ ἑτέρων· ἡ μὲν γὰρ δεινότης κ. τ. λ. Vol. VII. vide Vol. V. p. 531. v. 24, — p. 532. v. 3. Post haec sequitur Vol. VII. ιή. ιθ'. sub titulo: *Συριανοῦ καὶ τῶν λοιπῶν*, Vol. V. p. 531. v. 13, — 23. tum Vol. VII. p. 1062. κά.

λς'. *Ἀδελφίζειν*·[32] τὸ τὰ αὐτὰ φρονεῖν τῷ ἀδελφῷ.

λζ'. *Κλαυσίγελως*,[33] πάθος σύμμικτον, ἐκ τοῦ διαχεῖσθαι τοὺς γελῶντας καὶ ὑποδακρύειν, τοιοῦτον δὲ καὶ τὸ πατρῴζω, παρὰ τῷ θεολόγῳ.

Εἰς τό· λέξις γε μὴν· λέξιν τὴν μὲν λέγει εἶναι τῆς ἀφελείας τὴν αὐτὴν τῇ καθαρότητι. τινὰς δὲ καὶ ἰδίας τῆς ἀφελείας.

λή. *Καὶ μὴν καὶ αἱ δριμεῖαι*· καὶ πῶς εἶπας ἀνωτέρω μὴ εἶναι ταύτας ἀφελείας, προηγουμένως μὲν οὔ φησιν· διὰ δὲ τὴν γλυκύτητα καὶ ἀφελείας, ταύτης γὰρ ἐκείνη ἐπίτασις.

λθ'. *Καὶ πρῶτόν γε περὶ αὐτῆς*· ἐκ τούτων δείκνυσιν ὁ τεχνικὸς, ὅτι ἕν τι καὶ ταὐτὸν ὑπολαμβάνειν δεῖ γλυκύτητα καὶ δριμύτητα· καὶ ἕνα τὸν περὶ ἀμφοτέρων λόγον, εἰ καὶ διῃρῆσθαι δοκεῖ· ἀφελεῖ γὰρ καὶ δριμεῖ προσήκει, ὡς αὐτός φησι, δριμύτης τε καὶ ὀξύτης.

Περὶ σχημάτων, περὶ κώλων, περὶ συνθηκῶν.

μ'. *Αἱ οἷον λελυμέναι*· ἀκούσατε πάντα τὰ ἔθνη, καὶ ἄκουε οὐρανὲ καὶ ἐνωτίζου[34] ἡ γῆ· ὅτι καὶ αἱ τοιαῦται ἔννοιαι ἀφελεῖς πάντῃ.

---

32 Isocr. Aeginet. §. 30. p. 466. Bekk. 33 Xen. Hellen. VII. 2, 9. 34 Vind. ἐνουτίζου.

μά. Ἀπὸ δὲ τούτων δῆλον ὁποῖός ἐστιν καὶ ὁ ῥυθμὸς καὶ οὗτος οἷος ἦν. ά καθαρός· τροχαϊκὸς, ἰαμβικός.

μβ. Ἀνάπαυσις δὲ ἡ βεβηκυῖα ἥτις οἰκεία ἦν τῇ σεμνότητι, ἐπειδὴ τὰ ἀφελῆ ἀργὰ δοκοῦσιν εἶναι πρόσωπα καὶ νωθῆ· ἡ δὲ ἐκκρεμὴς καὶ ἁρπαζομένη κάλλους ἰδία· γλυκύτης δὲ ἡ ὥρα, ἡ ἡδονὴ, ἡ ἁβρότης τοῦ λόγου, εἰ μὴ κατὰ νόθον κάλλος, ἀλλὰ κατά τινα φυσικὴν τῶν πραγμάτων ἀκολουθίαν.

Σύνοψις τῶν περὶ ἀφελείας.

ά. Ἔννοιαι αἱ καθαραὶ καὶ μηδὲν ἔχουσαι βαθύ· ἰδίως δὲ αἱ τῶν ἀπλάστων ἠθῶν, καὶ ὑπό [35] τι νηπίων, καὶ αἱ πλησιάζειν δοκοῦσαι τῷ εὐτελεῖ· γίνονται δὲ ὅταν περὶ εὐτελῶν λέγῃ τις· ἀφελεῖς ἔννοιαι καὶ ἀπὸ τῶν ἀλόγων ζώων καὶ φυτῶν· καὶ τὸ δι' ὅρκων πιστοῦσθαι ὅ τι δήποτε.

β́. Μέθοδοι αἱ τῆς καθαρότητος καὶ τὸ πλεονάζειν τοῖς κατὰ μέρος ἐπεξιόντας.

γ́. Λέξεις αἱ πλείους μὲν τῆς καθαρότητος· εἰσὶ δὲ καὶ ἴδιαί τινες, οἷον τὸ ἀδελφίζειν καὶ ὁ κλαυσίγελως.

δ́. Σχήματα καὶ κῶλα οἷα τὰ τῆς καθαρότητος.

έ. Συνθήκη δὲ ἀφελεστέρα ἡ λελυμένη· οἷον ἀκούσατέ μου ἀπολογουμένου δικαίως.

ς́. Ἀνάπαυσις ἡ βεβηκυῖα.

Cap. IV.

Περὶ γλυκύτητος.

ά. Ὅτι μὲν ἡ γλυκύτης κατ' ἐπίτασιν γίνεται τῆς ἀ-

35 Med. ὑπό τι νηπίων. Vind. Par. ἡ πότινηπίων.

φελείας, εἴρηται, διὸ μετ' αὐτὴν καὶ περὶ ταύτης ποιεῖται τὸν λόγον· ἧς τὰς ἐννοίας εἶναί φησι κατὰ προτίμησιν ἐξαίρετον τὰς μυθικὰς ἁπάσας· οἷον τὸ ἐν τοῖς Κριταῖς ῥηθὲν ὑπὸ τοῦ σωθέντος υἱοῦ τοῦ Γεδεών· ἀπῆλθον τὰ φυτὰ πρὸς τὴν ἄμπελον καὶ εἶπον αὐτῇ, ἐλθὲ καὶ βασίλευσον ἡμῶν καὶ τὰ ἑξῆς· ἀλληγορικὸς γὰρ ὢν φυτὰ μὲν λέγει τοὺς στρατηγούς, ἄμπελον δὲ καὶ ἐλαίαν τοὺς εὐγενεῖς τῶν Ἰουδαίων καὶ σπουδαίους· ῥάμνον δὲ τὸν Ἀβιμέλεχ τὸν δοῦλον τὸν τυραννήσαντα· καὶ ἐστί τις μῦθος φυτὸν καὶ τὰ ἑξῆς· κατὰ γὰρ τὸ ἀλληγορικὸν ἐλέγομεν εἶναι σεμνότητος, οὐ κατὰ τὴν ἔννοιαν τῆς πλάσεως· τοιαῦται καὶ αἱ μυθικαὶ τοῦ ἁγίου ἱστορίαι, αἳ κατ' αὐτὸ τοῦτο τὸ διασύρεσθαι ἠθικαί εἰσιν· ἐξαίρονται δὲ τῆς ὑπτιότητος τῇ ταχείᾳ τῆς γοργότητος μεταβάσει· κατὰ πόσας δὲ μεθόδους τοῖς μυθικοῖς δεῖ χρῆσθαι φάσκει λέξειν ἐν τῷ περὶ μεθόδου δεινότητος.

β. Κατὰ δεύτερον δὲ λόγον τὰ διηγήματα, ὅσα ἐγγὺς μύθων εἰσίν, ὡς τὸ ἐβάδιζον κατ' ἐμαυτὸν ἤδη κλινούσης ἡμέρας· ἀκτὴ δὲ ἦν ὁ περίπατος· καὶ οἱ μὲν πόδες ἐφέροντο· ἡ δὲ ὄψις εἶχε τὴν θάλασσαν· ἡ δὲ ἦν θέαμα οὐχ ἡδύ· καὶ τὰ ἑξῆς· ἐγὼ γὰρ ἔχω παραδείγματα γραφικὰ καὶ παλαιὰ καὶ νέα μυρία, μάλιστα τῆς Ἐξόδου· ἀλλὰ φιλοτιμοῦμαι πάντας θεολογικοὺς παρασχεῖν· διὸ ἐκεῖνα παραιτοῦμαι· ὅμοια καὶ τὰ τοιαῦτα, τολμᾶν ἤδη καὶ κατὰ τοῦ μεγάλου συνθήματα· καὶ εἰπών, τί τοῦτο, ἐπάγει ὅσα τε βασιλέων προσώποις ἀγάλλεται καὶ πεπασμένοις [1] ὑφάσμασι ἐν διαφόροις βαφαῖς καὶ γράμμασιν, ὅσα τε δρακόντων φοβεροῖς χάσμασιν ἐμπετόμενα ἐπ' ἄκρων δοράτων αἰωρουμένοις, [2] καὶ διὰ τῶν ὁλκῶν ῥιπιζόμενα φολίσιν ὑφανταῖς καταστίκτων ἥδιστόν τε ὁμοῦ καὶ φρικτὸν θέαμα προσπίπτει ταῖς ὄψεσιν· ἐνταῦθα

1 Vind. Par. πεπασμένοις (πτα). 2 Par. ἀρωρουμένοις (αἰ).

γὰρ καὶ τὴν τῶν γλυκέων φύσιν ἠνίξατο μιμησάμενος ἀποπληρούμενά πως καὶ πρὸς τέλος ὄντα ἡδύτερα τῇ αἰσθήσει· γίνονται δὲ αἱ γλυκύτητες, καλὸν γὰρ ἐνταῦθα θεῖναι τὰς αἰτίας, ὅταν ἐπὶ τῶν [3] ἄδηλον τὴν ὠφέλειαν ἐχόντων ἢ τὸ βλάβος πλάττωμεν μῦθον, ἢ τοιοῦτον διηγώμεθα· ἵνα τὸ μὲν προκρίνωμεν, ὡς ὁ θεολόγος τὸν περὶ τοῦ φυτοῦ μῦθον, περὶ καρτερίας φιλοσόφων καὶ ὑπομονῆς ἐν τοῖς πειρασμοῖς· καὶ τὸ τῆς θαλάσσης διήγημα· καὶ ὁ μέγας Βασίλειος ἐν τῷ τῆς ὄρνιθος, περὶ ἧς λέγει· εὐαλώτων γὰρ αὐτῆς τῶν νεοττῶν ὄντων καὶ τὰ ἑξῆς· γίνεται δὲ γλυκύτης ἐπὶ τῶν ἀλληγορικῶν διηγημάτων, ὅταν διὰ τοὺς ἀσθενεῖς τὸ τῆς διανοίας ὕψος περικαλύπτωμεν· ὡς ἡ γραφή, [4] καὶ εἶπεν ὁ ὄφις τῇ γυναικί· καί, [5] ἐπικατάρατος σὺ εἶ ἀπὸ πάντων τῶν θηρίων· καὶ ἐπὶ τῷ στήθει καὶ τῇ κοιλίᾳ πορεύσει· καὶ αὐτός σου τηρήσει κεφαλήν· καὶ σὺ τηρήσεις αὐτοῦ πτέρναν· ταῦτα γὰρ καὶ τὰ τοιαῦτα ἑτέραν ἔχουσι τὴν θεωρίαν· γίνεται γλυκύτης καὶ ἐπὶ τῶν μὴ πειθομένων δέξασθαι τὰ λεγόμενα, εἶτα διὰ τῆς ἡδονῆς ἀπατωμένων καὶ δεχομένων· ὡς ἡ ἀλώπηξ ἐπὶ τῆς ἐλάφου εἰς βασιλείαν καλουμένης καὶ φοβουμένης τὸν λέοντα, καὶ ἐπὶ τῶν ἐν οἷς οὐκ ἔχομεν παῤῥησίαν λέγειν· καὶ ἐπὶ βεβαιώσει τῶν λεγομένων ἢ παραδειγματικῶς ἢ παραβολικῶς, ὡς ἐν τοῖς προγυμνάσμασιν ἐδιδάξαμεν, καὶ ὅσα παρὰ τῶν γραφῶν ἠρανισάμεθα· εἰρήσεται δὲ πάλιν περὶ αὐτῶν· ὅπου καὶ ὁ τεχνικὸς λέξειν ὑπέσχετο.

γʹ. Τρίτην δὲ ἔχει τάξιν τὰ κατ' ὀλίγον μέν πως τοῦ μυθικοῦ· κεῖται γὰρ καὶ τοῦτο τὸ εἶδος ἐν τῇ γραφῇ· ἡνίκα ἡ ὄνος ἐλάλησε τοῦ Βαλάαμ ἰδοῦσα τὸν ἄγγελον καὶ τὸ τὴν περιστερὰν δὲ πεμφθῆναι παρὰ τοῦ δικαίου, καὶ δὶς ὑποστρέψαι, καὶ κάρφος ἐλαίας φέρειν τῷ [6] στόματι, τῆς αὐτῆς ἰδέας ἐστίν.

---

3 Par. Vind. τόν. 4 Gen. III. 1. 5 v. 14. 15.

Συριανοῦ καὶ τῶν λοιπῶν [7] εἰς τὸ „λίαν ὕπτιον παρεμυθήσατο·“ ὅτι ἀφηγηματικὸν καὶ τὸ μυθῶδες πολλὴν ὑπτιότητα παρέχει τῷ λόγῳ· ἅπερ διὰ τῆς γοργότητος ἰάσατο, ταχέως ἀφ' ἑκάστου ἀπαλλαττόμενος καὶ κομματικώτερα τὰ κῶλα ποιῶν καὶ τῶν μερισμῶν τὰς ἀποδόσεις ἐπιταχύνων, καὶ τῷ τμητικῷ χρώμενος εἴδει.

Παρέσχε δὲ αὐτῷ χώραν χρήσασθαι μυθικοῖς ἐν τῷ κατὰ Ἀριστοκράτους [8], ἡ δόξα καὶ ἡ πίστις τῶν ἀνθρώπων· οὐ γὰρ ἄλλως ἐδόξαζον ἢ οὕτως· κριθῆναι μὲν τοὺς θεοὺς [9] ἐν Ἀρείῳ πάγῳ Ποσειδῶνα καὶ Ἄρεα, ὑπὲρ Ἁλιῤῥοθίου, [10] καὶ πάλιν τὸν Ὀρέστην καὶ τὰς Εὐμενίδας. Κατηγορεῖται δὲ ὡς ἔγωγε οἶμαι ὑπὸ τοῦ Ποσειδῶνος, τοῦ τῆς ὑγρᾶς οὐσίας δεσπότου, Ἄρης διὰ τὸ σιδήρῳ τρωθῆναι τὸν υἱὸν αὐτοῦ Ἁλιῤῥόθιον. [11]

δ'. Καὶ ἴσως ἄλλα τινά, σφόδρα δὲ ὀλίγα, τὰ περὶ τῆς γλαυκός, ὅτι περὶ τὸν καιρὸν τῆς συμβολῆς [12] ἐφάνη περιϊπταμένη, [13] καὶ τὰ τῆς περιστερᾶς, ὅτι ἐφάνη καθεζομένη ἐπὶ τῆς Ἀριστοκλέους [14] τριήρους· ὅθεν, καὶ μετὰ τὴν νίκην Ἀφροδίτης ἱερὸν ἱδρύσατο ἐν Πειραιεῖ ὡς Ἀμμώνιος [15] ὁ Λαμπρεὺς ἐν τῷ περὶ βωμῶν φησιν· ἔτι τὰ περὶ τοῦ γυναικείου φάσματος καὶ ἄλλα τινά.

ε'. Ἕτερον δὲ παρὰ ταῦτα εἶδος· ἕτερον δὲ παρὰ ταῦτα τέταρτον εἶδος ἐννοίας, γλυκύτητος, αἱ κατὰ τὰς αἰσθήσεις ἀπολαύσεις, [16] ὡς τὰς αἰσχρὰς τοῖς ὁμοίοις ἀποῤῥιπτέον, τὰς δὲ σπουδαίας παραληπτέον· κατ' ὀφθαλμοὺς μέν, ὡς τό, ἡδὺ μετὰ ζάλην γαλήνη καὶ μετὰ

Par. Vind. τό. 7 Vol. VII. litt. δ'. ε', sed mutavit Sicel. 8 p. 641. 9 post θεοὺς μέν. in Vind. repetitur delevi. 10 Vind. h. l. et infra Ἀλλιῤῥοθ. 11 Sequitur ex Vol. VII. p. 1005. litt. ζ'. 12 Vind. συμβουλῆς. scr. συμβολῆς. 13 Par. et Vind. περιϊπτάμενα et καθεζόμενα. 14 Par. Vind. sic:] Vol. VII. Θεμιστοκλέους. 15 Par. Vind. Ἀμμόνιος. 16 Par. Vind. ἀπολαύσης.

χειμῶνα τὸ ἔαρ, τοῦ θεολόγου, καὶ ἁπλῶς πάσαις ταῖς αἰσθήσεσιν· οἷά εἰσι τὰ τοιαῦτα· ἴδε γὰρ οἷα τὰ ὁρώμενα, ἡ βασίλισσα τῶν ὡρῶν [17] τῇ βασιλίδι τῶν ἡμερῶν προπέμπει, καὶ δορυφορεῖ [18] παρ' ἑαυτῆς πᾶν ὅτι κάλλιστον καὶ τερπνότατον, νῦν οὐρανὸς διαυγέστατος καὶ τὰ ἑξῆς ἅπαντα· ἐν οἷς καὶ ἡ πρὸς τὰ μερικὰ ἐπιμονὴ τὴν ἀφέλειαν ἔδειξεν ἄχρι σχεδὸν τοῦ τέλους τοῦ λόγου, καὶ καλλίω τούτων παραδείγματα σώφρονα καὶ ἅγια εὑρεῖν οὐκ ἔστι· τοιαῦται καὶ αἱ ἐκφράσεις, ἰδοὺ ἀνὴρ ἐπιβεβηκὼς ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ· καὶ εἴ τι ὅμοιον, ὅλως τε ὁ σπουδαῖος τοιαύτην ἐρεῖ τὴν κτίσιν, διηγούμενος ἢ ἀφηγούμενος, καὶ τούτοις ἡσθήσεται· [19] ὧν πλήρης ἡ [20] θεολόγος βίβλος· ὁ δὲ ἀκόλαστος τοῖς ἐναντίοις· οἷος γὰρ ὁ βίος κατὰ τὸν Σωκράτην, τοιοῦτος καὶ ὁ λόγος ἑκάστου καὶ αἱ πράξεις· ἐπαφιέμεναι νῆσοι· βέλη τε ὁμοῦ καὶ τάφοι τοῖς ἀπαντήσασι· καὶ ἡνίκα αὐτὸν ἀσχημονεῖν ἀναπείθει, μεσούσης ἡμέρας, κἂν οἱ ποιηταὶ μετὰ τῶν μέτρων αὐτὸν θεραπεύωσι· λωτὸν ὑποστρωννύοντες ἑρσήεντα [21] καὶ κρόκον ἀναφύοντες καὶ ὑάκινθον καὶ τοιαῦτα μυρία· διὸ οὐδὲ ἀπέδωκε τάξιν, εἴγε ἄλλος [22] τῶν ἀκουόντων ἄλλοις χαίρει· καὶ αὐτῶν δὲ τῶν λεγόντων ὡσαύτως οἷς χαίρει καὶ οἷς πράττει· ταῦτα δὲ ἀόριστα, τῶν δὲ ἀορίστων τάξις οὐκ ἔστι· εἰκότως οὖν ταῖς ἐννοίαις τούτων οὐκ ἀπέδωκε τάξιν.

ς'. Ἄλλην ἔχει δύναμιν κατὰ λέξιν καὶ ἄλλην κατὰ ἔννοιαν· καὶ ὅταν κατ' ἔννοιαν, ὑπερβάλλει εἰς τέρψιν τὰ μυθικά, ὅταν δὲ κατὰ λέξιν, ἐλαττοῦται καὶ τοῖς κατ' ὀλίγον κοινωνοῦσι τοῖς μυθικοῖς.

ζ'. Κάλλος χωρίου. Συριανοῦ· ἡνίκα κ. τ. λ. Vol. VII. litt. ιά. vide Vol. V. p. 634. v. 8—11.

---

17 Vind. ὁρῶν. 18 Par. δωριφορεῖ. 19 Vind. Par. αἰσθήσεται. 20 Vind. Par. ὁ. 21 Par. Vind. ἐρασήεντα. scr. ἑρσήεντα. 22 Vind. ἄλλη. scr. ἄλλος.

ή. Οἷς γὰρ ἕκαστος χαίρει, ἐκείνοις[23] οὗτος καὶ λεγομένοις ἡσθήσεται· ἐμφρόνως ἄγαν καὶ φιλοσόφως· καὶ γὰρ ὁ Σωκράτης εἰώθει λέγειν, οἷος ὁ βίος, τοιοῦτος καὶ ὁ λόγος, οἷος ὁ λόγος, τοιαῦται καὶ αἱ πράξεις καὶ ἀναστρέφων τὰ αὐτὰ ἔλεγεν.

Τοῦ Σικελιώτου εἰς τὸ αὐτὸ, πέντε τάξεις γλυκύτητος ἐννοιῶν, ἐν αἷς κατὰ Πίνδαρον οἷς χαίρει τις τούτοις καὶ τιμώμενος ἥδεται· ἐμφαίνεται δὲ καὶ τοῦτο παρὰ τῷ θεολόγῳ ἐν ἄλλοις τε καὶ ἐν οἷς διηγεῖται περὶ τῆς συμπνοίας καὶ τοῦ λουτροῦ καὶ τῆς πρὸς τοὺς νέους διαλέξεως, ὅπου καὶ τὴν ἡδονὴν ἐδήλωσεν εἰπὼν καὶ οὐ θαυμαστὸν εἰ τῆς ἐκείνου φιλίας τι παραπήλαυσα.

θ'. Οὐ γὰρ τραχέως ἀλλὰ καὶ σκληρῶς, ὅτι τροπικὴ ἡ λέξις τῆς ἀνθρωπικῆς πρὸς τὰ ἐρωτικὰ πτοίας ἐπὶ τὴν τοῦ θείου ἀπάθειαν μετενηνεγμένη, σκληρὰ δὲ διὰ τὸ δύσφωνον τῆς τῶν στοιχείων συνθέσεως· καὶ μεγέθους δὲ, φησὶ, μετέχει διὰ τὸ ὑπὸ τὸ μέγεθος ἀνάγεσθαι τραχύτητα καὶ σφοδρότητα, ὧνπερ εἰσιν ἴδιαι αἱ λέξεις, ἀγκὰς ἔμαρπτεν.

ι. Οὐ μόνον ἡδύ ἐστι τῇ ἀκοῇ, ἀλλὰ καὶ τῇ θέᾳ· ἄλλως· τὴν γὰρ ὄψιν εὐφραίνει τὰ τοιαῦτα ἐκφραζόμενα, ὡς καὶ ἀνωτέρω φησίν.

ιά. Τὰς ἐρωτικὰς[24] ἐννοίας οὐ λογίζομαι, φησὶν, εἰς τὴν τετάρτην τάξιν, οὐδὲ ἀπονέμω αὐταῖς ἴδιόν τινα τόπον· ἐπειδὴ καὶ ἐπὶ τὸ πλεῖστον οὐ κατὰ μόνας οὐδὲ καθ' ἑαυτὰς θεωροῦνται, ἀλλὰ συμπλέκονται ταῖς ἄλλαις.

ιβ'. Ἔτι ποιεῖ γλυκύτητα καὶ τὸ τοῖς ἀπροαιρέτοις προαιρετικόν τι περιτιθέναι· κάλλιον καὶ τοῦτο ὁ θεολόγος ἔχει· τοῦ μὲν γὰρ Πλάτωνος τροπή ἐστι καὶ σκλη-

23 Par. Vind. ἐκεῖνος. vide Vol. VII. litt. ιγ'. 24 cfr. Vol. VII. litt. ις'.

ρὰ κατ᾽ ἔννοιαν· οὐ γὰρ μόνον ἀπροαίρετα τὰ φυτὰ, ἀλλὰ καὶ ἄλογα· τὸ δ᾽ ἀπροαίρετον ἐπὶ τῶν καθ᾽ ὁρμὴν ζώων λέγεται καὶ αἰσθητικῶν· ὅρα δὲ τὸ τοῦ θεολόγου καὶ οὐ μέμφομαι χερσαίοις πόνοις καὶ θαλασσίοις, οἷον τούτου μοι συνεπόρισαν, τοιοῦτον εἶναι δοκεῖ· καὶ τὸ ἔπειτά μέ τις ὑπεισήει [25] ἔλεος· τὸν γὰρ παρὰ τὴν ἡσυχίαν πόθον τῇ ψυχῇ γεννηθέντα καὶ ἀπροαίρετον αὐτὸν καθ᾽ ἑαυτὸν ὄντα ἔξωθεν ἐπεισιέναι εἶπεν ὡς προαιρετόν τινα· πολλὰ δὲ καὶ ἄλλα τοιαῦτα εὕρῃς παρ᾽ αὐτῷ καὶ παρὰ τῇ γραφῇ πάμπολλα· τί σοί ἐστι θάλασσα, ὅτι ἔφυγες· ἐπειδὴ γὰρ διέστησε θείῳ προστάγματι τὴν διάβασιν, φυγὴν καὶ τροπὴν εἶπεν ὁ λόγος, ἡ μὲν γὰρ διαῤῥαγεῖσα συνεστάλη· τοῦ δὲ τὸ μὲν ᾤχετο ῥεῦσαν εἰς τὴν θάλασσαν, τὸ δὲ ἀναχαιτισθὲν εἰς τὸ ὄπισθεν ὥσπερ ἐστράφη· τὰ ὄρη ἐσκίρτησαν, ὡς οἱ κριοὶ, καὶ τοῦτον πάλιν τὸν σεισμὸν, ἐφ᾽ οἷς καταβάντα τὸν θεὸν ἐτρόμαξαν ὡς ἐν τῷ Σινᾷ, σκίρτησεν εἰπὼν ὑπερεβάλετο τῇ γλυκύτητι, καὶ οὐχ ὡς ἐν τῷ μέλιτος ἥδιον ῥέεν [26] αὐδή· ἴδιον γὰρ τοῦ μέλιτος τὸ ῥέειν· αἱ γὰρ τροπαὶ αἱ ξηραὶ, ὡς αἱ τοῦ Πλάτωνος, τραχύτητός εἰσιν· αἱ δὲ ἁρμόδιαι γλυκύτητος· ῥέει γὰρ ἡ φωνὴ καὶ ἐξέρχεται μᾶλλον, ἢ τὰ ὑγρὰ οὐχ ὅτι ὡς ταχεῖα μόνον καὶ χεομένη τῷ ἀέρι, ἀλλ᾽ ὅτι καὶ δι᾽ ἀέρος ἐξέρχεται· καὶ ἀήρ ἐστι χεομένου καὶ ῥέοντος πράγματος· διὰ τοῦτο τὸ ῥέω· ἐπειδὴ δὲ ὠφελιμωτέρα καὶ μᾶλλον ἡ Νέστορος, διὰ τοῦτο γλυκίων· τάχα δὲ παραμυθήσασθαι βούλεται ὁ τεχνικὸς τὴν τραχύτητα τῆς λέξεως τὴν περὶ τὸν Πλάτωνα φυλάττων αἰδῶ· εἴποι δ᾽ ἄν τις, ὡς ἀλληγορία διὰ μιᾶς λέξεως οὐ γίνεται, εἰ δὲ τοῦτο μετάληψίς ἐστιν ἀντὶ τοῦ οὐ δύναται τὸ οὐ θέλει, ποιητικῶν τρόπων οὖσα μία.

---

25 Par. Vind. συνεισήει, supra lineam ὑπεισήει. 26 Vind. ῥέον. — Il. α. 249.

ιγ'. Καὶ ὅταν τὴν λύραν ἐρωτᾷ ἡ Σαπφώ· καὶ ὁ θεολόγος ἀνακαλεῖται τὸ πάσχα, οὐχ ἁπλῶς εἴποι τις ἂν ὃν Χριστὸς, ἀλλὰ πάθος Χριστοῦ· ὡς αὐτός φησι κατὰ τὸν ἄνθρωπον· διὸ καί φησιν, ὡς γὰρ ἐμψύχῳ σοι διαλέγομαι, εἰκότως· οὐ γὰρ τὸ πάθος ἔμψυχον, ἀλλ' ὁ παθὼν, ὅθεν καὶ λαμβάνει, ὦ λόγε, καὶ τὰ ἑξῆς τῆς χορηγίας ὀνόματα.

ιδ'. Ὁ δὲ Ἡρόδοτος καὶ μᾶλλον τοῦτο συνίστησιν· ὁ μὲν Ἡρόδοτος μυθικὸς ὢν καὶ Ἴων πολλὰ καὶ ἀφ' ἑαυτοῦ πλάττει, μᾶλλον δὲ καὶ ὕλης εὐπορήσας πραχθείσης εἰς γλυκύτητα ἐπιτηδείου τῆς τοῦ Ξέρξου ἀφροσύνης· εἴπερ μὴ ψεῦδος τὸ τὴν θάλασσαν τυπτεῖσθαι, οἷα πολλὰ τῆς Ἑλληνικῆς φλυαρίας, ὥσπερ ἐγὼ τίθεμαι,[27] οἶμαι δὲ καὶ εἴ τις φρονεῖ· ἐξεστηκότος γὰρ ὡς ἀληθῶς τὸ τοιαῦτα ποιεῖν· καὶ λέγειν καὶ πείθειν οἴεσθαι· ὁ δὲ θεολόγος τὸ αὐτοῦ ἀξίωμα πανταχοῦ φυλάσσων, ὅρα πῶς διὰ προσωποποιΐας γλυκύς ἐστι μάλιστα· ποῦ σου, θάνατε, τὸ κέντρον; ποῦ σου, Ἅιδη, τὸ νεῖκος; ἄπνους νεκρὸς ἀκίνητος καὶ εἰ τὸ σχῆμα σώζειν ὄφεως ἐν ὕψει στηλιτευόμενος.

Ἀμφισβητήσειε δ' ἄν τις. Συριανοῦ καὶ τῶν ἑτέρων. vide Vol. VII. p. 1067. ιζ. ιη.

ιε. Κατὰ δίκην ἀντὶ τοῦ δικαίως, δικαίῳ λόγῳ.

ις'. Ἐξουσία ποιητικὴ, ἀντὶ τοῦ ἐξουσίαν αὐτοῖς καὶ νόμον ἡ ποίησις δίδωσι τοιαῦτα λέγειν· ῥήτορι δὲ οὐδ' ὅλως, ὅτι βίαιά εἰσι, καὶ εἰς ψυχρότητα καὶ ἀηδίαν πολλὴν ἄγουσι τὸν λόγον· τὸ γὰρ τοῖς ἀψύχοις φρόνησιν τιθέναι κακόζηλον, ἔχειν δὲ ἔφησεν ὅμως τὰ τοιαῦτα γλυκύτητα, ἐλάττονα δὲ, οὐκ ἐν τοῖς πεζοῖς λόγοις, ἀλλ' ἐν τοῖς ποιητικοῖς.

ιζ. Ταὐτὸν δὲ συμβαίνει καὶ εἴ τις τοῖς

---

27 Vind. τίθεμεν. scr. τίθεμαι.

ἀλόγοις ζώοις· τὸ ταὐτὸν οὐ πρὸς τοὺς ποιητὰς ἀποδέδοται, ἀλλὰ πρὸς τὸν Ἡρόδοτον· ἐπεὶ πῶς κατ᾽ ἔννοιαν ἔχει ἡδονὴν τὸ ἀπὸ τῶν ἐμψύχων ἴσην τῇ τῶν ἀψύχων, ἔχει δὲ καὶ ταῦτα βίαια· τὸ γὰρ μειδιᾷν ὑπέρογκον· οὐ μὴν τοῦ θεολόγου τοιαῦτα· πολλοῦ γε καὶ δεῖ· ἄρτι μὲν ἡ φιλεργὸς μέλισσα, τὸ πτερὸν ἐκλύσασα καὶ τῶν σίμβλων ἀπάρασα τὴν αὑτῆς σοφίαν ἐπιδείκνυται· καὶ λειμῶνας ἐφίπταται καὶ συλᾷ τὰ ἄνθη καὶ ἡ μὲν πονεῖ τὰ κηρία τὰς ἑξαγώνους καὶ ἀντιθέτους σύριγγας ἐξυφαίνουσα καὶ τὰ ἑξῆς· τό τε γὰρ φιλεργὸς καὶ τὸ σοφία, καὶ τὸ συλᾷ καὶ τὸ ὑφαίνουσα, καὶ πάντα κατάλληλα ὄντα τῇ φύσει τοῦ ζώου, ὡς ἐπὶ λογικῶν ῥηθέντα καὶ ἐπιστημονικῶν ἀληθῶς πάνυ εἰσὶν ἡδέα καὶ πρόσφορα· καὶ ὅλως ἀπὸ τοῦ ἡ βασίλισσα τῶν ὡρῶν μέχρι τῆς μελίσσης πᾶσαν εὑρήσεις γλυκύτητα, ὡς ὀρχεῖσθαι δοκεῖν, καὶ τὰ αὐτὰ ποιεῖν τοῖς πράγμασι καὶ προσώποις, περὶ ὧν ὁ λόγος, τοὺς ἀκούοντας, ὄντα καὶ ταῦτα τῆς τετάρτης ἰδέας· καὶ τῆς νῦν λεγομένης καὶ σχεδὸν πασῶν· ὁ κυνηγετικὸς λόγος ἐστὶ Ξενοφῶντος.

Περὶ μεθόδου.

ιη΄. *Μέθοδοι δὲ αὐτὴν ποιοῦσιν, αἵπερ καὶ τὴν καθαρότητα*· εἰ γὰρ αἱ αὐταὶ τῆς γλυκύτητος μέθοδοι, αἳ καὶ τῆς καθαρότητος, περιττὸν τὸ περὶ τῶν αὐτῶν λέγειν.

Περὶ λέξεως.

ιθ΄. *Λέξις δὲ γλυκεῖα ἥτε τῆς ἀφελείας*· ἰδία δὲ περὶ τὴν καθαράν· ἴδιαι ἦσαν τῆς ἀφελείας ὥσπερ τὸ πατρώζειν τὸ ἀδελφίζειν καὶ ὁ κλαυσίγελως· καὶ ἔτι ἡ ποιητικὴ ἡ κατὰ ἐντέλειαν λεγομένη, οἷον αὐτέων, κινέονται, καὶ αἱ ὅμοιαι· ἐχρήσατο μὲν καὶ μεθόδοις καὶ ἐννοίαις μὲν τὴν τρίτην τάξιν ἐχούσαις· οἷον

τοῖς διηγήμασι τοῖς ἀπ' ὀλίγου τοῦ μυθικοῦ κοινωνοῦσι, μεθόδοις ταῖς καθαραῖς· ἀπ' αὐτοῦ γὰρ ψιλοῦ τοῦ πράγματος ἄρχεται καθαρὰ καὶ ἡ καθαρότης.

κ'. Ταύτην τὴν διάλεκτον· ποιητικὴ γὰρ ἡ Ἰὰς καὶ ἡδεῖα· ὡς τῶν ἄλλων οὐδεμία, διὸ καὶ τὰ Ἰωνικὰ ποιήματα ἐξαίρουσι ταῖς ἡδοναῖς, ὥσπερ τὰ Σιμωνίδου καὶ Μενελάου· καί τινα τῶν Ὁμήρου, Στησιχόρου τε καὶ ἄλλων πολλῶν· εἰ δὲ καὶ ἄλλων ἔχει καὶ ἄλλων διαλέκτων, ἀλλ' ἐπ' ὀλίγον, καὶ γὰρ Ἀττικαῖς χρῆται, ὡς τὸ ὀῤῥωδῶ· ἐν τῇ πρώτῃ·[28] ἀπεμάχοντο ὀῤῥωδέοντες· ἀλλὰ τῷ διελεῖν αὐτὰς ἰδέας[29] καὶ Ἰωνικάς· μή τι οἱ ἐξ αὐτέων κακὸν γένηται· καὶ Δωρίδος, ὡς τὸ μῶσας, καὶ Αἰολικῶς, ὡς τὸ βασιλῆες.

κά. Τὸ δ' αὐτὸ αἴτιον οἶμαι τοῦ καὶ τὰς παραπλοκὰς[30] τῶν νοημάτων· διὰ τοῦτο, φησὶ, καὶ αἱ παραπλοκαὶ τῶν ποιημάτων ἥδισται, διότι ἡδὺ πρᾶγμα ἡ ποίησις· παραπλοκὴ δὲ ἡ τοῦ ποιήματος κόλλησις πρὸς τὸν πεζὸν λόγον, εἰ κατὰ σύνθεσιν ἐξαγγέλλοιντο, ἀλλὰ μὴ κατὰ παράθεσιν ἡ σύνθεσις γίνεται αὐτῆς· κατὰ παράθεσιν μὲν γίνεται, ὅταν τὸ πεζὸν τῷ ἐμμέτρῳ συντεθὲν ἓν εἶναι δοκῇ, ὡς ἔχει τε τὸ παράδειγμα, καὶ ἔτι ταῦτα· ἔφεπε κλονέων ὁ γεννάδας ἐκείνους τῷ λόγῳ· καὶ ἔτι κροαίνω κατὰ πεδίων· καὶ πρὸς τὸν σύννομον ἐφερόμην· καὶ τό·

Ζεῦ κύδιστε μέγιστε[31] θεῶν εἰλυμένε[32] κόπρῳ.'

ὅταν τε μηλίῃ, ὅσσῃ τε ἵππων, ὅσσῃ τε ἡμιόνων· ἐκ τῶν στηλιτευτικῶν τοῦ πρώτου· κατὰ παράθεσιν, ὅταν παρά-

28 c. 9. 29 Vind. ἰδεῖνυς. scr. ἰδίας. 30 Vind. παρακλονάς. 31 Vind. Par. μάλιστε. cfr. Philostr. Her. p. 693. Olear. ἔστι γὰρ τὰ τοῦ Παμφῶ ἔπη.

Ζεῦ κύδιστε, μέγιστε θεῶν, εἰλυμένε κόπρῳ
Μηλείῃ τε καὶ ἱππείῃ, καὶ ἡμιονείῃ.

32 Vind. Par. εἰλημμένε. recepi εἰλυμένε ex Philostrato.

κειται ἀλλήλοις ὅ τε πεζὸς καὶ ὁ ἔμμετρος, καὶ διϊστάμενοι οὐ δοκοῦσιν εἷς· οἷον πάντων θανάτων χαλεπώτατος ὁ θαλάσσης, ὅθεν καὶ Ὅμηρός φησιν [33].

Αἴας δ' ἐξαπόλωλεν, ἐπεὶ πίεν ἁλμυρὸν ὕδωρ.

διήρηται γὰρ καὶ ἧττόν ἐστι γλυκύ· τὰ δὲ ἑξῆς δῆλα καὶ οὐδεμίαν ἔχει ἀμφιβολίαν· τοῦ γὰρ Πλάτωνος τὰ παραδείγματα, καὶ οὐ μόνον κατὰ κόλλησιν τῶν μερῶν ἡδέα, ἀλλὰ καὶ τῶν ἄλλων λόγων· ἥδιστα γὰρ τὰ τῆς παλαιᾶς καὶ τῶν προφητῶν· καὶ παντὸς μάλιστα οἷον οὕτως ἀκούω τοῦ διὰ παντὸς ἐν μεσημβρινῇ σκοτίᾳ φεύγουσιν· τὸ γὰρ ἐν μεσημβρινῇ καὶ τὸ φεύγουσιν Ἡσαΐου ἐστί· καὶ φῶς δικαίως διὰ παντὸς, καὶ ἡ σύζυγος αὐτῶν εὐφροσύνη· τὸ γὰρ ἡ σύζυγος τοῦ θεολόγου ἐστὶ, καὶ ἐπεὶ καὶ ὕδασι θείοις ὑπερῷά τινα στεγάζεται, δι' ὧν ὑμνεῖται θεός· κατὰ παρῳδίαν γὰρ τοῦτο ὂν καὶ οὐ κατὰ κόλλησιν [34] ὅμως γλυκύ ἐστι, παρὰ τῷ θεολόγῳ· παρῳδία γάρ ἐστιν, ὅταν τὸ ἀλλότριον εἰς τὴν οἰκείαν σύνταξιν μεταποιήσῃ τις οὕτως, ὡς μὴ λανθάνειν· τινὲς δὲ ταὐτὸν λέγουσιν εἶναι, ἀλλ' ἡμῖν τό γε δοκοῦν ἀπεφάνθη. Σημείωσαι, ὅτι διαφωνεῖ τὰ ἐν τῷ παρόντι τῷ τεχνικῷ περὶ τῆς γλυκύτητος λεγόμενα πρὸς τὰ ἐν τῷ προοιμίῳ τοῦ παρόντος βιβλίου περὶ τούτων αὐτῶν εἰρημένα αὐτῷ· ὅρα γάρ, τί φησιν ἐκεῖσε· γλυκεῖα δὲ λέξις ἥ τε δι' ἐπιθέτου καὶ ὅση δριμεῖα καὶ τῆς ποιητικῆς ἡ μὴ διῃρημένη, μηδὲ πλατεῖα φύσει· αἵ τε τῆς καθαρότητος ἅπασαι· ἐκεῖ μὲν γὰρ τὰς τῆς καθαρότητος ἁπάσας ἁρμόζειν εἴρηται τῇ γλυκύτητι· ἐνταῦθα δὲ τῇ ἀφελείᾳ προσήκουσαι τῶν τε καθαρῶν λέξεων καὶ ἑτέρων τινῶν ἔφη τῇ γλυκύτητι μὴ πάσας τὰς ἀφελεῖς λέξεις ἁρμόζειν, ἀλλὰ μόνας τὰς ἰδίας αὐτῇ τῇ ἀφελείᾳ προσηκούσας, τουτέστι καθ' ἃς οὐ κοινωνεῖ τῇ καθαρότητι, καὶ ἐκεῖ μὲν οὐ πάσας

τὰς

33 Od. δ. 511. 34 Par. Vind. κάλλασιν.

τὰς ποιητικὰς λέξεις εἶπεν ἁρμόζειν τῇ γλυκύτητι, ἀλλὰ τῶν ποιητικῶν τὰς μὴ διῃρημένας, μηδὲ πλατείας φύσει μόνας· ἐνταῦθα δὲ ἁπλῶς οὕτως εἶπε τῇ ποιητικῇ λέξει προσήκουσαν τῇ γλυκύτητι.

κβ. Διορθωτικὸν δὲ τὸ ἐπέρχεταί μοι ἐμμέτρως εἰπεῖν· ὅτι οἱ νόμοι καὶ τὰ ψηφίσματα, ταῦτα γὰρ κατὰ διάστασιν λέγεται, ὡς ἐν τοῖς Δημοσθενικοῖς ἔστιν ἰδεῖν.

κγ. Κοίτην ὕπνον τ' ἐνὶ κήδει· [35] καὶ ἐν τῇ λύπῃ καὶ ἐν φροντίδι καὶ νόσῳ ὕπνον καὶ κοίτην, πλὴν γνωστέον ὡς εἰ μονοπρόσωπος εἴη ὁ λέγων καὶ οὐ μιμητικὸς προσώπων διαφόρων, ὡς ὁ Πλάτων οἰκείους ἑκάστου τοὺς λόγους ποιῶν, εἶτα ταῖς παραπλοκαῖς κατακόρως χρῆται, μίμησις φαίνεται.

κδ' Τάχα μὲν γὰρ φαίη τις ἄν, ὅτι τὰ μέτρα γλυκέα καθ' ἑαυτά, ἀλλὰ πολλῷ μᾶλλον παραπλεκόμενα, τὸ γὰρ μονοειδὲς οὐ πάντα καλὸν καὶ πῶς αὐτὸς διδάσκει. Καὶ ἡ διὰ τῶν ἐπιθέτων· τὰ ἐπίθετα ἀπὸ τριῶν λαμβάνεται· ἀπὸ ψυχῆς, ἀπὸ σώματος, ἀπὸ τῶν ἐκτός· ἀπὸ ψυχῆς μέν, ὡς σώφρων, ἀκόλαστος, κακοδαίμων, δυστυχής· ἀπὸ σώματος, ὡς ἑτερόφθαλμος· τῶν ἐκτὸς δὲ πλούσιος, πένης· καὶ τὰ παραδείγματα ζήτει τοῦ θεολόγου, καὶ πάμπολλα εὑρήσεις· τὰ ἑξῆς πάντα σαφέστατα, πολλάκις γὰρ ἐῤῥήθησαν· λοιπὸν λεκτέον καὶ περὶ δριμύτητος, ἣ συντελεῖ πρὸς γλυκύτητα· εἰ δὲ καὶ παραδειγμάτων δεηθήσει, σχημάτων τε καὶ τῶν μετ' αὐτά, κώλων δὲ λέγω καὶ συνθήκης καὶ τῶν ἄλλων, αὐτάρκη σοι [36] χορηγήσει ὁ μέγας, καὶ ἐξ ὧν προὐθέμεθα παραδειγμάτων περὶ δριμύτητος καὶ ὀξύτητος· πολυώνυμος γὰρ ἡ ἰδέα. Λοιπὸν λεκτέον περὶ ὡραίου καὶ ἁβροῦ λόγου.

---

35 Plat. Symp. p. 197. C. 36 Par. αὐτάρκητοι. Vind. αὐτάρκητο. uterque χορηγήσοι.

Σύνοψις τῶν περὶ γλυκύτητος.

α΄. Ἔννοιαι αἱ μυθικαί· δεύτεραι αἱ διηγηματικαὶ καὶ μύθων οὖσαι ἐγγὺς, τρίταις αἱ ὀλίγον τοῦ μυθικοῦ κοινωνοῦσαι, ἐπὶ τούτοις ὅσαι ταῖς αἰσθήσεσιν ἡμῶν εἰσιν ἡδεῖαι· [37] ποιεῖ γλυκύτητα καὶ τὸ τοῖς ἀπροαιρέτοις προαιρετικόν τι ἐπιτιθέναι.

β΄. Μέθοδοι αἱ τῆς καθαρότητος, αἵπερ εἰσὶ καὶ τῆς ἀφελείας.

γ΄. Λέξις ἡ τῆς ἀφελείας ἰδία παρὰ τὴν καθαρὰν, καὶ ἔτι ἡ ποιητικὴ καὶ μάλιστα ἡ δι᾽ ἐπιθέτου καὶ δριμεῖα.

δ΄. Σχήματα τῆς καθαρότητος καὶ ἀφελείας καὶ τοῦ κάλλους.

ε΄. Συνθήκη ἡ τοῦ κάλλους ἡ ἄνευ συγκρούσεως φωνηέντων καὶ ἡ ἐγγίζουσα μέτρῳ, καὶ ἡ διὰ τῶν τῆς σεμνότητος ποδῶν.

ς΄. Ἀνάπαυσις ἡ τῆς σεμνότητος, ἡ βεβηκυῖα.

ζ΄. Καὶ ὁ ῥυθμὸς ὡσαύτως, ὥσπερ ἐν τῇ ἀφελείᾳ.

Cap. V.

Περὶ δριμύτητος καὶ ὀξύτητος, ὡραίου τε καὶ ἁβροῦ καὶ ἡδονὴν ἔχοντος λόγου.

α΄. Ἐν τῇ ἰδέᾳ ταύτῃ πολλά μοι τὰ ζητούμενα· πρῶτον μὲν, εἰ ἰδέα ἐστὶ καὶ μὴ ἐκ μέρους συνισταμένη τινὸς, πλὴν διανοίας, ὃ [1] καὶ σχεδὸν ἄλυτον οἴομαι· δεύτερον, εἰ ἰδέα ἐστὶ, διὰ τί τῆς ἀφελείας καὶ τῆς γλυκύτητος ἐχωρίσθη εἰς ταύτας ἀναφερομένη· τρίτον εἰ μήτε κατ᾽ ἐπίτασιν τῆς ἀφελείας ἐστὶν, ὡς ἡ γλυκύτης καὶ τοῦ

---

37 Vind. ἐστιν ἡδέα. scr. εἰσιν ἡδεῖαι. 1 Par Vind. ἤ.

ἤθους τὸ ἐνδιάθετον, μήτε κατὰ μείωσιν τοῦ γένους, ὡς ἡ ἐπιείκεια, μήτε κατὰ σύμμιξιν τυχὸν, ὡς ἡ βαρύτης, μήτε καθ' ἑαυτήν ἐστιν, ὡς αἱ ἄλλαι, πολλοστιμόριόν τι μέρος [2] ἐστι καὶ οὐκ εἶδος· καὶ τίς ἡ διάζευξις, καὶ ὁ κατ' αὐτὴν λόγος· τέταρτον εἰ πολυωνύμως λέγονται ταῦτα τὰ τέσσαρα, τὸ δριμὺ, τὸ ὀξὺ, καὶ τὰ λοιπὰ, ἢ ὁμωνύμως, καὶ εἰ ὁμωνύμως, τίνι ἕκαστον ἑκάστου διαφέρει· πέμπτον, τίνος ἐστὶ ταῦτα ἐν τοῖς λόγοις αἰσθητὰ, ἀκοῆς ἢ ἄλλης τινὸς αἰσθήσεως· δοκεῖ γὰρ ἡ ἡδονὴ, ὡς γένος αὐτῶν γραφεῖσα, γεύσεως εἶναι· καὶ εἰ ἄλλης, τίνι διαφέρει τοῦ κάλλους καὶ τῆς γλυκύτητος· καὶ διὰ τί τὸ κάλλος οὐκ εἰς τὸ ἦθος ἀνάγεται ἔχον καὶ αὐτὸ ἡδονήν· ἕτερος δ' ἂν εἴπῃ εἰς τὴν γοργότητα· ἕκτον εἰ πᾶσαι αἱ τοιαῦται δριμεῖαι εἰσὶ κατὰ γένος, τίς ὁ κατ' εἶδος τρόπος αὐτῶν; λέγομεν τοίνυν ἀπὸ τοῦ πρώτου ἀρχόμενοι, ὃ καὶ ταῖς τρισὶν ἀπορίαις ἀρκέσει· καὶ οὐκ ἰδέα ἐστίν· οὐδὲ διὰ τοῦτο κατὰ μείωσιν οὖσα καὶ ἔλλειψιν ἔτυχεν ἰδίας διδασκαλίας, ὡς αἱ ἄλλαι, ἀλλ' ὅτι ἀφελείας μὲν οὖσα κυρίως ἡ ἔννοια, κατ' ἐπίτασιν δὲ τῆς γλυκύτητος, ὡς ἐμάθομεν· ὁρᾶται δὲ περὶ λέξιν μόνην καὶ τροπὴν γινομένη· ἡ δὲ λέξις, καθ' ἣν ὁρᾶται, πολυειδής ἐστι καὶ ποικίλη καὶ οὐ μονοσήμαντος, καὶ οὐκ ἀδύνατον ἐν ταῖς μεθόδοις χαρακτηρισθῆναι τῶν ἰδεῶν· μείζων γὰρ ἦν τοῦ ἔργου ὁ περὶ αὐτῆς λόγος· διὰ τοῦτο ἰδίᾳ ἔταξεν αὐτὴν, ἵν' ἀκριβεστέρα ἡ διδασκαλία γένηται, εἰ γὰρ ἰδέα, συναριθμήθη ἂν ταῖς τοῦ ἤθους ἐν τῇ τούτων ἀπαριθμήσει, ὥστε μόριόν ἐστιν ἰδέας, καὶ οὐκ ἰδέα, εἰ καὶ τὰ μάλιστα οἱ φιλόσοφοι καὶ τὰ νοητὰ μόρια τῶν οὐσιῶν, οἷον δάκτυλον, χεῖρα, καὶ τῶν ὁμοίων εἴδη λέγουσιν, ἐν οἷς ἐκεῖνοι τὴν οὐσίαν διαιροῦσιν εἰς πρώτην καὶ δευτέραν καὶ ὅλην καὶ μέρος· τὸ γὰρ μέρος, εἰ καὶ διανοητόν ἐστιν, ἀλλὰ τῷ ὅλῳ συννοεῖται, εἰ καθ' ἑαυτὸ φαίνεται

2 Par. μέρους. Vind. μέρος.

ὂν ἐν ἰδέᾳ περιγραφῇ, ὥστε καὶ ἡ δριμύτης ἀφελείας οὖσα μέρος πρῶτον ποιοῦ καὶ διανοητοῦ καθ' ἑαυτὴν περιγραφομένη οὐχ ἁπλῆν τὴν διδασκαλίαν ἔχουσα, εἰκότως ἐχωρίσθη, οὐχ ὡς ἰδέα, ἀλλ' ὡς μέρος, ἢ μόριον· ἀλλὰ φαίη τις [3] ἄν, τί ἐστι τὸ κατ' ἐπίτασιν τῆς ἀφελείας γίνεσθαι τὴν γλυκύτητα· τὸ ταῖς ἀφελέσι τῶν λέξεων, τουτέστι τὸ ταῖς τὰς τοιαύτας ἐννοίας ἐχούσαις πλείσταις κεχρῆσθαι καὶ κατ' ἐπιμονήν· τοῦτο γλυκύτης· τὸ δὲ δριμύτης ὄνομα καὶ ὀξύτης, ἔτι δὲ ὡραῖος καὶ ἁβρός. ὁ λόγος καὶ ἡδονὴν ἔχων, ὅπερ ἐν τῇ τῶν ἀποριῶν ἐζήτηται τετάρτῃ, πολυσήμαντόν ἐστιν· ἡ μὲν γὰρ δριμύτης ἢ ἐπὶ χυμῶν ὁρᾶται ἢ ἐπὶ λόγων ἢ ἐπὶ κράσεων· ἐπὶ κράσεων μέν, οἷον δριμὺς ὁ χειμών, ἀλλὰ γλυκὺς ὁ παράδεισος· ταὐτὸν μὲν οὖν εἶναι δοκεῖ κρᾶσις καὶ χυμὸς καὶ ποιότης· ᾧ δὲ διαφέρει περιττὸν λέγειν νῦν· δριμὺ δὲ λέγεται καὶ ὄξος καὶ σίνηπι, καὶ ταχυπαθὴς χυμός, καὶ ἐπὶ τῶν νοσημάτων ἢ τῶν λόγων· ἢ ἐπὶ κόμμασιν ὁρᾶται ὂν ἐν [4] ἐνθυμήμασιν· ἢ ἐν λέξεσιν· ἐν κόμμασι μέν, ὡς ἐπὶ τῶν αὐξήσεων ἢ ἀποδείξεων, ἢ τῶν τοιούτων τινός· οἷον τοὺς ἐν γυναιξὶν ἄνδρας καὶ τὸ ἐναντίον· καὶ πάλιν ἄλλο κατὰ δριμύτητα· τοὺς τοῦτο μόνον ἀνδρικούς, τὴν ἀσέβειαν· καὶ πάλιν, ὕπαρχοι μὲν ὑμεῖς καὶ τῶν ἐπιφανῶν οὐκ ἀρνούμεθα· εἶτα ἡ δριμύτης, οὔπω δὲ θεοῦ τιμιώτεροι, καὶ πάλιν, καὶ τὸ κοινωνοὺς ἔχειν ὑμᾶς μέγα μέν, πῶς γὰρ οὔ; πλάσμα θεοῦ καὶ ὑμεῖς' καὶ τοῦτο δριμύτης καὶ ἄλλα, ἀλλ' ὡς εἴ τινας ἄλλους τῶν ὑφ' ὑμᾶς τεταγμένων· δριμύτης γάρ ἐστι διανόημα ἰσχὺν τῷ λόγῳ παρέχον καὶ κράτος, ὥσπερ ἐν ταῖς εὑρέσεσι μεμαθήκαμεν· δριμύτης δὲ καὶ κατὰ συστροφὴν σχήματος καὶ ὅσα τοιαῦτα, δριμύτης γάρ ἐστι καθ' ἡμᾶς, ἐπίτασις, διανοήματα, ἰσχὺν παρέχουσα τῷ, περὶ οὗ ὁ

---

3 Par. Vind. τι. 4 inserui praepositionem ἐν, quae absorpta est syllaba sequente.

λόγος· γίνεται δὲ καὶ ἐν μεθόδῳ ἡ δριμύτης καὶ ὀξύτης, ὥσπερ ἐπὶ τῆς γοργότητος ἔλεγε τὰς ταχείας ἀπαντήσεις· ταῦτα μὲν ἢ διὰ κομμάτων ἢ διὰ κώλων, ἡ δὲ διὰ λέξεων τροπικὴ γίνεται, ὅταν τὸ ἐπ' ἄλλου κυρίως λεγόμενον ἐπ' ἄλλο μεταφέρηται, ὡς ἐν τῇ ἀφελείᾳ εἴρηται καὶ γλυκύτητι· τοῦτο δὲ ἢ κατὰ ἀλληγορίαν γίνεται ἢ μεταφορὰν καὶ μετάληψιν καὶ κατάχρησιν καὶ τοὺς λοιποὺς τρόπους· κατὰ ἀλληγορίαν μέν, ὡς τό, εἶπεν ὁ ὄφις τῇ γυναικί· ἀπὸ γὰρ τοῦ διαβόλου ἡ τροπή. καὶ τὸ ὑπὲρ ὧν καὶ ὑφ' ὧν πολεμούμεθα, ἀλληγορικῶς μετελήφθη· εἰ καὶ[5] ἀλλαχοῦ κατὰ μετάληψιν εἴρηται· εἴρηται γὰρ[6] ἐν τῇ τοῦ φθόνου· μεταφορὰν δέ, ὡς τὸ πομπεύει καὶ δορυφορεῖ πᾶν ὅ τι κάλλιστον καὶ τερπνότατον· αὗται γὰρ αἱ λέξεις ἐπὶ τῶν λογικῶν λέγονται· κατὰ κατάχρησιν δέ, ὡς τὸ μέγας ὁ θεὸς καὶ ἄπειρος· οὔτε γὰρ κυρίως ταῦτα οὔτε κατὰ ἀντίθεσιν, ἀπολύτως[7] γὰρ καὶ ἐφ' ἡμῶν λέγεται· μετάληψιν δέ, ὡς εἰ τὸν ταχὺν ὀξὺν εἴπῃ τις, καὶ τὰ ὅμοια· ἀντίφρασιν, ὡς ἐπὶ τῶν εἰρωνειῶν τὴν μοιχαλίδα φίλανδρον καὶ τὰ ὅμοια, οὕτω καὶ ἡ ὀξύτης πρὸς μὲν τὰ πράγματα ὁρωμένη[8] καὶ τοὺς λόγους ὁμώνυμόν ἐστι καὶ τὸ ὡραῖον καὶ τὸ ἁβρόν· πρὸς δὲ τοὺς λόγους μόνους πολυώνυμος λέγεται· ὁμώνυμον γάρ ἐστιν ὄνομα ἓν κατὰ πολλῶν καὶ διαφερόντων λεγόμενον, ὡς ὁ κόραξ τὸ ζῶον, καὶ τὸ ὄργανον· πολυώνυμον δὲ ὀνόματα πολλὰ καθ' ἑνός, καὶ τὸ αὐτὸ δηλοῦντα, οἷον ἄνθρωπος, μέροψ, βροτός, γηγενής· οὕτως οὖν καὶ ἡ ὀξύτης καὶ ἡ δριμύτης, καὶ ὁ ὡραῖος καὶ ὁ ἁβρὸς καὶ ἡδονὴν ἔχων ἐπὶ τῶν λόγων τὸ αὐτὸ σημαίνουσιν· ὀξύτης μὲν γὰρ λέγεται καὶ δριμύτης, ἢ διὰ τὸ ἰσχυρὸν τῆς διανοίας ἢ διὰ τὸ νύττειν

5 Vind. εἰ καὶ γάρ. Med. et Par. γὰρ om. 6 Par. εἴρηται γάρ. Vind. γὰρ om. 7 Med. ἀπολύτως. Par. Vind. ἀπόληται. 8 Vind. Par. ἠρωμένη. scr. ὁρωμένη.

πρὸς ἡδονὴν τὴν ψυχήν· δι' αὐτὸ δὲ καὶ τὸ ὡραῖον καὶ ἁβρόν· καὶ εἰσὶ ταῦτα τῆς ἀκοῆς μόνης ἐπιστητά, οὐκ ἄλλης αἰσθήσεως, ὥςπερ καὶ ἡ μουσική, διαφέρει δὲ τῆς μὲν γλυκύτητος, ᾧ διαφέρει τὸ ὅλον τῷ μέρει· ὅλον γὰρ ἡ γλυκύτης, μέρη δὲ ἢ μόρια ταῦτα· τὸ δὲ κάλλος, ᾗ μὲν ἐκεῖνο ἰδέα ὂν ἐπείσακτόν [9] ἐστι καὶ ἔξωθεν ἐπιγινόμενον οὐκ ἀπ' ἐννοίας, ἀλλ' ἀπὸ λέξεως, καὶ τῶν ἑπομένων, ταῦτα δὲ ἡ ἔννοια ποιεῖ καὶ ὁ ποιὸς σχηματισμὸς τῆς συντάξεως μόνα· καὶ ἔστιν [10] ἀπορία, διὰ τί τὸ κάλλος οὐκ εἰς τὸ ἦθος ἀνάγεται· ἐξ ἤθους [11] τῶν ποιούντων γινόμενον ἡδονὴν ἔχον καὶ αὐτό, ὅτι εἰ καὶ ἐξ ἤθους γίνεται, ἀλλ' οὐ τοιούτου ἁπλοϊκοῦ· καὶ συμπεφυκότος τοῖς ὑποκειμένοις προσώποις, ἀλλ' ἐπιπλάστου καὶ πανούργου· καὶ γὰρ πρὸς τὸ θέλξαι καὶ ἀπάτῃ πεῖσαι ὁρῶ· καὶ δι' ὅσους τρόπους ἔφαμεν γίνεσθαι τὸ κάλλος, ἐπιτηδεύεται, ὥσπερ ἐπὶ τῶν ἀσελγῶν, τὸ δὲ τοῦ ἤθους ὡραῖον καὶ ἁβρὸν σύμφυτόν ἐστι τοῖς ὑποκειμένοις αὐτῷ προσώποις καὶ οὐκ ἔξωθεν ἐπιγίνεται· διὸ ἴδιον αὐτὸ παρ' ἐκεῖνο εὑρισκόμενον εἰκότως ἀπεδοκιμάσθη, ὥσπερ καὶ οἱ φυσικῷ κάλλει κεκοσμημένοι τὸ ἀλλότριον ἀπελαύνουσιν· αὐτάρκεις γὰρ δοκοῦσι φαίνεσθαι καὶ εἶναι τοῖς οἰκείοις καλοί, δριμεῖαι δὲ οὖσαι καὶ ὀξεῖαι καὶ τὰ λοιπὰ κατὰ γένος ὡς ἔφαμεν τῶν τρόπων, αἱ κατ' εἶδος αὐτῶν διαφοραὶ ἀπὸ τῶν κατὰ μέρος τρόπων εὑρίσκονται, ὡς καὶ περὶ τούτων εἴπομεν· ὅτῳ δὲ διαφέρει τρόπος καὶ σχῆμα προείρηται· ταῦτα ὡς ἐνῆν καὶ ἀπορήσαντες καὶ λύσαντες εἰς αὐτὴν χωρήσωμεν τὴν διασάφησιν.

β. Ἧς ὁποῖαι μέν εἰσιν αἱ ἔννοιαι· καὶ ὀλίγῳ πρότερον εἰρήκαμεν, ἐν τῷ περὶ ἀφελείας, ὅτι εἰσίν, οἷον αἱ ἐξ ἐπιβολῆς βαθεῖαι· ἤδη [12] γὰρ εἶπε τοῦτο ἐν

9 Vind. ἐπίσακτον. 10 Vind. Par. ἦν supra lineam ἔστιν.
11 Med. Vind. Par. ἐξ ἦθος. 12 Med. Vind. ἦγη.

τῇ τῆς ἀφελείας μεθόδῳ, οἷον κακοδαιμονοῦσι Βυζάντιοι, καὶ σφόδρα γε· ἀλλ' ὅμως δεῖ σῶς [13] αὐτοὺς εἶναι· τὰς γὰρ ταχείας φησὶν ἀπαντήσεις οὐ πολὺ τὸ περινενοημένον ἐχούσας δριμύτητος εἶναί φησι· ζητεῖται δέ, εἰ τῶν ποιουσῶν ἦθος ἰδεῶν ἥ τε γλυκύτης καὶ ἡ δριμύτης εἰσί, πῶς ἐν τῷ προοιμίῳ τοῦ περὶ ἤθους λόγου ὑπαριθμούμενος ὁ τεχνικὸς τὰς ὑποβεβηκυίας τῷ ἤθει ἰδέας, καὶ ποιούσας αὐτὸ οὔτε τῆς γλυκύτητος ἐμνήσθη; οὕτω γὰρ εἶπεν ἐκεῖ· ἦθος τοίνυν ἐν λόγῳ ποιεῖ ἐπιείκεια καὶ ἀφέλεια· καὶ πρὸς τούτοις τὸ κατ' αὐτὸ ἐμφαινόμενον ἀληθὲς καὶ ἐνδιάθετον· ἡ δὲ βαρύτης ὑπόκειται μὲν τῷ ἠθικῷ λόγῳ, οὐ μὴν πληροῖ γε αὐτόν· οὐδὲ καθ' ἑαυτὴν δύναται θεωρεῖσθαι· καὶ ἔστιν εἰπεῖν, ὅτι ἐπεὶ ἡ γλυκύτης καὶ ἡ δριμύτης τῇ ἀφελείᾳ προηγουμένως προσήκουσι, διὰ τοῦτο τῆς ἀφελείας μόνης ἐκεῖσε μνησθεὶς, ταύτας παρῆκεν, ὡς ἐμπεριεχομένας αὐτῇ· τὰς γὰρ ταχείας, φησὶν, ἀπαντήσεις, οὐ πολὺ τὸ περινενοημένον ἐχούσας, δριμύτητος εἶναί φησι.

γ'. Μέθοδος δέ τίς ἐστι τὸ μὴ περινενοημένως λέγειν· μέθοδος τὸ τὰ περινενοημένα σαφῶς, καὶ τὰ μὴ ἀσαφῶς μέθοδον εἶναί φησι, καὶ πολλὰ τούτων ἔφη τὰ παραδείγματα παρὰ τῷ Ξενοφῶντι, ὧν τινα καὶ παρὰ τῷ θεολόγῳ ἐδείξαμεν.

δ'. Ἕτερον δὲ παρὰ ταύτην τὴν δριμύτητα· παρὰ τὴν ἐν μεθόδῳ, ἣν ἔλεγε δεινότητα ἐν τῇ μεθόδῳ τῆς ἀφελείας.

ε'. Δυσχερὲς ἀποφήνασθαι, εἴτε περὶ ἔννοιαν εἴτε περὶ λέξιν γίνεται· δυσχερὲς εἶναί φησι διακρῖναι τοῦτο τὸ εἶδος τῆς δριμύτητος, εἴτε ἔννοιά ἐστιν εἴτε λέξις, πότερόν φησι κατὰ λέξιν ἢ περὶ ἔννοιαν γίνεται· ἀλλ' οὐκ ἀκίνδυνον εἰπεῖν· καὶ τὰς τούτου αἰτίας τῆς δυσχερείας σαφῶς διέξεισιν· εἰ γὰρ χωρήσειέ τις αὐτὴν τῆς ἀκολου-

13 Vind. Par. ὡς — de Chers. p. 93.

θίας καὶ καθ' ἑαυτὴν ὁρῴη, οὐδὲ ἐν τῇ δριμύτητι εὕρῃ, ὅπερ ἐν οὐδεμιᾷ τῶν ἄλλων ἰδεῶν ἦν, ἧς οὐκ ἔστι κυρία· εἴπομεν γὰρ ἤδη, ὅτι τροπικαί εἰσιν αἱ λέξεις καὶ αἱ τοιαῦται αἱ τὴν κυρίαν αὐτῶν ἔννοιαν ἐν ἑτέροις σημαίνουσαι, ὡς ὁ θεολόγος τὸ ἐμὸν γεώργιον, ἡ ἐμὴ ἄμπελος· ἐπ' ἄλλων γὰρ ταῦτα λέγειν εἰώθαμεν· εἰ καὶ μὴ καὶ τὰς αἰτίας λέγει τῆς λήψεως τῶν λέξεων καὶ τῆς παραγωγῆς, ὥσπερ ὁ Ξενοφῶν· πολλῷ θαυμασιώτερον, ὅτι οὐ διηγηματικός ἐστιν, ὡς ἐκεῖνος, ἀλλ' ἀγωνιστικός· τοιαῦτα ἐν τῷ περὶ [14] γλυκύτητος εἴπομεν πολλά.

ς'. Ἧς οὐκ ἔστι κυρία· ἀντὶ τοῦ καθ' ἧς κατηγορεῖται· οὐδὲ κυρίως ἁρμόττει· πολλῶν δὲ τοιούτων ὀνομάτων μέμνηται ὁ Ἀθηναῖος ἐν τοῖς Δειπνοσοφισταῖς, [15] φάσκων Διονύσιον τὸν Σικελίας τύραννον τούτοις χαίρειν.

Αὐτὴ καθ' ἑαυτὴν οὐκ ἐμφαίνεται δριμύτης· καθ' ἧς οὐ κατηγορεῖται ἐννοίας, οὐδὲ κυρίως ἁρμόττει ἡ ἔννοια. Ὁ κίνδυνος ἐν ταῖς· κίνδυνος δὲ οὐ μικρὸς εἰκότως· εἰ γὰρ μὴ ἀποδώσει τῆς τροπῆς τὸ ἀκόλουθον, εἰς κακόζηλον ἀπερρίφη.

ζ'. Ἐπεὶ καὶ οἱ τὰ σπουδαῖα γελοῖα· διχῶς νοητέον τὴν γραφὴν, εἰ μὲν σπουδαῖα καὶ γελοῖα δεῖ, οὕτω νοητέον· τῶν γνωμῶν, καὶ φασί τινες καὶ ἁπλῶς τινων λόγων, αἱ μὲν σπουδαῖαί εἰσι καὶ ὠφέλιμοι, αἱ δὲ ἀστεϊσμοῦ χάριν ἢ καὶ εὐκαίρου σκώμματος λαμβάνονται, οἷον ὁ Χάρων, φησί τις, ἔρχεται παιδία χαριζόμενος· τὸν δ' ὑπολαβών τις προςεῖπε· ἴδε μὴ καὶ ἃ ἔχομεν ἀφέληται· καὶ περὶ τούτων πάντων εἴπομεν ἐν τοῖς περὶ γνωμῶν· εἰ δὲ δεῖ γελοῖα γράφειν μόνον, ὅπερ ἐμοὶ κάλλιον δοκεῖ, ῥᾴδιος ἡ ἑρμηνεία· κατ' οὐδὲν γὰρ ἄλλο, φησὶν, εὐδοκιμοῦσιν ἢ τοιαῦτα λέγοντες, οἷον ὅταν τις κατὰ

---

14 περὶ Vind. om. 15 III. p. 98. d. cfr. T. VII. p. 1071.

κηλήτου φαίη, βαρὺς ἑταῖρος καὶ φορτικὸς [16] ἄνθρωπος εἶ, καὶ σὺ δεῖ σε πεζεύειν. τὸν δὲ προσειπεῖν ἀποκρινάμενον, (ἦν γὰρ ὁ προφὰς ἐν ὑπολήψει μοιχευθείσης γυναικὸς ἀνὴρ) ναί, φησὶν, ὦ τὰν, ἀλλ' ἀνέχομαι τούτῳ τῷ διχάλῳ, τὸν σκίπωνα ὑποδείξας· καὶ μυρία εἰσὶ τοιαῦτα παρὰ τοῖς σκηνικοῖς· καὶ πάλιν ἐπὶ ὀξοστόμου, τὸν γαργαρεῶνα ἀλγοῦντος, καὶ φάντος τῷ ἰατρῷ, μήτι ἄρα ἡ σταφυλή μου κατέβη, οὐ φάναι τὸν, ἀλλὰ τὰ γίγαρτά σου ἀνέβη· πρῶτον ὡς πρὸς τὸ δεύτερον εἶπε πρῶτον· τὸ γὰρ πρῶτον δεινότητος εἶπε μεθόδου.

η'. Παράδειγμα δὲ αὐτῆς οὐκ ἔστι παρὰ τῷ ῥήτορι, ὅτι οὐδὲν ἧττον ὑπόψυχρον· ὡς τὸ ἀτρέα δῆμον καὶ τὰ τοιαῦτα ἀστεϊσματα· σπουδαῖα γὰρ τὰ τῶν μεγάλων ἀνδρῶν καὶ ἀγαπώμενα, οὐ γελώμενα.

θ'. Ἕτερα δὲ αὐτῆς εἴδη τρία. τρία εἴδη φησὶν εἶναι τῆς σπουδαίας καὶ θαυμαστῆς ταύτης δριμύτητος κατὰ ἀκολουθίαν προῤῥηθέντων ἄλλων ἐπιγινόμενα. διαφέρει δὲ ἀλλήλων, ὅτι τὸ μὲν καθ' ὁμοιότητα προηγησαμένης [17] λέξεως γίνεται, τὸ δὲ κατὰ παρονομασίαν, τὸ δὲ κατὰ τροπὴν εὐαπόδοτον καὶ μὴ σφόδρα σκληρόν· ῥηθήσεται δὲ ἑκάστου τὰ παραδείγματα, τοῦ μὲν οὖν πρώτου τοῦ καθ' ὁμοιότητα λέξεως γίνεται, φασὶν, ὅταν προηγησαμένη λέξις ἴδιόν τι σημαίνουσα ἐπάγηται ἑτέραν, ὁμόφωνον μὲν τῇ πρώτῃ, ἕτερον δέ τι τὸ παρ' ἐκείνην δηλοῦσαν. ὡς ἐν τῷ [18] περὶ Χεῤῥονήσου [19] εἴρηται· διαβάλλουσι γάρ τινες τὸν στρατηγὸν Διοπείθην ὡς κακῶς χρώμενον τοῖς Ἕλλησι, διὸ καὶ ὡς ἐξ ὑποστροφῆς φησιν ὁ ῥήτωρ, μέλλει πολιορκεῖν, [20] τοὺς Ἕλληνας ἐκδίδωσιν, εἶτα ἐπάγει. μέλει [21] γάρ τινι τῶν

ικός.

16 Vind. Par. φοιτηγές. 17 Vind. Par. προηγησάμενα. 18 transit Med. a Fol. 285. ad Fol. 346. 19 Vind. Χεῤῥοννήσου. — de Chers. p. 96. 20 Vind. ὀρκεῖν, scripsi πολιορκεῖν. 21 Vind. μέλλει, scr. μέλει.

τὴν Ἀσίαν οἰκούντων Ἑλλήνων, ἡμῶν δηλονότι· τὸ μὲν γὰρ μέλει ὁμόφωνον εἶναι δοκεῖ τῷ μέλλει· ἄλλο δέ τι παρ' ἐκεῖνο σημαίνει· ἔσχε δὲ ὅμως χώραν, διὰ τὴν ὀλίγην τῶν στοιχείων τῆς λέξεως συγγένειαν. τούτου οὐκ ἔχω θεῖναι θεολογικὸν παράδειγμα, ὅτι πρῶτον μὲν οὐ δριμύτητός ἐστιν, ἀλλὰ παρηχήσεως· δεύτερον, ὡς, εἰ καὶ δριμύτητος, καταψυχρόν ἐστι καὶ παιδιῶδες, οὐχ οὕτως παρὰ τοῦ ῥήτορος νοηθέν· ἀλλ' ὡς παρήχησις κατὰ βαρύτητος· τρίτον, ὅτι μηδὲ τῷ τεχνικῷ πέφυκεν ἀρεστόν· ἀλλ' ὡς ἐξ ἄλλων εὑρημένον τεθὲν, οἷς καὶ ἐπιεικείας τρόπῳ οὐκ ἠθέλησεν ἀντειπεῖν.

ι. Ἕτερον εἶδος δριμύτητος τὸ ἐκ παρονομασίας· ἕτερον σημαινόμενον τοῦτο παρονομάσας παρὰ τοὺς γραμματικοὺς καὶ φιλοσόφους· ἐκεῖνοι γὰρ τὰς ἀπὸ ὀνομάτων πρωτοτύπων παραγομένας λέξεις φασὶν παρονομασίας, ὡς ἀπὸ τοῦ λευκοῦ Λεύκιος, καὶ τρυφὴ τρυφῶν, καὶ θεὸς θεῶν, καὶ γραμματικὴ γραμματικός· τοῦτο δὲ οὐ πτῶσιν παρονομάζει, ἀλλ' ὅλον τὸ ὄνομα εἰς ἕτερον μεταφέρει· οἷον μηχανήματα λέγονται αἱ ἑλεπόλεις· εἰ οὖν τις λόγῳ μὲν εἰρήνην ἄγει,[22] ἔργῳ δὲ λαθραίως διορύττει καὶ ἐφιστᾷ κατὰ τῆς πόλεως μηχανὰς, συμμάχους σφετεριζόμενος, στρατηγοὺς συλῶν διὰ δωροδοκίας, ἁρμόδιον εἰπεῖν τοῦτον ἐπὶ τὴν πόλιν ἱστᾷν καὶ παρασκευάζεσθαι τὸ μηχάνημα, καὶ τὸ ἱστάντα κυρίως ἐπὶ τῶν ἑλεπόλεων, ἥρμοσε δὲ καὶ ἐπὶ τῆς πανουργίας. ὅμοιον τούτου φαίη τις ἂν καὶ ἐπὶ διδασκάλου, πολλοῖς μὲν αἱρετικοῖς ἀνθισταμένου, πολλοῖς δὲ καὶ τοῦ λαοῦ τοῖς φαῦλα τὰ ἤθη ἔχουσι· πᾶσι δὲ μεταβαλλόμενον, καὶ ἀνταίρονται καὶ αὐτὸν, εἰς τὸ μηδένα διαφθεῖραι, καὶ μηδὲν ἐλλείποντα μηχανῆς· διὸ καὶ οὗτος παρονομάζων ἐρεῖ· παρατιθεὶς, ὥσπερ ἐκεῖνος τὴν παραβολὴν ἁρμοδίως, εἰ δὲ καὶ κυβερνήτης ἤμην, καὶ τῶν λίαν ἐπι-

22 Phil. III. p. 115.

στημόνων· εἶτα πολλὴ μὲν ἦν καὶ περὶ ἡμᾶς ἡ θάλασσα· καὶ τὰ ἑξῆς, πόσον ἂν ἀντέχον ὁρᾷς, πῶς τῷ πράγματι κατάλληλος [23] ὁ κυβερνήτης, ἡ θάλασσα, οἱ ἐμπλέοντες, ἡ τῆς θαλάσσης καὶ τούτων στάσις καὶ ὁ διπλοῦς κλύδων. καὶ πάντα καὶ μᾶλλον κυριωτέρως ἥρμοσεν ἐν τῇ παρονομασίᾳ, ὡς ἔγωγε οὐκ οἶδα, εἴτι τούτου κάλλιον παράδειγμα δριμύτητος.

ιά. Ἐγὼ δὲ οὐ τοῦτο δέδοικα, εἰ Φίλιππος ζῇ ἢ τέθνηκεν· [24] τοῦτο παρ' ὑπόνοιαν τὸ σχῆμα λέγεται, καὶ πολλὰ τοιαῦτα ὁ θεολόγος ἔχει, εἰ βούλοιο ἐπιτηρεῖν καὶ ἐκλέγεσθαι. καὶ γὰρ καὶ τοῦτο σφόδρα δριμὺ καὶ καθαπτόμενον τῶν ἀκουόντων, παρ' ὑπόνοιαν εἰσαχθέν· τοῖς ὀφθαλμοῖς μόνον εὐχαριστοῦντες, ὅτι μὴν τὴν ἑαυτῶν λώβην βλέπουσι. τὸ μὲν γὰρ εὐχαριστεῖν ἐπ' ἀγαθῶν τάττεται· ἐκ παρονομασίας δὲ εἰσαχθὲν ἁρμόδιον ἐγένετο τῷ πράγματι, ἐγὼ δέ· τὸ τέθνηκεν ἐν ἀμφοτέροις τεθὲν κυρίως ἐπὶ τῶν ἀποθνησκόντων εἴληπται, ἁρμόζει δὲ κἀπὶ τῆς πόλεως, ἢ ἄλλης τινὸς ῥαθυμίας καὶ ἠλιθιότητος.

ιβ'. Λοιπὸν δὲ εἶδος δριμύτητος τρίτον ἐστὶν, ᾧ καὶ αὐτῷ ὁ ῥήτωρ ἐχρήσατο· γίνεται δὲ, ὅταν τροπῇ τινι χρησάμενοι μὴ σφόδρα αὐστηρᾷ, ὥσπερ τὸ ἤνθησεν· οὐ γὰρ πόῤῥω τῆς τῶν πραγμάτων ἡ λέξις ἀκμῆς· ἀνθοῦσι γὰρ καὶ ταῦτα εὐημεροῦντα, ὥσπερ καὶ τὰ φυτά. εἰς τὸ ἐναντίον [25] δὲ μεταπεσόντα, καταῤῥεῖ δὲ αὐτὰ καὶ μαραίνονται, ὥσπερ τὰ ἄνθη· τὸ μὲν τοίνυν καταῤῥεῖ σκληρόν· διὰ δὲ τὸ οἰκεῖον εἶναι τὸ ἤνθησεν οὐ δοκεῖ τοιοῦτον, ὥσπερ καὶ τὸ ἡρμήνευσε σκληρὸν ἂν ἦν· παρακείμενον δὲ τῷ οἰκῶν οὐκ ἔδειξεν αὐτὴ σκληρόν· καθ' ἑαυτὸ γὰρ εἰ ἦν τὸ οἰκεῖν, ἀποτρόπαιον ἦν· τὸ γὰρ ἡρμήνευσε καὶ οἰκῶν ἀνθρώπινον. καὶ ὁ θεολό-

23 Vind. κάλληλος. 24 de fals. leg. p. 434. 25 Vind. ἐναντία.

νος, μέχρις ἂν τοῖς ποτίμοις[26] τῶν λόγων τοὺς ἁλμυροὺς ἀποκλύσωμεν· εἰ γὰρ καθ' ἑαυτὸ ἦν τὸ ἁ λ μ υ ρ ὸ ν, σκληρὸν ἂν ἦν· λεγόμενα δὲ ἀμφότερα ἐφ' ὑδάτων ἀκολούθως καὶ οὐ φορτικῶς μετετράπησαν· οὕτως οὖν καὶ τὸ γεώργιον καὶ ἡ ἄμπελος· τοιοῦτον καὶ, πρὸς τὸν αἰθέρα κουφίσθητι τοῖς τῆς διανοίας πτεροῖς· μόνον δὲ τὸ πτεροῖς εἰ ἦν, ψυχρὸν ἂν ἦν· καὶ ἁπλῶς πολλὰ τοιαῦτα, ἐξ ὧν καὶ τὸ, ἄνωθεν ῥεύσαντας, καὶ ὅσα τοιαῦτα· τὰ δὲ ἑξῆς τὰ μὲν εἴρηται, τὰ δὲ σαφῆ ὄντα διατριβῆς οὐ δέονται. λοιπὸν λεκτέον ἂν εἴη καὶ περὶ ἐπιεικείας.

Σύνοψις τῶν περὶ δριμύτητος.

α'. Ἔννοιαι ἐξ ἐπιβολῆς βαθεῖαι· ἴσως δὲ οὐκ ἔννοιαι, ἀλλὰ μέθοδος, τοῦτό ἐστιν ἀφελείας, τὸ ἁπλῶς καὶ ἀνειμένως λέγειν τὰ περινενοημένα.

β'. Εἶδος δὲ δριμύτητος τὸ καθ' ὁμοιότητα, ὅταν κυρίως ἔννοιαν σημαίνῃ[27] λέξις οὐ κυρίως ἐκείνης οὖσα.

γ'. Εἶδος δριμύτητος τὸ καθ' ὁμοιότητα λέξεως τὸ ἐκ παρονομασίας.

δ'. Τὸ ὅταν τροπῇ χρησάμενοι κατὰ ἀκολουθίαν ἐκείνης ἑτέραν τροπὴν ἐπενέγκωμεν.

Cap. VI.

Περὶ ἐπιεικείας.

α'. Ἡ τῶν ἰδεῶν τοῦ ἤθους τάξις πρόδηλος, ὅτι προετάγησαν αἱ τελεώτεραι καὶ πρωταίτιαι, ἥ τε ἀφέλεια καὶ ἡ γλυκύτης καὶ μετ' αὐτὰς αἱ καθεξῆς· τὸ μὲν, ὅτι ἐκ τῶν ἐκείνων μερῶν συνίστανται, τὸ δὲ, ὅτι καὶ ἐλλιπῆ ταῦτα ἔχουσιν· εἰπόντες οὖν πρῶτον περὶ τῆς ἀφελείας,

26 Vind. πολέμοις. cfr. Plat. Phaedr. p. 343. c. 27 Vind. σημαίνῃ. scr. σημαίνει.

ἔπειτα τῆς γλυκύτητος, ὡς ἐξ ἐπιτάσεως αὐτῆς γινομένης, εἴπωμεν καὶ περὶ τῆς ἐπιεικείας, ὡς ἐχούσης τι ἴδιον παρὰ τὴν πρὸ αὐτῆς. ἐφεξῆς δὲ καὶ περὶ τῆς ἀληθείας ἐροῦμεν καὶ τῆς βαρύτητος· ἐπιείκεια τοίνυν ἐννοίας μὲν ἔχει τὰς μειονεξίαν ἐχούσας τοῦ προσώπου καὶ τοῦ περὶ αὐτὸ δικαίου ἔλλειψιν καὶ ὕφεσιν· οἷον ἐπειδή τί τὸ καθ' ἡμᾶς Χριστιανοὺς εὐδόκησεν ὁ θεός, ἀντὶ τοῦ εἶναι μικροὺς καὶ εὐτελεῖς· καὶ ἀλλαχοῦ μικροὶ μὲν ἡμεῖς καὶ ἐλάχιστοι ἐν υἱοῖς Ἰσραήλ· καὶ τὴν μὲν τελεωτέραν εὐφημίαν ἀποδώσουσι πάντως οἱ τελεώτεροι· καὶ πάλιν· τίς ἡ ἐμὴ σοφία καὶ ἐπιστήμη, δι' ἣν καθ' ἑκάστην πανήγυριν πολεμούμεθα. ἐγὼ μὲν γὰρ οὐδεμίαν εὑρίσκω· τὸ γὰρ τίς ἀντὶ τοῦ οὐδείς ἐστι. ταῦτα γὰρ καὶ τὰ τοιαῦτα ὑπόβασίν τινα σημαίνουσιν τοῦ προσώπου καὶ τοῦ πράγματος, ἰσότητα δὲ καὶ ἕνα τῶν πολλῶν ὑπὲρ τοὺς πολλοὺς ὄντα ὡς τοῦτο. τὸ δὲ αἴτιον οὔτε οἶδα ἐγὼ τῶν ἄλλων σοφώτερον. εἰ μὴ τὸ εἰδέναι, ὅτι σοφὸς εἴην· εἰ γὰρ καὶ ἀμφότερα ἔλλειψιν δικαίου ὑποδηλοῦσιν, ἀλλὰ τὸ μὲν πρότερον μείωσιν ἔχει παντελῆ, τοῦτο δὲ ἰσότητα· ὑπὲρ γὰρ τοὺς πολλοὺς ὢν ἴσον ἑαυτὸν πεποίηκεν. καὶ τὰ τοιαῦτα εἶναι τῶν ἰσοτήτων οἶμαι, οὐδὲν οὕτως αἰδεῖσθαι, ὡς τὸ ὑποχωρητικόν τε καὶ μέτριον, καὶ οἷον ἄκοινον ἐν τῷ κοινῷ, καὶ μονότροπον ὑφέσεως, τὸ δὲ ἐν τῷ κοινῷ ἰσότητα.

β'. Τὸ σχεδὸν προσέθηκεν διὰ τὴν ἐνοῦσαν τοῖς δυσὶ τούτοις τῆς ἐπιεικείας τρόποις διαφοράν, ἥτις ἐστὶ τὸ ἐν μὲν τῷ πρώτῳ ἀπὸ τοῦ πράγματος, ἐν δὲ τῷ δευτέρῳ ἀπὸ τοῦ προσώπου τὴν ἐπιείκειαν γίνεσθαι.

γ'. Δεύτερον οὖν εἶδος ἐπιεικείας· δεύτερον τοῦτο εἶδος ἐπιεικοῦς ἐννοίας, ὅπερ ἐπάγει ὁ τεχνικὸς δεικνύων διὰ τῆς Δημοσθενικῆς χρήσεως, τὸν γὰρ Χαρίδημον ξένον ὄντα πολίτην ἑαυτῶν ἐποιήσαντο Ἀθηναῖοι. ἀξιοῖ δὲ τὸ ὑπὲρ αὐτοῦ ψήφισμα Τιμοκράτους μείζονα τιμὴν ἢ τοὺς γνησίους πολίτας. ὁ τοίνυν Δημοσθένης

κατὰ δεινότητος μέθοδον ἴσον ποιεῖ τοῖς ἄλλοις πολίταις, καί φησιν, ἃ μηδενὶ τῶν ἄλλων δέδοται πολιτῶν, μηδὲ τούτῳ προσήκειν· μήτε ἀπὸ τῶν νόμων μήτε ἀπὸ τοῦ ψηφίσματος· τίς δέ ἐστιν οὗτος ὁ Χαρίδημος προείρηται δή· δεινότητος γὰρ τὸ πάντα εἰδέναι καθὰ προσήκει, καθ' ὑπόθεσιν γὰρ συγχωρήσας τὸ πολίτην εἶναι ἐκ περιουσίας δείκνυσι τὸ ψήφισμα παράνομον εἶναι. ἐπισημαίνεται δὲ τὸ τῆς ἐπιεικείας καὶ ὁ θεολόγος αὐτῇ τῇ λέξει ἐνταῦθα· κέκμηκα τὴν ἐπιείκειαν ἐγκαλούμενος· τὸ μὲν γὰρ ἐξ ὑποφορᾶς ἦν τοιοῦτον, ὡς οὐδὲν ὑπὲρ τοὺς πολλοὺς φαίνῃ, οὐδ' ἐξανίστασαι κατὰ τῶν ἀδικούντων, ἀλλ' ἴσον ἑαυτὸν ποιεῖν τοῖς πολλοῖς· ὁ δὲ πολλὰ καὶ ἄλλα εἰπὼν ἐπιεικῆ καὶ αὐτὴν τοῦ ἐπιεικοῦς λέξιν ἐπέθηκεν.

δ'. Τρίτον ἔτι ἐπιεικοῦς λόγου. ἐπιεικοῦς λόγου καὶ τὸ λέγειν, ὡς παρὰ γνώμην δικάζεται. τρίτη ἔννοια ἐπιεικείας, ἣν καὶ ὁ θεολόγος ἐνδείκνυται, ἔν τε τοῖς ἀπολογητικοῖς καὶ ἐν τῷ εἰς ἑαυτόν· ἐν οἷς φησιν ἄκων καὶ τυραννούμενος τῆς ἱερωσύνης ἐπιβῆναι καὶ τοῦ θρόνου, καὶ τοῦτο ἔδειξεν ἡ πρώην γενομένη περὶ ἡμᾶς καινοτομία. ἡνίκα ζήλῳ καὶ θυμῷ ζέσαντες ὑμεῖς ὁ λαὸς βοῶντάς τε καὶ ὀδυρομένους ἐπὶ τὸν θρόνον τοῦτον ἐδώκατε. τὸ δὲ ὑμεῖς ὁ λαὸς σχῆμα καινοπρεπὲς καὶ κάλλους ἴδιον.

ε'. Οἷον εἰ μὲν ἐβούλετο Ἄφοβος, Δημοσθένους ἐκ τῶν ἰδιωτικῶν.

ς'. Οὐδένα πώποτε τῶν πολιτῶν· Αἰσχίνου ἐκ τοῦ κατὰ Τιμάρχου· αἰνίττονται δὲ αἱ χρήσεις ἀμφότεραι τὸ ἀνάγκῃ συγκροτῆσαι τὸ δικαστήριον καὶ ἑξῆς τοῦ Δημοσθένους, καὶ πάλιν τὸ φάσκειν, ὅταν ἴδω τὴν νῦν γλωσσαλγίαν καὶ τὰ ἑξῆς, ἐμφαίνοντός ἐστιν, ὡς ἐξ ἀνάγκης δημηγορεῖ ἐπὶ τῷ τοὺς θρασεῖς ἐπισχεῖν.

ζ'. Καὶ τὸ φάσκειν δὲ ἀπείρως ἔχοντα. τέταρτον εἶδος ἐπιεικοῦς ἐννοίας, ὃ καὶ αὐτό ἐστιν εὑρεῖν

παρὰ τῷ τῆς τριάδος ὑπογραφεῖ. τὸ γὰρ λέγειν, οὐκ ᾤμην ἴσον εἶναι οὐδὲ νῦν οἴομαι ποίμνης ἄρχειν ἢ βουκολίου καὶ ἀνθρώπων ἐπιστατεῖν ψυχαῖς,[1] ταὐτόν ἐστι τῷ λέγειν, ὅτι τὸν ἄπειρον καὶ ἀπαίδευτον πρὸ τοῦ πεῖραν καὶ παιδείαν λαβεῖν οὐ χρὴ τοῖς ὑπὲρ αὐτῶν ἐγχειρεῖν· τὸ αὐτὸ δὲ δηλοῖ καὶ ὅπου περὶ τῶν θείων ὀνομάτων διέξεισι· τοιοῦτόν ἐστι καὶ τὸ μὴ ὅτι γε ἡμῖν τοῖς πάλαι πᾶν τὸ φιλότιμον καταλύσασιν.. ἀντὶ τοῦ κατελύσαμεν τὸ λογογραφεῖν. καὶ οὐχ ἱκανοὶ τὸν μέγαν ἐσμὲν ἐπαινέσαι, καὶ τὸ μόνης ἡμῖν ἔδει τῆς ἐκείνου φωνῆς ἐκεῖνον ἐγκωμιάζουσι, ταῦτα γὰρ καὶ τὰ τοιαῦτα τῆς τετάρτης ἐννοίας τῶν ἐπιεικῶν εἰσι. δύναται μέντοι καὶ ἄλλο ἐμφαίνειν μέθοδον δεινότητος, ἀλλ' οὐ βαρύτητος.

η'. Φύσει γὰρ ἠθικώτατος Λυσίας καὶ Ὑπερίδης· κατ' ἔννοιαν μέν φησιν ἠθικώτεροι, πολλῷ δὲ πλέον ταῖς μεθόδοις.

Περὶ μεθόδου.

Μέθοδός ἐστι λόγος τὴν οἰκείαν τῆς ἰδέας ἔννοιαν κατὰ τὸ προσῆκον ἑρμηνεύων.

θ'. Ὁ γὰρ ἐκφαινόμενος τό· πολὺ τῆς ἀξίας ἔλαττον ἀγαπῶν· τούτῳ σύμφωνός ἐστιν ἥ τε τῶν οἰκείων πλεονεκτημάτων μείωσις καὶ τοῖς κατὰ τῶν ἐχθρῶν λόγοις ὑφειμένη τῶν ἐλαττωμάτων μνήμη, καὶ ἔστιν ἑκατέρου μέθοδος, ἡ κατὰ παράλειψιν, ὡς ὁ θεολόγος κατὰ τὴν μέθοδον μειοῖ τὰ μεγάλα. δότε τι καὶ ἡμῖν τῆς ἐπὶ τούτοις φιλοτιμίας, καὶ αὐταῖς μερίδα τινὰ τοῖς ὁρωμένοις τούτοις συνεισηνέγκαμεν. δυνάμενος γὰρ λέγειν, ὅτι τὸ μεῖζον συνεβαλλόμην τοῖς τὴν πίστιν τῆς εὐσεβείας κηρύξασιν, ὁ δὲ εἶπεν, ὅτι τούτου τοῦ στεφάνου κἀγώ τι συνεβαλόμην τοῖς πλέκουσι, καὶ τὸ πόλιν τοσαύτην εἰς ἐπίγνωσιν ἀγαγεῖν· τὸ καὶ οὐδὲν εἶπεν. οὕτω μὲν τοῦτο

---

1 Xen. Cyrop. I. 1, 3.

κατὰ μέθοδον ἠλάττωσεν. ἐν ἑτέρῳ δὲ τῇ αὐτῇ ταύτῃ τῆς δεινότητος ηὔξησεν. οὐ γὰρ ἀπαιδεύτως παιδεύομεν. καὶ πορεύεσθε [2] διὰ τῶν πυλῶν μου. καὶ ἕως τούτου δωροφοροῦμεν καὶ τὰ ἑξῆς· εἶτα ἔτι αὐξητικώτερον, ἆρον κύκλῳ τοὺς ὀφθαλμούς σου καὶ ἴδε καὶ τὰ ἑξῆς· καὶ ἁπλῶς ὁ λόγος οὗτος πολλὰ τοιαῦτα ἔχει μετὰ τῆς κατὰ τὸ ἦθος βαρύτητος· οἷς φαίνεται ἡ σύνοδος ἐκείνη, ἵνα μή τι βλάσφημον λέγω τῆς ἱερωσύνης φειδοῖ, [3] ἠλιθιωτέρα εἶναι καὶ τῶν προβάτων, ὡς τῆς ἐπιεικείας παραδείγματα καὶ ἐλλείψεως καὶ αὐξήσεως κατὰ δεινότητος μέθοδον, ἃς ἀρκούσας εὑρήσεις παρὰ τούτῳ.

ι. Αἱ γὰρ εἰρωνεῖαι οὐκ εἰσὶν ἐπιεικείας· αἱ γὰρ εἰρωνεῖαι ἐπιεικείας τοιαύτης καὶ ἤθους, ἧς εἶπον τὸ παράδειγμα, οὐχὶ εἰρωνείας· διὸ καὶ τὸ ἀντιπίπτον λύει. εἰ δὲ τὰς εἰρωνείας λέγων φήσειέ τις ἠθικῶς, ὡς οὐκ εἰσὶν ἰδικῶς [4] ἐπιεικείας, εἰ μὴ ἄρα κατὰ τὸ γένος, ἀλλ' οὐ πάντα τὰ τῶν μελῶν καὶ τοῖς εἴδεσιν οἰκεῖα· τὸ γὰρ λογικὸν ἀνθρώπῳ μὲν ὕπεστιν, ἵππῳ δὲ οὔ· οὐκοῦν οὐδὲ αἱ εἰρωνεῖαι ἐπιεικείας ἔσονται, διότι τοῦ γένους εἰσὶν, ἀλλὰ βαρύτητος, ἐν ᾗ τρανότερον καὶ περὶ τῶν εἰρωνειῶν ἔχομεν διελθεῖν καὶ ποσαχῶς λέγονται καὶ εἰσίν.

Εἰς τὸ αὐτό· βαρύτητι [5] γὰρ προσήκουσιν· οἶον γενικῶς μὲν εἰσιν ἤθους αἱ εἰρωνεῖαι· εἰδικῶς δὲ βαρύτητος.

ια. Πόνος δὲ ἄλλος ἤπειγε· τὸ τὰς μεθόδους παραδοῦναι [6] τῆς τέχνης ἐκ τῶν εὑρισκομένων παραδειγμάτων, αἷς αὔταρκες εἰς ἔνδειξιν καὶ ἓν, μὴ ὅτι πλήθη

τού-

αι — αι ὧν
2 Par. Vind. πορεύεσθε. 3 Par. Vind. φειδοῖ. 4 Par.
ἰ
Vind. εἰδικῶς. — v. 19. Vind. γένος. scr. γένους. 5 Med. ad marg. διασύρων καλέσεις Βάταλον. Βαταλός ἐστι βδελυρὸς, αἰσχρὸς, ἐκλήθη δὲ οὕτως ὁ Δημοσθένης νέος ὢν καὶ γυναικώδης. 6 Med.
δοῦ
Par. Vind. παραθεῖναι.

τούτων διερευνᾶν· ἐπιδείξεως γάρ ἐστιν ἀκαίρου τοῦτο, καὶ οὐ τέχνης συντομίαν ἄτεχνον ἔντεχνον ἀπαιτούσης· εἰ μέν τις ἐξήγησιν ἀπεργάζεται τῶν μεθόδων, χρήσιμον τὸ πλείοσιν παραδειγματίζειν καὶ σαφηνίζειν τὴν τέχνην καὶ ἀπὸ πλειόνων ἐρανιζόμενον, εἴπερ μὴ δυνατὸν ἀφ' ἑνός· ἀλλ' ἡμῖν οὔτε χρεία Πλάτωνος οὔτε τῶν τοῦ Πλάτωνος λόγων, ἀρκουμένοις ἑνὶ καὶ τῶν πάντων καλλίστῳ· σπάνιον δέ ἐστι, φησίν, τὸ τὰ ὑψηλὰ μειοῦν· ἀλλὰ τὰ μὲν ἑαυτοῦ οὕτως ἄν τις ὡς ἔδειξε.

ιβ΄. Τῶν δεόντων ῥηθῆναι κατὰ τοῦ ἐχθροῦ σφοδρῶς ἐλάττωσις ἐκ μεθόδου, ἡ τῆς κατ' ἐπιείκειαν μείωσις, ἢ τὰ ἑαυτῶν μειοῦμεν ἢ τὰ τῶν ἐχθρῶν, τῶν δὲ κατὰ ἐχθρῶν δεόντων ῥηθῆναι σφοδρῶς ἢ κατὰ παράλειψιν γίνεται μείωσις ἢ χωρὶς παραλείψεως,[7] καὶ εἰ κατὰ παράλειψιν, ἢ ἐνδείκνυται ὅτι ἐκμειοῖ τὸ σφοδρὸν, ἢ οὐκ ἐνδείκνυται, καὶ ἔστι καθαρῶς ἐπιεικὴς ἡ μέθοδος τούτων· πῶς μὲν μειοῖ τις τὰ ἑαυτοῦ, εἴρηται, πῶς δὲ τὰ τοῦ ἐχθροῦ εἰρήσεται. ἐνδείκνυται μὲν, ὡς ἑκὼν ἐπιεικέστερον λέγει, ὡς τὸ τοῦ ῥήτορος παράδειγμα, καὶ ἔτι ταῦτα τὰ θεολογικὰ, καὶ μή μοι δυσχεράνῃς, ἡνίκα τῆς ἀλόγου μετείχομεν νομῆς· οὐκ ἐνδείκνυται δέ τις καὶ παραλιμπάνει, ὡς τὸ, τὰ ἑξῆς σιωπήσομαι καὶ ἑκὼν ὑπερβήσομαι. τὰ τοιαῦτα γὰρ, φησὶ, διὰ τὸ ἀόριστον[8] περιβολὴν ποιεῖ μετὰ τοῦ ἤθους, καὶ τὰ πλεῖω τοῖς εἰδόσι παρήσομεν. ἢ προσποιεῖται μὲν παραλιμπάνειν, οὐδὲν δὲ ἧσσον λέγει· ἐῶ γὰρ λέγειν ἑρπετῶν καὶ κνωδάλων τιμὰς καὶ τὸ τῆς ἀσχημοσύνης φιλότιμον· ἄνωθεν οὖν πάλιν λεκτέον.

Ἢ γὰρ ἐνδείκνυται· ἢ ἄνευ ἐνδείξεως τοῦτο ποιεῖ· εἰπὼν πῶς τις τὰ ἑαυτοῦ ποιεῖ κατὰ μέθοδον, νῦν λέγει, πῶς καὶ τὰ κατὰ ἐχθροῦ σφοδρά τις μειώσειε, καὶ παραδείγματα τίθησιν· ὁ δὲ θεολόγος ἐνδείκνυται μὲν, καὶ

7 Vind. παραλήψεως et παράληψιν. 8 Vind. ἄριστον, scr. ἀόριστον.

καθισταμένας.[2] *τῆς τῶν ἔξω δηλώσεως διαθέσεις καλοῦσι, διὰ τὸ διατίθεσθαι*[3] *τὴν ψυχὴν πρὸς αὐτὰς κατὰ πάθος ἢ ἀγαθὸν ἢ φαῦλον· ἀληθινὸς δὲ λέγεται, ὅτι πείθει μάλιστα, ὡς ἐξ ἀπλάστου διαθέσεως ἐξερχόμενος, καὶ ἤθους ἀδόλου καὶ ἀπανούργου· ἔμψυχος δὲ ὡς εὐκίνητος καὶ δραστήριος τῶν ἀκουομένων· καὶ τὸ ὅλον εἰπεῖν ὡς ἐνεργός· τοιαῦτα γάρ τὰ ἔμψυχα.*

β'. Τὸ μὲν πλεῖστον· μέθοδος, τὸ πῶς δεῖ προφέρειν τὰ νοήματα, κατὰ ποῖον πάθος ψυχῆς, λυπηρὸν, θαυμαστικὸν, σχετλιαστικὸν, θρηνητικὸν καὶ τὰ ὅμοια. Γίνονται[4] *μὴν καὶ κατ' ἔννοιαν ἀφελεῖς ἔννοιαι λόγου ἀληθινοῦ· τὰ γὰρ σεμνὰ ἢ τραχέα νοήματα, ὅταν ἀφελῶς μεθοδεύωνται, εἰς τὴν ἰδέαν ταύτην ἐμπίπτουσιν, ὥστε πᾶσαν ἔννοιαν οὕτω μεθοδεύσεις· αὐτίκα γὰρ τὸ τὸν θεὸν ἰδεῖν, καὶ τὰ περὶ αὐτοὺς, σεμνὸν ὂν καὶ τὸ πρῶτον τῆς τῆς ἐννοίας σεμνότητος· ἀφελῶς καὶ ἐπιεικῶς ἐῤῥήθη τῷ προφήτῃ*[6] *καὶ ὄντως ἀληθινῶς, „ὦ τάλας,“ φησὶν, „ὅτι κατανένυγμαι, ὅτι ἄνθρωπος ὢν καὶ ἀκάθαρτα χείλη ἔχων καὶ τὰ ἑξῆς.“*

γ'. Τάχα δ' ἂν καὶ αἱ ἐπιεικεῖς τούτου τοῦ εἴδους εἶεν· εἰ ἀφελεῖς μὲν αἱ ἔννοιαι τῶν ἀπλάστων ἠθῶν, ἐπιεικεῖς δὲ αἱ κατὰ μειονεξίαν προσαγόμεναι τῶν προσώπων, εἰσὶ δὲ τοιαῦται καὶ τοῦ ἐνδιαθέτου, εἰκότως καὶ τοῦτο τὰς ἀφελεῖς ἔχει καὶ ἐπιεικεῖς, εἴπερ εἰκὸς καὶ τὰ τῶν γενῶν τινα συστατικά εἰσί τινα καὶ τῶν εἰδῶν· εἰ γὰρ τὸ ἦθος γένος, συμιστᾷ δὲ αὐτὸ τὰ τῶν εἰδῶν, εὔδηλον, ὅτι καὶ τούτοις ἐστί τι κοινὸν, ὥσπερ ἀνθρώπῳ καὶ ἵππῳ κοινὸν τὸ οὐσία, τὸ ἔμψυχον, τὸ αἰσθητικὸν, τὸ ὀρεκτικὸν, τὸ θυμικὸν, τὸ ἐπιθυμητικὸν, διὰ τοῦτο προσέθηκε τὸ τάχα διὰ τὰ κοινά.

2 Vind. *ἀποθισταμένας.* 3 Vind. *διὰ τί θέσθαι.* 4 Vind. Par. *γίνεται.* 5 Par. Vind. *μεθοδεύονται.* 6 Jes. VI. 5.

δ'. Ἴδια δὲ, ὥσπερ ἀνθρώπῳ τὸ γελαστικὸν καὶ ἵππῳ τὸ χρεμετιστικὸν, οὕτω καὶ τῷ ἀληθεῖ λόγῳ ἴδια παρὰ τὰ ὁμογενῆ τὸ σχετλιαστικὸν καὶ θαυμαστικὸν, καὶ ὅσα τοιαῦτα· κοινὰ δὲ αἱ εὐχαὶ καὶ εἴ τι τοιουτότροπον. οὐκοῦν ἐπειδὴ πᾶσα ἔννοια οὕτω μεθοδευθεῖσα ἁρμόζει δὲ τῷ ἐνδιαθέτῳ, διὰ τοῦτο περὶ τὴν μέθοδον ἔχει πᾶσαν τὴν δύναμιν.

ε'. Τοῦ οἷον ἐμψύχου λόγου· αἱ σχετλιαστικαὶ, τὸ γὰρ ὁ θαυμάσιος στρατιώτης, [7] εἰρωνεία ἠθικὴ οὖσα καὶ αὐτὴ κατὰ βαρύτητα· τὸ δὲ, ὦ Ζεῦ, ὡς δὴ σχετλιασμός ἐστιν ἐπὶ τῇ ἀναξιότητι τοῦ προσώπου τοῦ πρὸς ὃν ὁ λόγος ἀποῤῥηθείς· ὡς καὶ τοῦτο, ὦ τῆς εὐηθείας, εἰ ταύτην συλλέγειν [8] ἤλπιζεν.

ϛ'. Αὕτη δήπουθεν παρὰ τὴν προειρημένην ἐστὶν ἔννοια, παρὰ τὴν ἀφελῆ δηλαδὴ καὶ ἐπιεικῆ, ἥτις ἰδία μόνη τοῦ ἐνδιαθέτου· τοιοῦτόν ἐστιν, ἀλλ' Ἀνδροτίων· [9] ποῖον τοιοῦτον; σχετλιαστικὸν ἰδίως· ἐκ τοῦ κατὰ Ἀνδροτίωνος ὁ λόγος, οὗ κατηγορεῖ Διόδωρος οὗτος, οὐ μόνον ἀναξίως τῶν νόμων πολιτευομένου φαύλης δόξης καθεστῶτα, ἀλλὰ καὶ τὰ ἀναθήματα ἐπισκευάζοντος· ἃ ἐν ταῖς πομπαῖς τῶν δαιμόνων εἶχον καὶ τούτων νοσφιζομένου· ἴσως δὲ εἰπεῖν τοῦτο μέθοδον, καὶ οὐκ ἔννοιαν, διὰ τὸ πρᾶγμα ἔνδοξον ἔχον ἔννοιαν, οὐ μὴν ἀλλὰ καὶ κατὰ τὸν χρόνον τοῦ προσώπου· γέρων γὰρ ἦν ἤδη ὁ Ἀνδροτίων καὶ πολιτευόμενος, ὅπερ ἔνδοξον ἦν παρ' Ἀθηναίοις, εἰ καὶ τὴν νεότητα διέφθειρεν. Ἄλλως εἰς τὸ παρὰ τὴν προειρημένην· προειρημένην ἔννοιαν λέγει ἢ τὴν κατ' εἰρωνείαν βαρύτητα· οἷον τὸ, αὐτὸς οἶμαι ὢν θαυμάσιος στρατιώτης, ἢ ἣν εἶπεν ἁρμόζειν ἀνωτέρω τῷ ἐνδιαθέτῳ λόγῳ, ἤγουν τὴν ἀφελῆ καὶ ἐπιεικῆ, καὶ ἄμεινον τοῦτο· ἡ γὰρ

---

7 de fals. leg. p. 375. 8 Vind. οὐ λέγειν. Par. συλέγειν, scripsi συλλέγειν. 9 c. Androt. p. 618.

εἰρωνεία οὐκ ἔννοια βαρύτητος, ἀλλὰ μέθοδος, ὡς εἰσόμεθα.

ζ. Τὸ μέντοι ἐφρούρει Χαρίδημον [10] ἔννοιαν ἰδίαν ἔχει τοῦ ἀληθινοῦ· ὅτι τὸ φρουρεῖν Ἀθηναίοις μισθοφόρου καὶ θεράποντος καὶ ἀλλότριον, αἴσχιον καὶ κατὰ τὸ πρᾶγμα καὶ κατὰ τὸ πρόσωπον· ἀμφότερα γὰρ τὰ παραδείγματα κατὰ ἐπανάληψιν ἐξεφωνήθη τοῦ ὀνόματος· ἀλλ' ἐπὶ μὲν τοῦ πρώτου ἡ κατὰ ἐπανάληψιν δοκεῖ τὸν σχετλιασμὸν τοιοῦτον φαίνεσθαι, ἐπὶ δὲ τοῦ δευτέρου τὸ αἰσχρὸν τοῦ πράγματος· ἀμφοτέρων ἡ ἔννοια καθαρὰ καὶ οὐκ ἰδίως ἀφελής, ὅτι μὴ ἀπλάστων ἠθῶν εἰσι· τοιοῦτον καὶ τὸ, οἴμοι ἐπλουτήσαμεν ἐν κακοῖς· καὶ τὸ φεῦ τῆς ὕβρεως, εἰ μὴ παρὰ τοῦ θεοῦ μόνον, ἀλλὰ καὶ αὐτὸν τὸν θεὸν λύτρον ὁ λῃστὴς λαμβάνει· κατ' ἐπανάληψιν δὲ, ὢ τῆς ἀπαιδευσίας, ὢ τῆς σκαιότητος· τούτων μὲν γὰρ τὸ πρᾶγμα αἰσχρὸν, διὸ καὶ καθαρῶς αἱ ἔννοιαι σχετλιαστικαί· φεῦ τοῦ θαύματος, ἐν καλάμῃ τὰ τῆς εὐφορίας ἡμῖν, ταύτου ἐλεεινὸν τὸ πρᾶγμα, ἀλλ' οὐκ αἰσχρὰν ἔχει τὴν ἔννοιαν, ὥσπερ καὶ τοῦτο· τέκνον ἐλεεινὸν, ὅμοιον συνεμφίσατο [11] πικρῶς ἡ νόσος, καὶ ἁπλῶς πολλὰ τοιαῦτα παρὰ τῷ μεγάλῳ ζητῶν εὑρήσει.

η. Εἰ δὲ καὶ μέθοδός τις ὁ σχετλιασμὸς, οὐ περὶ ἔννοιαν τοιαύτην, [12] οὐ φύσει σχετλιαστικήν· ὅταν γὰρ ὡς ἀληθῶς σχετλιάζῃ τις, διὰ τὸ τὸ πρᾶγμα οἰκτρὸν ἢ παθητικὸν ἢ τοιοῦτον εἶναι, ἔννοια τοῦτο τοῦ ἀληθοῦς, ὡς τὰ τοῦ θεολόγου πάντα· ὅταν δὴ μὴ φύσει τὸ πρᾶγμα, ἢ οἴκτου, ἢ θαυμασμοῦ, ἤ τινος τῶν τοιούτων ἐστὶ, σχηματίζηται δὲ πρὸς τοῦ λέγοντος [13] εἰς σχετλιασμὸν ἢ εἰς θαῦμα, τότ' ἂν εἴη μέθοδος· μέθοδον γὰρ λέγομεν τὴν διέξοδον τοῦ τρόπου τῆς ἀνοίας, ἃ καὶ σχήματα διανοίας λέγεται· καὶ σαφὴς δήπουθεν ἡ

---

10 c. Aristocr. p. 690. 11 sic Vind. Par. 12 Vind. ἔννοια τοιαύτη. 13 λέγοντος Vind. om., est in Par.

μέθοδος, ὅτι περὶ τὸν τρόπον τῆς ἐννοίας λέγεται καὶ αὐτή ἐστιν ἡ ἔννοια· τὸ γὰρ εὐτελὲς εἶναι τὸ πρᾶγμα τὸν σχετλιασμὸν ἐποίησε κατ' ἔννοιαν, καὶ οὐ κατὰ μέθοδον· ὥσπερ τὸ Ἀνδροτίωνος.

θ'. Σχεδὸν ἄῤῥητοί εἰσιν· εἰ μὲν γὰρ ἐκ πάθους καὶ σφοδρᾶς κινήσεως γίνονται, οὐ μέθοδοι, ἄῤῥητοι μὲν διὰ τὰς κινήσεις τῆς ψυχῆς εἰς ἀριθμὸν ἐλθεῖν μὴ δυναμένας· ῥητέον δὲ διὰ τὸ φαίνεσθαι, πότε παθαίνονται καὶ πότε οὔ· τὸ γὰρ ἐν προκαταρκτικοῖς οὖσαν εὐχὴν εἰς μέθοδον ἀληθοῦς ἀγαγεῖν ἠλίθιον·[14] ἤδη γὰρ εἶπεν ὡς ἀφελείας εἰσὶν, ἔννοιαι δὲ ἁπλῶς, τουτέστι κατὰ γένος.

ι'. Ἀλλά τι παραπλήσιον· διαφορὰν ἔχει ἐννοίας ἀφελοῦς καὶ μεθόδου, καὶ λαμβάνει τὸ προοίμιον τὸ περὶ τοῦ στεφάνου· καὶ ἐνθύμημα Ἀριστείδου τοῦ Σμυρναίου ἐκ τῶν Σικελιωτῶν μελετῶν· οὗτος γὰρ πλάττει τοὺς ἀντιλέγοντας τοῖς συμβουλεύουσι τοῖς ἐν Σικελίᾳ[15] στρατηγοῖς τῶν Ἀθηναίων, Νικίᾳ καὶ Δημοσθένει, ὡς φεύγειν χρὴ τὴν Συράκουσαν κατὰ κράτος· οὐ γὰρ εἶναι τὴν πόλιν ἁλώσιμον· μετὰ πολλὰ καὶ ἄλλα τοῦτό φησιν ἐνδιαθέτως· ἀλλὰ γὰρ ἐνταῦθα τῶν φόβων εἴημεν· μήτι ἄρα φεύγουσιν ἡμῖν ἐπιθῶνται Γύλιππος καὶ Συρακούσιοι· τοῦτό φησιν καθαρὰν εἶναι μέθοδον ἐνδιάθετον, ἀλλ' οὐ τὸ τοῦ Δημοσθένους· οὐ μέντοιγε ἁπλῶς τοῦτο ἐκείνου κάλλιον νόημα· μαινοίμην γὰρ ἂν, φησὶν, ἀλλὰ μέθοδον καλλίονα· καὶ τὴν αἰτίαν φησὶν εἰπεῖν, ὅτε τὸν περὶ τοῦ στεφάνου λόγον ἐπεμέριζεν· ἥ δέ ἐστι τὸ μὴ δύνασθαι πρὸ τῶν ἀγώνων παθαίνεσθαι Δημοσθένην, ἀλλ' ἀφελῶς εὔχεσθαι.

ια'. Ὅτε τὸν λόγον ἐθεωροῦμεν· ἡ αἰτία σαφὴς καὶ τῷ μετρίως ἔχοντι παρὰ τοὺς λόγους αἰσθήσεως· πῶς γὰρ ἠδύνατο παθαίνεσθαι πρὸ τῶν ἀγώνων μηδενὸς ὑπόντος τοῦ κινοῦντος αὐτόν.

---

14 Vind. ἠλίθειον. 15 Vind. Par. Σικελίας.

ιβ'. Καὶ μὴν καὶ τὸ καλῶ δὲ τοὺς θεοὺς πάντας καὶ πάσας·[16] καὶ τοιοῦτον καὶ ἄλλα ὅμοια ἐδείκνυμεν καὶ ἡμεῖς τοῦ θεολόγου ἀφελῶς ἀπηγγελμένα· καλῶ· τὸ μὲν γὰρ καλῶ ἁπλῶς ἐξ ἀμαθοῦς διανοίας ἐστὶ, διὸ καὶ ἀφελὲς, τὸ δὲ ἐξώλης καθαρὸν καὶ ἐνδιάθετον· ὥσπερ καὶ τὸ εὔχομαι μὲν τὸ τοῦ Σολομῶντος παθεῖν, εὐχὴ ἀπαθὴς καὶ ἀφελής· τὸ δὲ σπεῖραι ἄρα ἐμαυτῷ, καὶ ἄλλοι φάγοιεν παθαινομένου κατάρα.

ιγ'. Ἐνταῦθα μέντοι καὶ ἡ ἐπιμονὴ τῆς ἀφελείας πεποίηκεν πλέον τὸ ἐνδιάθετον· ἡ ἐπιμονὴ ἐνταῦθα διχῶς γέγονεν, ἔκ τε τοῦ διπλασιασμοῦ τῆς κατάρας, τῆς ἐξώλης καὶ προώλης. καὶ ἔστι τοῦτο νοήματος ἐπιμονὴ, καὶ ἐκ τῆς ἐπιτάσεως τῆς διπλῆς τοῦ πάνυ πολύ. ἑκάτερον γὰρ ἀφελές· εἰ γὰρ ἐβούλετο σεμνῶς λέγειν ἤρκει τὸ ἕν. κατ' ἐπιμονὴν δὲ ἐννοίας καὶ τοῦτο· ὢ τῆς ἀπαιδευσίας, ὢ τῆς σκαιότητος καὶ ἀντὶ πυροῦ ἐξέλθοι μοι κνίδη, ἀντὶ δὲ κριθῆς βάτος καὶ τὰ ἑξῆς.

ιδ'. Ἄῤῥητοί εἰσιν· ὡς προέφη διὰ τὰς ἀπείρους κινήσεις τῆς ψυχῆς καὶ τὰ πάθη, ἡ μέντοι περιεκτικὴ τὸ μὴ προλέγειν μηδὲ ἐνδείκνυσθαι, ὡς ὄμνυσιν ἢ εὔχεται, ἢ ἀρᾶται, ἢ σχετλιάζει, ἢ θαυμάζει, ἢ ὅλως παθαίνεσθαί τι τοιοῦτον· ἀλλ' ἁπλῶς καὶ ἐξαίφνης καὶ ἀπροσδοκήτως αὐτῷ τε καὶ τοῖς ἄλλοις εἰς τὰ τοιαῦτα ἐμπίπτειν καὶ ἀνυπονοήτως καὶ αὐτομάτως· ὡς ἀπόλοιτο ἡ κακία καὶ ἡ ταύτης πρώτη καταβολή· καὶ ὁ καθεύδουσιν ἡμῖν ἐπισπείρας τὰ ζιζάνια[17] πονηρὸς, καὶ εἴθε τι καὶ τῶν λόγων τοσοῦτον ὄφελος, ὅσον τῆς σιωπῆς· καὶ, ὢ τοῦ θαύματος, αὐτοὶ τοῦ θηράματος ἦσαν ταμίαι. καὶ, ὢ τῆς μεγαλοψυχίας, καὶ πάντα τὰ τοιαῦτα. ἡ δὲ Δημοσθένους χρῆσις ἐκ τοῦ κατὰ Μειδίου ἐστί.

ιε'. Καὶ μὴν καὶ τὸ θαυμάζειν· ἤδη γὰρ εἴπομεν, ὡς τὸ μὴ προλέγειν ἐν τοῖς τοιούτοις, ἀλλ' αὐτομά-

16 pro cor. p. 274. 17 Vind. ἐπὶ σπείρας τὰ ζηζάνια.

τως αὐτοῖς ἐμπίπτειν· τὸ γὰρ προλέγειν γενικῶς μὲν ἤθους ἐστὶ καὶ ἀφελείας· τὸ δὲ μετὰ προκαταστάσεως λέγειν τινὸς, εὐκρινείας τυχὸν καὶ δεινότητος, ἐξεστηκότος γὰρ τὸ ἐνδιάθετον γίνεται, καὶ οὐ μεθ' ὑποκρίσεως καὶ προῤῥήσεως.

ις΄. Ἐφ' οἷς ἔγωγε ἀποπνίγομαι· τὸ γὰρ ἐφ' οἷς ἔγωγε ἀποπνίγομαι δυσφορούντων ἐστὶν, αὐτομάτως ἀλλ' οὐ μετὰ προμελέτης, διὸ ἡ ἀποστροφὴ πολὺ τὸ ἐνδιάθετον ἐμφαίνει, τὸ οὐκ ἴσασιν οὗτοί σε· τοιαύτη δὲ καὶ ἡ ἀποστροφὴ αὕτη. ὄντα οὖν γεγέννηκεν ἢ οὐκ ὄντα. εἶτα δυσφορῶν ὁ πατὴρ ἐπὶ τῇ ἀτοπίᾳ ἐξ ἀποστροφῆς σχετλιάσας τῶν ληρημάτων καὶ τῆς αὐθαδείας φησί· καὶ ὅσα τοιαῦτα· τοιοῦτόν τι καὶ τό· πῶς ἂν τις ἑαυτῷ μάχοιτο καὶ θεῷ κατὰ σχετλιασμὸν [17*] προαχθέν.

ιζ. Μετ' ὀργῆς μὲν, ὡς ἐν τῷ, ἔπειτα ὦ κατάρατε καὶ γραμματοκύφων. μετ' ὀργῆς μὲν, πόθεν οὖν ἐπῆλθέ σοι τοῦτο, ὦ κουφότατε [18] πάντων καὶ ἀπληστότατε.[19] καὶ ἔπειτα πῶς ἐκεῖνο οὐ λογίζῃ, ὦ σοφώτατε πάντων καὶ συνετώτατε. τοῦτο δὲ ἤδη καὶ εἰρωνείαν ἔχει καὶ οὐ καθαρὸν ἔχει[20] τὸ ἐνδιάθετον. καὶ ὦ νόμοι καὶ νομοθέται καὶ βασιλεῖς, ἐλέου δὲ πρόκειται τοῖς ὀφθαλμοῖς ἡμῶν θέαμα ἐλεεινὸν, καὶ δακρύων ἄξιον. καὶ πάλιν, φεῦ τοῦ θεάματος, θαυμασμοῦ, ὢ τῆς γενναίας καὶ θαυμασίας ψυχῆς, καὶ ὢ τοῦ τάχους τῆς φιλανθρωπίας. καὶ ὢ τῆς εὐκολίας τοῦ συναλλάγματος. ὦ βάθος [21] πλούτου καὶ σοφίας καὶ γνώσεως θεοῦ· σὺν φόβῳ δὲ, ὦ τάλας [22] ἐγὼ, ὅτι κατανένυγμαι, ἀγανάκτησιν δὲ, ὢ τῆς ἀπαιδευσίας καὶ σκαιότητος.

ιζ. Ἠθικὸν ποιεῖ [23] τὸν λόγον· καθὸ καὶ ἡ

17* σχετλιασμὸν posui ex conj. Abest a Vind. 18 Vind, Par. κουφόσατε. Med. κουφότατε. 19 Par. Vind. ἀπληστόματε. Med. ἀπληστόταγε. 20 In Vind, et Par. supra lineam σώζει. 21 Rom. XI. 33. 22 Jes. VI. 5. 23 Vind. ποιητόν.

ἀφέλεια καὶ ὁ ἐνδιάθετος ὑπὸ τὸ ἦθος ἀνάγεται· λέγει οὖν, ὅτι κοινωνεῖ ἀλλήλοις κατὰ τὸ γένος.

ιή. Ἐγὼ συμπλέων ἐθελοντής· ἐκ τοῦ Διοπείθους, ὀγδόου λόγου τῶν Φιλιππικῶν·[24] φησὶ γὰρ ὁ ῥήτωρ μὴ εἶναι οὕτως, ὡς οἱ κατήγοροι λέγουσιν. εἰ δ' εἰσὶν, ἐγὼ συμπλέων ἐθελοντὴς ἕτοιμός εἰμι πάσχειν ὅ τι ἂν οὖν προστιμηθῶ.

ιθ'. Τοῦ δ' αὖ κατὰ πεποίθησιν ἐνδιαθέτου λόγου· κατὰ πεποίθησιν λέγει, ὅταν θαῤῥῶν ὁ ῥήτωρ προάγῃ τὸν λόγον, ὅπερ καὶ ἐπὶ τῆς λαμπρότητος ἐλέγετο· καὶ ἔστι τοῦτο παρὰ τὴν προῤῥηθεῖσαν ἄλλη μέθοδος.

κ'. Χωρὶς δὲ καταστάσεως· τὸ μὴ πληροῦν τὸν λόγον καὶ καθιστάναι, ἔπειτα κατὰ ἐπιμερισμὸν εἰς ἕτερα μεταβαίνειν, ὥσπερ ἐν τῇ εὐκρινείᾳ ἐλέγετο· οἷον τοῦτο μὲν οὕτως. ἕτερον δὲ τῶν εἰρημένων οὐκ ἔλαττον, ἀλλ' ἢ τὸ ἀκαταστάτως τοῖς ἐπιοῦσιν ἐπιβαλεῖν, ἢ ταχείαις χρῆσθαι ταῖς ἀπαντήσεσι τῶν ἀντιθέσεων. τὸ γὰρ καθιστάνειν καὶ λέγειν, ἢ[25] ὡς μεμελετηκὼς, ἢ ὡς ἀκούσας, ἢ ὡς νομίζων εἰδέναι τι[26] τῶν τοιούτων, οὐκ ἐνδιάθετον. ἡ μὲν οὖν ἀντίθεσις ἦν πρὸς τὸν Δημοσθένην συμβουλεύοντα πλέειν εἰς Μακεδονίαν, ὅτι ποῖ δὴ προσορμιούμεθα πλεύσαντες;

κά. Ἡ δ' ἀπάντησις· ὅτι εὑρήσομεν τόπον· πολλὰ γὰρ ἢ σαθρὰ τῶν Φιλίππου πραγμάτων. ἔστι γὰρ καὶ τοῦτο ἐκ τοῦ ὀγδόου[27] τῶν Φιλιππικῶν· ἦν γὰρ μετὰ καταστάσεως οὕτως ἄν· ἀλλ' ἴσως μὲν ἐρεῖ τις· ποῖ δὴ προσορμιούμεθα; ἐγὼ δὲ οἶδα πολλοὺς τόπους εἶναι ἀφυ-

---

24 immo Phil. I. p. 48. 25 Vind. ἢ om. et μελετηκὼς legit. 26 Vind. ἢ. scr. τι. 27 Phil. I. p. 52. — Med. in marg. διενήνοχε συνδρομὴ συγχωρήσεως, καθὸ ἡ μὲν συνδρομὴ ἐπὶ ὁμολογουμένων καὶ ἀληθῶν πραγμάτων λαμβάνεται, ἡ δὲ συγχώρησις ἐπὶ ἀτόπων.

λάκτους, ἀλλὰ καὶ πολλὰ σαθρὰ τῶν Φιλίππου πραγμάτων εὑρήσει, ἃ ἡμῖν ἀδεῶς παράσχωσι τὴν προσόρμισιν·[28] εἰ γὰρ οὕτως ἔλεγε, περιβολὴν ἂν ἐποίει τῇ μεθόδῳ· νῦν δὲ χωρὶς τούτων εἰπὼν τὸ ἐνδιάθετον ἔδειξεν, ὡς ἀπροσδόκητον δεῖ προσάγεσθαι καὶ ταχύ· καὶ τὰ ἑξῆς ὅμοιον· ἔτι δὲ καὶ τὰ τοιαῦτα· πότε οὖν ταῦτα. ὑπὲρ τὸ πότε ταῦτα. καὶ πότε ὁ πατὴρ[29] οὐ γεγέννηται, ὅτε υἱὸς οὐ γεγέννηται, καὶ πάλιν, τίς δὲ ταῦτά φησιν; Ἰωάννης, ὁ τῆς ἀληθείας μέγας κῆρυξ. τὰ τοιαῦτα μὲν οὖν εἶναί φησι καὶ γοργότητος, καὶ τίνι διακριθήσεται, πότε μὲν ἐνδιαθέτου, πότε δὲ γοργότητος; πρώτῳ μὲν τῷ χωρὶς καταστάσεως, δευτέρῳ δὲ τῷ ἀπροσδοκήτως, τρίτῳ τῷ κατὰ πεποίθησιν καὶ χωρὶς ἐνδοιασμοῦ.[30] τετάρτῳ δὲ τῇ συνεπείᾳ τοῦ λόγου, ὅταν μὴ κατὰ μάχην προάγηται καὶ καταδρομήν, ἣν καὶ αὐτὸς ἐδήλωσε καὶ εἰς τὴν μέθοδον παρέπεμψε λέγειν, οὐδὲ τυχὸν ἐπιλανθανόμενος. χρησόμεθα δὲ αὐτῇ, ὅταν ὁμολογούμενον ᾖ τὸ πρᾶγμα, ὃ διαβάλλει ὁ ἀντίδικος, ἢ ὅταν τινὰ μὲν συμφέρῃ ἡμῖν, τινὰ δὲ ἐνοχλῇ τοὺς ἀκούοντας καὶ οὐ πείθῃ· καὶ ἐν ὅσοις ἄλλοις ἃ ἐν τῇ μεθόδῳ ἐροῦμεν, ἀσυνδέτως, ἡ κατάστασις δὲ συνδεδεμένως προάγεται· τῷ δὲ ἐνδιαθέτῳ ἀσυνδέτως. καὶ τάχ᾽ ἂν εἴη διάκρισις καὶ τούτου αὐτοῦ πρὸς τὴν γοργότητα. τῆς μὲν γὰρ ἴδιον τὸ, οἶδα τοίνυν, ὡς ἐρεῖ τόδε καὶ τόδε, ἢ ἀπηγγέλλετό μοι τόδε καὶ τόδε. τοῦ δὲ τὸ λύειν ἢ κατὰ σύνθεσιν ἢ κατὰ τὰς προειρημένας μεθόδους κατὰ συνδρομὴν, οἷον πολλά σου τὰ συντρίμματα τῆς ψυχῆς, ἀλλ᾽ οὐκ ἀθεράπευτα βουλομένῳ. καὶ πάλιν, ἀλλὰ προσπταίετε τῇ φωνῇ, καὶ λίθος προσκόμματος καὶ πέτρα σκανδάλου, ἐπεὶ καὶ Χριστός τισιν· ἀνθρώπινον τὸ πάθος, καὶ πάλιν, ἀλλ᾽ οὔπω τύπος οὐ-

28 Par. Vind. προσόρμησιν per correcturam: fuit primum προσόρμισις. 29 in Par. supra lineam: ὁ υἱός. 30 Vind. ἐνδιασμοῦ.

δεὶς ἐν τῇ σῇ ψυχῇ, οὔτε χείρονος οὔτε βελτίονος. εἴσω τῆς νεφέλης χωρήσωμεν· ἔτι δὲ καὶ τὰ τοιαῦτα ἐνδιαθέτου καὶ χωρὶς καταστάσεως. βαπτισθῶμεν σήμερον, ἵνα μὴ αὔριον βιασθῶμεν, καὶ τὰ ἑξῆς· εἰ γὰρ ἀντιθετικῶς εἰσήχθη, ἀλλ' οὖν τῷ ἀκαταστάτῳ πολλὴν ἐμφαίνει τὴν ἀλήθειαν, ὅτι καὶ τὰ ἑξῆς τοιαῦτα· ἕως ἔτι τῶν λογισμῶν κύριος εἶ, ἕως οὐκ ἐπ' ἄλλοις κεῖται τὸ σὸν ἀγαθόν· οὐ γὰρ εἷς τρόπος μόνος ἐκ φωνῆς τοιαύτης· καὶ πάλιν, ἀλλ' ἐν μέσῳ στρέφῃ καὶ μολύνῃ τοῖς δημοσίοις, ἁπλοῦς ὁ λόγος καὶ τὰ ἑξῆς· ἔτι δὲ καὶ τοῦτο· οἴεσθαι καὶ τὸν Σολομῶντα πικρῶς ἡμῖν ὀνειδίζειν, ἕως πότε ὀκνηρὸν κατάκεισαι καὶ τὰ ὅμοια· καὶ ἁπλῶς πολὺ τὸ ἐνδιάθετον ἐν τῷ λόγῳ τούτῳ, διὰ τὸ μέγεθος τοῦ πράγματος καὶ τοῦ περιφρονεῖσθαι, καὶ οὐκ οἶδα εἰ καλλίονά τις τούτου λήψεται παραδείγματα.

κβ'. *Αἱ δὲ ἀπαντήσεις οὐ σχήματα, ἀλλὰ μέθοδοί τινές εἰσιν.* τὸ μὲν μὴ εἶναι τὰς ἀπαντήσεις σχήματα πρόδηλον, τὸ δ' εἶναι ἢ μεθόδους ἢ ἐννοίας, ἢ τὸ συναμφότερον ἄδηλον. εἰ μὲν γὰρ ταὐτὸν μέθοδος καὶ ἔννοια, τίνι ἀλλήλων διέσταται. καὶ πῶς πανταχοῦ διαστέλλων. ἑτέρας μὲν εἶναι ἐννοίας τῶν στάσεων, ἑτέρας δὲ μεθόδους λέγει· τὸ μὲν οὖν ταχέως οὕτως ἀπαντᾷν καὶ οὐ προλέγειν, μέθοδον εἶναί φησι· τὸ δὲ μετά τινος πάθους, οἷς ἔλεγε χαρακτηρίζεσθαι τὸ ἐνδιάθετον, ἔννοιαν. καὶ αὖθις, καὶ μὲν τοιῶσδε ἢ τοιῶσδε προφέρει τὸν λόγον, μέθοδον ἐλέγομεν εἶναι· ἡ δὲ εἰδοποιοῦσα τὸν λόγον ὀργίλως ἢ οἰκτρῶς ἢ ἄλλως πως ὡς τὰς ἐννοίας χαρακτηρίζομεν ἐννοίας. ἐμοὶ δὲ αἱ ἀπαντήσεις οὔτε ἔννοιαι δοκοῦσιν, οὔτε σχήματα. μέθοδοι δὲ μᾶλλον καὶ οὐ δεῖ πῶς εἰπεῖν.

κγ'. *Ἢ πάντως γε ἔννοιαι·* ἀντὶ τοῦ οἱ πάντως ληπτέον, ἐναντία γὰρ ἡ σύνταξις τῷ μὴ περὶ τῆς ἐννοίας εἶναι τὴν ἔνστασιν, ἀλλὰ σχήματι.

κδ. Ἑτέρα τις μέθοδος ἐνδιαθέτου λόγου· ὁμολογουμένως· ὁ σὺν ὀργῇ λέγων, ὡς καὶ ἐν τῇ τραχύτητι ἐλέγετο· ὅτι ὁ φθεγγόμενος ἀκολουθεῖν οὐ φροντίζει· κατὰ γὰρ τοῦτο κοινωνεῖ τραχύτης τῷ ἀληθεῖ, ὡς καὶ τοῦτο· ἡμεῖς δὲ τί σοι δοκοῦμεν ἢ οὐδὲν ταῦτα προστάττοντες· ἀφῆκε γὰρ ἀπολογήσασθαι ἀκολούθως πρὸς τὸ ὑπὸ τοῦ ἁγίου λεγόμενον. καὶ ὡς ἐξεστηκὼς ὑπὸ τῆς ὀργῆς, ἄλλα ἀντ' ἄλλων φθέγγεται, ὡς καὶ τὸ ἑξῆς· τί δὲ οὐ φοβεῖ τὴν ἐξουσίαν, καὶ τὸ, μή τοι πολλὴν τὴν ὀργήν· ἐμφαίνει καὶ τὰ ἑξῆς· τὸ ἀνακόλουθον δὲ οὐ μόνον ὡς ὀργιζόμενοι ἀλλὰ καὶ λυπούμενοι προάγουσιν· ὡς τὰ τοιαῦτα· οὐ γὰρ ἴσασιν, ὅτι τοσοῦτον ψάμμος ἀστέρων ἀφθονωτέρα· καὶ τὰ ἑξῆς. εἶτα ὡς ἐξ ἀποστάσεως καὶ ἀποστροφῆς ἐάσας τὴν τάξιν φησὶν, πάλιν ἀγανακτεῖς, πάλιν ὑβρίζεις, ἡ καινὴ πίστις· ὀργῆς δὲ τὰ τοιαῦτα καὶ λύπης ἅμα, ὅτι καὶ τὴν ὀργὴν λύπη [31] ἀνάπτει· ταῦτα οὐκ ὠμότητος περιφανοῦς, ταῦτα οὐ πραγμάτων διωγμοῦ. οὕτως οὖν καὶ τὸ ἐμβρόντητος ὁ χθὲς Ἰωσὴφ, σήμερον πόρνος· καὶ τούτων τὰ παραδείγματα, ἃ καὶ ἐν τῇ τραχύτητι ἐπεσημηνάμεθα· τὰ γὰρ ἐξ ἀποστάσεως κἂν ἐλέγετο μὲν εἶναι λαμπρὰ, ἀλλὰ τοῖς σχήμασιν οὐ τῇ μεθόδῳ, ὅταν μετὰ πάθους καὶ χωρὶς τοῦ ἐπισημαίνεσθαι, ὡς ὑπὸ τοῦ πάθους, προήχθη, καί τινος τῶν τοιούτων προάγηται. οὕτω γὰρ ἂν εἴη πιθανὸς ὁ λόγος, φησὶ, καὶ ἔμψυχος διὰ τὴν τοιαύτην διάθεσιν, ὥσπερ ὑπ' ἐξεστηκότος καὶ ἀκρατοῦς λεγόμενος· τὸ δὲ προλέγειν καὶ παραιτεῖσθαι ἤ τι τοιοῦτον ἧττον φαίνεται πιθανὸν, ὡς ὁ Αἰσχίνης, καθά φησι καὶ ὁ τεχνικὸς, δεικνὺς ὅτι αὐτὸ τοῦτο σπουδάζει τὸ λοιδορεῖσθαι, [32] καὶ οὐχ ὑπὸ τῆς ὀργῆς συναρπαγείς.

κε. Οὐδαμοῦ γὰρ ἀποδίδοται τὸ ἀκόλουθον,

---

31 Par. Vind. λύπη. 32 in Par. et Vind. supra lineam: λοιδορήσασθαι.

οὐ γὰρ κατ' ἐπιτήδευσιν ἐῤῥήθη· οὐ γὰρ ἂν ἐδέξατο τὴν ἀκόλουθον ἀπάντησιν, ἤγουν ἀπόδοσιν, ἀλλ' εἴρηται ἀνακολούθως, καὶ ὡς εἰκὸς ἦν εἰπεῖν τὸν ὀργιζόμενον.

κϛʹ. Δι' ἣν οὔτε ἐπαχθὴς δοκεῖ ὁ λοιδορούμενος, ἧττον λυπεῖ, φησὶν, ὁ τῇ λοιδορίᾳ χρώμενος, ὅταν ἐξαίφνης λοιδορήσηται, ἀλλὰ μὴ προειπών· ἐμφαίνει γὰρ, ὅτι ἐξ ὀργῆς ἡ λοιδορία, οὐ προαιρέσεως.

κζʹ. Ἔτι μέθοδος ἀληθινοῦ καὶ οἷον ἐμψύχου λόγου· τετάρτην μέθοδον εἶναί φησιν ἔχουσαν καὶ τὴν πρὸ αὐτῆς διαφορὰν τὸ ὥσπερ ἀναμιμνήσκεσθαι. ἀμφότεραι μὲν οὖν αὗται κοινὸν ἔχουσι τὸ μὴ προλέγειν μηδ' ἐπισημαίνεσθαι· διαφέρει δὲ τῷ τὴν μὲν γίνεσθαι κατά τι τῶν ταρακτικῶν παθῶν τῶν προειρημένων καὶ τῶν ὁμοίων· ταύτην δὲ τῷ ὥσπερ ἐπιλανθανόμενον ἀναφέρειν καὶ ἀναμιμνήσκεσθαι τὸν ῥήτορα· οἷον, ἀλλὰ γὰρ λέληθα ἐμαυτὸν εἰς τοὺς ἐμοὺς ἀπαχθεὶς ἐπαίνους· ἢ καὶ μὴ παρ' ἑτέρου τοῦτο καταδεξάμενος· καὶ τὸ, ἀλλὰ μικροῦ παρέδραμεν ἐν μέσῳ τῶν εἰρημένων κείμενον. αὕτη δὲ ἡ μέθοδος καὶ χωρὶς τοῦ τὴν λήθην ὑποσημαίνεσθαι εὑρίσκεται ὑπὸ τῷ ἁγίῳ ἐν ἄλλοις καὶ ἐν τούτῳ· τί τοῦτο, ὦ φίλοι καὶ ἀδελφοὶ, ἔπαθον. ἔτρεχον μὲν ὡς θεὸν καταληψόμενος, καὶ οὕτως ἀνῆλθον ἐπὶ τὸ ὄρος καὶ τὴν νεφέλην διέχον· καὶ θαυμαστικῶς. τίς ὁ πλοῦτος ὁ τῆς ἀγαθότητος εἴσω γινόμενος, καὶ τὰ ἑξῆς ἕως τοῦ ἐπειδὴ προσέβλεψα, μόλις εἶδον θεοῦ τὰ ὀπίσθια.

Περὶ λέξεως.

κηʹ. Λέξις δὲ πᾶσα μὲν ἡ τραχεῖα καὶ σφοδρὰ καὶ πεποιημένη· τὰς τραχείας λέξεις ἐμάθομεν, μὴ συνήθεις, ἀλλ' ἐκ τοῦ εὐθέος[33] ποιηθείσας, ὡς αὗται} Εἰδωλιανὸς, Καυσίταιρος, Πισσαῖος,[34] ἐμβρόντητος. αἱ τοιαῦται ἰσχύουσι δὲ καὶ μόνον· αὗται ἐπὶ τῶν ἐπιφορῶν

33 Vind. ἀθέος. scr. εὐθέος. 34 Greg. Naz. adv. Ju-

καὶ καταδρομῶν, ἀλλ' οὐκ ἐν τοῖς ἄλλοις πάθεσιν· οὐκ ἐν λύπῃ, οὐ φόβῳ, ἢ ἐν ἡδονῇ, οὐ θαύματι, οὐκ ἐν ἐλεεινολογίᾳ, ἐν οἷς καθαρότητος λέξεως δεῖ καὶ ἀφελείας καὶ γλυκύτητος· παράκειται γὰρ τῷ μὴ μετ' [34*] ὀργῆς πάθη ταῦτα.

κθ'. Ὥσπερ ὁ Ξενοφῶν· φησὶ γὰρ οὗτος ἐν πέμπτῳ [35] τῆς παιδείας Κύρου, τοῦ πρώτως βασιλεύσαντος Περσῶν, ὅτι ἡ Πανθία, τεθνῶτος τοῦ ἀνδρὸς Ἀβραδάτου, βασιλέως Σούσων, ὑπὸ τῶν Αἰγυπτίων, καὶ ἀποκοπείσης αὐτοῦ τῆς χειρὸς, λαβοῦσα ταύτην κατεφίλει· ἦν γὰρ, ὡς ἀπεκόπη, ἁρμοσθεῖσα τῷ ἰδίῳ σώματι· φησὶ γάρ· καὶ ἡ χεὶρ ἐπηκολούθει.

λ'. Ποῦ δὲ καὶ τίσι πράγμασι τίνα ἁρμόττει λόγων εἴδη· ἐν τῷ περὶ μεθόδου φησὶν ἐρεῖν τῆς δεινότητος· πολὺ δὲ τοῦτο καὶ τῆς ὑποθέσεως ἐνδεὲς καὶ τῶν παραπομπῶν, τινῶν γὰρ οὐδὲ μνείαν ποιεῖται, καθὰ πολλάκις εἶπον.

Περὶ σχημάτων.

λά. Σχήματά γε μήν· ἐπιφορὰν καλεῖ τὴν καταδρομήν.

λβ'. Αἵ τε ἀποστροφαί· τίνες μέν εἰσιν αἱ ἀποστροφαὶ εἴρηται· ὅτι αἱ ἀπὸ τῶν ἀκροωμένων εἰς τοὺς κατηγόρους, ὡς τὸ, δεῦρο μετάσχετε τῶν ἀποῤῥήτων τῶν ἡμετέρων· καὶ τὸ, σὺ δὲ ἀπόγραφε μὴ τοὺς ἐμοὺς λόγους· ἐνδιάθετα δὲ τὰ τοιαῦτα σχήματα, διὰ τὸ μὴ ἐπισημαίνειν· οὕτως οὖν καὶ ἡ ἐρώτησις.

λγ'. Τί γὰρ δή ποτε, Εὔβουλε· [36] ἡ μετὰ ἐρωτήσεως διαφέρει τῆς ἁπλῆς ἀποστροφῆς, ὅτι ἡ μὲν ἐξ ἀποφάνσεως εἰσάγεται καὶ πεποιθότως, καὶ κατὰ τοῦτο λαμπρότητος· ἡ δὲ ἡ μετὰ ἐρωτήσεως προκειμένη ἔχει

---

lian. p. 81. D. ed. Par. 34* Vind. τῷ μήτ' ὀργῆς. 35 imo VII. 3, 8. 36 de fals. leg. p. 434.

τὴν ἐρώτησιν, καὶ οὐκ ἀποφαίνεται, οἷον, τί φατε, πείθομεν ὑμᾶς τοῖς λόγοις τούτοις; καὶ σὺ τί λέγεις καὶ τί νομοθετεῖς; γίνεται ἀποστροφὴ κατὰ θαυμασμὸν ἠθική, οὐκ ἀποφαντική, ὡς αὕτη· ὁρᾶτε τῆς ἡμετέρας τὴν χάριν, ὁρᾶτε τοῦ μυστηρίου τὴν δύναμιν, οὔτε προστακτική ἐστιν, οὔτε ἐρωτηματική, ἀλλ' ἠθικὴ ἀνυπόκριτος· ἐκ τοῦ κατὰ Μειδίου δὲ τὸ Δημοσθενικὸν, μετὰ βαρύτητος καὶ εἰρωνείας, οὐδὲ τὰς νέας γαμίζεις[37] χήρας. Παῦλος δὲ καὶ τοῦτο ἐτόλμησεν, οὗ σὺ δηλαδὴ διδάσκαλος. ὡς ἐπὶ τέταρτον οὐρανὸν φθάσας καὶ τὰ ἑξῆς· μετὰ δὲ ἀγανακτήσεως ἢ καὶ τὴν ὀργὴν ποιεῖ καὶ τὴν βαρύτητα, κἂν ἐνταῦθα ἡ βαρύτης οὐ τρανῶς φαίνηται κατὰ φύσιν, οὐ δέχῃ μετάνοιαν, οὐ δίδως ὀδυρμοῖς χώραν, οὐ δακρύεις δάκρυον· εἶτα τὸ θαυμαστὸν ἐνδιάθετον, μὴ σύ γε τοιούτου κριτοῦ τύχοις· αὐτίκα δὲ περὶ βαρύτητος ἐροῦμεν.

λδ'. Ἐνδιάθετον μέντοι σχῆμα καὶ τὸ δεικτικόν· οὗτος οὐρανὸν ἔστησεν, οὗτος κἀμὲ ποιεῖ κήρυκα. καὶ πάλιν· τοῦτο τὸ πνεῦμα συνδημιουργεῖ μὲν πατρὶ καὶ τῷ υἱῷ τὴν κτίσιν. διὰ τί δὲ ταῦτα ἐνδιαθέτου, ζητητέον, μή ποτε ἄρα καὶ αὐτὰ τοῦ ἐπισημαίνεσθαι, καὶ ἡ τοιαύτη διαπόρησις ἡ ἔχουσα τὸ σχετλιαστικὸν ἢ θαυμαστόν· ὢ τίς Ἱερεμίας ὀδύραιτο· ἀπόλυτος δὲ ἀπορία. οὐκ οἶδα εἴτε τῇ τάξει τῆς στάσεως μεριζομένη τὸν φωτισμὸν, εἴτε τοῖς μέτροις τοῦ φωτισμοῦ τὴν τάξιν λαμβάνουσα, ἀλλὰ τὴν τοιαύτην σεμνὴν εἶναί φασι· καίτοι ὁ σεμνὸς ἀποφαντικός ἐστι λόγος· τά τε ἄλλα· τά τε ἄλλα εἶπε διὰ τὸ ἐπισημαίνοντας ἀποστρέφεσθαι, ὅπερ ἐστὶν ἐνδιαθέτου μέθοδος λόγου· καὶ διὰ τὸ καταφορικὸν εἶναι τὸ τοιοῦτον σχῆμα· ταύτην δὲ προσήκειν τῷ ἐνδιαθέτῳ λόγῳ.

Οἱ-

37 Par. Vind. γαμήζεις.

Οἷον τί γάρ δήποτε Εὔβουλε· τοῦτο ἐν τῷ περὶ τῆς παραπρεσβείας [38] τέθειται λόγῳ παρὰ Δημοσθένους πρὸς Εὔβουλόν τινα ῥήτορα συνειπεῖν τῷ Αἰσχίνῃ ἐν τούτῳ τῷ ἀγῶνι βουλόμενον.

λέ. Εἴτε σχῆμα, εἴτε μέθοδός ἐστι· σχῆμά φησιν εἶναι τοῦτο, οὐ διανοίας, οὐ λέξεως· εἴρηται δέ που, ὡς ὁ τεχνικὸς τὰ τῆς διανοίας σχήματα μέθοδον εἶναι βούλεται· διό φασιν· εἴτε σχῆμα λέξεως δηλονότι, εἴτε μέθοδον διανοίας, πάντως ἐνδιαθέτου ἐστί.

λς΄. Καὶ ἡ ἀποσιώπησις δὲ ἐνδιαθέτου λόγου· [39] οἷον καὶ τὸ δύσφημον σιωπήσομαι, ταῦτα δὲ καὶ ἐπιεικείας ἐλέγετο· καὶ οὐδὲν ἄτοπον ὁμογενῆ ὄντα συμπίπτειν εἰς τὰ αὐτά.

λζ. Καὶ ἐν τῷ ὑπὲρ Μεγαλοπολιτῶν· ἡ ὑπόθεσις τῶν Μεγαλοπολιτῶν ἐστι τοιαύτη· οἱ Λακεδαιμόνιοι νικηθέντες ὑπὸ Θηβαίων ἐν Λεύκτροις τῆς Βοιωτίας εἰς κίνδυνον μέγαν κατέστησαν ἀποστάντων Ἀρκάδων καὶ προςθεμένων Θηβαίοις· Ἀθηναῖοι σύμμαχοι Λακεδαιμονίοις γενόμενοι διέσωσαν αὐτούς· ὕστερον δὲ Λακεδαιμόνιοι τῶν κινδύνων ἀπαλλαγέντες καὶ προϊόντες πάλιν εἰς δύναμιν ἐπὶ Μεγαλόπολιν τῆς Ἀρκαδίας ἔρχονται, καὶ τοὺς Ἀθηναίους παρεκάλουν διὰ πρεσβείας, κοινωνεῖν αὐτοῖς τοῦ πολέμου· πεπόμφασι δὲ καὶ οἱ Μεγαλοπολῖται πρέσβεις Ἀθήναζε, παρακαλοῦντες ὑπὲρ ἑαυτῶν· ὁ τοίνυν Δημοσθένης συμβουλεύει μὴ περιορᾷν ἀναιρεθεῖσαν Μεγαλόπολιν· μηδὲ εἰς ἰσχὺν προελθεῖν Λακεδαιμονίους συμφέρειν λέγων τῇ πόλει καὶ τοῖς Ἀθηναίοις τὸ μὴ φοβερὰν εἶναι τὴν Λακεδαίμονα.

λή. Καὶ μὴ [40] καὶ αἱ ἐπικρίσεις αἱ τοιαῦται· αἱ τοιαῦται εἶπε διὰ τὰς ἄλλας τὰς τῆς σεμνότητος· οἷα ἐστὶ καὶ αὕτη· οὐ καλῶς μὲν ἴσως οὐδὲ δικαίως·

---

38 p. 434. 39 Vind. Par. λήγην. 40 Vind. καὶ μὴ φοβερὰν εἶ καὶ αἱ ἐπικρ. Par. καὶ μὴ καὶ αἱ ἐπικρ.

καὶ τοῦτο ἴσως ἔχει τι τοῦ ἐνδιαθέτου διὰ τὴν ἐνδοίασιν, ἀλλ' ὀλίγον· ἀνενδοίαστος δὲ, ὡς αὗται, πῶς γὰρ οὔ· καὶ ὑπέρευγε· σημείωσαι δὲ, ὅτι καὶ ῥήματι, καὶ γίνονται ἐπικρίσεις· τὸ γὰρ *ὡς ἔοικε* ῥῆμά ἐστιν ἐξ ὀνόματος, ὅσον ταῦτα ἐκείνων φιλοσοφώτερον· ἐνδοιαστικὴ [40*] δὲ, μικροῦ καὶ τῶν νῦν πολεμούντων ἡμῖν βαρβάρων, καὶ ὡς ἔοικεν εἰς τοῦτο κατέλιπεν ἡμᾶς ὁ θεός.

λθ'. *Οὐ σχῆμα εἶναί φασιν ἐπίκρισιν, ἀλλ' ἔννοιαν*, καὶ τῇ σεμνότητι ἐπεσημήνατο· ἔτι ἐνδιάθετος καὶ ἡ τοιαύτη ἐπιδιόρθωσις· ἡ τοιαύτη, διότι εἰσὶν καὶ ἄλλαι· ἀλλ' οὐκ ἐνδιαθέτου· οἷον ἐγκαίνια τιμάσθω, μᾶλλον δὲ ἤδη τὰ νέα· τὸ γὰρ μᾶλλον ἐπιδιόρθωσίς ἐστιν ἐνδιαθέτου, ἣ καὶ ἐπανάληψις λεγομένη, ὃν καὶ κατὰ ἀνυποστροφὴν ἄλλοι φασὶν καὶ παράλληλον, ὡς ἡ τοιαύτη· [41] πάλιν Ἰησοῦς ὁ ἐμὸς, αἰσχρὸν γὰρ, αἰσχρὸν καὶ ἱκανῶς ἄλογον, κατὰ ψυχὴν ἐῤῥωμένους σμικρολογεῖσθαι περὶ τὸν ἦχον.

μ'. *Ὁ ἀπόλυτος μερισμὸς*, καὶ τοῦτον ταὐτὸν εἶναί φησι τῇ ἐπικρίσει· τὸ δὲ *σχεδὸν* εἶπεν οὐ διὰ τοὺς εἰς μῆκος προαγομένους, ἀλλὰ τοὺς τὸ διστακτικὸν ἔχοντας· ὡς τὸ, ἐγὼ μὲν οἶμαι, εἰ δὲ μὴ τοιοῦτος, [42] ἐπίκρισίς ἐστι, μᾶλλον δὲ οἱ τὴν ἐπίτασιν ἔχοντες· ὅτι καὶ αὐτοὶ ἐπὶ τῶν ὁμολογουμένων καὶ βεβαίων τίθενται· ὡς τὸ θρηνεῖ μὲν Ἱερεμίας· οὐδαμοῦ γὰρ τὸν *δὲ* ἔχει ἀποδεδομένον· ἐγὼ μὲν παντὶ διακελεύομαι ἀνδρὶ καὶ γυναικί· ἐν τίσι δὲ λαμβάνεται, φησὶν ἐπὶ τῶν ὁμολογουμένων ἢ ἀποδεδειγμένων καὶ τῶν ὁμοίων· ἐπὶ μὲν τῶν ὁμολογουμένων ὡς τοῦ θεολόγου καὶ τοῦ Ἱερεμίου· ἐπὶ δὲ τῶν ἀποδεδειγμένων, ὡς ἐπὶ τῶν Πράξεων, τὸν μὲν [43] πρῶτον

40* Vind. Par. ἐνδιαστική. 41 Greg. Naz. εἰς τὰ ἅγια
οι
φῶτα, initio. 42 Par. Vind. τοιοῦτος. 43 Act. I. 1.

λόγον ἐποιησάμην· ὡς τὰ δύο δέ· ἐγὼ μὲν οὖν παντὶ διακελεύομαι.

μά. Εἰ δὲ δὴ καὶ ἐν αὐτοῖς οἷς ἐτιμᾶσθε, ἠδίκηκέ τι· ἐν τῷ περὶ τῆς παραπρεσβείας λόγῳ [44] ταῦτα λέγει ὁ ῥήτωρ, διαβάλλων τὴν συνηγορίαν τῶν ἀδελφῶν τοῦ Αἰσχίνου, ἤγουν τοῦ Ἀφοβήτου [45] καὶ τοῦ Φιλοχάρους, ἣν ἔμελλον συνειπεῖν αὐτῷ. [46]

μβ. Τοιοῦτον δ' ἂν εἴη καὶ τὸ ἐν τῷ κατὰ Τιμοκράτους προοίμιον· ὁ κατὰ Τιμοκράτους λόγος πραγματικῆς ἐστι στάσεως τῶν κατὰ νόμου εἰσφορὰν, Διοδώρου τινὸς τῷ Δημοσθένους λόγῳ χρησαμένου, γραφομένου παρανόμων τὸν παρὰ τοῦ Τιμοκράτους εἰςηγμένον νόμον, καὶ ἐπεὶ ἔνδοξον ἦν τὸ Τιμοκράτους πρόσωπον, νομοθέτης γὰρ ἦν, τὴν μὲν πρὸς αὐτὸν ἔχθρὰν ἀρνουμένου, τοῦ δὲ κοινῇ συμφέροντος ἕνεκα λέγοντος ἐνίστασθαι τὸν ἀγῶνα.

μγ΄. Ἰαλέμοις, τοῖς θρήνων ἀξίοις· αἰνίττεται εἰς Διονύσιον καὶ Βασίλειον καὶ Μινουκιανὸν, μᾶλλον δὲ Βασίλειον· τὰ δὲ ἑξῆς πάντα δῆλα· καὶ τετέλεσται καὶ ὁ τοῦ ἐνδιαθέτου λόγου· λοιπὸν ῥητέον καὶ περὶ βαρύτητος· αὕτη γὰρ ἰδέα τῶν τοῦ ἤθους λοιπή.

Σύνοψις τῶν περὶ ἀληθινοῦ λόγου.

Ἔννοιαι αἱ ἀφελεῖς καὶ ἐπιεικεῖς σχετλιαστικαί· μέθοδος ὁ σχετλιασμός· γίνεται γὰρ καὶ μέθοδος ὁ σχετλιασμὸς, ὅταν γένηται περὶ ἔννοιαν μὴ οὖσαν σχετλιαστικήν· ἔστι δὲ χρῆσθαι καὶ εὐχῇ καὶ τοῖς ἄλλοις τοῖς ποιοῦσι τὸ ἦθος, πλὴν μὴ προλέγοντα [47] ὅτι εὐχῇ χρήσεται, ἢ ὅρκῳ ἢ ἄλλῳ τινὶ, ὀργῇ, φόβῳ, λύπῃ, θαύματι· δεῖ γὰρ μηδὲν τούτων προειπεῖν, ἀλλ' ἐξαίφνης ἐπὶ τὰ πάθη

---

44 p. 415. 45 Par. ἀφόβου. (βήτου.) 46 Par. Vind. αὐτῷ (οὗ). 47 Par. προλέγοντε. Vind. προλέγοντι.

ὁρμῆσαι· καὶ τὸ πεποιθότως λέγειν καὶ τὸ τὰς λύσεις τῶν ἀντιθέσεων ἀσυνδέτως καὶ χωρὶς καταστάσεως ἐπάγειν· καὶ τὸ μὴ σώζειν τὰς ἀκολουθίας ἐν ταῖς ὀργαῖς· καὶ τὸ ταῖς λοιδορίαις μὴ προειπόντα χρῆσθαι.

Λέξις ἐν ταῖς ὀργαῖς ἡ τραχεῖα καὶ σφοδρά· ἐν δὲ ταῖς ἐλεεινολογίαις ἡ καθαρὰ καὶ ἀφελὴς καὶ γλυκεῖα.

Σχήματα ἐν ταῖς ἐπιφοραῖς τὰ σφοδρὰ καὶ αἱ ἀποστροφαὶ καὶ τὸ δεικτικὸν, καὶ ἡ διαπόρησις καὶ αἱ ἐπικρίσεις αἱ ἄνευ ἐνδοιασμοῦ καὶ ἡ ἐπιδιόρθωσις καὶ ἀπόλυτος μερισμός.

Κῶλα, συνθήκη, ἀνάπαυσις καὶ ῥυθμὸς πάντα σφοδρὰ, πλὴν εἰ μὴ ἐλεεινολογοίη τις· τότε δὲ ἔστωσαν ἀφελῆ.

Cap. VIII.

Περὶ βαρύτητος, περὶ ἐννοιῶν.

μδ'. Εἰπόντες περὶ ἀφελείας καὶ γλυκύτητος, ἔτι δὲ καὶ ἐπιεικείας καὶ τοῦ ἐνδιαθέτου λοιπὸν, καὶ περὶ βαρύτητος εἴπωμεν· καὶ γὰρ εἰ τὰ μάλιστα τελευταία τέτακται διὰ τὴν ἀτέλειαν τῶν αὐτῆς μερῶν καὶ τὸ ἐξ ἄλλων συνεστάναι, καθάπερ ἡ ἀκμὴ, ἀλλ' οὐδὲν ἧττον ἀναγκαία λόγῳ πολιτικῷ· τά τε ἄλλα καὶ ὅτι διδάσκει, πῶς δεῖ τοὺς λόγους ποιεῖσθαι πρὸς τοὺς καλόν τι πεπονθότας παρὰ τῶν προϊσταμένων καὶ ἀπεχθανομένων.

μέ. Ἐννοίας μὲν ἔχει τὰς ὀνειδιστικὰς βαρύτητος ἐννοίας ὁ συντακτήριος ἅπας· ἐνδείκνυται μὲν γὰρ καὶ διὰ τοῦ προοιμίου, οὗ καὶ ἡ πρότασις παραγραφική ἐστι μετ' ἐπικρύψεως καὶ τὰ ἑξῆς ἅπαντα· ἐνδείκνυται δὲ καὶ ἐν τῷ ἀντιστατικῷ, ὅπου καὶ τὸν τοῦ ποιμνίου διασκορπισμὸν ἐκφράζει· ἔτι γε μὴν καὶ ἐν τῇ πηλικότητι·

ὅπου καὶ τὸ ἐπιεικὲς θαυμάσιον· οἷον καὶ, αὐτοὶ γάρ, φησὶν, τοῖς ὁρωμένοις μερίδα τινὰ τούτοις συνεισηνέγκαμεν, [1] τὸ τηλικοῦτον ἔργον μερίδα εἰπών· καὶ οὐχ ἁπλῶς μερίδα, ἀλλὰ τινὰ οἱονεὶ εὐτελῆ καὶ οὐδενὸς λόγου ὡς ἔοικε παρ' ἡμῖν ἄξια· διλήμματον γὰρ ἐπενεγκὼν ἀναντίῤῥητον τὸν λόγον πεποίηκεν, ἔτι γε μὴν καὶ τῷ συναπτικῷ σχήματι ἐπιεικέστερον προήνεγκεν· οὐ γὰρ εἶπεν ἐγὼ, ἀλλ' ἡμεῖς συνεισηνέγκαμεν, διὸ καὶ μεθόδῳ δεινότητος ἑτέρως ὑψοῖ τὸ ἐπιεικές, ἆρον κύκλῳ [2] τοὺς ὀφθαλμούς σου καὶ ἴδε, πᾶς ὁ τῶν ἐμῶν λόγων ἐξεταστής· ὥσπερ καὶ τὸ, οὐχ ἵνα πρόβατον πλανώμενον ἐπιστρέψητε, ἀλλ' ἵνα ποιμένα συνέκδημον ἐπισκέψησθε· θαυμάσιον, οἷον ὁ ἄπειρός φησι καὶ ἀμαθὴς, ὁ φθονερὸς καὶ κακοήθης ἐξεταστής· διὰ δὲ τοῦ παραδείγματος τοῦ Ἐφραὶμ καὶ τῶν δεικτικῶν σχημάτων καινοπρεπῆ καταφορὰν ἐποίησε, καὶ οἵαν οὐδεὶς πλὴν αὐτοῦ μόνου, πολὺ δὲ ἐν τούτοις τὸ ἀφελὲς διὰ τὰ καθέκαστα· γοργότητος δὲ διὰ τὰ ἀσύνδετα, κάλλους δὲ διὰ τὰς ἐπαναφορὰς καὶ ἐπαναλήψεις καὶ τὴν συμμετρίαν τῶν λέξεων καὶ τῶν κώλων, πανηγυρικὴ γὰρ ἡ τῆς ὑποθέσεως ὕλη, διὰ τὸ ἔνδοξον τῶν πεπραγμένων· κἂν ἡ διαίρεσις δικανική, καὶ μὴν καὶ οἱ συντακτήριοι ἀσπασμοὶ καὶ προφανοῦς βαρύτητος, ἀφ' ὧν ὁ λόγος τὴν ἐπιγραφὴν ἐκληρώσατο· βαρουμένου γὰρ ὡς ἀληθῶς ὁ λόγος, „νῦν ὑμῶν ἀποικίζομαι," εἰ καὶ τῷ δι' ὃν ἐλειώθη, καὶ τὸ, „σεσίγηκεν ἡμῖν ἡ πονηρὰ γλῶσσα καὶ λάλος· καὶ οὐ μὴν σιγήσεται παντελῶς, μαχήσεται γὰρ διὰ χειρός τε καὶ μέλανος· τὸ γοῦν παρὸν σεσιγήκαμεν," καὶ πάντα, ὥστε οὐκ οἶδα εἰ καλλίους τούτων εὕροι τις ἐννοίας βαρύτητος· καὶ ἡ πρὸς Νεκτάριον δὲ ἐπιστολὴ τοῦ τοιούτου εἴδους εἶναι πέφυκεν· ἀλλ' ἐν τῷ λόγῳ μᾶλλον ἐνδείκνυται, [3] ὅτι μὴ μόνον

1 Par. συνεισανέγκαμεν. 2 Vind. κύκλον. — v. 27. Vind. μαχήσατο. scr. μαχήσεται. 3 Par. Vind. ἐδείκνυται.

οὐκ ἀξίως εὐηργέτηται, κἂν τούτου τῷ μεγάλῳ μικρὰ φροντὶς εἰς ὑπόνοιαν παρὰ κανόνας ἐλθὼν, ἀλλὰ καὶ τὸ ἐναντίον, δίκας εἰςπράττεται καὶ τοῦτο δείκνυσιν ἐκ τοῦ ὁριστικοῦ παραγραφικοῦ τοῦ ἀπὸ τοῦ προσώπου· ἆρά γε συνίετε, φησὶ, παρ᾽ ὑμῶν αὐτῶν καὶ καταμανθάνετε, καὶ λογισταὶ τῶν ἡμετέρων ἐστὲ χρηστότεροι, ἢ δεῖ, καθάπερ τοὺς στρατηγίας ἢ δημαγωγίας ἢ διοικήσεως χρημάτων λόγους [4] ἀπαιτουμένους, δημοσίᾳ καὶ αὐτοὺς ὑποσχεῖν τὰς εὐθύνας, ὧν διῳκήκαμεν· καὶ ἡ δριμύτης οἷα, οὐ γὰρ αἰσχυνόμεθα κρινόμενοι, ὅτι καὶ κρίνομεν ἐν τῷ μέρει· ἀλλ᾽ ὅτι μὲν αὐτάρκης ὁ λόγος οὗτος εἰς βαρύτητα ἐννοίας ἱκανῶς ἐδείξαμεν· δεῖ δὲ καὶ τὰ τοῦ ἐδαφίου λοιπὸν διελθεῖν κατὰ μέρος.

μς'. Οἷον ἐνόμιζον μὲν ἀφ᾽ ὧν ἐπολιτευόμην. ἔφυγε Δημοσθένης ἐπὶ τοῖς Ἁρπαλίοις χρήμασιν ἁλούς· καὶ γράφει τὴν ἐπιστολὴν πρὸς τὸν δῆμον ὑπὲρ τῶν Λυκούργου τοῦ ῥήτορος παίδων κακῶς πασχόντων ὑπὸ τῶν ἐχθρῶν· βαρύτητος δὲ ἔννοια καὶ ἡ ὀνειδιστικὴ ἡ πρός τοὺς πολιτευομένους καὶ πρὸς τὸν ἐξισωτὴν Ἰουλιανόν· ὁ μὲν γάρ φησι, τὴν κοιλίαν μου τὴν κοιλίαν μου ἀλγῶ· οὔσης ἀφελείας τῆς ταυτολογίας· τὸ δὲ, τίς ἡ τυραννὶς, ἣν ἐξ ἀγάπης ἀεὶ τυραννούμεθα; τὸ δὲ μανία γὰρ ἴσως [5] ὁ θεολόγος μὲν οὐκ ἄν ποτε ἐρεῖ οὐδ᾽ ἄλλος τις τῶν ἁγίων, ὅτι μὴ διὰ δόξαν αὐτοῖς ἀνθρωπίνην οἱ πόνοι, ἀλλὰ καὶ τὰς ψυχὰς προΐενται ὑπὲρ τῆς τῶν ἄλλων σωτηρίας· δυνατὸς δὲ οὗτος τὰ αὐτῶν μεθοδεῦσαι, διὸ καὶ εἴπῃ τυχὸν, ὡς δικαίως ἀπεδυσπέτησα [6] καὶ ἐσκληρύνθην· τὸ γὰρ ὑπὲρ τὴν δύναμιν αἱρεῖσθαι, ὥς που καὶ αὐτός φησι, μανία σαφής· βαρύτητος δὲ καὶ τοῦτο· ταύτης τῆς ἐπινοίας δέδοικα μὴ καὶ αὐτὸς ἐγενόμην πάρεργον, ἐκ τῶν ἐπιεικῶν πως εἶναι δοκοῦσιν· ἐπι-

4 Par, Vind. λόγῃ, 5 in Mid. p. 536, 6 Vind. ἀπεδυσπέτησε.

εικεῖς μὲν ἔννοιαι μετὰ βαρύτητος αἱ τοιαῦται· ἀπηνήνατο παρακληθῆναι ἡ ψυχή μου, καὶ ἠκηδίασεν ἐπ' ἐμὲ τὸ πνεῦμά μου· εἶτα οὐ μὴ προσθῶ ἔτι πιστεῦσαι φιλίῳ, ἕως τοῦ, ἀλλὰ νῦν μεταβάλλομαι. ὀνειδιστικὰ δὲ ταῦτα καὶ δεινῶς βαρέα· καὶ τίνος δῆμον ἐπήγαγόν σοι θράσει φερόμενον· τίνας ὁπλίτας παρέταξε καὶ τὰ ἑξῆς· δίδωσι τῷ ἐχθρῷ πλέον ἔχειν τὰ τοιαῦτα κατὰ εἰρωνείαν· διήγησαί μοι τὴν σὴν ἐπιείκειαν, κἀγὼ τὴν ἐμὴν θρασύτητα· εἶτα δριμύτητος ἡ ἐπιδιόρθωσις· μᾶλλον δὲ τὴν σὴν πολλαὶ καὶ γλῶσσαι καὶ βίβλοι φέρουσιν, ἁπλῶς δὲ ἵνα μὴ μακρολογῶ εἰς τὸν πρὸς Εὐνομιανοὺς καὶ εἰς τοῦτον καὶ εἰς τὸν περὶ θεολογίας καὶ καταστάσεως, καὶ εἰς τὸν συντακτήριον αὐτὸν, πολλὰ ἐπιεικῶς τοῖς ἐχθροῖς συγχωρεῖ.

μζ. Τοιαῦτα δὲ καὶ εἰρωνεῖαι μέθοδοί [7] τινες οὖσαι δήπουθεν· θαυμάζω, πῶς εἰρωνείας εἶπε τὸ παράδειγμα τοῦτο· αἱ μὲν γὰρ εἰρωνεῖαι πρὸς ἕτερον γίνονται, ταῦτο δὲ ὑπὲρ ἑαυτοῦ Δημοσθένης λέγει· οὐδεὶς γὰρ ἑαυτὸν εἰρωνεύει, εἰ μὴ τῷ ὄντι εἴρων ἐστὶ καὶ ἀπατεὼν, ἢ δῆλον, ὅτι τὴν εἰρωνείαν ἐπὶ τοῦ δευτέρου παραδείγματος ἔλαβε· τὸ γὰρ εἰς ἑαυτὸν συνδρομή ἐστι, πῶς ἡμῖν ὑπὸ τῶν χρηστῶν τούτων· [8] χρηστῶν ἀντὶ τοῦ προδοτῶν εἶπεν· ἐντεῦθεν ὁρμώμενοί τινες τὸ πῶς ὑμῖν τὰ ἡμέτερα εἰρωνείας εἶπον καὶ ὅλον τὸν λόγον ἐσχηματισμένον· δοκεῖ μὲν γὰρ, φησὶν, ἀπελθεῖν, καὶ τοῦτο λέγει νομίζεται· οὐ βούλεται δέ· καίτοι τί [9] ἂν εἴποι τις τοὺς τοιούτους ἕτερον, ἢ ὄνους ἐν λεοντῇ· καὶ τὸ σχετλιώτατον· ὅτι καὶ βιβλία καταλελοίπασι τοῦ θεολόγου ἑρμηνείας, οὐ τῆς τέχνης· ποῦ γὰρ αὐτοῖς ἰδεῖν τι τοιοῦτον, ἀλλὰ τῶν ἄλλων νοημάτων, τοσοῦτον καὶ τούτων διαμαρτόντες, ὅσον τυφλοὶ πρὸς τοὺς βλέποντας· καὶ τί

7 Vind. Par. μέθοδος. 8 Ol. III. p. 35. 9 Par. Vind. τίνας.

θαυμαστὸν, εἰ περί τι ἔπταισαν, ὅπου καὶ τὸν λόγον αὐτὸν οἱ μὲν πανηγυρικὸν εἶπον εἶναι, οἱ δὲ στοχασμὸν, ὢ τῆς εὐηθείας, οὐδὲ ἐκεῖνο ἐνθυμηθέντες, ὡς οὐδὲν πανηγυρικὸν ὁμολογούμενον στασιάζεται, οὐδὲ κεφαλαίοις διαιρεῖται δικανικοῖς, οὐδὲ ἀπολογίαν ἔχει· ἔχετε γὰρ, φησὶ, τὸν ἀπόλογον τῆς ἐμῆς παρουσίας· οὐδὲ στοχασμὸς ἀφανὴς ὢν τοῖς δήλοις καὶ ὁμολογουμένοις κατασκευάζεται, καὶ στάσεως ἑτέρας διαιρεῖται κεφαλαίοις, ἀλλὰ τοῖς αὐτοῦ· ποῦ δὲ ἐν τούτῳ τῷ λόγῳ στοχαστικὸν, μὴ ὅτι κεφάλαιον, ἀλλὰ καὶ ἐνθύμημα; οὐκ ἀγνοῶ δὲ, ὡς ἄλλοι τὸν λόγον ὑπέλαβον ἀντίληψιν, μετρίως γοῦν πταίσαντες διὰ τὸ κοινωνίαν ἔχειν τὴν ἀντίληψιν καὶ ἀντίστασιν· ὅμως αὕτη οὐδὲ ἀντίληψίς ἐστιν, ὅτι μηδὲ αὐτῆς κεφάλαιον ὑπέστιν ἐν τῷ λόγῳ, οὐδὲ ἀνεύθυνον [10] τὸ πρᾶγμα, κἂν τέως οὐχ ὁμολογῆται ὑπεύθυνον· ἐν ἄλλῳ δὲ λόγῳ ὁμολογεῖται· ὑμεῖς γὰρ, φησὶν, οἱ διὰ τὸν πόθον παρανομήσαντες· δυσὶ τρόποις τὰ ἔνδοξα πρόσωπα οὐχ ὁμολογεῖ, διά τε τὸ εἶναι ἔνδοξα, διά τε τὸ τὰ πράγματα εἶναι συμφέροντα καὶ ὁμολογούμενα, ὡς ἐν ταῖς περὶ τούτων διαιρέσεσιν εἴρηται· εἰρωνείαν δέ γε ἐν μιᾷ συλλαβῇ ἀμαθὲς γίνεσθαι· ἔπειτα οὐδὲ τὰ πρόσωπα τοῖς πρὸς οὓς ὁ λόγος εἰρωνείας ἄξια, εἰ καὶ βάσκανα, οὐδ' ὁ λέγων εἴρων, οὐδ' ἐν προκαταρκτικοῖς χώραν ἔχει, οὐδ' εἰς τὸ ἐναντίον ἀπὸ τῶν ἀγαθῶν εἰς τὰ φαῦλα πράγματα· κατὰ τούτους γὰρ τοὺς τρόπους ἐμάθομεν γίνεσθαι τὴν εἰρωνείαν· οὐ μὴν οὐδ' ἐσχηματισμένος ὁ λόγος, ὅτι μὴ αἱ ἀντιθέσεις σαθραὶ καὶ αἱ κατασκευαὶ δι' ὧν ἐμφαίνονται, ὁ ἐσχηματισμένως λέγων, ἀλλὰ καὶ πάντων μάλιστα ἀναντίῤῥητοι· ἀλλὰ ταῦτα μὲν διὰ τοὺς ἀνάξια ἡγουμένους τοῦ θείου καὶ μεγάλου ἀνδρός· πρὸς δὲ τὰ ἐξ ἀρχῆς ἐπανέλθωμεν.

μή. Τοιαῦται δὲ αἱ εἰρωνεῖαι βαρύτητος

---

10 Par. Vind. ἀνάθυνον.

μέθοδος· ἤδη γὰρ εἶπεν, ὅτι τὰ τῆς διανοίας σχήματα μέθοδοί εἰσιν· εἰρωνεῖαι δὲ ὡς αὕτη ἔστω· ὑψηλὸς σὺ καὶ ὑπὲρ τὰς νεφέλας, εἰ βούλει, ὁ τῶν ἀθεάτων θεατὴς, ὁ τῶν ἀῤῥήτων ἀκροατὴς, ὁ μετὰ Ἠλίαν μετάρσιος, καὶ μετὰ Μωσέα θεοφανείας ἠξιωμένος· εἰρωνεῖαι μὲν οὖν αἱ τοιαῦται, ἀλλὰ κατὰ βαρύτητα μᾶλλον ἢ χλεύην· χλεύη μὲν γάρ ἐστιν εἰρωνεία μετὰ μειδιάματος καὶ σκώμματος λεληθότως· ἡ δὲ μὴ ἔχουσά τι τοιοῦτον εἰρωνεία λέγεται μετὰ βαρύτητος ὡς αὕτη· οὐ γὰρ παίζει ὁ ἅγιος, ἀλλ' ἐλεῶν τοὺς ἄφρονας ταῦτα λέγει· Παῦλος δὲ καὶ τοῦτο ἐτόλμησεν, οὗ σὺ διδάσκαλος δηλαδή· καὶ τὰ ἑξῆς· εἰσὶ δὲ καὶ οἱ διασυρμοὶ μετὰ βαρύτητος· ἀνάγονται [11] δὲ καὶ οὗτοι εἰς τὰς εἰρωνείας, ὡς τὰ τοιαῦτα· τὸ δὲ τῆς τραπέζης φιλότιμον, τὸ δὲ τῆς ἐσθῆτος αἰδέσιμον, αἱ δὲ πρόοδοι καὶ τὰ ἑξῆς, εἴτε ὑπὸ τῶν ἐγκαλούντων φαίη τις εἰρῆσθαι, εἴτε ὑπὸ τοῦ μεγάλου βαρύτητός εἰσι διὰ τῶν ἐναντίων τὰ ἐναντία δηλώσης, ὡς ἔχει καὶ τὸ παράδειγμα τὸ Δημοσθενικόν· ὁ δὲ τεχνικὸς καὶ κατὰ τὰ πρόσωπα ἔθηκε διαφορὰν εἰρωνείας καὶ βαρύτητος· ὡς εἰ μὲν πρὸς τοὺς δικαστὰς, φησὶν, εἰρωνεύεταί τις, μετὰ βαρύτητος εἰρωνεύεται, εἰ δὲ πρὸς [12] ἐχθροὺς, ὡς ἑτέρως.

μθ΄. Οἷον τότε τοίνυν ἐγὼ ὁ Παιανιεὺς Βάταλος, [13] ἀπὸ γειτονίας τὸ ὄνομα· τὸ δὲ Βάταλος [14] σκῶμμά ἐστι κατὰ συνδρομήν· σημαίνει δὲ τὸν μαλθακὸν καὶ ἀσθενῆ ἀπό τινος τοιούτου μετονομασθέν· ἐκάλει δὲ Αἰσχίνης τὸν Δημοσθένην τοιοῦτον· Οἰνόμαον δὲ τὸν Αἰσχίνην αἰνίττεται, ὡς ἔχοντά τι μέγα καὶ τραγικόν· ὑπεκρίθη γὰρ τὸν Οἰνόμαον, ὡς ἔμπροσθεν εἴπομεν· ὁ μὲν γὰρ δειλὸς ὢν καὶ ἄνανδρος

11 Vind. *ἀνάλογόνται.* 12 Vind. *καί.* scripsi *πρός.* 13 Vind. *βάτος.* Par. *βάταλος.* — pro cor. p. 288. 14 Vind. *Βάτταλος.*

ἀνδρείως προέστη τῶν κοινῶν, ὁ Δημοσθένης, ὁ δὲ τὸ ἐναντίον.

ν'. Τὸ μὲν ἦθος ἴσχει πάντως ὁ λόγος, ἦθος εἰκότως, πᾶσα γὰρ εἰρωνεία ἦθος ἔχει, ὅτι οὐκ ἔστιν ἑτέρας ἰδέας, ἀλλὰ τοῦ ἤθους.

να'. Ἐν μέντοι τοῖς ἐσχηματισμένοις ἐπὶ βαρύτητος· ἐσχηματισμένα λέγονται, ἅπερ ἕτερον δι' ἑτέρου ἀνύουσιν, ὡς ἐν ταῖς εὑρέσεσι μεμαθήκαμεν· καὶ τὸ πλαστὸν τοιοῦτον· ἐλθόντων τῶν Περσῶν καὶ τοῦ πλήθους εὑρόντων τὴν πόλιν κενὴν, (ἦν γὰρ φυγὼν εἰς Σαλαμῖνα· τῷ μὴ δύνασθαι διὰ γῆς καὶ θαλάσσης μάχεσθαι)· καὶ κατασκαψάντων τὰ τείχη μετὰ τὴν ἧτταν αὐτῶν ἀνώρθωσαν ταῦτα Ἀθηναῖοι διὰ Περικλέους ἐν τῇ ἀρχῇ τοῦ Πελοποννησιακοῦ πολέμου· τοῦτο μὲν οὖν ἀληθὲς καὶ ἐγένετο· τὸ δὲ πλαστὸν μὴ γεγονὸς, ὑποτιθέμενον δέ· ἔδοξε τοῖς Ἀθηναίοις ἐπὶ τῷ ἀνοικισμῷ ἀποροῦσιν ἀναλωμάτων πιπράσκειν τὰ πλοῖα· συμβουλεύων Θεμιστοκλῆς, ὡς συμφέρει, [15] καὶ νικώμενος [16] ἑαυτὸν προσαγγέλλει, τουτέστιν ἀξιοῖ διὰ ψηφίσματος [17] ἀποθανεῖν· καὶ ἡ αἰτία, ὅτι ἐφ' οἷς θαυμάζεται ἄξιός ἐστιν ἀποθανεῖν, τὰ ἐναντία τοῖς ἄλλοις πράξας· ἐθαυμάζετο δὲ, ὅτι μόνος ἔλυσε τὸν χρησμὸν τοῦ Ἀπόλλωνος·

Τεῖχος [18] Τριτογενεῖ ξύλινον διδοῖ εὐρύοπα Ζεύς,

καὶ τὰ λοιπὰ, δεύτερον ἔπεισε τὸ πλῆθος τὴν πόλιν καταλιπεῖν· τρίτον ἠπάτησε τὸν Πέρσην, ὡς φεύγουσιν Ἕλληνες, ἐφ' οἷς κυκλωθέντες ἠγανάκτησαν καὶ ἠναγκάσθησαν πολεμεῖν· καὶ γὰρ τῷ ὄντι δρασμὸν ἐβουλεύοντο οἱ Πελοποννήσιοι ποιῆσαι· τέταρτον, ὅτι πρῶτον

---

15 ὡς συμφέρει Vind. Par. om. in Par. adjectum est ad marg. 16 Par. νικώμενος (αχ supra). 17 Vind. Par. ψηφίσματα. 18 Codd. ξύλον τριτογενεῖ διδοῖ. restitui ex Herod. VII. 141.

συῤῥάξας τοῖς πολεμίοις καὶ ἄλλα πλείονα· ἐπαινέσει δὲ τοὺς πείσαντας πιπράσκειν τὰς ναῦς, ὡς εἰκός· ταῦτα δὲ πάντα σαθρῶς κατασκευάσει εἰς τὸ εἶναι τῷ ἀντιλέγοντι εὐδιάλυτα· διὰ τοῦτο γὰρ λέγονται ἐσχηματισμένα, διότι οὐκ ἐκ διαθέσεως καὶ σπουδῆς ταῦτα λέγει, ἀλλ' ἀπλάστως καὶ τὰ ἐναντία θέλων.

νβ. Προσθήσει δὲ βαρύτητα, καὶ τὸν Κυρσῖλον· οὗτος ὁ Κυρσῖλος εἷς ἦν τῆς βουλῆς, Ξέρξου δὲ πρεσβείας στείλαντος καὶ αἰτοῦντος γῆν καὶ ὕδωρ καὶ ἄλλο οὐδὲν εἰς ὑπακοὴν μόνον τῶν ἄλλων συνεβούλευε δοῦναι· ἐφ' οἷς δυσπαθήσαντες Ἀθηναῖοι, αὐτὸν μὲν ἐκεῖνοι κατέλευσαν, τοὺς δὲ παῖδας οἱ παῖδες, καὶ τὴν γυναῖκα αἱ γυναῖκες· ταῦτα πάντα φησὶ Θεμιστοκλῆς τὰ ἐναντία κατασκευάζων ἐρεῖ, εἰρωνικῶς καὶ βαρέως [19]

λ ε ί π ε ι

Cap. IX.

Περὶ δεινότητος.

οὕτω καὶ ἐπὶ τῆς ἀξιώσεως καὶ τὰ αὐτά· μετὰ τοῦτο τὴν διήγησιν ἢ τὴν προδιήγησιν· καὶ τὰ μέρη αὐτῆς καὶ τὴν τάξιν καὶ τὸ μέτρον καὶ τὸν τρόπον τῆς φράσεως· τρίτον πότερον δεῖ προκατασκευασθῆναι ἢ οὐ δεῖ, καὶ πρὸ τῆς διηγήσεως ἢ μετ' αὐτὴν, καὶ διὰ τί, καὶ πρὸς τίνα, καὶ πότε· μετὰ δὲ τοῦτο τὰ κεφάλαια ἀνασκοπεῖν καὶ τὴν

---

19 In Med. excidit folium, ita ut in cap. VIII. ab Hermogenis verbis *τοῦ ἐχθροῦ βιασαμένου* omnia desint usque ad cap. IX. haud multo ab initio: *πράγμασι καὶ ταῖς ὕλαις αὐτῆς.* Hac jactura in Sicelíotae commentario finis octavi et initium noni capitis intercidit.

τάξιν αὐτῶν ἀναδκέπτεσθαι, ποῖον ποίου προτακτέον, καὶ πῶς καὶ διὰ τί· οὐ γὰρ δεῖ φυσικὴν μόνον αὐτῶν ἡγεῖσθαι τὴν τάξιν, ἀλλὰ καὶ κατὰ τὴν δύναμιν καὶ τὴν ἀποδοχὴν τῶν ἀκουόντων, εἶτα λαβεῖν τὰ ἐπιχειρήματα καὶ τὰ ἑκάστῳ πρέποντα καὶ τὸ μέτρον, πολλάκις γὰρ ἑνὶ κεφαλαίῳ πολλὰ ἐπιχειρήματα εὑρίσκονται· πολλάκις δὲ ἕν, πολλάκις δὲ οὐδὲ ἕν· καὶ δεῖ τοῦτο ἐργαστικῶς βοηθῆσαι, καὶ αὐξῆσαι ἢ ἐν τοῖς ἐνθυμήμασι, καὶ τούτων αὐτῶν τῶν κεφαλαίων καὶ ἐργασιῶν ποῖα δεῖ θεῖναι καὶ ποῖα οὔ, καὶ δι' ἣν τὴν αἰτίαν, πρὸς τούτοις τὰς ἰδέας ἐνὶ ἑκάστῳ καὶ πρόσωπα καὶ πράγματα καὶ τὰ παρακολουθοῦντα τούτοις· καὶ ἁπλῶς καθ' ἕκαστον μέρος λόγου ἢ μόριον τὰ τοιαῦτα καὶ ἄλλα πλείω τῶν εἰρημένων χρὴ διατηρεῖν· εἴπερ κατ' ἐπιστήμην τι γράφειν αἱρούμεθα, ἀλλὰ μὴ κατὰ τύχην καὶ ἀλόγως καὶ ἀναιτίως. πρὸς ἃ πολλῆς δεῖ τῆς μελέτης τῶν ἀκριβεστάτων τεχνικῶν, μᾶλλον δὲ βιβλίων πολλῆς προσοχῆς, πρὸς τὸ γνῶναι, ποῖα τίσι καὶ πότε καὶ ποῦ καὶ πῶς καὶ διὰ τί προσήκει, καὶ πῶς ἡ φράσις ἐξαγγελθήσεται, κατὰ μέγεθος, κατὰ γοργότητα, κατὰ κάλλος, κατὰ πάντα· πρὸς ταύτην οὖν, ὡς ἔφην, τὴν ὁδὸν τὰ βιβλία ἡμᾶς ἀσκοῦσι καὶ ἡ ἐπίμονος μελέτη καὶ ἡ τῶν λόγων ἐξέτασις, ἡ παρ' ἡμῖν γινομένη, εἰ κατὰ τοὺς δοθέντας κανόνας συνετέθησαν· οὐ γὰρ ἔχομέν τινα τῶν παλαιῶν τινα λόγον ἐπιμερίσαντα, ἵνα πρὸς τοῦτον ἀφορῶντες ποδηγηθῶμεν εἰς τὰ ὅμοια· Ἑρμογένης μὲν γάρ φησιν ὁ σοφός τινας τῶν δημοσίων Δημοσθένους ἐπιμερίσαι πρῶτος καὶ μόνος· οἱ γὰρ δόξαντες σκιαὶ ἀΐσσουσιν, ἀλλ' οὔτ' ἐγώ τινι τούτων ἐνέτυχον, οὔτε τοῦ ἐντυχόντος ἀκήκοα· τῶν δὲ ἡμετέρων τινὲς νοήματα θεολογικὰ καὶ ταῦθ' ὡς ἠδύνατο παρέφρασαν· ἐγὼ δὲ μετρίως ἔχων πρὸς τὴν τοιαύτην κρίσιν τε καὶ διάκρισιν καὶ τὸν πόνον ἀφορῶν τῆς τοιαύτης πραγματείας καὶ τὸ

ἀκερδὲς ὑπολογιζόμενος—οὐ γὰρ τῶν ἐχόντων ἐγὼ, ἀλλὰ τῶν μόλις ἀποζώντων καὶ τοῖς ἀναγκαίοις — ὀκνῶ πρὸς τὴν ἐπιχείρησιν· εἰ [1] γὰρ κἂν ἕνα λόγον τῶν σπουδαιοτάτων ἐπεμέρισα κατὰ τοὺς ὑποδειχθέντας τύπους ἡμῖν ὑπὸ τοῦ θαυμαστοῦ Ἑρμογένους μετὰ τῶν προσηκόντων ἑκάστῳ θεωρήματι παραδειγμάτων, ἀλλὰ ποῦ σοφὸς, ποῦ συζητητὴς τῶν τοιούτων; φησὶν ὁ λόγος ὁ ἱερός· ποῦ βασιλεὺς Μάρκος ἢ Ἀντωνῖνος ἢ Ἀδριανὸς, ἢ πατριάρχης, ἢ ἄλλος τις προέχων ἔργοις, ἀλλ' οὐ λόγοις ἐπὶ ταῦτα προτρέπων; πάντες γὰρ ὡς εἰπεῖν δημοβόροι [2] καὶ τοὺς ἀρχομένους ἐπὶ τὸ ἴσον ὑπάγοντες καὶ τὴν αὐτὴν ἀλογίαν, ὥσπερ δεδιότες καὶ αἰσχυνόμενοι, μὴ κρειττόνων ἄρχωσιν· ἀλλὰ ταῦτα μὲν εἴρηται, ὅτι δεῖ μελέτης ἡμῖν καὶ ἀσκήσεως εἰς τὸ καθέκαστα τῶν ὑποθέσεων ἄριστα διατάττειν· λοιπὸν δὲ εἰς τὸ ἐδάφιον ἐπανέλθωμεν.

Ἡ δεινότης ἡ περὶ τὸν λόγον· ὁριστικῶς τὴν διδασκαλίαν ποιεῖται· περὶ τὸν λόγον δὲ, ὅτι ἔστι καὶ περὶ πράγματος καὶ προσώπου· δεινὸν γὰρ τὸ πρᾶγμα τὸ φοβερὸν λέγεται, καὶ δεινὸς ἄνθρωπος ὁ πανοῦργος καὶ ὅσα ἄλλα σεσήμανται.

β΄. Ἔστι δὲ κατ' ἐμὴν γνώμην· οὐ γὰρ ἄλλος τις τοῦτο ὁρίζει, ἀλλ' ὁ διὰ πολλῆς πείρας τῶν μεθόδων γενόμενος καὶ ἀκριβέστατα ταύτας παραθείς· διὸ καί φησι, δεινότης ἐστὶ λόγου χρῆσις ὀρθὴ πάντων τῶν εἰδῶν τοῦ λόγου, καὶ τῶν ἐναντίων αὐτοῖς καὶ τῶν ἄλλων μερῶν καὶ μορίων· καὶ πάντων, δι' ὧν τὸ τοῦ λόγου ζῶον συνίσταται· ἐναντίον κατὰ γένος μὲν τῷ σαφεῖ τὸ ἀσαφὲς, καὶ τῷ μεγέθει τὸ ταπεινόν τε καὶ ἠθικὸν, κατ' εἶδος δὲ καθαρότητι τὸ σεμνὸν καὶ δεινὸν, εὐκρινείᾳ δὲ τὸ ἐμπερίβολον καὶ τραχὺ καὶ σφοδρὸν καὶ τὸ συγκεχυμένον· σεμνότητι δὲ τὸ ἀφελὲς, σφοδρότητι

1 Vind. ἤ. Par. εἰ. 2 Il. α. 231.

δὲ τὸ ἐπιεικὲς καὶ γλυκὺ καὶ ἐνδιάθετον, καὶ ὅσα ἐν τῷ τῆς περιβολῆς εἴρηται λόγῳ.

γ΄. Τὸ γὰρ εἰς δέον καὶ κατὰ καιρόν· ὁρισάμενος, ὡς ἦν δυνατὸν, τὴν κυρίως καὶ ἀληθῶς δεινότητα, οὐ τὴν τῇ λέξει γενομένην καὶ συνεστραμμένοις νοήμασι καὶ σχήμασιν, ἀλλὰ τὴν διατηροῦσαν τὸ πρόσφορον, οἷς εἴπομεν, ὑποθέσει καὶ εἴδεσι καὶ ἰδέαις καὶ μέχρι τῶν εὐτελεστάτων μορίων αὐταῖς, ἑρμηνεύει νῦν τὸν ὅρον καὶ τὸ τί ἐστι, καὶ περὶ τί καταγίνεται ἡ ὀρθὴ χρῆσις τούτων ἁπάντων, ὅτι φησὶ τὸ εἰς δέον καὶ κατὰ τὸν [3] ἴδιον ἑκάστου καιρὸν καὶ τρόπον, καὶ πᾶσι τοῖς ὑποπίπτουσι τῇ ῥητορικῇ χρῆσθαι, τουτέστι χρῆσις ὀρθή· σημαίνει δ᾽ ἂν τυχὸν τὸ κατὰ καιρὸν τὸ ἐπὶ καιρῷ καὶ ἐπικαίρως καιρίως ἑκάστοις χρῆσθαι, νῦν μὲν προοιμιάζεσθαι ἢ μὴ, καὶ πῶς καὶ ποῦ, καὶ εἰ τὸ αὐτὸ ἢ ἕτερον, καὶ νῦν μὲν προτάττειν τὰς ἀντιθέσεις, νῦν δὲ ὑποτάττειν τῶν λύσεων, καὶ πῶς αὐτὰς εἰσάγειν, καὶ ποίαν ποίας προκριτέον τῶν λύσεων, καὶ δι᾽ ἥντινα τὴν αἰτίαν καὶ πῶς συντακτέον καὶ προκριτέον· ἔτι τε τὰς ἐννοίας αὐτῶν, τάς τε ἐν προοιμίοις, τάς τε ἐν ἐπιλόγοις, τάς τε ἐν καταστάσεσι καὶ προκατασκευαῖς, τάς τε πανταχοῦ καὶ διὰ πάντων καθόλου καὶ ἁπλῶς εἰπεῖν· τοῦτό ἐστι χρῆσις ὀρθή· ποδηγήσειε δ᾽ ἂν ἡμᾶς πρὸς ταύτας, ὥσπερ ἔφην, πρῶτον μὲν ἡ κατὰ λόγον μάθησις καὶ ἄσκησις· δεῖ γὰρ μανθάνειν [4] τὰ βιβλία ἀναγινώσκοντας, καὶ γυμνάζεσθαι καὶ ἀσκεῖν ἑαυτοὺς ἐν ταῖς μελέταις, καὶ ἐρευνᾷν καὶ ἐφιστάναι [5] ζήλῳ πολλῷ, πῶς τόδε τέθειται καὶ νενόηται καὶ τέτακται παρὰ τοῦ παλαιοῦ, καὶ δι᾽ ἥντινα τὴν αἰτίαν, νῦν μὲν οὕτως, ἐν ἑτέρῳ δὲ ἑτέρως, καὶ εἰ μηδὲν μέλλει τι ἔσεσθαι προφανὲς ἡμῖν ἐκ τοῦ τοιούτου κέρδος· αὐτὸ γὰρ τὸ μὴ ῥαθυμεῖν μηδὲ καταχων-

3 Par. Vind. τό. 4 Par. Vind. μανθάνον. 5 Vind. ἐφιστάνειν. Par. ἐφιστάναι.

νεύειν τὸ τῆς ψυχῆς [6] γνωστικὸν ἐν ῥαστώνῃ καὶ ἀμελείᾳ, πολλοῦ ἂν ἄξιον καὶ ἀνθρώπῳ τῷ ὄντι πρέπον, ἄλλως τε κἂν εἰς χρείαν ποτὲ ἐμπέσωμεν [7] ἐκ ταυτομάτου, καὶ αἰτηθῶμεν γράψαι πρός τινα λόγον, ἢ παραπαίζοντος, καὶ πειράζοντος ἢ σπουδάζοντος, οὐκ ἂν ἀπορήσωμεν οὐδ' αἰσχυνθῶμεν; [8] οὐδὲ τὴν δόξαν, ἣν φέρομεν ἐν αὐτοῖς, ῥήτορες τυχὸν ἢ φιλόσοφοι λεγόμενοι, καταισχύνωμεν· πόσου γὰρ ἄξιον τοῦτο καὶ δόξης καὶ ἡδονῆς καὶ τιμῆς· οὐδὲ γὰρ οἱ στρατιῶται συνετοὶ ὄντες ἐν καιρῷ πολέμου τοῖς ἀσχήμοσι καὶ ταῖς ἀνέσεσι διημερεύοντες τῶν ὅπλων ἀμελοῦσι καὶ τῆς ἐν τούτοις ἀσκήσεως, ἀλλὰ τὰ τοῦ πολέμου φασὶν πρὸ τῶν πολέμων ἀσκοῦσι καὶ μελετῶσιν, ἵν' ὦσιν ἐν τοῖς καιρίοις ἔντιμοί τε καὶ ἐμπαράσκευοι· οὕτω γὰρ ἡμεῖς πρός τινα τῶν πρώτων τῆς συγκλήτου παραβαλόντες [9] καὶ νομιζόμενοι ἀνάξιον τοῦ ὀνόματος καὶ τοῦ τῆς φιλοσοφίας κλέους τὴν δόξαν φέρειν καὶ οὐ διὰ τὴν πενίαν περιφρονούμενοι καὶ ἀδοξίαν καὶ μηδὲν ἔχειν περαιτέρω τούτων [10] ὑπολαμβανόμενοι, τὸν τοῦ ἵππου λόγον προσεφωνήσαμεν αὐτοσχεδίως καὶ πρὸς ἕτερον τὸν κατὰ Σαρακηνῶν λόγον, μηδένα προμελετήσας ἢ καὶ προσκεψάμενος, ἀλλ' αὐτομάτως πρὸς ταῦτα καὶ ὥσπερ παίζων [11] ἀποδυσάμενος· οὕτω δ' [12] οὖν μοι καὶ ὁ τοῦ Προμηθέως μῦθος ἀνεσκευάσθη διὰ παντὸς εἴδους φιλοσοφίας καὶ ἀλληγορίας πεπλουτισμένος· μέμνημαι δ' ἐγώ ποτε καὶ τὸν βασίλειον τὸν δεύτερον, προτραπεὶς ἐν τοῖς Πικριδίου λόγον εἰπεῖν, οὗ ἡ ἀρχή· „οἱ προσφωνητικοὶ [13] τῶν λόγων, ὦ βασιλεῦ, παραιτοῦνται

---

6 Vind. ψυχικῆς. Par. ψυχῆς. 7 Par. Vind. ἐμπέσομεν. Bekk. anecd. p. 1456. dedit εἰςπέσωμεν. 8 Vind. ουσχυνθῶμεν. Par. οὐδ' αἰσχυνθ. 9 Vind. παραλαβόντες. Par. παραβαλόντες. 10 Par. τούτου. 11 Par. Vind. παῖζον ἀποδυσάμενος. 12 Vind. δέ. Par. δ'. 13 Vind. ἡ προσφωνητική. Bekk. scripsit οἱ προσφωνητικοί, nescio utrum ex Cod. Par.

τὰ μήκη τῶν ὑποθέσεων," κἂν μηδὲν τούτων ὠφέλημαι κατὰ τὸν βίον, καὶ ταῦτα πενίᾳ ἐσχάτῃ καὶ ἀπαραμυθήτῳ παλαιῶν ἀπορίᾳ, ἐγώ τε καὶ οἱ σὺν ἐμοί· καὶ ταῦτα διῆλθον, οὐχ ἵν' ἐμαυτὸν ἐπάρω κατὰ τὴν παροιμίαν, ὥσπερ Ἀστυδάμας, σαυτὴν ἐπαινεῖς γύναι, ὅτι μηδεὶς ἀφανέστερος [14] ἐμοὶ φανήσεταί ποτε, ἄλλως τε καὶ τὸν πλείονα βίον ἐν αἰχμαλωσίᾳ καὶ νόσοις διαγαγὼν ποικίλαις, ἀλλ' ἵν' ἐπιδείξωμαι, ὅτι τοὺς περὶ τὰς ἐπιστήμας καὶ μελέτας πόνους καὶ προῖκα δεῖ ταλαιπωρεῖν, καὶ εἰ μηδὲν ἔσεσθαι μέλλοι τούτων χρηστὸν [15] ἐκ τοῦ προφανοῦς, ὥστε μελετῶμεν καὶ ἀναγινώσκωμεν ἐπιστατικῶς καὶ λογογραφῶμεν ὡσαύτως ἀρκοῦσαν ἀμοιβὴν κληρούμενοι τὴν παρὰ τούτων δόξαν· οὐ γὰρ χωρὶς τούτων οὔτε γράψομέν τι διαφέρον τῶν καθ' ἡμᾶς, οὔτε διδάξομεν, ἀλλὰ πρὸς τὰ ἐξ ἀρχῆς ἐπανέλθωμεν.

δ'. Ὥσπερ γὰρ δεινός· συνάγει τὸ ἀναγκαῖον τοῦ πράγματος ἐκ παραβολῆς· ὥσπερ γὰρ ἀρχιτέκτονα μὲν δεινὸν λέγομεν τὸν εὖ καὶ ἁρμοδίως καὶ ποικίλως χρώμενον τῇ ἀρχιτεκτονικῇ, ἧς ὕλη μὲν λίθοι καὶ ξύλα, εἶδος δὲ τὰ σχήματα τῶν οἰκοδομημάτων τρίγωνα, τετράγωνα, σφαιρικὰ, κωνικὰ, κυβικὰ καὶ τὰ ὅμοια· δύναμις δὲ ἡ ἐπιστήμη καὶ τὸ ἕκαστον κατὰ τὴν χρείαν ποιεῖν τὴν πρέπουσαν ἑνὶ ἑκάστῳ προσώπῳ καὶ τύπῳ καὶ τῶν τοιούτων· καὶ πάλιν δεινὸν στρατηγὸν τὸν τὰ ἐπιτήδεια μὲν καὶ τὴν εὐπάθειαν τῷ στρατῷ διοικούμενον, ποικίλως δὲ μηχανώμενον καὶ θήρατρα [16] καὶ πόῤῥωθεν καὶ ἐγγύθεν τοῖς πολεμίοις τιθέντα κἂν ταῖς παρατάξεσιν ἕκαστα καθορῶντα καὶ προνοούμενον καὶ διατάττοντα καὶ γενόμενον ποικίλον πρὸς τοὺς καιροὺς καὶ τοὺς τό-

---

an ex conj. 14 Par. Vind. ἀφανέστερος, μαθ supra. 15 Vind. μέλοι τούτων χρηστῶν. 16 Vind. καθήρατρα.

τόπους καὶ τοὺς πολίτας καὶ τοὺς ἀλλοτρίους καὶ τοὺς οἰκείους καὶ πανταχοῦ καὶ διὰ πάντων φθάνοντα τῇ πείρᾳ καὶ τῇ φρονήσει· ταῦτα γὰρ ὕλη τῆς στρατηγίας αὐτοῦ καὶ τῆς τέχνης· ὥσπερ ἱστοροῦσι Κῦρον γεγονέναι καὶ Ἀννίβαν καὶ τοὺς πάλαι Ῥωμαίους, μεθ᾽ ὧν καὶ Βελισάριος, ὁ πολὺς, οὕτω καὶ ῥήτωρ ἂν εἴη δεινὸς, ὅ ἐστι σοφὸς, φρόνιμος, ἔμπειρος, ἀκριβὴς, ἀλάθητος, ἐπιστήμων, τεχνίτης, ὁ τοῖς τῆς ῥητορικῆς πράγμασι καὶ ταῖς ὕλαις αὐτῶν εἰς δέον χρώμενος. ῥητορικῆς δὲ πράγματα, ὅσα συνιστῶσι τὸν τῶν ἀνθρώπων βίον ἐν εἰρήνῃ καὶ πολέμῳ καὶ ψυχὴν καὶ σῶμα. ταῦτα δ᾽ ἂν εἴη κυρίως καὶ ὕλη πρὸς ἃ ἐνεργεῖ, οἷ ὄργανα στάσεις, ὑποθέσεις, εἴδη, ἰδέαι, καὶ τὰ μόρια αὐτῶν μικρὰ καὶ μεγάλα, ἐπιστήμη καὶ τρόπος ἡ κατ᾽ ὀρθὸν τούτων ἁπάντων χρῆσις. ὥσπερ γὰρ ὁ τέκτων χωρὶς πελέκεως, πρίονος, σκεπάρνου, τρυπάνης,[17] ἰσκάλου, κἂν τὴν ἐπιστήμην τῆς τεκτονικῆς ἔχῃ, οὐκ ἐνεργεῖ, οὐδὲ χωρὶς ὕλης, οὕτω καὶ ὁ ῥήτωρ ὄργανα ἔχων καὶ ὕλην τὰ προειρημένα δι᾽ αὐτῶν τὸ εἶναι τεχνίτης ἄπταιστος δείκνυται.

ε. Πότε μὲν δεῖ, πότε δὲ μὴ δεῖ λέγειν· ἐν ποίῳ καιρῷ, ἐν ποίῳ χρόνῳ λέγειν ἢ σιωπᾶν· εἰ γὰρ ὁ καιρὸς ἁρμόδιος, ἐγὼ δὲ οὐκ ἐμπαράσκευος, ἢ τοῦ ἀνάπαλιν, ὥς πού φασιν τὸν Ἰσοκράτην ἀξιούμενον εἰπεῖν τι, φάναι τουτὶ τὸ θρυλλούμενον· οὗ μὲν ἐγὼ δεινὸς, οὐχ ὁ νῦν καιρός· οὗ δὲ[18] ὁ νῦν καιρὸς, οὐκ ἐγὼ δεινός. ἀλλ᾽ ὁ Ἰσοκράτης μὲν ἀργὸς ὢν εἰκότως ταῦτ᾽ εἴρηκεν, ἐπεὶ καὶ τὸν πανηγυρικὸν λόγον λέγεται πεντεκαίδεκα ἔτεσι σκέπτεσθαι, χωρὶς πάσης ἄλλης διατριβῆς· ἕτερος δέ τις οὐχ οὕτως, ἀλλ᾽ αὐτοσχεδίως ἂν τὰ εἰκότα προσεῖπεν. οὐ μὴν γε ταῦτα σπουδαῖα, οὐδὲ ἀσφαλῆ, ὅτι φασὶ καὶ κύων σπεύδουσα τίκτει τυφλὰ, πρὸς δὲ τὴν ἐμπίπτουσαν χρείαν

17 Vind. et Par. τρηπάνης. scr. τρυπάνης. 18 Vind. οὐδέ. scr. οὗ δέ.

ἀναγκαιότατα. καὶ *ποῦ*· ἐν ποίῳ τόπῳ τοῦ λόγου καὶ μέρει τόδε[19] τὸ νόημα, καὶ ἐν ποίῳ κεφαλαίῳ, ἐν ἀρχαῖς ἢ ἐν μέσοις ἢ ἐν τελευταίοις, ἐν παρατάξει, ἐν θεάτρῳ, ἐν ἀνδρίας καιρῷ, ἐν φόβῳ, ἐν ἀγωνίᾳ, ἐν ἐκκλησίᾳ, ἐν παλατίῳ καὶ τῶν ὁμοίων· οὐ γὰρ τὰ αὐτὰ πανταχοῦ οὐδ' ἡ αὐτὴ τάξις· πολλὰ γὰρ καὶ καλῶς νοηθέντα καὶ γενναίως φρασθέντα κακῶς τεταγμένα ἔβλαψαν οὐ μετρίως. καὶ *μέχρι πόσου*· πολλὰ περὶ αὐτοῦ εἰπεῖν ἢ ὀλίγα, σύντομα διὰ μακροῦ καὶ τὰ ὅμοια. καὶ *πρὸς ὅντινα*, πρὸς πατριάρχην, βασιλέα, ἄρχοντα, ἄνδρα, γυναῖκα, δοῦλον, παιδίον, πιστὸν, ἄπιστον, Ἕλληνα, βάρβαρον, φίλον, πολέμιον, ἰδιώτην, σοφὸν, ἄσοφον· δεῖ γὰρ καὶ τῶν προσώπων στοχάζεσθαι πρὸς τὰ νοήματα καὶ πρὸς τὴν ἰσχὺν αὐτῶν τοὺς λόγους ποιεῖν. καὶ *πῶς*· καθαρῶς, εὐκρινῶς, ταχέως, σεμνῶς, ἠθικῶς, διὰ ποίων ἐπιχειρημάτων, σχημάτων, μεθόδων, κώλων, ἐργασιῶν, ἐνθυμημάτων· γοργῶς, ἀνέτως, ἐπιφωνηματικῶς, περιοδικῶς, χιαστικῶς, στρογγύλως, διλημμάτως· καὶ τὰ εἰκότα. καὶ *διότι*, διὰ ποίαν αἰτίαν· τοῦτο μὲν ἐνταῦθα καὶ οὕτως, καὶ ἐκεῖνο ἀλλαχοῦ καὶ ἑτέρως. καὶ διὰ τί πρὸς τοῦτο μὲν προοίμιον καὶ τὰ τοιαῦτα, πρὸς ἐκεῖνο δὲ οὐδὲν τοιοῦτον μετεχειρίσατο τὸν λόγον· καὶ ἁπλῶς πάντων τῶν τοιούτων ἡ αἰτία ἀκριβεστέρα. τὸ γὰρ κράτιστον καὶ ἐπιστασίας δεόμενον καὶ τὸ τὰς ὑποθέσεις διοικοῦν καὶ τὰ μέρη αὐτῶν καὶ μόρια αὕτη ἐστὶ, καὶ δεῖ πρὸς ταῦτα πολλῆς σκέψεως καὶ ἐξετάσεως καὶ ἀκριβείας· τὸ γὰρ εἰδέναι μόνον ἑτέρους ὠφελεῖ, καὶ οὐχ ἡμᾶς, τὸ δὲ δύνασθαι καὶ ποιεῖν, πάντως καὶ πόλεις καὶ οἰκουμένην· τοῦτο γὰρ ἔχει τὸ κράτιστον καὶ οἰκουμενικὸς ῥήτωρ καὶ πολιτικὸς καὶ κοσμικὸς, ὥσπερ ὁ θεολόγος· ὁ γὰρ τοσαύτην ἐπιστρέψας πόλιν εὔδηλον, ὅτι καὶ τὸν κόσμον ἅπαντα ἐπέστρεψεν[20] ἂν, εἴπερ ἐδέησεν, ὥσπερ ἐν μὲν τοῖς παλαιοῖς ὁ Δημοσθένης,

---

19 Vind. τὸ δὲ τό. scr. τόδε τό. 20 Par. Vind. ἐπίστρεψαν.

ἐν δὲ τούτοις καὶ ἐν ἡμῖν ὁ Θεολόγος, ὁ πρῶτος καὶ μόνος τοιούτων λόγων ἐργάτης. τοὺς μὲν ἄλλους ἁγίους κατὰ τὴν εὕρεσιν καὶ φράσιν τυχὸν ἄν τις μιμήσαιτο, τούτου δὲ καὶ τὴν οἰκονομίαν καὶ τὴν τάξιν καὶ τὸ μέτρον καὶ τὸν τρόπον ἀνθρώπων μὲν οὐδεὶς, ἄγγελος δὲ τυχόν.

ϛ΄. Ἐπεὶ κἂν δεινὸν εἴπῃ τις ποιητήν· οὗτος ὁ Θεόκριτος Δωρικός ἐστι ποιητὴς, Σικελιώτης τὸ ἔθνος, Συρακούσιος τὴν πόλιν, γράφων δὲ τὸ ᾆσμα τοῦτο ταλανίζει μὲν τοὺς πλουσίους καὶ τρυφηλοὺς, μακαρίζει δὲ τοὺς σοφοὺς, ἐν δὲ τῷ ταλανισμῷ εἰσάγει τινὰς μηδὲν ὠφεληθέντας πρὸς δόξαν τοῦ πλούτου, κρεώνδας ὀνομασθέντας αὐτῷ τυχὸν ἀπὸ τῆς ἐνεργείας τῆς ἐν σπατάλῃ. διὸ τάχ᾽ ἂν οὐδὲ ἐγνώσθησαν, εἰ μὴ ἐκεῖνος ἢ οὓς ἐκεῖνος. τὸ ὅλον δὲ,

Εἰ[21] μὴ κεῖνος ἀοιδὸς ὁ Κήϊος, αἰόλα φωνέων,

καὶ τὰ ἑξῆς· τὸ δεινὸς οὐ πρόσκειται αὐτῷ ἐν τῷ ᾄσματι. ἴσως δὲ ἦν, εἰ μὴ Κεῖος ἀοιδός.

ζ. Δεινὸν εἶναι ῥήτορα·[22] δεινὸν δέ φησι τὸν ἱκανὸν τοῖς εἴδεσι τοῖς ποιητικοῖς χρῆσθαι πρὸς τὸ πρέπον, πρὸς ὃν ὁ κρείττων οὐδείς. Ὁμήρῳ· τέως μὲν οὖν δεινὸν λέγει τὸν τοιοῦτον, ἀλλ᾽ οὐ τὸν ταῖς βαθείαις καὶ ἀσαφέσι καὶ τοῖς τοιούτοις χρώμενον, οὐδὲ τὸν φοβερὸν, θηρίου γὰρ, ἀλλ᾽ οὐδὲ τὸν μέγαν, ἐλέφαντος γὰρ, ἀλλ᾽ οὐδὲ τὸν ἰσχυρὸν, λέοντος γάρ· εἶτα δείξας ἐκ τοῦ ἀκριβεστέρου, περὶ ποίου δεινοῦ λέγει ὁ ποιητὴς, ὅτι περὶ τοῦ εἰδότος χρήσασθαι καλῶς τοῖς πράγμασιν, καὶ ὥσπερ ἀναποδείκτως καταδραμὼν τῆς ἐξ ἀντιθέσεως ἐνστάσεως, μετὰ ἀποδείξεως παραδειγματικῆς πιστοῦται τὸν λόγον τῆς ἀπὸ τοῦ Ὀδυσσέως δημηγορίας πρὸς τοὺς Τρῶας, ἣν Ὅμηρος δείκνυσι λέγων, ἀπὸ τοῦ Ἀντήνορος οὕτως·[23]

---

21 Vind. ἢ. scr. εἰ. Theocr. XVI. 44. 22 Vind. Par. ῥήτωρ. 23 Il. γ΄. 208.

Ἀμφοτέρων δὲ φυὴν ἐδάην καὶ μήδεα πυκνά·
Ἀλλ' ὅτε δὴ Τρώεσσιν ἐν ἀγρομένοισιν ἔμιχθεν,[24]
Ἀλλ' ὅτε δὴ μύθους καὶ μήδεα πᾶσιν ὕφαινον,
Ἤτοι μὲν Μενέλαος ἐπιτροχάδην ἀγόρευε,
Παῦρα μὲν, ἀλλὰ μάλα λιγέως· ἐπεὶ οὐ πολύμυθος,
Οὐδ' ἀφαμαρτοεπὴς,[25] εἰ καὶ γένει ὕστερος ἦεν,
Ἀλλ' ὅτε δὴ πολύμητις ἀναΐξειεν[26] Ὀδυσσεύς.
ἠ. Ὄπα τε ἐκ στήθεος μεγάλην ἵει,[27]
Καὶ ἔπεα νιφάδεσσιν ἐοικότα χειμερίῃσιν,
Οὐκ ἂν ἔπειτ'[28] Ὀδυσῆΐ γ' ἐρίσσειεν βροτὸς ἄλλος.

ἐκ τούτων δὴ τεκμηράμενος ὁ τεχνικὸς τὴν τοῦ ἥρωος δύναμιν ἐν τῷ λέγειν καὶ δεινότητα κατὰ καιρὸν, καὶ πρόσωπα προσηκόντως τὸν λόγον πιστοῦται καὶ ἀληθῶς, εἰ πλάσαιτό τις· τίνας ἂν εἴπῃ λόγους σοφὸς ἀνὴρ πρὸς ἀσεβεῖς[29] ἀνθρώπους καὶ μικροὺς, οὐκ ἀλλοίους καὶ τοιούτους ἐρεῖ, οὓς μιμησάμενος ὁ Λιβάνιος ἀξίους τοῖς προσώποις τοὺς πρεσβευτικοὺς ἐποίησε. τὸ γὰρ ὄπα μεγάλην καὶ νιφάδεσσιν ἐοικότα οὐδὲν ἄλλο δηλοῖ, ἢ ὅτι μέγας[30] μὲν ἦν τῷ μεγαλείῳ, πολὺς δὲ τοῖς ἐνθυμήμασι, διῃρημένος δὲ τοῖς κόμμασι τῆς τραχύτητος καὶ σφοδρότητος· ὑπὲρ Ἑλλήνων γὰρ ἀδικηθέντων ἐδημηγόρει· ἀκμαῖος δὲ ταῖς καταδρομαῖς· τοιαύτη γὰρ ἡ χειμέριος νιφάς· ἀκλόνητος δὲ τῷ εἴδει καὶ ἀδεής· τοιοῦτος γὰρ ὁ πρὸς ἑαυτὸν συστρέψας τὸν ὀφθαλμὸν καὶ τὸν νοῦν, τοιαῦτά τινα λέγων, ἄσπονδοι ἐστὲ, ὦ Τρῶες, βίαιοι, ἅρπαγες, ἀνόσιοι εἰς τοὺς ξένους, ἀσεβεῖς εἰς τὸ θεῖον, ἀγνώμονες εἰς τοὺς εὐεργέτας, λοιμοὶ, φαρμακοὶ, μοιχοὶ, ἀλάστορες, ἀποτρόποιοι, μήτε θεοὺς αἰδούμενοι ἢ φοβούμενοι, μήτε ἀνθρώπους αἰσχυνόμενοι καὶ τὰ ὅμοια.

24 Vind. ἔμιχθον ὅτι δὴ μύθους. correxi ex Hom. 25 Vind. ἁμαρτοεπής. 26 Par. ἀναΐξαιεν. 27 Il. γ. 221. 28 Par. ἔπειτ'. Vind. ἐπί τ'. uterque Ὀδυσῆϊ ἐρίσειεν. 29 Par. Vind. ἀσέβειαν (ας). 30 Par. Vind. μεγάλη.

οὐ μὴν ἐν ταῖς Φαίαξιν τοιοῦτος· ἀλλὰ τοὐναντίον ἅπαν, ὅτι καὶ τὰ πρόσωπα καὶ τὰ πράγματα διάφορα.

θ'. Καὶ τί δεῖ παραδειγμάτων ἄλλων, ἐξὸν ἀπ' αὐτοῦ γε τοῦτο ἰδεῖν τοῦ ῥήτορος· μεταβαίνει ἐφ' ἕτερον παράδειγμα, τὸν Δημοσθένην, καὶ πιστοῦται τὸν ἑαυτοῦ λόγον καὶ ἀπ' αὐτοῦ, καὶ ὅτι ὁ εἰδὼς καὶ δυνάμενος χρήσασθαι τοῖς οἰκείοις τῶν καιρῶν καὶ τοῖς προσώποις, οὗτος δεινὸς ῥήτωρ· οὐ δοκεῖ μὲν εἶναι δεινὸς ἐν τοῖς ἰδιωτικοῖς καί τισι τῶν δημοσίων καίπερ ὤν· δοκεῖ δὲ καὶ ἔνεστιν ἐν τοῖς Φιλιππικοῖς· κέχρηται μὲν γὰρ ἐνταῦθα τῇ φανερᾷ δεινότητι τῇ κατ' ἔννοιαν καὶ τοῖς σχήμασιν· περὶ μεγάλων γὰρ πραγμάτων ὁ λόγος αὐτῷ, ἵνα καὶ τοῖς ἀκροωμένοις ἀξιόπιστος δόξῃ, καὶ τὸν δῆμον ἐπισπάσηται πρὸς ἑαυτὸν, ὑπὸ τῶν ἄλλων ῥητόρων ἐξαπατώμενον, καὶ παραλυθέντα ταῖς κολακείαις, καὶ τὴν ἡλικίαν βεβαιώσῃ, ὅτι οὐχ ὑπὲρ ταύτην μόνην τὸ δέον συνιδεῖν δύνανται καὶ εἰπεῖν· ἀλλὰ καὶ οἱ νεώτεροι πολλῷ κρείττους πρὸς ἕκαστα διατίθεσθαι· καὶ τὸ συμφέρον μᾶλλον τῶν ἄλλων εὑρίσκειν. αὕτη ἡ αἰτία τοῦ χρῆσθαι τῇ φανερᾷ δεινότητι ἐν Φιλιππικοῖς καὶ τοῖς συμβουλευτικοῖς, τοιοῦτός ἐστι καὶ ὁ θεολόγος πανταχοῦ, ἐξαιρέτως δὲ ἐν ταῖς πανηγυρικοῖς τουτέστιν ἑορταστικοῖς· ὧν ἐστιν ὁ εἰς τὰ γενέθλια καὶ ὁ εἰς τὰ φῶτα καί τινες ἄλλοι. Ἄξιον δὲ ζητῆσαι τὴν αἰτίαν, δι' ἣν ἐν τούτοις μᾶλλον τῶν ἄλλων εἶναι δεινὸς κατὰ τὴν φαινομένην καὶ οὖσαν δεινότητα ἐμοὶ δοκεῖ,[31] οὐ γὰρ πρὸ ἐμοῦ τις εἶπέ τι περὶ αὐτῶν, ὅτι οὗτοι ἐν Κωνσταντίνου πόλει ῥηθέντες, ὧν πρῶτος ὁ γενεθλιακὸς, ὅπου παντοίων εἰδῶν σοφία, καὶ κατὰ ταύτην ἔνδοξοι ἄνδρες, καὶ κατὰ πᾶν εἶδος περιφανείας, καὶ αἱρετικῶν οἱ πρώτισται καὶ τῷ λέγειν δεινοί. ἄλλως τε καὶ ξένος ὁ ἅγιος καὶ τοῖς πλείοσιν ἄγνωστος ἦν καὶ τὸ κλέος εἶχε περιφανές· καὶ τὸ πρᾶγμα, περὶ οὗ

31 Par. Vind. δοκεῖν.

οἱ λόγοι πρῶτον καὶ ὑπὲρ τὸ πρῶτον. θεὸς γὰρ καὶ ὑπὲρ τῆς εὐσεβείας οἱ ἀγῶνες, διὰ τοῦτο τοιούτῳ εἴδει τὸν λόγον ἐδημιούργησε τοῦτον· καὶ τὸν μετ᾿ αὐτόν· μᾶλλον δὲ οὓς εἶπον ἅπαντας, ἵνα καὶ πλήξῃ καὶ πρὸς ἑαυτὸν ἐπιστρέψῃ καὶ δείξῃ, ὅτι ὑπὲρ τοὺς ἄλλους καὶ τὴν σοφίαν καὶ τὴν ἀρετήν, διὸ τῷ λόγῳ μὴ σθένοντες ἀντιμάχεσθαι, κολοιοὶ καὶ γλαῦκες τὸ τοῦ λόγου φανέντες πρὸς ἀετὸν, ἀνελεῖν ἐπεβούλευσαν, ὡς ἡ ἱστορία φησί· φέρεται γὰρ ἄγραφος λόγος, ὡς πρότερον πρὸ τοῦ ῥηθῆναι τὸν λόγον τοῦτον θρασεῖς ἦσαν καὶ ἀλαζόνες, καὶ τῷ ἀκοῦσαι κατεπλάγησαν καὶ ὑπέπτηξαν,[32] ὥστε ἀποροῦντες κρύφα τοὺς λόγους ἀπεγράφοντο ἐπὶ τῷ τινὸς τῶν ἐν αὐτοῖς λαβέσθαι· καὶ ταῦτα ἐκεῖνος αὐτὸς λαλεῖ· καὶ γραφῖδες φανεραὶ καὶ λανθάνουσαι καὶ ἄγραφοι· καὶ ἀλλαχοῦ οὕτω πως περὶ τῶν γραφόντων φησὶν, οὐχ ἵνα ὠφεληθῶσιν, ἀλλ᾿ ἵνα κατηγορήσωσι. κἂν τῷ μεγάλῳ θεολογικῷ τὸ αὐτὸ τοῦτο δηλοῖ λέγων· εἰ δέ τις θηρίον ἐστὶ πονηρὸν καὶ ἀνήμερον, μὴ ἐμφωλευέτω ταῖς ὕλαις κακούργως καὶ κακοήθως, ἵνα τινὸς λάβηται δόγματος ἢ ῥήματος· καὶ ταῖς τῶν λόγων γραφαῖς, ὕλας λέγων τὰς λέξεις καὶ τὰ νοήματα καὶ τὰ λοιπά· πόσοι Δημοσθένεις ταῦτα καὶ πόσοι ῥήτορες· οὐ γὰρ πρὸς πεντακοσίους καὶ χιλίους βουλευτὰς, ἀλλὰ πρὸς δεύτερον κόσμον τὴν βασιλεύουσαν, καὶ πρὸς ὑπάτους καὶ ἄρχοντας τοὺς πρωτίστους καὶ πάσης παιδείας τὸ κράτος ἔχοντας, ὅθεν δοκεῖ μοι, εἰ μὴ ἐπιθυμῶν ἡσυχίας ἤδη καὶ ἀνέσεως διὰ τὸ γῆρας καὶ τοὺς πολλοὺς πόνους, ἐχρήσατο δὲ ἑτέρως ταῖς ἀπολογίαις ἐν τῷ συντακτηρίῳ τραχέως καὶ ἀκμαίως, καὶ ὡς προσῆκον ἀκούειν τοὺς θρασεῖς ἐκείνους καὶ βασκάνους, καὶ ὡς ἠδύνατο καὶ οὕτως λέγειν, γῆς ἂν σχήματι καταποθῆναι ηὔξαντο τραπέντες· νῦν δὲ τὸ σχισθῆναι τὴν ἐκκλησίαν ὁ ἅγιος εὐλαβούμενος, ἄλλως τε

32 Vind. ὑπέταξαν. Par. ὑπέπτηξαν.

καὶ ἱερεῖς, εἰ καὶ ἀνάξιοι λέγειν τολμῶν[33] καὶ δόξαν περικείμενοι εὐλαβείας, πρὸς οὓς ὁ λόγος ὕφεσιν τῆς ἀπολογίας, οἷος ἐκεῖνος μαθητὴς τοῦ μὴ ἐρίζοντος μηδὲ κραυγάζοντος ἐπὶ σφαγὴν ἑλκομένου, πεποίηκε.

ι. Δεινὸς τοίνυν λόγος. ὁρισάμενος, τίς ἡ ἀληθὴς δεινότης, ὅτι ἡ ἀκόλουθος τοῖς προσώποις πράγμασί τε καὶ καιροῖς καὶ τοῖς ἄλλοις καὶ ἑρμηνεύσας τὸν ὁρισμὸν, καὶ τὴν ὡς ἐξ ἀντιθέσεως ἔνστασιν διαλύσας, καὶ ὃ ἐβούλετο κατασκευάσας ἔρχεται λοιπὸν εἰς αὐτὸν τὸν σκοπὸν καὶ τὴν διδασκαλίαν τῆς δεινότητος· καὶ πρῶτον μὲν ἀπαριθμεῖται ποσαχῶς ἡ ἐν τῷ λόγῳ δεινότης. καὶ οὕτως μίαν ἑκάστην αὐτῶν διδάσκει· ὡς ἂν δὲ καὶ ἡμεῖς παρακολουθήσωμεν τοῖς λεγομένοις, πρὸς τὸ εὐσύνοπτον τὸ προδιαγραφὲν διατυπώσομεν διάγραμμα·[34] ἔστι δὲ τόδε. δεινὸς τοίνυν λόγος ὁ μὲν καὶ ἔστι καὶ εἶναι δοκεῖ ὁ κατὰ τὴν πρώτην συζυγίαν συγκείμενος· ὁ δὲ ἔστι μὲν οὐ μὴν δοκεῖ, τὸν κατὰ τὴν α δ λέγει· ὁ δὲ οὐκ ἔστι μὲν, δοκεῖ δὲ, ὁ κατὰ τὴν β γ. περὶ δὲ τοῦ μήτε ὄντος μήτε δοκοῦντος, τοῦ κατὰ τὴν β α· αἱ μὲν γὰρ ἄλλαι δύο ἀσύστατοι. ἡ α β, ἡ γ δ. ταῦτα ὑπογράψας διδάσκει, πῶς ἕκαστος γίνεται, ὁ α γ, ὃς καὶ τὴν ἰδέαν τὴν ἑαυτοῦ ἀποπληροῖ, περὶ ἧς νῦν διδάσκει τὴν καθ' ἑαυτὴν οὖσαν ὡς καὶ ἄλλαι ἰδέαι, ὁ δὲ ὢν μὲν δεινὸς οὐχὶ δοκῶν δὲ, ὁ α δ. ὁ δ' αὖ δοκῶν μὲν, οὐκ ὢν δὲ ὁ β γ· ταῦτα ὑποσημήνας τίθησιν ἑκάστου τὰ παραδείγματα, καὶ σχεδὸν ἅπαντά εἰσι καὶ αὐτά· οἱ πανηγυρικοὶ τοῦ θεολόγου, οἱ ἐπιτάφιοι, ὅ τε τοῦ ἁγίου Ἀθανασίου, καὶ τοῦ μεγάλου Βασιλείου· οὐ μὴν ἀλλὰ καὶ ἐν οἷς ὁ μέγας ἀπολογεῖται· οἱ γὰρ περὶ τοῦ υἱοῦ ἀντιῤῥητικοὶ λεγόμενοι, κατὰ τὰς δ΄[35] μεθόδους παραβαίνοντες προγυμνάσματα μᾶλλόν εἰσιν ἢ ὑποθέσεις, ἀνα-

33 Par. τολμᾷν. Vind. τολμῶν. 34 vide supra p. 366. 35 Par. κατὰ τὰς διὰ μεθ. Vind. κατὰ τοὺς διὰ μ. scripsi δ΄.

σκευὰς γὰρ ἔχουσι καὶ κατασκευὰς, καὶ οὐ προσεκτέον Θέωνι καὶ Σωπάτρῳ, παρὰ τὴν κοινὴν δόξαν καὶ Πλάτωνος καὶ Ἀριστοτέλους τέταρτον εἶδος τῆς ῥητορικῆς τιθεμένοις. ἐν ἑτέροις γὰρ ἡμῖν τρανότατα ἀπεδείχθη τοῦτο, ὅτι δὲ οὐχὶ νῦν καιρὸς, προείπομεν ἡμεῖς τὴν αἰτίαν τοῦ τοιαύτῃ χρῆσθαι δεινότητι.

Περὶ ἐννοιῶν.

ιά. Αἱ παράδοξοι[36] καὶ βαθεῖαι καὶ βίαιοι· παράδοξοι μὲν αἱ παρὰ τὴν κοινὴν ἔννοιαν· ὧν γὰρ τοὺς ἐπαίνους οἶδα, τούτων σαφῶς καὶ τὰς ἐπιδόσεις, αἱ αὐταὶ δὲ καὶ βίαιοι διὰ τὸ ἰσχυρὸν καὶ πιστικόν· μάλιστα δὲ αἱ καθ᾽ ἅ ποθεν προάγοιντο συλλογιστικαὶ, [37] δι᾽ ὧν καὶ κατὰ συστροφὴν σχήματα πολλάκις γίνονται. καὶ εἰ τὸ μὴ προϊδέσθαι τὸν τρόπον ὑπαίτιον, αὐτήν γε τὴν κακίαν ποῦ θήσομεν; εἰ γὰρ κατηγορεῖς, φησὶ, τοῦ μὴ προγνόντος, τὸν ἀσεβῆ τί ποιήσεις; ἀναντίῤῥητον τὸ νόημα καὶ ὡς ἀληθῶς παράδειγμα.

ιβ. Ὃ γάρ ἐστι χείριστον ἡμῖν ἐκ τοῦ παρεληλυθότος χρόνου καὶ βέλτιστον ἡμῖν, τὸ καταῤῥαθυμῆσαι, φησὶ, τὸν παρελθόντα χρόνον καὶ ἀπολέσαι πολλὰ τῶν δεόντων, τὸ αὐτὸ τοῦτο, εἰ διαναστῶμεν, βέλτιστον ἔσται ἡμῖν· πῶς ῥαθύμως γὰρ καὶ Φίλιππος χρήσεται τοῖς πράγμασι μὴ ἀξίους ἡγούμενος ἡμᾶς ἀνταγωνιστὰς, καὶ κατὰ τοῦτο κρατηθήσεται· ἡ αὐτὴ ἔννοια ἔσται δριμύτητος τοῖς παρ᾽ ὑπόνοιαν, ἐδόκει γάρ τι ἕτερον ἀκοῦσαι ὁ ἀκροατὴς, καὶ τὰ ἑξῆς, πολλάκις γὰρ ἑρμήνευται.

ιγ'. Τὸ λαβεῖν οὖν τὰ διδόμενα ὁμολογῶν ἔννομον εἶναι. ἐκ τοῦ πρὸς Λεπτίνην, [38] καὶ ἡ λύσις διλήμματος τούτου βίαιός ἐστιν. ὦ καὶ Ἰουδαίων ἄπιστε

---

36 Med. περίδοξοι. 37 εἰ καθ᾽ ἅ π. πρ. συλλογισταί. scripsi αἱ — συλλογιστικαὶ, sed vereor, ne gravius h. l. ulcus lateat. 38 immo pro cor. p. 267.

σὺ καὶ δαιμόνων ἀγνωμονέστερε· καὶ ἡ αἰτία δήλη. τοιοῦτον καὶ τὸ, εἰ μὲν τῷ πονηρῷ φεῦ τῆς ὕβρεως καὶ κατὰ βαρύτητος προηνέχθη, καὶ τὸ ἐνδιάθετον, καὶ ἄλλα μύρια, τοιαύτας ἐννοίας ἔχοντα· οὐ μὴν οὔτε ἐν μεθόδῳ· ἡ μὲν μέθοδος ἐνδιάθετος, ἡ δὲ προφορὰ κάλλους, τετράκωλος γὰρ ἡ περίοδος, διὰ δὲ τὴν ἀποστροφὴν καὶ σφοδρότητος.

ιδ. Ἔννοιαι μὲν αὗται τῆς δεινότητος ταύτης, καὶ αἰτίαι τοῦ μεγέθους· τὸ δὲ σχεδὸν εἶπε διὰ τὴν τετάρτην τῆς σεμνότητος· αἱ γὰρ ἄλλαι πρόδηλοι ὡς τῆς δεινότητος, καὶ διὰ τὰς ἀλειάντους τῆς σφοδρότητος· οὐ γὰρ δεῖ πάνυ σφοδρῶς φέρεσθαι ἐν δεινότητι διὰ τὸ μέγεθος τῶν πραγμάτων καὶ τὸ ὑποπῖπτον τῶν προσώπων, καθ' ὧν ἡ σφοδρότης· δεινότητος δὲ αἱ ἀλληγορίαι, ὡς ἐὰν Ἡρώδη προσαχθῇς, καὶ αἱ ὅμοιαι καὶ αἱ τροπικαὶ, αἱ μὴ πάνυ σκληραί· εἰ μὴ καὶ τὸ πρᾶγμα μέγα, ὡς ἄν τις εἴπῃ τοὺς κήρυκας υἱοὺς βροντῆς καὶ τὸν θεολόγον βροντὴν, καὶ τὴν τοῦ ἁγίου πνεύματος ἐνέργειαν γλώσσας, ταῦτα τροπικὰ μὲν, ἀλλὰ θαυμάσια.

Περὶ μεθόδου.

ιε. Μέθοδοι αἱ αὐταὶ δεινότητος, αἳ ἦσαν καὶ τοῦ μεγέθους· ἔχει δὲ καὶ αὐτὴ ἰδέας τὰς ὁμοίας ταῖς ἐννοίαις αὐτῆς μετὰ ἀποφάσεως καὶ πεποιθήσεως καὶ χωρὶς ἐνδοιασμοῦ, ὅσα καὶ τῆς σεμνότητος.

Περὶ σχημάτων.

ις'. Σχήματα δὲ ἃ εἶχε τὸ μέγεθος χωρὶς σφοδρότητος καὶ τραχύτητος καίτοι ἀπορήσειεν ἄν τις, πότε καὶ κατὰ τί νοητέον σεμνότητα, εἰ τοῖς αὐτοῖς γίνεται, καὶ φαίην ἂν ἔγωγε, ὡς ἡ ἔννοια διδάσκαλος καὶ κριτὴς τῶν ἰδεῶν, καὶ τὸ πρᾶγμα εἰ μὲν τὸ πρᾶγμα ὑψηλὸν καὶ μέγα καὶ πραχθῇ σαφῶς καὶ τοῖς τῆς σεμνότητος μέρεσι συντελεσθῇ σεμνότητος ἰδέα εἶναι δειχθήσεται· εἰ δὲ πρὸς

τῷ εἶναι σεμνὸν καὶ περινενοημένον καὶ ἀσαφῶς φρασθῇ, δεινότητος ἰδέα πάντως κριθήσεται· κἂν πάντα σχοίη τὰ τοῦ μεγέθους παραδείγματα τοῦ μὲν προτέρου, Θεὸς ἦν μὲν ἀεὶ καὶ ἔστι καὶ ἔσται·[38*] τοῦ δὲ δευτέρου, Θεὸς ἀδιάστατος φύσει, καὶ πέρασιν οὐχ ὑποκείμενον χρονικοῖς, ὁρᾷς πῶς ἀσαφὴς ἡ τῆς δεινότητος ἔννοια καὶ πάλιν, ἵν' ᾖ τοῦ ἑλομένου τὸ ἀγαθὸν οὐχ ἧττον, ἢ τοῦ παρασχόντος τὰ σπέρματα· τούτοις οὖν κρίνονται δεινότητες καὶ σεμνότητες· καὶ ταῦτα μὲν περὶ τοῦ ὄντος καὶ δοκοῦντος.

ιζ. Τοῦ δ' αὖ μὴ δοκοῦντος μὲν, ὄντος δέ, δείκνυσι καὶ τοῦτον, τίς τέ ἐστι καὶ τίνι τὴν σύστασιν ἔχει· φησὶ τοίνυν, ὡς οὐδὲ ἓν τῶν ἄλλων αὐτὸν συνιστᾷ, πλὴν ἡ μέθοδος, ἔστι δὲ καὶ αὐτὴ καὶ γίνεται τὸ δοκεῖν λέγειν ἁπλῶς καὶ ἀνειμένως καὶ ἀφελῶς καὶ ἐπιεικῶς, καὶ οὐδὲν ἧττον τῶν τὰ ἐναντία λεγόντων κατασκευάζειν ὃ βούλεται καὶ τοῦτο φαίνεται ἐκ τῶν αὐτοῦ ἰδιωτικῶν λόγων, ἐν οἷς πολὺ μὲν τὸ ἐπιεικὲς καὶ ἀσφαλὲς, κρεῖττον δὲ τὸ ἰσχυρὸν καὶ ἀναντίῤῥητον· δείκνυσι δὲ τοῦτο σαφῶς ὁ κατὰ Ἀριστογείτονος λόγος, κακῆς ἐπιτροπῆς, καὶ ἡ Ἐρατοσθένους φόνου ἀπολογία, καὶ σχεδὸν ἅπαντες, ὅπερ φησὶ καὶ τῆς ὄντως δεινότητος εἶναι τῷ δοκεῖν ἀφελῶς μὲν λέγειν, ἀνύειν δὲ τὸ σπουδαζόμενον.

ιη. Φαίνεται δὲ λόγος δεινός· τὸν τρίτον λέγει τὸν φαινόμενον μὲν εἶναι τοιοῦτον, μὴ ὄντα δέ· τὸν τοῦ Πώλου δέ φησι καὶ τοῦ Γοργίου, καὶ ἄλλων τινῶν, οὓς καὶ σοφιστὰς καλεῖ· ἢ διὰ τὸ κολακεύειν· σοφιστικὸν γὰρ καὶ τοῦτο, ἢ διὰ τὸ ἀπατᾷν τῷ ἐπεισάκτῳ κάλλει, ἢ διὰ τὴν εὔροιαν τοῦ λόγου, ἢ διὰ πάντα ταῦτα· γίνεται δὲ ὁ λόγος οὗτος· δι' ὧν ὁ αὐτὸς λέγει, ταύτης ἰδέας εἰσὶ καὶ αἱ μεταφράσεις τῶν ἁγίων μαρτύρων.

ιθ'. Ἐννοίας ἐπιπολαίους καὶ καινάς· διχῶς φέρεται ἡ γραφή· ἀλλ' εἰ μὲν καινὰς[39] εἴη, δηλοῖ τὰς

38* Greg. Naz. Or. εἰς τὰ Θεοφάν. p. 615. C. 39 Vind. καί. scr. καινάς.

καινοπρεπεῖς καὶ καινευρέτους,[40] εἰ δὲ κοινάς, τὰς πᾶσι κοινάς, τὰς πᾶσι ληπτὰς καὶ προχείρους· χρήσεται μὲν γάρ τις μικρᾷ λέξει ἐπὶ μεγάλων ἐννοιῶν καὶ πραγμάτων, διὰ τρεῖς αἰτίας, ἢ ταπεινῶν τὸ πρᾶγμα, ἢ παίζων, ἢ πρὸς τὴν ἐνέργειαν τοῦ πράγματος· καὶ λέξει τὸν μὲν οὐρανὸν πόλον, βραχείᾳ λέξει διὰ τὸ κοῦφον καὶ ἀεικίνητον καὶ ἀνεμπόδιστον τῆς φύσεως· κατὰ γὰρ ταύτην ἐτίθεσαν οἱ παλαιοὶ τὰ ὀνόματα τοῖς οὖσιν· οὕτω δὲ καὶ θεὸν καὶ τὰ ὅμοια, τὸν δὲ ὄνον πῶλον ἐρεῖ καταλλήλῳ λέξει διὰ τὸ νωθρὸν καὶ δυσκίνητον· οὕτω δὴ καὶ γῆν καὶ θάλασσαν καὶ τὰ ὅμοια.

κ'. Ἐπεὶ καὶ ὁ Ἰσοκράτης φησὶ ῥήτορος εἶναι τὸ τὰ σμικρὰ μεγάλως εἰπεῖν δύνασθαι· διὰ ταῦτα δύνασθαί φησιν ὁ Ἰσοκράτης εὐτελῶς εἰπεῖν τὰ μεγάλα, καὶ τὰ μικρὰ μεγάλως λέξεσι καὶ σχήμασι καὶ κώλοις καὶ τοῖς τοιούτοις, τὰ μὲν ὑψῶν, τὰ δὲ ταπεινῶν· πότε δὲ καὶ ποῦ εἴρηται ταῦτα, καὶ πλέον περὶ αὐτῶν λέγειν οὐ δεῖ, ἢ ὅσα πρὸ βραχέος ἐῤῥέθη.

κά. Τοῦτο δὲ ἰδίας ἐστὶ πραγματείας· εἴρηται ἤδη, ὡς τετραχῶς ἡ τοῦ λόγου δεινότης· αἱ μὲν οὖν τέσσαρες καθ' ἑαυτὰς εἶναι δοκοῦσι, περὶ ὧν νῦν ἐδίδαξεν· ἡ δὲ πέμπτη, ἣν νῦν ἐκθειάζεται, ἑτέρα ἐστὶ πρὸς τὰς προειρημένας, κἂν ταύταις ἀριθμεῖσθαι δοκῇ, καὶ μία εἶναι τῶν τεσσάρων κατὰ μέθοδον δεινότητος λεγομένη· περὶ ἧς κἂν τῇ ἀρχῇ τῆς δεινότητος διειλέχθη· ἥτις πάσας τὰς ἰδέας εἰδοποιεῖ καὶ τὰ μέρη αὐτῶν· καὶ εἰδοποιεῖται καὶ πάντα εἴδη καὶ μέρος καὶ μόρια πρὸς τοὺς καιρούς, πρὸς τὰ πρόσωπα, πρὸς τὰ πράγματα, τρόπους καὶ μέτρα καὶ αἰτίας φροντίζουσα, κατὰ τὸ ἑκάστῳ προσῆκον, καθάπερ τι ποιητικὸν ἢ εἰδοποιητικὸν καὶ τελειοποιητικὸν αἴτιον· διὸ καὶ τὴν προσηγορίαν ἔχει λεγομένη μέθοδος δεινότητος, οὐχ ὡς μία τις οὖσα τῶν ἄλλων με-

40 Med. Vind. Par. δυσευρέτους. supra lin. καινευρέτους.

θόδων, ἢ τῶν δεινότητος ἰδεῶν καὶ σημασιῶν, ἀλλ' ὡς κατ' ἐξοχήν· αἱ μὲν γὰρ περὶ τῆς ἐκφωνήσεως ἐνασχολοῦνται, καὶ τοῦ πῶς ἂν ἐξαγγελθῇ τὰ νοήματα καὶ διὰ ποίων λέξεων καὶ σχημάτων καὶ κώλων καὶ τῶν τοιούτων· ἡ δὲ περὶ τὴν δεινότητα πάλιν φαινομένη τὴν οὐ δοκοῦσαν μὲν, οὖσαν δὲ, περὶ τὸν τρόπον μόνον καταγίνεται καὶ φροντίζει πῶς ἀνύσει τὸ περὶ ὧν ὁ λόγος ἦν, καὶ τὸν Λυσίαν ὑποτίθεται ἔχειν· αὕτη δὲ, περὶ ἧς νῦν ὁ λόγος, φροντίδα ἔχει τοῦ ἀκριβῶς εἰδέναι, πότε καὶ ποῦ δεῖ καὶ πῶς καὶ πρὸς ὅντινα τῶν προσώπων, καὶ ἐφ' οἷς πράγμασι καὶ τοῖς λοιποῖς.

κβ. Καὶ μὴ μόνον εἰδέναι ἀλλὰ καὶ δύνασθαι κατὰ τὸ πρόσφορον ἑκάστοις, ὡς πολλάκις εἶπον χρῆσθαι· καὶ ἔοικεν ὡς ἀληθῶς τῷ γνωστικῷ μέρει τῷ τῆς ψυχῆς κινοῦσα καὶ διατάττουσα καὶ κυβερνῶσα καὶ προμηθουμένη πάντων κατὰ τὸ ἑαυτῆς ἁρμόδιον τῶν εἰδῶν καὶ μερῶν τοῦ λόγου κατὰ τῶν ὑποκειμένων πραγμάτων καὶ καιρῶν καὶ τῶν ἄλλων, ὥσπερ ψυχῆς καὶ σώματος, καὶ τὰς δυνάμεις τοῦ σώματος· διὸ καὶ τελευταίαν αὐτὴν ἔταξε διὰ τὸ ποικίλον τῆς διδασκαλίας αὐτῆς καὶ τῆς φύσεως· εἰ καὶ τὰ μάλιστα τῶν ὑποσχέσεων ἐνδεῖ τὰ τῆς ἐπαγγελίας· θείας γάρ ἐστιν ὡς ἀληθῶς φύσεως τὸ κατὰ ἀκρίβειαν ὁλοσχερῆ περὶ αὐτῆς τι διαλαβεῖν, καὶ οὐ μεμπτέος ὁ τεχνικὸς, εἰ μὴ τὸ αὐτῆς κατέσχεν ἅπαν καὶ διεσάφησε· θαυμαστέος δὲ μάλιστα, ὅτι μόνος καὶ πρῶτος περὶ τούτων διῆλθε, περὶ ὧν οὐδεὶς ἐτόλμησε μέχρι τοῦ νῦν ἐξήγησιν καταλιπεῖν· οὐ μόνον δὲ διὰ ταῦτα, ἀλλ' ὅτι καὶ τῆς τάξεως αὐτῆς τὸ ἀκριβὲς διεῖλε, τεταχὼς τελευταίαν ὥσπερ τινὸς τῶν ἄλλων διατάκτορα καὶ ἄρχοντα· αἱ μὲν γὰρ πρὸ αὐτῆς ἔχουσί τινα κοινωνίαν πρὸς ἑαυτὰς, αὕτη δὲ κεχώρισται· τῆς μὲν γὰρ εὑρέσεως καθολικῆς γενομένης, καὶ οὔσης ἐπί τε προβλημάτων καὶ κεφαλαίων καὶ τῶν ἄλλων ἑξῆς,

καὶ ὥσπερ γένος διήκουσα διὰ πάντων πρῶτον μὲν τὰ προβλήματα διδάσκει εὑρίσκειν, ἔπειτα τὰ μέσα καὶ τὰ ἑξῆς· ἡ δὲ μέθοδος αὕτη τῆς δεινότητος τὰ εὑρισκόμενα πρὸς ἀξίαν ἑκάστῳ τίθησι τῶν ὑποκειμένων, ὅθεν καὶ τῆς πρεπούσης ἐπέτυχε τάξεως, προβλημάτων δικανικῶν, συμβουλευτικῶν, πανηγυρικῶν· δικανικῶν μὲν μόνον, ὡς ἀπολογητικὸς ὁ μέγας· κἂν ἡ τούτου ὕλη συμβουλευτική ἐστι· συμβουλευτικὸς[41] μόνον ὁ εἰς τὸν ἐξισωτήν· πανηγυρικὸς δέ, ὡς τὰ ἐγκώμια· πανηγυρικὸς μὲν τὴν ὕλην, δικανικὸς[42] δὲ τὴν διαίρεσιν, ὡς ὁ συντακτήριος, καὶ δικανικὸς μὲν τὴν ὕλην, μετάληψις γάρ, συμβουλευτικὸς[43] δὲ τὴν διαίρεσιν, ὡς ὁ περὶ φιλοπτωχίας καὶ ὁ προτρεπτικὸς εἰς τὸ βάπτισμα· ἀναμὶξ δὲ ὁ γενεθλιακὸς καὶ οἱ ἑορταστικοί· τρόπος δὲ ἔνδοξος, παράδοξος, ἀμφίδοξος, οὓς ἐν ταῖς στάσεσιν εἴπομεν· τὸ δὲ εἶδος τοῦ λόγου ἠθικόν, ἀξιωματικόν, δεινόν, σαφές· ἠθικὸν μέν, ὡς ὁ συντακτήριος κατὰ βαρύτητα εἰσαχθεὶς, καὶ ἐπιεικῶς ἀξιωματικῶς, ὡς ἅπαντες, μᾶλλον δὲ ὁ μέγας ἐπιτάφιος· εἰ γὰρ καὶ ὁ[44] συντακτήριος ἀξιωματικός ἐστι διὰ τὸ μέγεθος τῶν πραγμάτων καὶ τῶν πράξεων, ἀλλ' ἡ δι' ὅλου ἥκουσα ἰδέα τοῦ ἤθους ἠθικὴ μᾶλλόν ἐστιν τῆς κατὰ βαρύτητος καὶ ἐπιεικείας. σαφεῖς[45] δὲ καὶ εὐκρινεῖς κατὰ λέξιν καὶ τὰ ἑπόμενα τῇ λέξει πάντες, εἰ καί τινα μέρη δεινότητος μετέχουσι· γοργὸς δὲ καὶ κεκαλλωπισμένος ὁ περὶ τῶν ἐγκαινίων· δεινός, ὡς τὰ περὶ τῆς τριάδος κατὰ μέθοδον τὴν πέμπτην· οὐδεὶς δὲ ὄντως αὐτάρκης, ὡς εἰδέναι τοὺς ἀκριβεῖς, ἐν μὲν γάρ τισιν αὐτῶν κατὰ τὰ προοίμια ἐμμένει καὶ ἐπεξεργάζεται,

---

41 Vind. συμβουλευτική. posui h. l. et in sqq. masculinum.
42 Vind. δικανική. 43 Vind. συμβουλευτική. 44 Vind. ἡ
ἐς ἐς.
συντακτ. ἀξιωματική. 45 In Vind. σαφὴς δὲ καὶ εὐκρινής. Par.
εῖς εῖς.
σαφὴς δὲ κ. εὐκρινής.

ὥσπερ ἐν τῷ περὶ φιλοπτωχίας ἀπὸ τῆς ἀπαριθμήσεως πόῤῥωθεν δοκῶν τοῦ πράγματος ἄρχεσθαι, τὸ δὲ οὐχ οὕτως ἔχει, ὅτι καὶ αἰτιαταὶ τῆς ἀγάπης πᾶσαι αἱ ἀρεταί· καὶ οὐ κατὰ περιβολὴν, ἀλλὰ εὐκρίνειαν ἀμίμητον καὶ ὑψηλήν.[46] πόσον δὲ συμπαθὲς εἶδος καὶ ἐλεεινὸν καὶ οἰκτρὸν καὶ ἐνδιάθετον εἰπεῖν ἁπλῶς ἐν ὅλῳ τῷ λόγῳ, καὶ ἁπλῶς ἐὰν ἕνα ἕκαστον αὐτῶν διέλθωμεν, πέλαγος ἀναμετρήσομεν θεωρίας· θαυμάσειε δ' ἄν τις αὐτοῦ μᾶλλον τὴν ἐπιστήμην καὶ τὴν περὶ τοὺς λόγους λέξιν ἀπὸ πολλῶν μὲν, ἐκ δύο δὲ μάλιστα· ἐκ τῆς συμμίξεως τῶν ἰδεῶν καὶ τῶν δογμάτων, μήθ' ὅτε πανηγυρίζει τὰ λοιπὰ ἀφεὶς, μετὰ τῆς θεολογίας, μήθ' ὅτε τινὰ τῶν ἄλλων ποιῶν, ἐκεῖνα παρωθῶν· δικανικῶν γὰρ οὐσῶν τῶν ἀντιθέσεων καὶ συμβουλευτικῶν πανηγυρικὰς αὐτῶν τὰς λύσεις ποιεῖ,[47] ἔν τε τῷ τῶν γενεθλίων ὅταν λέγῃ· καλὸν μὲν εὐκαίρως μεταλαμβανόμενον, οὐ καλὸν δὲ ἀκαίρως, καὶ οὔτε φυτευθὲν κακῶς ἀπ' ἀρχῆς, οὔτε ἀπαγορευθὲν φθονερῶς· διλημμάτων γάρ εἰσι ταῦτα λύσεις· ἔν τε τῷ[48] τῶν φώτων καὶ ἐν ἄλλοις, καὶ ταῦτα ποιῶν λανθάνει ἔν τε τῷ συντακτηρίῳ· τοιοῦτον γὰρ λόγον οὐδεὶς τῶν ἁπάντων ἐδημιούργησεν· ἔχων γὰρ πράγματα πολλὰ καὶ καλὰ καὶ δυνάμενος τραχέως καὶ ἀκμαίως εἰπεῖν καὶ καταλῦσαι τὴν ἐπιβόητον ἐκείνην σύνοδον, ὢ τῆς ἐπιστήμης τῆς ἀμιμήτου, πῶς μετεχειρίσατο τὴν ὑπόθεσιν· ποῖος Ἀριστείδης κάλλει καὶ μεγέθει καὶ πλήθει τῶν ἐπενθυμημάτων παρῆλθεν αὐτὸν ἐν τοῖς στηλιτευτικοῖς; ὁ μὲν γὰρ ἀφορμὰς εἰς τὸν Παναθηναϊκὸν,[49] (πολλοὶ γὰρ τὰς Ἀθήνας ἐπήνεσαν, τὸ ξηρὸν[50] χωρίον καὶ ἀκαλλὲς, οὐ διὰ τὸν τόπον, ἀλλὰ διὰ τοὺς ἄνδρας, καὶ ποιητῶν καὶ φιλοσόφων καὶ ῥητόρων) τὰ πάντα σποράδην ῥηθέντα συνήγαγεν εἰς ἕν· οὔτε περὶ τὴν εὕρεσιν πονήσας, οὔτε

46 Vind. ὑψηλόν. 47 ποιεῖ Vind. om. 48 τῷ Par. Vind. om. 49 Vind. παναϊκόν. 50 Vind. ξυρόν.

περὶ τὸ πλῆθος· ὁ δὲ περὶ τὴν τῆς κακίας ὕλην πολλὴν παρὰ τὴν ἀξίαν τῶν ἐνθυμημάτων εὕρεσιν ποιησάμενος οὔτε ἀηδής ἐστι διὰ τὸ μῆκος, ὡς ἐκεῖνος, ματαίαν ἐπίδειξιν ποιούμενος καὶ δόξαν θηρώμενος ἄκαιρον, οὔτε ἀνιαρὸς διὰ τὸ ἐλλιπές, ἀλλ' ἀμφοτέρων φεύγων τὴν ἀμετρίαν, τὸ ἀσύγκριτον ἐτήρησεν ἀμφοτέροις· βραχυλογώτατον μὲν τὸν λόγον, πολυφωνότατον δὲ τοῖς πράγμασι συσκευάσας· εἰ γάρ τις Ἀριστείδην τοῦ Παναθηναϊκοῦ χωρίσας εὑρήσει τὸν ἄνδρα παῖδα ψελλίζοντα τοῖς ἄλλοις ἅπασι. τούτου δὲ καὶ τὰ παίγνια, τουτέστι τὰ αὐτοσχέδια, ἀμίμητα, καὶ οἱ μετὰ σκέψεως ῥηθέντες ἀπρόσιτοι.

Προκαταρκτικὰ μέν, ὡς ἐν τοῖς προοιμίοις, καὶ τῇ [51] ἐν τούτοις οἰκονομίᾳ, πιστωτικὰ δέ, ὡς ἐν τοῖς ἀγῶσι καὶ ταῖς ἀποδείξεσιν, ἀντιθέτων δὲ λυτικά, ποτὲ μὲν πρὸ τῶν ἀντιθέσεων, ποτὲ δὲ μετὰ ταύτας, ποτὲ δὲ καὶ χωρὶς αὐτῶν, καὶ εἰς τοὺς ἐπιλόγους δὲ οὐ χρονοτριβῶν, ἀλλὰ κἀν τούτοις φυλάττων τὸ σύμμετρον, ἐν οἷς καὶ καινόν τι φαίνεται καὶ παράδοξον· ποτὲ μὲν γὰρ συστρέφων τὰς ἀποδείξεις κατὰ διάνοιαν διὰ τοῦ πραγματικοῦ καταδρομὴν ποιεῖται οὐχ ἧττονα, ἢ τοῦ ἐν Σοδόμοις κατακλυσμοῦ πυρὶ καὶ θείῳ τῷ ὄντι τοὺς ἀντιπάλους κατατεφρῶν ποτὲ δὲ τοῦ παθητικοῦ διαμερίζων τὰς διατυπώσεις οὐ μόνον ἐν ἐπιλόγοις, ἀλλ' ἐν ἅπαντι τῷ λόγῳ συγχέει· ὥσπερ πεφώραται ποιῶν ἐν τῷ περὶ φιλοπτωχίας· ἤδη δέ ποτε καὶ δι' ἑνὸς κεφαλαίου τοῖς ἄλλοις ἐπιφωνηματικοῖς χρησάμενος πέλαγος ἐξύφανε λόγου, ὥσπερ τὸν ἀπολογητικὸν διὰ τοῦ χρώματος μόνου, καὶ τὸν συντακτήριον διὰ τοῦ ἀντιστατικοῦ· καὶ ταῦτα θαυμάζειν καταλιπόντες οἱ ἐκεῖνον τολμήσαντες ἐγκωμιάζειν, καθάπερ κάνθαροι πρὸς τὸν οὐρανὸν τοῖς κωμικοῖς [52] ἀνερχόμενοι ἐξυμνοῦσι τὸν βίον, ὃν μαλ-

---

51 Vind. τῆς ἐν τούτοις οἰκονομίας. posui dativum. 52.

λον ταπεινοῦσιν, ἢ ὅσον ἐπαίρειν οἴονται· ἀλλ' εἰ μὲν ἔκ τινος ἑτέρας ἀνάγκης τοῦτο ἐποίουν, εὐλόγου τυχὸν ἂν, καὶ ἦσαν συγγνωστοὶ, ἐπεὶ καὶ βάτραχοι τὸν δημιουργὸν ἀνυμνοῦσιν, νῦν δὲ φιλοδοξίας καὶ δυστυχίας οὐκ ἴσασιν οἷ φέρονται, πρὸς ποῖον δὲ προσήκει κατὰ τόδε τὸ ζήτημα· εἰ μὲν ζητεῖτε παρηνομηκέναι ἐπὶ τῷ τῆς εὐσεβείας κηρύγματι, καὶ ὡς οἱ ἐμβρόντητοι διετείνοντο τρίγαμος γεγονὼς, τὸ μὲν ἐπιεικὲς ἦθος δ' ὅλον τοῦ λόγου ζώσει· τὸ δὲ ἀξιωματικὸν καὶ λαμπρὸν ὑπεράρη χωρίον καταδρομὴν καὶ τραχύτητα· δεῖ γὰρ ἐκεῖνα λέγειν, οὐχ ὧν ἄν εἰσιν οἱ ἀκούοντες ἄξιοι, ἀλλ' ἃ προσῆκον τῷ θεολόγῳ· εἰ δὲ ζητεῖτε κατὰ τόνδε τὸν καιρὸν βαπτισθῆναι, ἢ τούσδε ἐλεῆσαι τοὺς ἄνδρας, ὢ τοῦ πλήθους τῶν ἐπιχειρημάτων, καὶ τῆς δυνάμεως καὶ τῆς κρίσεως καὶ τῆς τάξεως· εἰ δὲ καὶ ἀπονοίας κρίνεται καὶ μείζονος ἐπιθυμίας θρόνου, κλίμακα κατασκευάζει, καὶ εἰς τὸν οὐρανὸν ἀναβιβάζει τοῖς θεωρήμασιν καὶ τῷ θεῷ παραστήσει καὶ δείξει, τί ποτέ ἐστιν ἱερωσύνη, καὶ τί προσήκει τὸ [53] ταύτης ἀμπέχεσθαι πῦρ· περὶ δὲ τῶν ἀνδρῶν, περὶ χριστιανῶν παραλαβὼν ἐπισκόπων, περὶ τοῦ δοκοῦντος παραβαίνειν κανόνας· ἐπὶ φιλοδόξων, περὶ ἱερωσύνης· ἐπὶ ἀμαθῶν καὶ ἀσεβῶν περὶ θεολογίας· κατά τόνγε τὸν καιρόν· κατὰ σπουδὴν ἢ ἄνεσιν, ἀπροοιμιάστως ἢ συντόμως, ἢ διὰ μακρῶν· ἄλλος γὰρ καιρὸς ἐπιβουλευτῶν κατεπειγόντων ἢ πανηγυριζόντων ἢ δικαζόντων, καὶ ἄλλος ἐφ' ἑνὸς ἑκάστου· καὶ πρὸς ἕκαστον τοὺς ἐπιτηδείους λόγους καὶ τὰ μόρια αὐτῶν καὶ ποῖα λέγειν δεῖ· καὶ ποῖα οὔ· ἃ γὰρ νῦν τυχὸν ὠφελεῖ, ἄλλοτε βλάπτει, καὶ κατὰ τὸ ἀνάπαλιν· ὥστε τὰ μὲν δεῖ λέγειν, τὰ δὲ ἐᾶν, καὶ τὰ μὲν ἐνταῦθα τιθέναι πολλάκις, τὰ δὲ ἐν ἑτέρῳ οὐκ ἀεὶ, καί τισι μὲν πλεονάσαι· τὰς μὲν ἰσ-

---

Aristoph. Pac. init. 53 Vind. τῷ. Par. τό.

ἰσχυροτάτας τῶν ἐννοιῶν, ἐφ' αἷς πέποιθεν [54] ὁ λέγων, πανταχοῦ τάξει ὁ ἐπιστήμων καὶ πρώτας καὶ τελευταίας· καὶ ἡ αἰτία δήλη· τῶν ἰσχυρῶν γὰρ καὶ πιστωτικῶν πᾶς τόπος ἴδιος, τὰ δὲ ἀσθενῆ οὐδόλως εἰσάξει τῶν δυνατῶν, ἢ τοῖς παραληπτικοῖς μεγεθύνει· λαμβάνει γὰρ ἔμφασιν ὁ ἀκούων, ὡς οὐ δι' ἀσθένειαν ἠφείθη, ἀλλὰ διὰ τὸ μὴ μακρηγορεῖν· ταῦτα γάρ, φησίν, ὡς ἀληθῶς καὶ τὰ τοιαῦτα θείας φύσεως μεθοδεῦσαι· οὐ μὴν ἀλλ' ὑπισχνεῖται ὁ φιλάνθρωπος οὗτος καὶ τούτων τὴν ἐπιστημονικὴν μέθοδον παραδοῦναι.

Σύνοψις τῶν περὶ δεινότητος.

α΄. Ἔννοιαι αἱ παράδοξοι καὶ βαθεῖαι καὶ βίαιοι καὶ περινενοημέναι, ἔτι καὶ αὐτὸ μέγεθος ποιοῦσαι πᾶσαι.

β΄. Μέθοδος ἡ τῇ περινενοημένῃ ἐννοίᾳ ἐοικυῖα, καὶ ὅσαι τὸ μέγεθος ποιοῦσιν· ἐν δὲ τῷ ὄντι μὲν μὴ δοκοῦντι δὲ αἱ ἀφελεῖς καὶ ἠθικαί, ὡς παρὰ Λυσίᾳ.

γ΄. Λέξις ἡ ἀξιωματικὴ πᾶσα καὶ μάλιστα ἡ τετραμμένη, ἐν δὲ τῷ ὄντι μὲν μὴ δοκοῦντι δὲ ἡ ἀφελὴς καὶ ἠθική· ἡ δὲ δοκοῦσα μέν, μὴ οὖσα δὲ δεινότης τὸ πλεῖστον ἔχει κατὰ τὴν λέξιν, ὅταν τραχείας ἢ σφοδρὰς ἢ σεμνάς τις συμφορήσας λέξεις, εἶτα ἐξαγγέλλοι ταύταις ἐννοίας [55] ἐπιπολαίους καὶ καινάς, [56] καὶ σχήμασί τε καὶ κώλοις χρῷτο ἢ πᾶσιν, ἤ τισιν κεκαλλωπισμένοις ἀκμαίοις τε καὶ σεμνοῖς.

δ΄. Σχήματα, κῶλα, συνθήκη, ἀνάπαυσις, ῥυθμός, ταῦτα πάντα ὅσα σεμνὰ καὶ ἀκμαῖα καὶ λαμπρὰ καὶ περιβλητικά· μάλιστα δὲ σχῆμα ἁρμόζει αὐτῇ τὸ κατὰ συστροφήν· ἐν δὲ τῷ ὄντι μέν, μὴ δοκοῦντι δὲ τὰ ἀφελῆ καὶ ἠθικά.

---

54 Par. πέπιθεν. 55 Vind. Par. ἐννοίαις. in Par. compendium sribendi, quod significat ας, apparet supra lineam. 56 Vind. Par. καινάς (supra lineam: οι ω).

Cap. X.

Περὶ τοῦ πολιτικοῦ λόγου ἐκ τῶν τοῦ Σικελιώτου Ἰωάννου.

Τὰ μέρη καὶ μόρια τοῦ ἐν λόγῳ ζώου· φιλοτεχνησάμενος Ἑρμογένης τὴν κρᾶσιν αὐτῶν καὶ ἕνωσιν νῦν παραδίδωσιν εἰς ὁλότητος σύμπηξιν· καθ' ἣν ἐναργέστερα τὰ πεφυκότα τῆς ἐμψυχώσεως διαδείκνυται τοῦ ἐξ ὕλης καὶ εἴδους συμπεφυκότος ζώου· ἐπεὶ δὲ οὗτος λέγεται πολλαχῶς καὶ ταῖς ὁμωνυμίαις πρὸς τὸ ἀόριστον συνεπάγεται καὶ διαχεῖ τὴν διάνοιαν, φέρε τὴν κατὰ πλῆθος αὐτοῦ διέξοδον τῶν σημαινομένων παρέντες, πολλήν τε οὖσαν ἢ πρὸς τὴν παροῦσαν χρείαν καὶ περιττὴν, τοῦ κατὰ τὴν λογογραφίαν μόνην καὶ τούτου γε οὐ παντὸς, ἀλλ' ὃς τοῦ πολιτικοῦ τῷ γένει διῄρηται, τὴν διαίρεσιν ποιησώμεθα. Ὁ λόγος τοίνυν, ὁ κατὰ ἀπότασιν [1] καὶ τέχνην λεγόμενος, [2] ἢ πολιτικός ἐστι καὶ ὡρισμένους ἔχει τοὺς τόπους καὶ χρόνους καὶ τὰ πρόσωπα, ἢ οὐ πολιτικός· [3] πολιτικὸν δέ φασι τὸν συμβαλλόμενον εἰς σύστασιν τῆς πολιτείας, τὸν καὶ τὰ ἤθη ῥυθμίζοντα τοῦ κοινῇ καὶ καθ' ἕκαστον· ἵνα μὴ ὡς ἄλογα καὶ θηρία βιῷεν, [4] ἀλλήλους καταναλίσκοντες καὶ ἄγοντες καὶ φέροντες· οὐ πολιτικὸν δὲ τὸν περί τι τῶν ὄντων ἀνασχολούμενον, καθ' ὃν εὐδοκιμοῦσιν οἱ κατ' αὐτὸ τοῦτο λεγόμενοι καὶ ὄντες φιλόσοφοι, ὁποῖοι μάλιστα οἱ πατέρες οἱ θεῖοι· αὐτοὶ γὰρ ὡς τῆς ὄντως σοφίας πρεσβευταὶ καὶ θεραπευταὶ τὰ ἀναγκαιότατα καὶ ὅσον ἄνθρωπος θαυμάζειν δυνήσεται κατὰ ἀνακουφισμὸν τῶν κάτω κοινωνεῖν καὶ συνουσιῶσθαι θεῷ, τῷ πολιτικῷ συγκεράσαντες

---

1 Codd. *ἀποτάδην.* scipsi *ἀπότασιν.* 2 Codd. ad marg. *γρ. γινόμενος.* 3 *πολιτικὸς* Vind. om., est in Par. 4 Med. Pra. ad marg. *βιῶμεν ἢ βιώημεν.* — v. 21. Vind. *δὲ τῶν.* scr. *τόν.*

τὴν ἡμετέραν φύσιν ἀναπτεροῦσι πρὸς φύσιν ἀϊδιότητος, καὶ οὗτός ἐστι τῷ ὄντι λόγος πολιτικὸς, ὁ ἰσονομίαν βραβεύων ταῖς δυνάμεσι τῶν ψυχῶν, τῶν νοερῶν πόλεων· τό τε ἐνδέον περιττὸν διϊθύνων, εἰρήνην δὲ πραγματευόμενος ἀστασίαστον καὶ νίκας εἰσηγούμενος τῶν ἀφανῶν πολέμων καὶ πρὸς τὴν πολιτείαν μεταβιβάζων, ἧσπερ ἀπεσυλήθημεν, ὀλέθρῳ τῆς ἀντιστατούσης μοίρας καὶ ἀφανείᾳ· τούτου γοῦν τοῦ πολιτικοῦ ὁ μέν τίς ἐστι συμβουλευτικὸς, ᾧ τί συμφέρον τῆς διαφόρου [5] ἡμῶν εὑρίσκομεν οὐσιότητος, ὁ δὲ πανηγυρικὸς, ᾧ τὸν θεὸν ἐξυμνοῦμεν καὶ τοὺς ἐκείνῳ προσήκοντας, τούς τε ἐναντίους βάλλομέν τε καὶ στηλιτεύομεν· ὁ δὲ δικανικὸς, δι' οὗ τοὺς παρατρεπομένους ἢ ἐπανάγομεν [6] ἢ καταβάλλομεν, διελέγχοντες· τοῦ γοῦν πολιτικοῦ λόγου τούτου, ὡς εἴρηται, ὁ μέν ἐστι συμβουλευτικὸς, ὁ δὲ δικανικὸς, ὁ δὲ πανηγυρικὸς, καὶ οἱ μὲν πρῶτοι δύο ἀδιαίρετοι μένουσιν· οὐ γὰρ ἔχουσι διαφορὰς προσώπων ἢ πραγμάτων· εἰ μή τις κατὰ τὰς διαφόρους τῶν μίξεων κράσεις, καθ' ἃς πρότερος καὶ δεύτερος καὶ τρίτος ὥρισται, καὶ ἐπέκεινα· τοῦτο δὲ ἀόριστον ὂν εἰς τέχνην ἐμπίπτουσαν οὐκ ἔχει τὴν διαίρεσιν· ὡρισμένον [7] γὰρ αἱ τέχναι· διὸ καὶ συμβουλευτικοὶ μόνον καὶ δικανικοὶ καὶ εἰσὶ καὶ λέγονται· ὁ δὲ τρίτος καὶ πανηγυρικὸς διαφόρους τὰς ποιότητας ἔχει· ὁ μὲν γὰρ ὁμωνύμως τῷ γένει λέγεται πολιτικὸς καὶ συμφέρει ταῖς πολιτείαις κοινῶς, ὁ δὲ λέγεται ἁπλῶς λογογράφικὸς, ὁ δὲ ποιητικός· οἳ μήτε πρόσωπα ὡρισμένα, μήτε τόπους μήτε χρόνους ἔχουσιν, ἅτε μηδὲ περὶ θέσεως καὶ ἐπισκέψεως πολιτείας καὶ τοῦ κοινῇ συμφέροντος διαλεγόμενοι, καὶ καλοῦνται ἰδίως· ὁ μὲν δὲ διαλεκτικὸς, ὡς

5 Med. in marg. τῆς διαφόρου οὐσιότητος· τῆς ἐκ ψυχῆς δηλαδὴ καὶ σώματος συνεστώσης. 6 Par. Vind. ἐπανάγωμεν.

7 Par. Vind. ὡρισμένον (ω superscript).

ὁ Πλατωνικός· καὶ οἱ ἀντίῤῥητοι τῶν ἁγίων, ὁ δὲ ποιητικὸς διαφόρους καὶ πολυσχιδεῖς ἔχων τὰς παραλλαγάς· ὁ τοίνυν κυρίως πανηγυρικὸς ἢ ὁμολογουμένην ἔχει τὴν ὑπόθεσιν καὶ συνιστᾷ τὰ ἐγκώμια, ἤτοι τοὺς ἐπαίνους καὶ τοὺς ψόγους, καὶ τὴν ἀρίστην καὶ πρώτην κληροῦται μίξιν καὶ συνίσταται ἔκ τε σαφηνείας ὁλοσχερῶς καὶ ὀλίγης σεμνότητος καὶ τραχύτητος, κατὰ πάρεργον πρὸς τὰ ἐμπίπτοντα τῶν θεωρημάτων· σεμνότητος [8] ὡς τὰ περὶ τῆς τριάδος καὶ ἱερωσύνης ἐν τοῖς ἐπιταφίοις τῶν ἁγίων Ἀθανασίου καὶ Βασιλείου· τραχύτητος πρὸς τὰ πρόσωπα, ὡς ἐπὶ τοῦ Ὑπάρχου, λαμπρότητος δὲ καὶ περιβολῆς μάλιστα· ἔτι γε μὴν γοργότητος καὶ κάλλους, ἤθους τε τοῦ κατὰ ἐπιείκειαν καὶ γλυκύτητα, διὰ τὰς διατυπώσεις καὶ ἐκφράσεις καὶ τὸ ἀληθὲς καὶ ἐνδιάθετον· βαρύτητος δὲ οὐδὲ ὅσον, εἰ μὴ ἐπιτάφιος εἴη, καὶ ὑποθρηνεῖ τις, ὡς ὁ μέγας περὶ τοῦ κατέχοντος πάθους τὴν οἰκουμένην· δεινότητος δὲ ὡς ἐλάχιστον τῆς οὔσης καὶ φαινομένης, πλὴν ὁριστέον ταῦτα πρὸς τὴν ποιότητα τοῦ ἐπῃνημένου· μᾶλλον δὲ ἅπαντα· τῶν γὰρ μεγάλων ἀνδρῶν καὶ παραπλησίους τὰς πράξεις ἐχόντων τῇ δόξῃ ὁμοίους εἶναι δεῖ καὶ τοὺς λόγους· καὶ εἴ τις τοιούτων λόγων βούλοιτο εἶναι πλάστης ὡς κανόσιν ἑπέσθω τοῖς ἁγίοις, τῷ θεολόγῳ καὶ μεγάλῳ Βασιλείῳ· οὗτοι γάρ μοι δοκοῦσι πάντας νενικηκέναι ἐν τῷ εἴδει τοῦ πολιτικοῦ, τῶν δὲ μεθόδῳ κειμένων καὶ μάλιστα· οὔτε μὲν οὖν εἰ ὁμολογουμένην ἔχει τὴν ὑπόθεσιν, εἰ δὲ μὴ ὁμολογουμένην, τὸν ἐν πολιτικοῖς ζητήμασι ποιεῖ πανηγυρικόν; οἷον Ἀλκιβιάδης λαχὼν δᾳδουχεῖν ἐν τοῖς τῶν Ἐλευσινίων μυστηρίοις δοκιμάζεται, εἰ ἔστιν ἄξιος, τουτέστιν ἐξετάζεται. οὐκοῦν τὸν ἑαυτοῦ βίον καὶ τὰς πράξεις δεῖξαι ἀγωνιεῖται, ὥσπερ Κέφαλος καὶ Ἀριστοφῶν παρὰ Λιβανίῳ· [9] τοιοῦ-

8 σεμνότητος· Par. Vind. om. Par. habet ad marg. 9 Haec μελέτη a nostro Libanio abest.

τος καὶ ὁ περὶ τῆς προπομπείας, νικησάντων τοὺς Πέρσας Λακεδαιμονίων καὶ Ἀθηναίων· ἐξετάζεται γάρ, τίνες προηγήσονται ἐν τοῖς θριάμβοις· οὐκοῦν Θεμιστοκλῆς ἐξαίρει [10] τὰς ἄνωθεν τῆς πόλεως κατὰ τῶν βαρβάρων πράξεις καὶ ὅσα παρηκολούθησεν· ἐν τούτῳ τῷ εἴδει πλεονάζειν ὀφείλει τις τὴν λαμπρότητα καὶ πολὺ τὸ κατὰ ἀποστροφὴν σχῆμα· οὐ μέντοι τραχύ τε καὶ ἀκαλλές, ἀλλὰ τῷ ὄντι ἡρμένον καὶ πολιτικόν· ἐρεῖ γάρ που κατὰ κεφάλαιον πρός τε τοὺς Λακεδαιμονίους καὶ συμμάχους ταῦτα· ὦ Λακεδαιμόνιοι καὶ πάντες οἱ σύμμαχοι, ἀξιοῦσιν ἡμᾶς ἀφεῖναι προπομπείας, οὐχ ὑπὲρ κοτίνου καὶ πίτυος, ἀλλ' ὑπὲρ εὐδοξίας τῶν Ἑλλήνων ἁπάντων προκινδυνεύσαντας· [11] γέγραπταί τις καὶ ἡμῖν γυμνασίας χάριν τοιοῦτος λόγος, οὗ ἡ ἀρχή· αἰσχρὸν, ὦ παρόντες, ὑπὲρ δόξης ῥεούσης ἀγωνίζεσθαι τὸν φιλόσοφον, οὐ μὴν ἀλλ' εἴ τις ἑτέρως βιῶν, ἔπειτα μὴ τῶν κρειττόνων ἀντιποιεῖται, ἀλλὰ καὶ τὴν χείρω δόξαν [12] ἔχει πρὸς τοὺς βελτίστους, φιλάνθρωπον διελέγχειν, ὡς φαύλῃ κρίσει τῆς ἀλαζονείας μεταποιεῖται· εἰ μὲν πολιτικοὶ οὗτοι καὶ τοιοῦτοι οἱ συνήθεις [13] λέγεσθαι· αἱ δὲ ἱστορίαι καὶ ὅσα παραπλήσια διηγήματα ὄντα καὶ διηγήσεις, οὐ πολιτικοὶ λόγοι· πρῶτον μὲν, ὅτι οὐκ ἐναγώνιοι, δεύτερον δὲ, ὅτι οὐκ ἀφωρισμένους [14] ἔχουσι τοὺς ἀκροατάς· τρίτον δὲ, ὅτι οὐ περὶ προδήλου συμφέροντος· ἔτι τοῦ πολιτικοῦ συμβουλευτικοῦ τὸ μὲν στρατηγοῖς προσήκει καὶ δημαγωγοῖς περὶ πόλεων ὁμονοίας διαλεγομένοις, καὶ ἁπλῶς ῥήτορσι, τὸ δὲ πολιτικοῖς φιλοσόφοις; οἳ μὴ μόνον τὰς πόλεις, ἀλλὰ καὶ τὰ ἤθη ῥυθμίζουσιν, ὥς μοι πρὸ μικροῦ λέλεκται, οἷοι ἦσαν οἱ

---

10 Vind. Par. ἐξαίρει. 11 Vind. προκινδυνεύσασι. scr. προκινδυνεύσαντας. 12 Vind. χειροδόξαν. 13 Par. συνήθεις (ω above η). 14 Par. ἀφωρισμούς. Vind. ἀφορισμούς.

τῆς ἐκκλησίας διδάσκαλοι· τούτων δὲ οὕτως ὄντων ἰτέον ἐπὶ τὴν λέξιν, εἴπου τι τῶν δεομένων σαφηνείας ἔχει, τοῦτο κατὰ τὸ δυνατὸν διατρανοῦντας· διαφέρουσι δὲ τὰ πολιτικὰ εἴδη, [15] ὅτι τοῦ μὲν ἁπλῶς ῥητορικοῦ ἴδιον ποιὰς ἐπάγειν ἢ γέρα τοῖς πειθομένοις ἢ μὴ σωματικά· τοῦ δὲ πολιτικοῦ φιλοσόφου τὸ ἀσωμάτους καὶ αἰωνίους.

Περὶ λόγου πολιτικοῦ.

α. Ὁ πολιτικὸς τοίνυν καλούμενος λόγος· πολιτικὸν ὠνόμαζον λόγον οἱ παλαιοὶ τὸν τοῖς πολιτευομένοις συμβαλλόμενον· οὗτος δὲ ἦν ὁ κατὰ νόμους περὶ τοῦ κοινῇ συμφέροντος καὶ τοῦ δικαίου ζητῶν, ὧν ἐπίσης μετεῖχον πένητές τε καὶ πλούσιοι καὶ ἰδιῶται καὶ ἄρχοντες, διὸ καὶ εἰς τρεῖς διελόντες διαφορὰς κατὰ τὰς πολιτείας, τῷ μὲν δὲ τὰ βουλευτήρια ἀπένειμαν καὶ τοὺς βουλευτάς, τῷ δὲ τὰ δικαστήρια καὶ τοὺς δικαστάς· τῷ δὲ τὰς πανηγύρεις καὶ τὰς ἐκκλησίας καὶ τοὺς ἐκκλησιαστάς· ἐκκλησίας δὲ ἔλεγον οἱ παλαιοὶ τὰς ἐκ μετακλήσεως συναθροίσεις ἐπί τε ἑορταῖς ἢ πανηγύρεσιν, ἐγκωμίοις τε ἢ ψόγοις, ἀπὸ Γοργίου τὴν ἀρχὴν λαβοῦσαι· ὅπου δ᾽ ἂν γένοιτο ταῦτα τὰ εἴδη, εἴτε ἐν πολέμῳ, εἴτε ἐν εἰρήνῃ, εἴτε ἐν τριήρεσιν, εἴτε ἄλλοθί που κατὰ τὴν οἰκείαν διαφορὰν καὶ τὴν σύνοδον εἶχεν· ὥστε εἰ μὴ τοῦτο εἴη, οὐκ ἂν ἐλέγετο λόγος πολιτικός· διὸ οὔτε τὰς ἱστορίας οὕτως ὠνόμαζον, οὔτε τινὰ τῶν ἄλλων τῶν παρὰ ταύτην τὴν πρόθεσιν· ἐπιγνώσει δὲ τῶν ἰδεῶν καὶ διακρίσει τῶν καθ᾽ ἕκαστον καὶ ἱστορικοὺς πολιτικοὺς οὐ κυρίως ὀνομάζει ὁ τεχνικός, καὶ λογογράφους καὶ φιλοσόφους, εἰ καὶ τὰ μάλιστά πως καὶ αὐτοὶ περὶ τῆς τῶν ἀκουόντων ὠφελείας τὰ συντάγματα συνέθεσαν· ὁ μέντοι Πλάτων περὶ φύσεως τῶν ὄντων ὡς ἐπί-

---

15 Vind. Par. ἤδη. in Par. correctum εἴδη.

παν τὰς συνελεύσεις ποιούμενος, διαλεκτικαῖς μεθόδοις διὰ τὸ εἶναι σεβασμοῦ τοῖς Ἕλλησιν ἄξιος τοῖς πολιτικοῖς συνεκρίθη· καὶ ἀπὸ μέρους τῆς ῥητορικῆς ἢ μορίου τούτου τυχόν· ἀνασκευαῖς γὰρ χρῆται καὶ κατασκευαῖς, αἳ καὶ ἐπαίνους τῶν ὑποπιπτόντων προσώπων ἔχουσι· καὶ τὰ λοιπὰ διέξεισιν Ἑρμογένης καὶ ἀποδείκνυσι, πῶς ἂν καὶ διὰ τίνων αἱ διαφοραὶ τοῦ ἁπλῶς πολιτικοῦ, τουτέστι τοῦ καθόλου γένοιντο πρῶτον· ἔπειτα διελὼν αὐτὸν εἰς τὰ οἰκεῖα εἴδη τοὺς κατ᾽ εἶδος καὶ γένος αὐτοῦ εὐδοκιμοῦντας ἄνδρας συντάττει, ἵνα ῥᾳδία γένηται τῶν χαρακτήρων ἡ διάκρισις, καὶ τοῖς διδάσκειν βουλομένοις καὶ τοῖς ζηλοῦν ᾑρημένοις. Ἄλλως· [16] τὴν ἀκρίβειαν τοῦ τεχνικοῦ μάλιστα θαυμάζειν ἄξιον, καὶ τὸ περὶ τὴν διδασκαλίαν εὐκρινές· παραστήσας γὰρ πρότερον μετὰ πολλῆς εὐμαρείας ἑκάστης ἰδέας τὴν δύναμιν, τηνικαῦτα μετῆλθεν [17] ἐπὶ τὸν πολιτικὸν λόγον καὶ τὴν μίξιν αὐτῶν· οὐδὲ γὰρ τὰ σύνθετα μανθάνειν δυνατὸν, εἰ μὴ τῶν ἁπλῶν πρότερον γνοίη τις τὴν δύναμιν. Φημὶ τοίνυν δεῖν ἐν τῷ πολιτικῷ λόγῳ πλεονάζειν· ἐν τῷ πολιτικῷ λόγῳ κατὰ πρῶτον λόγον δεῖ πλεονάζειν τάσδε τὰς ἰδέας, σαφήνειαν, τὸ ἠθικὸν, τὸ [18] ἀληθὲς, τὴν γοργότητα, τὴν περιβολὴν, κατὰ δεύτερον δὲ [19] λόγον τραχύτητα καὶ σφοδρότητα, κατὰ τρίτον ἀκμὴν, σεμνότητα, λαμπρότητα· κατὰ τέταρτον δεινότητα τὴν ἐν μεθόδῳ· τὴν γὰρ ἄλλην ἥκιστα· κάλλος δὲ τὸ κομμωτικὸν [20] πλεοναζέτω μὲν τοῖς πρώτοις ὁμοίως, καὶ μάλιστα ὅταν δυνατῶς ἐξαγγεῖλαί τι δέον, ἀνέμφαντος [21] δὲ καὶ οἷον μὴ φανερὰ ἔστω ἡ ἐπιτήδευσις·

---

16 Haec usque ad litt. β. continentur etiam in commentario Vol. VII., cujus variam lectionem huc transtuli. 17 Sicel. ἐπῆλθεν. T. VII. in Mon. et Par. 2. μετῆλθεν. 18 τὸ T. VII. in Mon. Par. 2. om. 19 δὲ T. VII. in Mon. Par. 2. om. 20 T. VII. in Mon. κομματικόν. 21 Sicel.

Ἄλλως.[22] δεῖ κατὰ πρῶτον λόγον σαφῶς ἀπαγγέλλειν διὰ τὸ ἀναγκαῖον ἅμα καὶ χρήσιμον· ὅπως μετὰ εὐμαρείας τὸ διανοηθὲν τῷ πλησίον μεταδῶμεν· ὁ γὰρ διανοηθείς τι καὶ μὴ φράσας σαφῶς ἐν ἴσῳ ἐστὶν,[23] ὡς εἰ καὶ μὴ ὑπενοήθη, καθὰ καὶ ὁ τοῦ Ὀλόρου φησὶ κ. τ. λ. Vol. V. p. 533. v. 5—13.

β. Ἥτις ἀρίστη μῖξις αὐτῶν· κέκριται παρὰ πάντων τῶν παλαιῶν ἄριστος ὁ Δημοσθενικὸς λόγος, ὡς πολλάκις εἴρηται· ἐπειδὴ δὲ τὸ κατ' αὐτὸν εἶδος ἀσύμφορόν ἐστι τῇ νῦν πολιτείᾳ, εἰ μὴ καὶ ταῖς μελέταις μόνον, ὅτι οὐ δημοκρατούμεθα, ἀλλὰ βασιλευόμεθα, μετιτέον ἐπὶ τὸν θεολόγον, ὡς καὶ Δημοσθένους καὶ τῶν ἄλλων κρείττονα, καθότι τὸν πολιτικὸν λόγον εἰς τὸ καινότερον καὶ θεοειδέστερον μετενεγκὼν θαυμασίως ἣ κατὰ λόγον ἐξειργάσατο, ὃν οἱ μετ' αὐτὸν μιμησάμενοι διεπλάτυναν, ἐξαιρέτως δὲ καὶ τῆς ἐκκλησίας Εὐφράτης, μᾶλλον δὲ ὠκεανὸς, Χρυσόστομος, διὰ τὸ ὡς ἔφην μὴ δημοκρατεῖσθαι· κατὰ δὲ τὰς κράσεις τῶν ἰδεῶν καὶ μίξεις ῥᾴδιον τοῖς ἀπὸ τῆς φιλοσοφίας νοήμασι καὶ

---

* in Par. et Vind. ἀνέμφαντος. T. VII. in Mon. et Par. 2. ἀνέμφατος. Sch. min. T. VII. περὶ τῶν ἄλλων δὲ ὡσαύτως· οἷον ὁ δὲ μετὰ τοῦτον τὸν πέμπτον καὶ τὰ ἑξῆς. Τύπον· τοὺς χαρακτῆρας, σαφήνεια, ἦθος, ἀλήθεια, γοργότης, περιβολὴ, καθαρότης, εὐκρίνεια, τραχύτης, σφοδρότης. Λογισμῶν· ἐνθυμημάτων. — Καὶ λεπτότητος· λεπτότητα λέγει τὴν ἀκριβῆ τῶν νοημάτων ἐπιχείρησιν. Εὐτέλειαν λέγει τὴν ὑπτιότητα· σκληρότητα δὲ τὴν ἀσάφειαν. Ἐκείνως· τὸ ἑξῆς ἐκείνως γίνεται. Πλεονάζοντος· ἐκ ποίων ἰδεῶν ὁ ἄριστος πολιτικὸς γίνεται. ib. ἀπὸ κοινοῦ τὸ πλεονάζοντος. Ἐξαγγεῖλαί τι· ὅτε πυκνὰ τὰ ἐνθυμήματα. Ἀνεμφάτως· συγκεκαλυμμένως, μὴ φαινομένως. 22 T. VII. ἄλλως omisso post δεῖ ponit γάρ. 23 ἐστὶν ὡς T. VII. in Mon. om. — Thuc. II, 60.

τῶν ἄλλων μαθημάτων ἠρδευμένοις τὸ χρῆσθαι καὶ μιμεῖσθαι περιγενήσεται λογογραφοῦσι καὶ αὐτοῖς.

γ'. Παρισοῦσθαί φησι τὴν τραχύτητα, οὐ προηγουμένως, καὶ ὡς δι' αὐτὸ τοῦτο· τοῦτο γὰρ οὐ μεθοδικοῦ μᾶλλον ἢ ὑβριστικοῦ σπουδάζειν, ἀλλὰ κατὰ τοὺς ὑποπίπτοντας τόπους· τοῦτο γάρ ἐστι τὸ κατὰ δεύτερον καὶ τρίτον λόγον, τουτέστιν ὡς ἐν παρέργῳ, ἀλλ' οὐκ ἐν ἔργῳ καὶ σπουδῇ· τὸ γὰρ παρισοῦσθαι οὐκ ἀεὶ τὸ ἴσον ἔχει, ἀλλὰ τὸ ἐπιβάλλον ἑκάστῳ κατὰ τὴν ἀξίαν μέρος, ὡς ἂν εἰ ἔλεγεν· ἐχέτω καὶ αὐτὸ μέρος οὐ τὸ πρῶτον, ἀλλὰ δεύτερον καὶ τρίτον· εἰ γὰρ μὴ τοῦτ' ἔστιν, ἀλλ' ἐξ ἴσου τοῖς εἰρημένοις τετάξεται, ἐπίσης ἔσται ὁ λόγος τραχὺς καὶ σφοδρός,[24] μᾶλλον δὲ καὶ πολλῷ πλέον τραχὺς καὶ ὑβριστικὸς, ὅτι τὰ χείρω, φησὶ, πλείονα ῥοπὴν ἔχει· καὶ ἀεὶ τὰ βελτίονα πλεονεκτεῖται ὑπὸ τούτων, κἂν πολλὰ εἴη, καὶ ὑφ' ἑνός· καὶ μάρτυρες ἔνδοξοι καὶ πολλοί· τοῦτο οὖν ἐστι τὸ ἐξισοῦσθαι, ὅπου γε καὶ τὴν σεμνότητα διακόπτει· εἰ μέντοι πανηγυρικὸς καθ' αὑτὸν ὁ λόγος εἴη, ὥσπερ οἱ ἐπιτάφιοι καὶ οἱ ἑορταστικοὶ, ταπεινὸν τὸ διακόπτειν· καταβάλλει γὰρ τὴν λαμπρότητα καὶ σεμνότητα ἡ διακοπὴ, ὥσπερ ἵππον εὔτακτα θέοντα καὶ κατὰ χρείαν ἀναχαιτίζων ἱππεὺς ἀμαθὴς, εἰ δὲ συγκροτεῖ τοῖς ἄλλοις εἴδεσιν, ὥσπερ τοῦ στεφάνου καὶ ὁ συντακτήριος, καλὸν τὸ διακόπτειν· ἀλλ' οὐδ' ἐπὶ τοῦτον ἀεὶ καιρός, εἰ μὴ ὅταν τις κατὰ βαρύτητα λέγῃ, ἐφ' οἷς παρὰ τὸ δέον κρίνεται· εἰ γὰρ διέκοψεν ὁ θεολόγος ἐπὶ ταύτης τῆς περιόδου, αὕτη γίνεται τῆς τοῦ βασιλέως φιλανθρωπίας περὶ ἡμᾶς ἀρχὴ καὶ κατάστασις πρώτη, οὐκ ἂν διέφερεν Ἡροδίκου,[25] ἀλλα-

24 Par. Vind. σαφής. supra lineam σφοδρός. 25 Nomine hoc Demosthenem designare videtur, tanquam ἥρωα ἐν ταῖς δίκαις. Certe locus paullo ante laudatus ex or. pro cor. p. 291. expressus est.

χοῦ δὲ διέκοψε· τὰ γάρ, καὶ μάλιστα ἂν τύχωσιν ἐννοίας τινός, διακοπὴν ἔχει προφανῆ· οὕτω γοῦν κἀν τῷ συντακτηρίῳ· δικανικοὶ γὰρ οἱ λόγοι καὶ δυσανασχετοῦντες ταῖς τῶν καθολικωτέρων ἐπιμοναῖς,[26] καὶ τῶν πολιτικῶν ὑπερεκπίπτουσιν μερικωτέρων ὄντων· τὰ γὰρ ἄφετα καὶ ἐλεύθερα καὶ σύντονα καὶ εὔτονα καὶ συνεστραμμένα καὶ διλήμματα φιλεῖ ὁ θεολογικὸς λόγος, ὥς που καὶ αὐτός φησι· φθέγξομαι οὐ μαλακόν τι καὶ ἀναβεβλημένον, ἀλλὰ καὶ λίαν ἀνδρικόν τε καὶ σύντονον· τοιοῦτος γὰρ ὁ ὑπὲρ τοιούτων συμβουλεύων· τὸ μὲν γὰρ διακόπτειν διὰ τοῦ μαλακοῦ ἐδήλωσε, θάτερον δὲ διὰ θατέρου. ζητεῖν οὖν τὸν ἁρμόδιον ἑκάστου καιρόν· διὰ τί δὲ διέκοψε Δημοσθένης ἐν τῷ ὑπὲρ τοῦ στεφάνου τὸ λαμπρὸν, οὔ μοι δοκεῖ διὰ τὸ εὐκίνητον καὶ γοργὸν φανῆναι τὸν λόγον, ὥσπερ ἐν τῷ Φιλιππικῷ· ἐκεῖσε γὰρ διὰ τὸ καθολικὸν τῆς γνώμης, ὅτι αὗται σεμναὶ οὖσαι οἷον ἐμβραδύνουσι[27] τῇ κινήσει, διακόψας δὲ ἅμα καὶ πολιτικὸν ἐποίησε τὸν λόγον καὶ γοργὸν, ἐν δὲ τῷ ὑπὲρ τοῦ στεφάνου οὐ διὰ τοῦτο, ἀλλὰ βαρυνόμενος ἐφ' οἷς εὖ πεποιηκὼς τὴν πόλιν κατηγορεῖτο, μιμησάμενος τοὺς δυσφοροῦντας καὶ ὑπὸ τῆς συνεχείας διακοπτομένους τὸ πνεῦμα.

δ΄. Δεινότης·[28] σημείωσαι ὅτι τῆς ἐν μεθόδῳ δεινότητος Λυσίας ἐπετήδευσε τὴν οὖσαν μὲν δηλονότι μὴ φαινομένην δὲ, καὶ ὅτι αὕτη ἐστὶ μέθοδος δεινότητος ἡ οὖσα μὲν, μὴ δοκοῦσα δέ.

ε΄. Περὶ τῆς κατὰ μέθοδον δεινότητος ὑπισχνεῖται λέγειν ἐν τῷ τρίτῳ βιβλίῳ. δύο γὰρ βιβλία ἐξέθετο εἰς τὸ περὶ ἰδεῶν σύνταγμα, καὶ ἕτερον εἰς τὸ περὶ μεθόδου δεινότητος.

ς΄. Εἰ τὰ λαμπρὰ καὶ ἀκμαῖα· εἰ γὰρ ἀκμαῖός

---

26 Vind. αἱ ἐπιμοναί, scripsi ἐπιμοναῖς. 27 Vind. ἐμβρασιδύνουσαι. 28 Litt. δ΄. ε΄. et ζ΄. Vol. VII. in Parr. habet Mon. om.

ἐστι λόγος, οὗτος γὰρ ἐν τραχύτητι ὑφέστηκε καὶ λαμπρότητι,[29] δεῖ καλαῖς λέξεσι λειαίνεσθαι, ἵνα μὴ ἀπότομος ᾖ, ὅταν μὴ κατ' ἐχθρῶν τις ἐπιφέρηται.

ζ. Πρὸ ὀλίγων πάνυ· ἐν τούτῳ τῷ πολιτικῷ λόγῳ, ἐν οἷς φησι, τίνων δεῖ ἰδεῶν κατὰ πρῶτον λόγον, τίνων κατὰ δεύτερον, τίνων κατὰ τρίτον.

ή. Κάλλος δὲ ὅπερ ἔφαμεν· εἴρηται ἡμῖν καὶ περὶ κάλλους, πότε καὶ πῶς καὶ ποῦ δεῖ εἶναι. ἔνθα μέντοι, φησὶ, λογισμῶν δεῖ καὶ λεπτότητος, ὅπου εἰσὶ βαθέα καὶ λεπτὰ νοήματα καὶ δεόμενα σαφηνείας, ταῦτα κεκαλλωπισμένως φράσομεν, ἵνα μὴ τῷ ὕψει τῶν θεωρημάτων ἀποκναίηται ὁ ἀκροατὴς καὶ δυσανασχετῇ, μιμούμενοι τοὺς ἰατροὺς μέλιτι τὰ τῶν φαρμάκων συγκεραννύντας[30] αὐστηρά.

θ'. Νοημάτων καὶ ζητημάτων τὸ ἄγαν αὐστηρόν· διαφορὰς ἔχουσιν αἱ λέξεις, νοήματα μὲν οὖν εἰσι τὰ τοῦ νοῦ ὁρμήματα καὶ κινήματα, οἷον τί πρᾶγμα ἡ λέξις αὕτη σημαίνει,[31] καὶ πῶς δεῖ αὐτὸ νοεῖν· τὸ μὲν οὖν ἁπλῶς οὕτως νοεῖν νοήματα λέγεται, τὸ δὲ ζητεῖν τί σημαίνει ζήτημα, οὐ μὴν ἀλλὰ καὶ νοηθὲν καὶ εὑρεθὲν ζητεῖται πῶς ἐκφρασθήσεται· ἑτέρως πάλιν τὸ ζήτημα τὰς ὑποθέσεις ἂν σημήνειεν· εἰσὶ γάρ τινες αὐστηραὶ ὑποθέσεις κάλλους δεόμεναι πρὸς τὴν κατασκευήν· οἷον φήμη ἦν, ὅτι συγγίνεται τῇ τοῦ υἱοῦ γυναικὶ ὁ πατήρ· ἐν τούτῳ γὰρ τῷ ζητήματι κάλλους χρεία καὶ μέσων λέξεων, ἵνα δείξωμεν λέγειν τὴν μοιχείαν καὶ πάλιν μὴ λέγειν, μηδὲ λύειν τὰς ἐμφάσεις, ὥσπερ ἐν τῷ περὶ τούτων ἐδείξαμεν λόγῳ. τούτου δὲ μάλιστα κατὰ τὴν διήγησιν καὶ τὰς διατυπώσεις χρεία καὶ ἀσφάλεια πολλὴ, καὶ οὐ μόνον ἐν τοῖς τοιούτοις, ἀλλὰ καὶ πανταχοῦ τὸ

---

29 Vind. λαμπρότητα. scr. λαμπρότητι. 30 Vind. συγκεραννύντες. scr. συγκεραννύντας. 31 Par. Vind. ἐστί. supra lineam σημαίνει.

φορτικὸν σφαλερόν· ἐπεὶ καὶ ὁ θεολόγος, δυνάμενος εἰπεῖν, φθονούμεθα, ὡς ἑτέρως ἐκάλλυνε τὸ δύσφημον, καὶ τοῦ κυρίου δοὺς ἔμφασιν καὶ τοῦ μὴ τοιούτου.

ι. Ἐπεὶ γάρ ἐστιν· ἐπεὶ γὰρ ἔν τισι δεῖ καλλύνειν· ἐνταῦθα δὲ λέγει, εἰ καὶ μὴ πᾶσιν, ἐν τοῖς πολλοῖς, ἐν τοῖς δυσχερέσι καὶ δυσκόλοις, ἢ ἐν ἀμφοτέροις, εἰ συντόμως καὶ σαφῶς εἰπεῖν αὐτὰ βουλευόμεθα χωρὶς τοῦ προσπεσεῖν ψυχρότητι· ἐν τοῖς πολλοῖς μέν, ὡς τὸ παρὰ τοσοῦτον οἱ ἡμέτεροι παιδευταί,[31*] καὶ τὰ ἑξῆς, εἰ γὰρ ἔμελλε περιοδικῶς εἰπεῖν καὶ μὴ κατὰ περίοδον, καὶ εἰς μῆκος ἂν ἐξετάθη[32] τὸ νόημα, πολλὰ ἔχον πράγματα καὶ ὑπτιότητα εἶχεν. ἐν σκολιοῖς δὲ καὶ βαθέσι νόημα ὡς ἐν τῇ ἑρμηνείᾳ τοῦ πάσχα. ὅρα γὰρ πόσον ἐκεῖνε κάλλος ἀστράπτει, ὡς ἐραστὰ γίνεσθαι μᾶλλον, ἢ μισητὰ τὰ λεγόμενα, ἐν ἀμφοτέροις δέ, ὡς ἐν τῷ γενεθλιακῷ· περὶ θεολογίας γὰρ λέγει, δυσκόλου πράγματος καὶ ῥηθῆναι καὶ νοηθῆναι καὶ κοσμοποιΐας ἀπείρου τῷ πλήθει γεγονότων, μετὰ πόσου κάλλους τό τε βάθος ἀνέπτυξε, καὶ τὸ πλῆθος συνέστειλε· καὶ ἀμφότερα ἐκεῖνος αὐτὸς δηλοῖ· ἔσται γάρ, φησίν, ὁ αὐτὸς πληρέστατός τε ἅμα καὶ συντομώτατος. τὰ ἐναντία ὑπισχνεῖται συμμίξειν τὸν περὶ οὗ ὁ λόγος μιμούμενος δημιουργόν· εἰ γὰρ καὶ πλήρης καὶ τέλειος ὁ τούτων λόγος, οὐ σύντομος, καὶ εἰ σύντομος, οὐ τέλειος· θάτερον γὰρ παραιτεῖται θάτερον, ἀλλ᾽ οὔ φησιν ὁ θεολόγος, ἀλλὰ καὶ τὰ ἀσύμφωνα συμφωνηθῆναι ποίησω, καὶ τὸ ἀντίπαλον ὡς ἐν ἁρμονίᾳ καλῶς συμβιβάσομαι, ὡς μήτε τῷ ἐνδεεῖ λυπεῖν, τὰ γὰρ πλήρη καὶ τέλεια, φησί, λυποῦσι συνεσταλμένα, μήτε ἀηδὴς εἶναι διὰ τὸν κόρον· ὁ γὰρ κόρος καὶ τὰ πολλὰ ἀηδίαν ποιοῦσιν, οὐκοῦν εἰ μὴ[33] λυπεῖ, τέλειος, εἰ δὲ μὴ ἀηδής, γλυκύς που πάντως καὶ ἐνήδονος. τοῦτο δὲ κάλλους ἴδιον,

31* Greg. Epitaph. in Basil. p. 332. B. 32 Vind. ἐξετάσθη. scr. ἐξετάθη. 33 Par. Vind. ἐμή.

ὅτι συστέλλει τὰ πολλὰ μετὰ κάλλους, καὶ ἀνελλιπῶς, ὡς ὑπέσχετο. πρόσχες τοῦ ἀπείρου τὴν ἀνελλιπῆ συντομίαν. καὶ οὗτός ἐστι τοῦ ἐξ οὐρανοῦ καὶ γῆς καὶ τῶν ἐν μέσῳ σύστημά τε καὶ σύγκριμα. καὶ μέχρι τοῦ καὶ ἵνα δείξῃ, καὶ πρὸ τούτου, οἰκεῖον μὲν γὰρ θεότητος αἱ νοεραὶ φύσεις, καὶ μέχρι τοῦ, ὅσαι παντελῶς ἄψυχοι καὶ ἀκίνητοι. τὰ γὰρ οὐράνια καὶ ἐπίγεια πάντα ἐν μικρῷ συνέκλεισεν. οὐ μὴν οὕτως ὁ μάρτυς Θεόδοτος Ἀγκύρας, ἀλλ' εἰς τὰς αὐτὰς ἐμπεσὼν ἐννοίας πέλαγος λόγου διέτεινεν. ἐν τούτοις οὖν δεῖ καλλωπίζειν· καὶ ἔτι φησὶν, ἵνα μὴ διὰ τὴν λεπτότητα τῶν νοημάτων εἰς ταπεινότητα ἐμπέσωμεν καὶ διεῤῥιμμένην ὑπτιότητα σαφηνείας ἐπιμελούμενοι, τηνικαῦτα διεγείρειν δεῖ τοῖς τοῦ κάλλους ἰδίοις τὸν λόγον, καὶ ἀποφεύγειν τὸν ὄλεθρον,[34] ὡς ἐδείξαμεν πολλαχοῦ. Ἔτι καὶ[35] μέγα ὡς ἀληθῶς, ὦ Ἑρμόγενες, τὸ καὶ τὰ πολλὰ καὶ ἅμα σχολιὰ τῶν νοημάτων καὶ δι' ὀλίγων εἰπεῖν καὶ μετὰ σαφηνείας καὶ μὴ περιπεσεῖν εὐτελείᾳ ἢ σκληρότητι· εὐτέλειαν δὲ λέγει τὴν ὑπτιότητα,[36] σκληρότητα δὲ τὴν ἀσάφειαν.[37]

ιβ. Νυνὶ δὲ ἁπλῶς περὶ πολιτικοῦ· περὶ παντὸς, φησὶ, Δημοσθενικοῦ λόγου λέγομεν, ἀλλ' οὐ τινῶν ἢ ἐνίων, οὐκ ἰδιωτικῶν, οὐδὲ δημοσίων ἢ συμβουλευτικῶν· ἡ γὰρ διαφορὰ τῶν πραγμάτων καὶ τὰ εἴδη[38] μετέβαλε, τούτου δὲ τοῦ λόγου τοῦ πολιτικοῦ εἰπὼν δὶς ὁποῖον δεῖ εἶναι τὸν πολιτικὸν διαστέλλει λοιπὸν αὐτὸν εἰς τὰ προῤῥηθέντα παρ' ἡμῶν ἤδη. τινὲς δέ φασι περὶ τοῦ πανηγυρικοῦ, οὐ κυρίως λέγεσθαι πολιτικὸν, ἀλλὰ τὸν Ἰσοκράτην[39] νεωτερίσαντα πρῶτον ἐφευρεῖν, ἀγνοοῦντες, ὡς

σθον.

34 Par. Vind. ὀλέσθρον. 35 Vol. VII. in Parr. omisso ἔτι καὶ habet: Μέγα, ὡς ἀληθῶς, Ἑρμόγενες — — σκληρότητι. Sicel. ἔτι καὶ μεγάλη. in Par. ad marg. adjectum est: δύναμις. 36 Par. Vind. ἐπιπότητα. 37 Litt. ιά. vide Vol. V. p. 553. v. 18 – 20. 38 Vind. Par. ἤδη. 39 in Par. Vind. supra lineam: Σωκράτην.

πρὸ Ἰσοκράτους ἦν ἐπὶ Γοργίου, ἐξ οὗ καὶ πρῶτος πανηγυρικὸς ἐκλήθη. σημείωσαι [40] δέ, ὅτι ὁ Δημοσθενικὸς καθόλου χαρακτὴρ εὔτονός ἐστι τῇ φράσει καὶ στρογγύλος καὶ συνεστραμμένος καὶ τοῖς διλημμάτοις χαίρων καὶ μετὰ τοῦ σεμνοῦ τὴν χάριν ἔχων καὶ συνεχής.

ιγ'. Οὐ περὶ [41] τοῦδε ἢ τοῦδε λόγου τοῦ καθολικοῦ ἢ [42] δημοσίου Δημοσθενικοῦ, ἢ ἰδιωτικοῦ, ἀλλὰ ἁπλῶς περὶ παντὸς λόγου Δημοσθενικοῦ καὶ τοῦ χαρακτῆρος αὐτῶν· ταὐτὸν δὲ εἰπεῖν καὶ περὶ πολιτικοῦ· ὁ γὰρ Δημοσθενικὸς καὶ ἄριστος πολιτικὸς καὶ τὸ [43] ἔμπαλιν.

Δεινότητος [44] τῆς καὶ οὔσης καὶ φαινομένης μάλιστα, τῆς δὲ μὴ οὔσης μέν, δοκούσης δὲ οὐδαμῶς, λέγει δὲ τῆς κατὰ λέξιν.

ιδ'. Τῆς οὔσης καὶ φαινομένης μετρίως, τῆς δὲ μὴ οὔσης μέν, δοκούσης δὲ οὐδαμῶς. λέγει δὲ τῆς κατὰ τὴν λέξιν.

ιε'. Ἀκριβέστερον περὶ τοῦ πανηγυρικοῦ [45] μικρὸν ὕστερον λελέξεται· τάχ' ἂν [46] οὐχ εὑρεθείη ἐν τῷ πολιτικῷ λόγῳ τὸ τοιοῦτον εἶδος· οὐδὲ γὰρ ἀγωνιστικόν ἐστιν, ἀλλ' ἐπιδεικτικόν, καὶ οἱ παλαιοὶ ῥήτορες τὸ παράπαν οὐκ ἐχρῶντο αὐτῷ τούτῳ τῷ τρόπῳ, ᾧ νῦν κέχρηνται. ἀλλὰ πρῶτος Ἰσοκράτης ἐνεωτέρισεν, γράψας ἐγκώμια· καὶ περὶ μὲν τούτου ἅλις.

ις'. Ὁ συμβουλευτικὸς λόγος γίνεται ἐκ τῶν τὸ μέγεθος ποιουσῶν πασῶν ἰδεῶν, δεινότητος τῆς καὶ φαινομένης [47] καὶ τῶν ἄλλων τοῦ πολιτικοῦ, χωρὶς τοῦ

---

40 Σημείωσαι δὲ sqq. usque ad litt. ις'. ad finem exstant in Vol. VII. — σημείωσαι Mon. om. 41 Litt. ιγ'. abest a Mon. Vol. VII. 42 Par. Vol. VII. εἴτουν. 43 τὸ Par. Vol. VII. om. 44 Par. 1. Vol. VII. eadem repetit inter schol. minora, ut Sicel. sub litt. ιδ'. 45 Vol. VII. μικρὸν ὕστερον περὶ τοῦ πανηγυρικοῦ. 46 Vol. VII. τάχα δ' ἄν. 47 Sicel. habet

ἤθους. δεῖ γὰρ εἶναι καὶ φαίνεσθαι τοιοῦτον τὸν συμβουλευτικὸν διὰ τὸ ἀξιωματικὸν εἶναι, καὶ πρόδηλος ἡ αἰτία, καθὰ ἐν τοῖς φθάσασι δεδηλώκαμεν· δεῖ γὰρ τὸν σύμβουλον τὸν ἐπιμελόμενον τῶν κοινῶν ἀξιωματικὸν εἶναι καὶ μέγα φρονεῖν, ἐπὶ δεινότητι λόγων, ὅπως ἀξιόπιστος φανείη σύμβουλος καὶ τὸ μέλλον σαφῶς ἐπιστάμενος. δι' ἃ δὴ καὶ τὰ ἄλλα πάντα ἕξει, ἃ τὸν κάλλιστον τῶν πολιτικῶν λόγων δεῖν ἔφαμεν ἔχειν, ἤθους δὲ πλὴν ὅσον ἐπὶ βαρύτητι καὶ τοῦ κατ' εἰρωνείαν σφοδροῦ[48] μετρίως μεθέξει. ἡ γὰρ εἰρωνεία τὸ ἐναντίον τῶν λεγομένων δηλοῖ. οἷον ὑπὸ τῶν χρηστῶν τούτων πῶς ἔχει τὰ πράγματα,[49] δι' ἃ δὴ καὶ ἁρμόττει τῷ συμβουλευτικῷ λόγῳ ὡς ἐλάχιστα· ὁ νοῦς δέ·[50] ἤθους δὲ ὁ συμβουλευτικὸς μετρίως μετεχέτω πλὴν τοῦ κατ' εἰρωνείαν σφοδροῦ καὶ τοῦ ἤθους, ὅσον ἐστὶν ἐπὶ βαρύτητι· τούτων γὰρ μετεχέτω.

Ὁ συμβουλευτικὸς[51] ἐκ τῶν τὸ μέγεθος ποιουσῶν ἰδεῶν πασῶν. δεινότητός τε τῆς οὔσης καὶ φαινομένης καὶ τῶν ἄλλων τοῦ πολιτικοῦ χωρὶς τοῦ ἤθους.

ιζ'. Ἀξιωματικὸν οὐχ ὅτι μεγαλοπρεπὴς μόνον ἀλλά τι καὶ ἀξιοῖ τόδε τι γίνεσθαι.

ιη'. Ἤθους δὲ ὁ συμβουλευτικὸς μετρίως μετεχέτω πλὴν τοῦ κατὰ εἰρωνείαν σφοδροῦ, καὶ τοῦ ἤθους ὅσον ἐστὶν ἐπὶ βαρύτητι· τούτων γὰρ μάλιστα μετεχέτω.

ιθ'. Οἱ πέντε λόγοι, ἐπειδὴ συμβουλευτικοί, εἰσὶ καὶ οἱ Φιλιππικοί.[52]

κα'. Ὁ μέντοι δικανικὸς κάλλιστος· τὸν ἰδιωτικὸν λέγει, καίτοι περὶ δημοσίων ἔχοντα τὴν ζήτησιν· περὶ γὰρ τοῦ πολιτικοῦ πανηγυρικοῦ τοῦ ἐν ζητήμασι πο-

---

supra lineam: οὔσης. 48 Vol. VII. σφοδροῦ γε. 49 Ol. III. p. 35. 50 ὁ νοῦς δὲ — μετρίως μετεχέτω Par. 1. Vol. VII. om. 51 Eadem repetitio est in Parr. Vol. VII., abest a Mon. 52 Litt. κ'. vide Vol. V. p. 554. v. 9—12.

λιτικοῖς καὶ τοῦ καθ' ἑαυτόν. Ἄλλως.[53] ὁ δικανικὸς[54] γίνεται ἀνάπαλιν τῷ συμβουλευτικῷ, πλὴν εἰ μὴ ἐπὶ δημοσίων καὶ μεγάλων πραγμάτων, καὶ συμβουλῆς ἐγγὺς, ὡς ὁ[55] κατὰ Ἀριστοκράτους· τότε γὰρ ἀξιωματικὸς γίνεται σχεδὸν ὡς ὁ συμβουλευτικός.

κβ'. Ἀλλ' ὁ ἰδιωτικὸς συμβουλευτικὸς οὕτως γίνεται· ἦθος ἐπιεικὲς καὶ ἀφελὲς, μέγεθος περιβλητικὸν μόνον, καὶ τοῦτο ἐξ ἐννοίας μόνης, τῶν δὲ ἄλλων ὡς ἐλάχιστα, σφοδρότης ἔστιν ὅπου, τοῖς δὲ λοιποῖς μέρεσι τοῦ πολιτικοῦ χρῆται ὁ συμβουλευτικός.

κβ'. Ἤθους τε γὰρ καὶ τοῦ κατ' ἐπιείκειαν· ἐγράφη ὄπισθεν ἡ ἐξήγησις, ἔνθα ἐστὶ σημεῖον τὸ κβ' ψηφίον.[56]

κδ'. Τῶν πανηγυρικῶν λόγων τὸν κάλλιστον καὶ Πλατωνικὸν ποιοῦσιν αἱ τὸ μέγεθος ἐργαζόμεναι πᾶσαι πλὴν τραχύτητος καὶ σφοδρότητος· διὰ πασῶν δὲ ἡ ἀφέλεια, καὶ πανταχοῦ μὴ ἐλαττουμένη αὐτῶν μηδὲ εἰς ποσότητα, πλὴν ὅταν δέοι καθαρῶς ἐξᾶραι τὸν λόγον εἰς σεμνότητα, γλυκύτης δὲ[57] ἐγκαίρως ἐνταῦθα μάλιστα καὶ ἐπιμέλεια, οὐχ ἡ κομμωτικὴ, ἀλλ' ἡ ἁβρὰ καὶ ὡραία.[58]

κέ. Οὐχ ὡς[59] ἐν ζητήμασι πολιτικοῖς αὐτὸς διδάξει σε μετ' ὀλίγον ὁ τεχνικὸς τίς ὁ ἐν ζητήμασι πολιτικοῖς λόγος πανηγυρικός· παράδειγμα θεὶς ἀμφισβητοῦντας Ἀθηναίους[60] καὶ Λακεδαιμονίους[61] μετὰ τὰ Μηδικά.

κς'.

---

53 Haec et sqq. usque ad litt. κέ. exstant in Vol. VII. excepta litt. κβ'. 54 Vol. VII. ὁ δικ.[?] λόγος. 55 Sicel. in Par. Vind. τό. Vol. VII. ὁ. 56 Litt. κγ'. vide Vol. V. p. 554. v. 13—19. 57 δὲ Vol. VII. in Mon. et Par. 2. om. tum Mon. εὐκαίρως. Par. 2. ἀκαίρως. 58 Vol. VII. addit: δεινότης ἡ κατὰ μέθοδον ἥκιστα, πλὴν εἰ μὴ αὐτὸ τοῦτο ἐπιτηδεύοι τις εἶναι δεινὸς, ὡς ὁ Σωκράτης ἐν τῷ Φαίδρῳ Πλάτωνος, γοργότης ἐπ' ἐλάχιστόν γε, ἀλλὰ ὡς συμβουλευτικὸς καὶ δικανικός. 59 Litt. κέ. non est in Mon. Vol. VII. 60 Vol. VII. τοὺς Ἀθην. 61 Vol. VII. addit: τῆς

κς'. Ὁ τοίνυν κάλλιστος πάντων· τὸν Πλατωνικὸν λέγει, ὃς οὐκ ἔχει πρόσωπα διωρισμένα, διὸ καὶ πάσας τὰς ἰδέας δέχεται, οὐχ ὁμοῦ καὶ συγκεκραμένως, ἀλλ' ἑνὸς ἑκάστου τῶν προσώπων ἰδίαν καὶ κεχωρισμένην καὶ καθ' ἑαυτήν.

Ἐλλείπει [62] εἰκότως ἥ τε τραχύτης καὶ ἡ σφοδρότης· οὐ γὰρ κινεῖται πρὸς πάθος ὁ λέγων διὰ τὸ μὴ ὑποκεῖσθαι πρόσωπα, πλὴν εἰ μή τις ἐν τοῖς ἀμοιβαίοις λέγει τῶν πανηγυρικῶν ἔχειν χώραν τήν τε τραχύτητα καὶ τὴν σφοδρότητα. ἄλλως τραχύτητα διὰ τὰ πρόσωπα. ἀμοιβαῖον δὲ εἶδος συμμεμιγμένον ἐπιεικεῖ, καὶ τραχὺ καθ' αὑτό· [63] καὶ οὐ κατὰ κρᾶσιν ἡ πρὸς τὸν Ἔπαρχον τοῦ μεγάλου διάλεξις.

κζ. Δεινότης δὲ ἡ μὲν κατὰ μέθοδον καὶ αὐτὴ πρὸς τὰ πρόσωπα, ὡς ὁ Τίμαιος ἐν Πλάτωνι μάλιστα χρώμενος καὶ τῇ σεμνότητι. τὸ αὐτὸ καὶ ἐν τῷ περὶ ψυχῆς πρὸς τὸν Φαίδωνα [64] καὶ πρὸς τὸν ἐρωτικόν. καὶ ἁπλῶς οὗτος ὁ λόγος ἀνάγκην ἔχει ἕνα ἕκαστον τῶν διαλεγομένων μιμεῖσθαι. εἰκότως δὲ γοργότητος ἀμοιρεῖ διὰ τὰς ἀφηγήσεις, οὔσας λόγου σεμνοῦ, ἐν τοῖς ἀμοιβαίοις, ἐν ταῖς ἀπολογίαις ταῖς πρὸς τοὺς ἐρωτῶντας.

Ἄλλως· τοῦ [65] πανηγυρικοῦ κ. τ. λ. Vol. V. p. 554. v. 22 — 25.

πομπείας. 62 Ἐλλείπει εἰκότως — — καὶ τὴν σφοδρότητα habet Vol. VII. 63 Vind. αὐτόν. scr. αὐτό. 64 Vind. Φαῖδρον. scr. Φαίδωνα. 65 ib. Sch. min. Πεζῇ λέξει· ὁ μὴ ποιητικὸς καὶ ἔμμετρος. Μέγεθος ποιούσαις· σεμνότητι καὶ περιβολῇ, λαμπρότητι καὶ ἀκμῇ. Πλὴν ὅπου καθαρῶς· ὅπου περὶ θεῶν τυχὸν λέγομεν, ἐκεῖ γὰρ οὐ δεῖ νηπιόν τι λέγειν. Καιρὸν ἐνταῦθα· σημείωσαι, πῶς δεῖ νοεῖν τὸν καιρὸν ἔνθα φνῇ. Ὥσπερ τῷ Πλάτωνι· παρὰ τῷ Πλάτωνι. Ἀμοιβαίοις· οὗτοι καὶ τμητικοὶ καὶ διαλεκτικοί εἰσι. ibid. ἐν δὲ τοῖς διαλόγοις. Τῆς φαινομένης· τῆς κατὰ λέξιν. Οὐκέθ' ὁμοίως ὁ πανηγυρι-

κή. Ἐν ἄλλοις λόγοις, πρὸς ἄλλους τινὰς, οὕσπερ ἐν ἐκείνῳ φησὶ πρὸς τὸν Φαῖδρον, φαίνεται τῇ οὔσῃ καὶ φαινομένῃ δεινότητι χρησάμενος ὁ Πλάτων, μιμούμενος τὸ ὑποκείμενον πρόσωπον ἐνδείκνυσθαι βουλόμενον τὴν τοιαύτην δεινότητα.[66]

Ὅτι [67] ἔστι καὶ πανηγυρικὸς ἀμοιβαῖος διὰ τούτου τοῦ χωρίου ἐδίδαξεν ὁ τεχνικὸς, πολλῆς περὶ τούτου τοῖς παλαιοῖς ἀμφισβητήσεως γενομένης.

λά. Καὶ τὰ ἀμοιβαῖα, φησὶν, οὐ μόνον δέχονται ταῦτα τὰ εἴδη, τὴν τραχύτητα, τὴν σφοδρότητα καὶ τὰ τῆς δεινότητος εἴδη πάντα, ἀλλὰ καὶ τὰ ἄλλα ἀναλόγως τοῖς ὑποκειμένοις προσώποις εἰς μίμησιν.

λβ. Διὰ τὸ μιμητικὸν καὶ δραματικόν· μιμητικὸν μὲν τῷ πρόσωπα μιμεῖσθαι καὶ τὰς αὐτῶν ποιότητας· δραματικὸν δὲ, ὅτι τὰ πλείω πεπλασμένα ἐστὶ, μᾶλλον δὲ πάντα, ὡς καὶ τὰ δράματα τὰ ποιητικὰ ἰδίᾳ μὲν χωρίζουσι τὰς ἰδέας, ἰδίᾳ δὲ τὰς διαφορὰς τῶν προσώπων. Ἄλλως· τὰ [68] ἀμοιβαῖα, φησὶ, καὶ αὐτὸ τοῦτο δραματικὰ [69] καὶ μιμητικὰ οὐ μόνον τὰ προειρημένα εἴδη ταῦτα δέχεται, ἀλλὰ καὶ τὰ λοιπὰ πάντα, ὅσα τοῦ πολιτικοῦ ἐστι λόγου· συμμορφάζεσθαι γὰρ ἀνάγκη τοῖς

κός· οὐ Πλατωνικὸς ἀλλὰ ῥητορικός. Κατὰ ταύτην εἶδος· τὰ ἑξῆς· ὡς οὖν ἐν αὐτῇ καὶ τί κράτιστον κατ' αὐτὴν εἶδος, οὐχ ὁμοία ἡ διοίκησις. Τεχνικῶν εἰδῶν· τοῦ ἀρίστου πολιτικοῦ, τοῦ ἀρίστου πανηγυρικοῦ, περὶ ὧν προεῖπεν. Λέγω δ' ἴσως ταὐτόν· εὖγε, Ἑρμόγενες, ὡς ἄριστα συνελογίσω. — Συμπεράσματι ἔοικεν συμπόσιον ὅλον Ὁμήρου. Περὶ πανηγυρικοῦ λόγου· τοῦ κατὰ λογογραφίαν. Ἐκτράπελα· τὰ ἐκτραπέντα. ib. ἐκτετραμμένα καὶ ὁμολογουμένης φύσεως. 66 Litt. κθ' et λ', vide Vol. V. p. 555. v. 5—13. 67 Ὅτι ἔστι καὶ πανηγ. — γενομένης Mon. Vol. VII. non habet. 68 τὰ ἀμοιβαῖα sqq. usque ad litt. λγ'. Vol. VII. habet in codd. Parr. 69 Sicel. δραματικὸν καὶ τμητικόν. correxi ex Vol. VII.

ὑποκειμένοις προσώποις, ὥστε οὐδὲ κρᾶσις ἢ μίξις τῶν ἰδεῶν γίνεται, ἀλλὰ κεχωρισμέναι εὑρίσκονται.

λγ΄. Καὶ ὡς μὲν ἐν λογογραφίᾳ· λογογράφοι λέγονται οἱ μὴ ἔχοντες πρόσωπα καὶ τόπους ὡρισμένους. ῥήτορες δὲ κυρίως καὶ πολιτικοὶ οἱ ἔχοντες τὰ πολιτικὰ ζητήματα καὶ πανηγυρικά· ὡς ἐν τῇ προτελείᾳ εἰρήκαμεν.

λδ΄. Ἐν τοῖς[70] πανηγυρικοῖς ζητήμασιν ἁρμόττουσιν· αἱ ἰδέαι τοῦ συμβουλευτικοῦ, πλεοναζούσης μέντοι τῆς λαμπρότητος καὶ σεμνότητος.

λε΄. Μετὰ τὸ καθελεῖν τὸν Ξέρξην καὶ Μηδικὴν στρατιὰν Ἀθηναίους καὶ Λακεδαιμονίους ἀμφισβήτησις αὐτοῖς γέγονε κατὰ τὴν πομπὴν τῶν ἐπινικίων τροπαίων, ποῖον ἄρα τῶν δύο δήμων χρὴ προπομπεύειν· ἔστι γοῦν[71] ὁ λόγος πολιτικὸς πανηγυρικός· πολιτικὸς μέν, ὅτι ἀμφισβήτησιν ἔχει· πανηγυρικὸς δέ, ὅτι δι' ἐπαίνων καὶ ψόγων ἐστὶν ἡ ὅλη αὐτοῦ διαρτία· ἀνάγκη γὰρ ἑκάτερον τῶν μερῶν ἐξαίρειν μὲν τὸ οἰκεῖον, μειοῦν δὲ τὸ ἐναντίον. ἔστιν οὖν ὁ τοιοῦτος καὶ μικτὸς τοῖς εἴδεσι κατὰ τὸ ἀναγκαῖον.

λϛ΄. Σχεδὸν εἶπε διὰ τὰς τραχύτητας· ἐπ' ἔλαττον γὰρ ἐν τούτοις αὗται καὶ τὸ ἐπιεικές· μᾶλλον δὲ αἱ ἄλλαι· καὶ τοῦ μεγέθους μάλιστα ἡ λαμπρότης καὶ ἡ ἀκμή, καὶ ἔτι ἡ σεμνότης, διὰ τὸ ἀξιωματικὸν καὶ πομπικόν, καὶ γαῦρον καὶ ἀνενδοίαστον. ὡς δὲ κατὰ λογογραφίαν προσεκτέον νῦν, ὅτι οὐκ ἀξιοῖ πολιτικὸν καλεῖν τὸν Πλατωνικὸν εἰκότως· οὐ γὰρ ὑπὲρ πόλεως προδήλως καὶ ὡρισμένως οὐδὲ ἀγωνιστικῶς καὶ πνευματικῶς καὶ περιοδικῶς ἐκφέρεται.

λζ΄. Οὐ γὰρ[72] ἕνεκεν ἡδονῆς ὁ ἐν πολιτικοῖς λό-

---

70 Litt. λϑ΄. est in Vol. VII. Mon. et Parr. Litt. λέ., in Par. 2. 71 Vol. VII. ἔστιν οὖν cfr. Vol. V. p. 555. v. 16. 72 Litt. λζ΄—λή. est in Vol. VII.

γοις[73] πανηγυρικὸς γίνεται λόγος, ἀλλὰ χρείας, δι' ἃ δὴ πανηγυρίζειν δοκεῖ ἐπὶ τοῦ συμβουλευτικοῦ.

λή. Ὁ πολιτικὸς πανηγυρικὸς λόγος χρῆται μὲν πᾶσι τοῖς εἰρημένοις περὶ πανηγυρικοῦ πολιτικοῦ, ἔχει δὲ καὶ ἴδιά τινα, οἷς ὁ συμβουλευτικὸς καὶ δικανικὸς ἥκιστα χρήσεται ἢ σπανιώτατα, καὶ οὐχὶ ἅπασιν, ἀλλά τισιν, ὁ δὲ καταλογάδην πανηγυρικὸς χρῆται μὲν σχεδὸν ἅπασιν, ἀλλὰ μετά τινος παραμυθίας· τὰ δὲ ἴδια[74] αὐτοῦ τάδε τὰ μέτρα. αἱ μυθικαὶ ἔννοιαι, οἷον περὶ θεῶν ἀνθρωπίνως λεγόμεναι, καὶ τὰ περὶ ἀνθρώπων παραδοξολογούμενα· ἢ τινῶν ἄλλων ζώων μυθικά· καὶ τὰ ὑπὲρ ἀνθρώπου φύσεως[75] λεγόμενα, ὡς γέγονε καὶ τὸ φάσκειν τὰ ἄψυχα παρὰ θεοῖς ἔχειν αἴσθησιν, ἀφελὲς δὲ καὶ οὐ μόνον ποιητικὸν ἀλλ' ἤδη καὶ πολιτικόν πως· τὸ λεπτολογεῖσθαι περὶ τῶν κατὰ μέρος· οἷον ὁ δεῖνα τὸν δεῖνα οὕτως ἀπέκτεινεν, ὅτι κύμβαχος ἔπεσεν. αὗται δὲ ἐν ἱστορίαις ἀφέλειαν ποιοῦσι, πλὴν εἰ μή τις βούλοιτο ἀφελῶς ἱστορίαν γράφειν· μέθοδος δὲ ἰδία μία ποιήσεως τὸ μὴ δοκεῖν ἀφ' ἑαυτῶν λέγειν, ὅσα λέγουσιν, ἀπὸ δέ τινος τῶν θεῶν. λέξις δὲ Ὁμηρικὴ σχήματα ἴδια οὐκ ἔχει, ἀλλὰ χρῆται τοῖς τοῦ πανηγυρικοῦ, ὡς ἂν τὸ μιμητικὸν ἀπαιτοίη· τὰ δὲ λοιπὰ τέσσαρα, ἕως μὲν ἐφ' ἑαυτῆς μένῃ[76] ἡ ποίησις, πρὸς τὸ ὑποκείμενον μέρος λαμβάνει· ἐὰν δὲ περὶ Ὁμήρου λέγωμεν, δεῖ τοῦτο προσθεῖναι, ὅτι ὡς ἂν μιμῆται τοῦδέ τινος ἦθος,[77] ἢ αὐτὸς ἀφ' ἑαυτοῦ τοιόνδε πρᾶγμα ἐξαγγέλλῃ, οὕτως χρήσεται· καὶ γὰρ παντοδαπὸν ῥυθμὸν καὶ ἀναπαύσεις ἔστιν εὑρεῖν παρ' αὐτῷ, καὶ διαφόρων μέτρων συνθήκας, τοῦτο δὲ συμβαίνει διὰ τὸ πλῆθος τῶν τοῦ ἑξαμέτρου σχημάτων· ἔστι γὰρ λβ, ὥς οἱ[78] γραμματικοί φασιν.

ἴ ια

73 λόγοις Vol. VII. om. 74 Par. Vind. εἴδη. 75 Vind. φύσιν. Vol. VII. Mon. φύσεως. 76 Vol. VII. in Mon. Par. 2. μένοι. 77 Vol. VII. Mon. εἶδος. 78 ὡς οἱ γραμματικοὶ φα-

λθ'. Ὡς δ' ἐν ποιήσει πανηγυρικὸν πρᾶγμα· πανηγυρικὸν δὲ λέγει καὶ τὰ ποιήματα· οὐ διότι ἔχουσιν ἐγκώμια καὶ ψόγους μόνον, ἀλλὰ διότι καὶ ἐνήδονα καὶ ἐπαγωγὰ καὶ γλυκέα καὶ τὴν ψυχὴν διαχέοντα πρὸς εὐφροσύνην καὶ ἡδονήν· καὶ πρὸς τὰ ἐναντία διὰ τὰ τραγικά· καθάπερ καὶ οἱ ἐπιτάφιοι.

μ'. Καὶ τὴν αὐτὴν ἀναλογίαν κατὰ τοὺς γεωμέτρας μέλλων ἐνδείξασθαι περὶ τὸν κατὰ ποίησιν πανηγυρικὸν κάλλιστον εἶναι τὸν τοῦ Ὁμήρου, τὴν γεωμετρικὴν ἀναλογίαν παραλαμβάνει καὶ σώζειν φησὶ κατὰ τὴν ἀντιστροφὴν τὴν αὐτοῦ ποίησιν· γεωμετρικὴν δὲ εἶπεν, ὅτι ἔστι καὶ μουσικὴ καὶ ἀριθμητικὴ ἀναλογία, ἀναλογία δέ ἐστιν ἁπλῶς ἡ τοῦ ὁμοίου παράθεσις ὡς ὅποι μὴν καὶ τὰ πρόβατα ὁ βασιλεὺς πρὸς τὸν λαόν· μαθηματικὴ δὲ ἀναλογία ἐστὶ λόγων πλειόνων πρὸς ἀλλήλους ὁμοιότης, ἢ ταυτότης ἐν πλείοσιν ὅροις· ὅροι δὲ τοὐλάχιστον τρεῖς ποιοῦσι τὴν ἀναλογίαν· ἔστωσαν γὰρ ἀριθμοὶ ιβ' καὶ ς' καὶ γ' κατὰ τὸν διπλάσιον λόγον· ὁ ιβ' τοίνυν ἔχει τὸν ς' διπλασίως, καὶ ὁ ς' τὸν τρία καὶ ἐν ἐπιτρίτῳ ὁ ιβ' τὸν θ', ὅλον αὐτὸν δηλονότι τὸν θ', καὶ τὸ τρίτον αὐτοῦ τὰ γ'. ὁ ὀκτὼ τὸν ς' καὶ τὸ τρίτον αὐτοῦ τὰ δύο, ἅ εἰσι τέταρτος ὅρος τοῦ η'. ἡ μὲν οὖν ἀναλογία τοιαύτη ἐστί· λόγος δέ ἐστιν ὁ κατὰ ἀναλογίαν δύο ὁμογενῶν πρὸς ἀλλήλους ποιὰ σχέσις. ὁ ς' πρὸς τὸν τρία διπλασίως· διαφέρει δὲ, ὅτι ἡ μὲν ἀναλογία τὰς τῶν ὁμοίων ἔχει παραθέσεις, ὁ δὲ λόγος συνάγει τῶν ὁμοίων τούτων εἰς ταὐτὸν τὰς σχέσεις. σχέσιν γὰρ ἔχει ὁ ποιμὴν πρὸς τὰ πρόβατα, καὶ ὁ βασιλεὺς πρὸς τὸν λαόν· ἥνωσε γὰρ τὰς δύο ὁμοιότητας τῶν σχέσεων· ἀναλογία δὲ γεωμετρική ἐστιν, ὅταν τριῶν ὅρων τεθέντων, οὗ ὑπερέχει ὁ μέσος, τῷ αὐτῷ ὑπερέχεται· ἔστωσαν τρεῖς γραμμαὶ ἄνισοι αὗται· ἡ μέση τοίνυν ὑπερέχει τῆς πρώτης τῷ ἡμίσει·

σὶν Mon. Vol. VII. om.

καὶ πάλιν ὑπερέχει τὴν τρίτην τῷ αὐτοῦ ἡμίσει· φανερώτερον δὲ ἐπὶ ἀριθμοῦ· τὰ γὰρ ή τοῦ τέσσαρα διπλάσιον, καὶ ταῦτα τῶν δύο, καὶ συνάγεται τὰ ἀπὸ τῶν ἄκρων συντεθὲν ἴσον τῷ [1] ἀπὸ τοῦ μέσου· ἄκροι οὖν εἰσιν ὁ ὀκτὼ καὶ δύο· μέσος δὲ ὁ τέσσαρα· δύο οὖν ή, ιϛ', καὶ τετράκις τέσσαρα ιϛ'. ἐπεὶ [2] οὖν ἀπὸ [3] τῶν ἄκρων ἀντιστρέφει, διὰ τοῦτο καὶ τὸν Ὅμηρον καὶ Πλάτωνα καὶ Δημοσθένην σώζειν φησὶ τὴν γεωμετρικὴν ἀναλογίαν. Ὥσπερ [4] ἀναλογεῖ τὰ δύο τοῖς τέσσαρσιν, οὕτως ἀναλογεῖ τυχὸν ὁ πολιτικὸς ἄριστος τῷ Δημοσθενικῷ· καὶ ὥσπερ ὁ πολιτικὸς ἄριστος τῷ Δημοσθενικῷ, οὕτως ἀναλογεῖ ὁ πανηγυρικὸς ποιητικὸς [4*] ἄριστος τῷ Ὁμηρικῷ· διὸ καὶ ἀντιστρέφει κατὰ τὸν Δημοσθενικὸν καὶ Πλατωνικόν. — Οἶμαι ἀντιστρέφει· κατὰ τὸν λόγον τῆς ἁπλῆς ἀντιστροφῆς οὐκ ἀναστρέφει· ἁπλῆ γὰρ ἀντιστροφή ἐστι κατὰ τοὺς φιλοσόφους, καὶ μήτις ἡμᾶς ἀκαιρίας αἰτιάσθω καὶ παρὰ καιρὸν ὑψηλοτέρων λόγων ἐφαπτομένους, κοινωνία δύο προτάσεων κατ' ἀμφοτέρους τοὺς ὅρους· τοῦ μὲν ποιοῦ τοῦ αὐτοῦ μένοντος, τῆς δὲ τάξεως τῶν ὅρων ἐναλλαττομένης μετὰ τοῦ συναληθεύειν. ὅπερ δὴ κἀνταῦθα προφανῶς συμβαίνει, εἰ μή που ἀδιαφόρως ὁ ῥήτωρ τὴν ἀντιστροφὴν ἀναστροφὴν ὠνόμασεν.

μά. Ἀρίστη γὰρ ποίησις ἡ Ὁμήρειος· καὶ πῶς σαφῶς διέξεισι· ῥήτορας μέν, φησί, τοὺς ἐφ' ὡρισμένῳ προσώπῳ λέγοντας συμβούλους ἢ ἐκκλησιαστὰς ἢ πανηγυριστάς, λογογράφους δὲ τοὺς μὴ τοιούτους, ἀλλὰ τοὺς ἁπλῶς γράφοντας καὶ ἱστορικούς· διαφέρει δὲ λογογράφος καὶ λογοποιός, καθὰ ἐκεῖνος μὲν τὰ ὄντα γράφει· ὁ δὲ

---

1 Vind. τό, scr. τῷ. 2 Vind. ἐπί, scr. ἐπεί. 3 Par. ὑπό (ἀ superscr.). Vind. ἀπό. Post ἀντιστρέφει in Vind. est γὰρ quod omisi. 4 ὥσπερ ἀναλογεῖ — — Δημ. καὶ Πλατωνικὸν habet Vol. VII. in Parr. 4* ποιητικὸς Parr. Vol. VII. om.

λογοποιὸς πλαστουργός ἐστι τῶν μὴ ὄντων· ὥσπερ οἱ μῦθοι καὶ αἱ μελέται καὶ τὰ πεζὰ δράματα.

μβ'. Οὔτε[5] λογικὴ τέχνη ἐστί, φησίν, ἡ στρατηγικὴ ἢ τεκτονικὴ τὴν ἀρχήν, ἀλλ' οὐδὲ μὴν περὶ λόγον ἔχει τὴν ἐπιτήδευσιν, ὡς εἴγε ἕν τι τούτων ἐθεωρεῖτο ἐν αὐταῖς,[6] ἤπου πολλῷ τοὺς τοιούτους ὁ ποιητὴς παρελάσας ἐφαίνετο·[7]

μγ'. Καὶ μέτρων διαφόρους τομάς· τομή ἐστι λέξεων εὐπρεπὴς ἀπαρτισμός· τομαὶ δέ εἰσι τέσσαρες, πενθημιμερὶς, ἑφθημιμερὶς, τρίτη τροχαϊκὴ, καὶ τετάρτη βουκολική· πενθημιμερὶς μέν ἐστιν ἡ μετὰ δύο πόδας δακτύλους ἢ σπονδείους ἢ ἄλλους τινὰς εἰς τέλειον μέρος λόγου λήγουσα, ὡς τὸ Κάστορα θ' ἱππόδαμον, δύο γὰρ δακτύλους ἔχει καὶ μίαν συλλαβὴν καὶ αὐτὴν εἰς μέρος λόγου παύουσαν· ὀνομάζονται δὲ οὕτως πενθημιμερὶς μὲν διὰ τὸ τῶν ε' τὸ ἥμισυ ἔχειν· ἔχει γὰρ πέντε συλλαβὰς καὶ δύο, ἅ εἰσιν ἥμισυ τῶν ε'· οἱ γὰρ ῥυθμικοὶ οὐκ ἔχουσι τρία ἢ τέσσαρα ἤ τινα τοιαῦτα ὥσπερ οἱ λογικοὶ, ἵνα λέγωσιν ἥμισυ ἢ τρίτον ἢ τέταρτον ἢ πέμπτον, ἤ τι τοιοῦτον, ἀλλ' ἁπλῶς τέμνουσι τὸ μέτρον τῶν ποδῶν εἰς δύο, καὶ εἰ μὲν ἔχει τὸν πέντε ὅλον καὶ μέρος αὐτοῦ, συλλαβὰς δύο, ταῦτα γὰρ μέρη τοῦ ε', ἥμισυ αὐτοῦ[8] λέγουσιν εἶναι· οὕτως οὖν καὶ ἡ ἑφθημιμερίς· ἔχει γὰρ τὸν ζ' ὅλον καὶ μέρος τι αὐτοῦ, ὃ καλοῦσιν ἥμισυ καταχρηστικῶς· ἢ οὖν διὰ τοῦτο λέγονται οὕτως, ἢ διὰ τὸ ἔχειν τὸν ε' ὅλον καὶ τὸ ἥμισυ μέρος αὐτοῦ· δίελε γὰρ τὸν ε' εἰς τρία καὶ δύο καὶ εἰς δ' καὶ ἕν· ταῦτα γὰρ μέρη τοῦ ε'. ἔχει οὖν ἡ τομὴ ὅλον τὸν πέντε καὶ τοῦ μέρους, τουτέστι τοῦ δ', τὰ δύο ἤτοι τὸ ἥμισυ τοῦ δ', καὶ πάλιν τοῦ ζ' μέ-

---

5 Litt. μβ'. est in Vol. VII. Parr. qui habent οὐδέ. 6 Vol. VII. Par. 1. ἐν αὐτῇ. 7 Sicel. Par. ἐφένετο. 8 Par. οὗ αὐτά. Vind. αὐτὰ οὐ.

ρη δ' καὶ τρία. πέντε καὶ δύο καὶ ς' καὶ ἕν. ἔχει οὖν ἡ τομὴ ὅλον τὸ ζ'. καὶ τοῦ τέσσαρα τὸ ἥμισυ δύο, ὡς ἡ ῥηθεῖσα, ἢ τὸ ἥμισυ τοῦ ς', ὡς αὕτη·

Τὸν δ' ἀπαμειβόμενος προσέφη. [9]

αὗται οὖν αἱ αἰτίαι τῆς ὀνομασίας τῶν δύο τούτων· τροχαϊκὴ δέ ἐστιν ἡ τὸν τρίτον πόδα τροχαῖον ἔχουσα, ὡς τό·

Ἔφαθ', οἱ δ' ἄρα πάντες. [10]

οὐχ ὅτι δέχεται τὸ δακτυλικὸν τροχαῖον, διὰ τοῦτό ἐστι τροχαῖος, ἀλλ' ὅτι ὁ στίχος τμηθεὶς διὰ τῆς τομῆς εἰς τοῦτον κατέληξε· βουκολικὴ δέ ἐστιν ἡ τῶν τεσσάρων ποδῶν τροχαῖον ἔχουσα·

Οὐδὲ κασιγνήτω κρατερῷ περ·

οὕτω δὲ λέγεται διὰ τὸ ταύτῃ χρήσασθαι τοὺς τὰ βουκολικὰ ποιήσαντας ποιήματα, βουκόλους μιμούμενοι, ὡς ὁ Θεόκριτος· ἡ αὐτὴ δὲ λέγεται δ' καὶ τροχαϊκὴ παρ' ἐνίων· αἱ μὲν οὖν ὀνομασταὶ τομαὶ καὶ γνώριμοι τοσαῦται καὶ αὗται, αἱ δὲ ἀφανεῖς καὶ λανθάνουσαι καὶ ποιοῦσαι δοκεῖν τὰ μέτρα πεζὰ καὶ διάφορα τῷ εἴδει πάμπολλαι· ἐν αἷς γὰρ ἀπαρτίζεταί τις ἔννοια καθ' ἑαυτὴν, τομαὶ αὗται λέγοιντο ἂν εἰκότως, εἴτε ὑπερβαίνει τὸν στίχον ἢ τὸν πόδα, εἴτε ὑποβαίνει, ὡς τό· [11]

Πολλὰς δ' ἰφθίμους ψυχὰς Ἄϊδι προΐαψεν
Ἡρώων.

ὑποβαίνει δὲ, [12]

Ἕκτορ υἱὲ Πριάμοιο Διῒ μῆτιν ἀτάλαντε.

εἰς τρεῖς γὰρ τομὰς ἔτεμε τὸν στίχον· αἱ γὰρ κλητικαὶ ὑποστίζονται, διὸ καὶ τὸ ψεν ἡρώων μακρόν ἐστι, πᾶσα δὲ στιγμὴ διανοίας ἐστὶν ἀπαρτισμός· καὶ διὰ οὖν τὰς διαφόρους τομὰς ἄριστος ποιητῶν Ὅμηρος.

μθ'. *Φύσει πάντων ἄριστον μέτρον·* μέτρα εἰσὶν ἁπλᾶ ἐννέα, ἰαμβικὸν, τροχαϊκὸν, αἰολικὸν, χοριαμβικὸν, ἀντισπαστικὸν, [13] ἀναπαιστικὸν, ἰωνικὰ δύο καὶ τὸ δα-

---

9 Il. α. 84. 10 Il. η. 92. 11 Il. α. 2. 12 Il. η. 47. 13 Vind.

κτυλικὸν ὃ πάντων ἄριστον λέγεται· διὸ ἐπὶ τῶν μεγάλων πραγμάτων ᾖδον αὐτὸ οἱ ποιηταί· μεῖζον δὲ τοῦ Τρωϊκοῦ πολέμου οὐδέν· ἀνδρείας γὰρ ἔχει ὑπογραμμὸν καὶ ὑπομονῆς καὶ καρτερίας καὶ δικαιοσύνης καὶ φρονήσεως καὶ μεγαλοψυχίας καὶ πάντων, ὀνομάζεται δὲ οὕτως διὰ τὸ ἀναλογεῖν δακτύλῳ· ἀπὸ γὰρ μακροῦ εἰς βραχὺ ἐπαίρεται· ἔχει δὲ τὸν συγγενῆ σπονδεῖον· διότι τὴν δευτέραν αὐτοῦ συλλαβὴν διαλύοντες δάκτυλον ποιοῦσι, καὶ τὸν δάκτυλον σπονδεῖον· ὀνομάζεται δὲ τὸ μέτρον καὶ ἐπικὸν, διὰ τὸ ἕπεσθαι ἀλλήλοις καὶ συναρτᾶσθαι τοὺς πόδας ἐναρμονίως, καὶ φοιβαϊκὸν διὰ τὸ τὸν Ἀπόλλωνα χρῆσθαι τούτῳ φοιβάζοντα, καὶ τὸ ἡρωϊκόν τε τοῖς ἥρωσιν ἁρμόζειν, οἷς ὁ μὲν δικανικός τε καὶ πανηγυρικὸς ὡρισμένος τοὺς τόπους ἔχει καὶ τὰ πρόσωπα, σπανιώτατα μὲν τὰ ἐπίθετα καὶ τοὺς μύθους, καὶ τὰς ἡδονὰς καὶ τὰς ἐπιμελείας, καὶ τὰς δεινότητας καὶ τὰς εἰσαγωγὰς τῶν προσώπων· πλειστάκις δὲ τροπῆς καὶ μεγέθους καὶ τοὺς σχηματισμοὺς, οὐδόλως δὲ τὰ τερατώδη καὶ ἐρωτικὰ, καὶ τὰ πάθη καὶ τὰ λοιπά.

με. Τὰ ἴδια,[14] φησὶ, ποιήσεως, ἅπερ ἐχομένως ἐρεῖ, ὁ μὲν δικανικὸς καὶ συμβουλευτικὸς οὐδόλως προσίεται, ὁ καταλογάδην μέντοι πανηγυρικὸς, ἀλλὰ μετά τινος παραμυθίας.[15] ἐπικαλοῦμαι γὰρ κἀγὼ γράφων[16] τοὺς λόγους εἰς συνέργειαν,[17] ὥσπερ ὁ ποιητὴς τὰς Μούσας.

μς. Ὁ δὲ ἐν τῷ καταλογάδην, ὡς ὁ Πλατωνικός. καταλογάδην δὲ εἴρηται, διὰ τὸ ἓν ἕκαστον τῶν ὑποκειμένων προσώπων καταλέγειν τὰ δοκοῦντα, τουτέστι κατὰ τὸ δοκοῦν αὐτῷ λέγειν ἢ διὰ τὸ κατὰ λόγον τουτέστιν εὐπρεπῶς ἐρωτᾶν καὶ ἀποκρίνεσθαι, ἢ διὰ τὸ κατὰ λό-

---

ἀντιπαιστικὸν, [conflatum, ut videtur, ex ἀντισπαστ. et ἀναπαιστ.] ἰωνικὸν, δύο καὶ τὰ δακτυλικά. correxi ex conj. 14 Litt. με. est etiam in Parr. Vol. VII. 15 Vind. παραμυθείας, scr. παραμυθίας. 16 Sicel. γράφω. Vol. VII. γράφων. 17 Sicel. Par. et Vol. VII. συνεργίαν.

γον τουτέστι διὰ τὸ κατὰ ἀπαρτισμὸν τῶν ἐρωτήσεων καὶ ἀποκρίσεων ποιεῖσθαι τοὺς λόγους, ἢ διὰ τὸ καταλογάδην ἀθροῖσαι τὰς διαλέξεις· τουτέστι τοὺς ἱκανοὺς τῶν τοιούτων ἐρωτητὰς καὶ ὡς ἂν εἴποιμι ἀποκριτάς.

μζ. Ὁμολογούμενα τὰ σώζοντα τὸ μέτρον, ψιλῆς δὲ τῆς ἀκοῆς τὰ μὴ δοκοῦντα σώζειν, διὰ τὰς τομὰς τὰς ὑπερβαινούσας τὸν στίχον καὶ ὑποβαινούσας ἢ διὰ τὸ εἶναί τινα ἄμετρα καὶ χωλὰ, καθὼς δοκεῖ τισιν, ὡς καὶ τῷ Πλουτάρχῳ. ὡς καὶ τὸ Ἕκτορα, φασὶ, χωλόν ἐστι, τροχαῖος γὰρ ὢν οὐδέποτε χωρεῖ τὸ δακτυλικόν· ἀγνοοῦντες, ὡς καὶ στιγμὴ χρόνον προςτίθησι, καὶ ὡς τὸ Αἰόλου κλυτὰ δώματα· καὶ γὰρ ἐνταῦθα ἡ ὀξεῖα μακρὸν ἐποίησε τὸ βραχύ· ὡς τό·

Τρῶες δ' ἐῤῥίγησαν, ἐπεὶ ἴδον αἰόλον ὄφιν,

τὸ γὰρ ὄφιν, φησὶ, πυῤῥίχιός ἐστιν, ὃν οὐ δέχεται τὸ δακτυλικόν· κἀνταῦθα γὰρ πάλιν οὐ μόνον κατὰ μίμησιν τοῦ ἐπὶ τοῦ ὄφεως πάθους ὁ ποιητὴς τοῦτο ἐξήνεγκεν, ἀλλὰ διότι καὶ ὑπὸ τῆς ὀξείας τὸ βραχὺ μεγεθύνεται, καὶ ἁπλῶς πᾶσα προςῳδία καὶ πᾶσα στιγμὴ τὴν βραχεῖαν μακρὰν ποιεῖ, καὶ τὴν μακρὰν βραχεῖαν, ὡς πολλάκις ἐδείξαμεν ἀπὸ μουσικῆς ὁρμώμενοι· τὰ δὲ ἑξῆς ἅπαντα σαφῆ· χρήσαιτο δ' ἄν τις καὶ ταῖς τερατολογίαις καὶ τοῖς μύθοις στηλιτεύων τοὺς ταῦτα τιμῶντας· ἑτέρως δὲ ἥκιστα, εἰ μὴ ἀλληγοροίη.

μη. Ἄταλλε δὲ κήτε,[18] ἐπ' αὐτοῦ· ἧττον ἔχει ταῦτα τερατολογίας· διότι καὶ χωρὶς τοῦ δαιμονικοῦ μύθου σκιρτῶσι τὰ κήτη καὶ ἡ πόα [19] βλαστάνει.

μθ. Μετά τινος παραμυθίας, ἢ ὡς ἐν ὕπνοις ἰδὼν καὶ τάδε καὶ τάδε ἐπισκήψας, ἢ ποιήσας, ὡς ὁ θεολόγος ἄγει τὴν μητέρα τραφεῖσαν ὑπ' αὐτοῦ· ἢ ἄλλῳ τινὶ προσάπτων τὸν λόγον· ὡς τὸ λέγεται καὶ φω-

---

17 * Il. μ. 208. 18 Par. Vind. μήτ' Med. κῆτε. — Il. N. 27. 19 Vind. ὑπόα.

νὰς ἀγγέλων συμμελῳδούντων ἀκουσθῆναι παραπεμπόντων τὸν Βασίλειον· οὐ μὴν ἀλλ' ἐπὶ τῶν ἁγίων ἀπαραμύθητα καὶ τρανὰ ταῦτα ὡς τό· [20] εἶπε τὸ πνεῦμα τὸ ἅγιον, ἀφορίσατέ μοι Παῦλον καὶ Βαρνάβαν· καὶ ταῦτά μοι λέγει τὸ πνεῦμα τὸ ἅγιον· καὶ τὸ Πέτρε ἀνάστα καὶ θῦσον καὶ φάγε· [21] πάντα γὰρ ταῦτα διὰ τὴν συγγένειαν τῆς καθαρότητος καὶ τὰ τοιαῦτα οὐδεμιᾶς δέονται παραμυθίας, ἀλλ' ἀποφαντικῶς ῥηθήσονται. ἄλλως. Ὡς ἐν διαλέξει [22] τυχὸν τοὺς λόγους ἐπεκαλούμεθα συναγωνίζεσθαι, ἢ ὡς τῶν ποιητῶν τὰς Μούσας ἐπικαλουμένων.

ν'. Κατὰ δὲ τολμητικὰ πρὸς τὰ ὑποκείμενα πρόσωπα καὶ οἱ λόγοι ἁρμοδίως ἐκφέρονται τῷ ποιητῇ καὶ ἡ τέχνη.

να'. Ἕως ἐφ' ἑαυτῆς ἡ ποίησις μένῃ ψιλή· εἰ μὲν πρὸς τὴν ποίησιν αὐτὴν ἀποβλέψεις, φησὶν, καὶ τοὺς ἄλλους ποιητὰς, ῥᾴδιον καὶ ἀληθὲς εἰπεῖν, ὅτι τὰ μέτρα τρίμετρα ἢ τετράμετρα καὶ πεντάμετρα καὶ ἑξάμετρα· περαιτέρω δὲ τούτων στίχων [23] οὐ προβαίνειν ἀπόθεσιν καὶ διάστημα, ἐπὶ δὲ Ὁμήρου, οὐχ οἱ στίχοι κῶλα καὶ τὰ ποιήματα· ἀλλὰ καὶ ταῦτα πρὸς τὰ πρόσωπα διϊστᾷν καὶ τὰ πάθη τούτων μακρότερα ἢ μικρότερα ἢ παρακοπτόμενα ταῖς χασμῳδίαις ἢ βραχὺ καταληκτοῦντα, ἤ τι τοιοῦτον πάσχοντα κατὰ διάθεσιν τοῦ μιμουμένου προσώπου· ῥυθμὸς ἐνταῦθα οὐ τοὺς πόδας, ἀλλὰ τὴν ἀπήχησιν λέγει τῶν στίχων.

νβ'. Τοῦτο δὲ συμβαίνειν δή φησι τὸ διάφορα καὶ ποικίλα γίνεσθαι τὰ κῶλα καὶ τοὺς ῥυθμοὺς καὶ τὰς συνθήκας καὶ τὰς βάσεις καὶ τὰς τομὰς πρὸς τὰ εἰσαγόμενα πρόσωπα καὶ τὰ τούτων πάθη μακρὰ ἢ βραχέα,

---

20 Act. XIII. 2. 21 Act. XII. 7. 22 ὡς ἐν διαλέξει — — — τοὺς Μούσας ἐπικαλουμένων est in T. VII. 23 Vind. στίχον. scr. στίχων.

τραχεῖς ἢ σεμνοὺς ἢ ἀφελεῖς· καὶ τὰς συνθήκας χασμῳδούσας ἢ μὴ καὶ τὰς βάσεις καταληκτικὰς ἢ οὔ· ἐξαιρέτως μὲν διὰ τὸ πλῆθος τῶν σχημάτων τοῦ δακτυλικοῦ ὄντων τριάκοντα δύο· πολλῶν γὰρ ὄντων ῥᾴδιον εὑρεῖν καὶ ἁρμόσαι ἑκάστῳ προσώπῳ καὶ πάθει τὸ οἰκεῖον σχῆμα καὶ ῥυθμοὺς καὶ τἄλλα· ἂν μὲν εἰσάγηταί τι τάχους δεόμενον τὸ πάθος, ὁ λόγος μιμεῖται κατὰ τὴν ἐνέργειαν, καὶ ὁ στίχος ἔσται μονόσχημος·

Οἱ δὲ λύκοι καὶ ἄρνες ὁμόφρονα θυμὸν ἔχουσιν. [24]

εἰ δὲ ἀργίαν τινὰ, μονόσχημος μὲν, μιμούμενος δὲ τὴν τῶν διαλεγομένων στάσιν καὶ τὸ ἄνετον·

Τὼ δ' ἐν Μεσσήνῃ ξυμβλήτην ἀλλήλοιϊν. [25]

εἰ δὲ καὶ τὸν ὑπνοῦντά τις καλοίη,

Εὕδεις Τυδέος [26] υἱὲ δαΐφρονος ἱπποδάμοιο·

ὁρᾷς πῶς ὁ στίχος μιμεῖται τὴν ἐξ ὕπνου ἔγερσιν· ἀπὸ μακρῶν καὶ ὥσπερ ὑπνούντων ἀρχόμενος· ἂν δέ τις ὀργίζηται ἄμετρα καὶ ὑβριστικὰ δοκῇ λέγειν·

Οἰνοβαρὲς, κυνὸς ὄμματ' ἔχων, κραδίην δ' ἐλάφοιο· [27]

καὶ ἕκαστα δὲ πάντα οὕτως πρὸς μιμητὸν ἐξήσκηται· ὡς δ' ἂν ᾖ σοι ῥᾴδιον τὰς τῶν ὑποκειμένων διαθέσεις ἰδεῖν ἀπὸ τῶν σχημάτων καὶ πῶς εἰσι τριάκοντα δύο καὶ διὰ τί, διέξειμί σοι καὶ τὰς μεθόδους αὐτῶν τῆς εὑρέσεως· τὸ δακτυλικὸν μέτρον ἑξάμετρόν ἐστιν, ὡς οἶσθα, καὶ γὰρ ἔχει χώρας ποδῶν· τὴν μὲν οὖν ἕκτην ἀδιάφορον ἔχει πᾶσι τοῖς ῥυθμοῖς ἀποπίπτουσαν, ὡς καὶ τὰ ἄλλα πάντα μέτρα, τὰς δὲ πέντε συγκειμένας ἔχει ἔκ τε δακτύλου καὶ σπονδείου· ἢ πρῶτον δάκτυλον ἢ σπονδεῖον καὶ ἡ δευτέρα καὶ ἡ τρίτη καὶ ἡ τετάρτη καὶ πέμπτη· εἰ μὲν αἱ πέντε δακτύλους ἔχουσι μόνους ἢ σπονδείους μόνους, μονόσχημον τὸ τοιοῦτον εἶδος ὀνομάζεται, καὶ τὰ παραδείγματα ἀνωτέρω εἴρηται· εἰ δ' ἕνα μὲν δάκτυλον, τοὺς

24 Il. χ. 263. 25 Od. φ. 15. 26 Il. β. 23. Ἀτρέος. 27 Il. α. 225.

δὲ λοιποὺς σπονδείους, ἢ τὸ ἀνάπαλιν, ἕνα μὲν σπονδεῖον, τοὺς δὲ λοιποὺς δακτύλους· ἢ σπονδεῖον καὶ δάκτυλον, καὶ περιοδεύει τὰς πέντε χώρας· εἰ γὰρ εἰς τὴν πρώτην χώραν, ἢ εἰς τὴν δευτέραν ἢ εἰς τὴν τρίτην ἢ εἰς τὴν τετάρτην ἢ εἰς τὴν πέμπτην, καὶ ποιεῖ ἀφ' ἑκάστης πέντε σχήματα, δύο μὲν σπονδείους, τρεῖς δὲ δακτύλους, δεκάσχημόν ἐστι τὸ τοιοῦτον· γίνονται οὖν ἀφ' ἑκάστου δέκα περιοδευόντων τὰς χώρας ὁμοῦ τριάκοντα δύο, δύο δέκα εἴκοσι· κείσεταί σοι σαφὴς ἡ μέθοδος μετὰ τῶν παραδειγμάτων, ὅσων ἀναφέρω τῇ μνήμῃ· ὁ εἷς δάκτυλος, οἱ δὲ τέσσαρες σπονδεῖοι· καὶ κεῖται οὗτος ἢ εἰς τὴν πρώτην χώραν ἢ εἰς τὴν δευτέραν·

Ἀργείων κρατέει καί οἱ πείθονται Ἀχαιοί·[28]

ἢ εἰς τὴν τρίτην·

Οἴκοι ἔχειν· καὶ γάρ ῥα Κλυταιμνήστρης προβέβουλον·[29]

ἢ εἰς τὴν τετάρτην·

Εὐρυκρείων Ἀγαμέμνων[30]

ἢ εἰς τὴν πέμπτην· ὁμοῦ οἱ πέντε·

Ἥρως Ἀτρείδης, εὐρυκρείων Ἀγαμέμνων.

εἰ δὲ εἷς σπονδεῖος, οἱ δὲ τέσσαρες δάκτυλοι, κείσεται εἰς τὴν πρώτην·

Οἰωνοῖσί τε πᾶσι, Διὸς δ' ἐτελείετο βουλή·[31]

ἢ εἰς τὴν δευτέραν·

Παῖδα δέ μοι λύσατε, τά δ' ἄποινα δέχεσθε,[32]

ἢ εἰς τὴν τρίτην·

Μῆνιν ἄειδε θεὰ Πηληϊάδεω Ἀχιλῆος·[33]

ἢ εἰς τὴν τετάρτην·

Βῆ δ' ἀκέων παρὰ θῖνα πολυφλοίσβοιο θαλάσσης·[34]

ἢ εἰς τὴν πέμπτην·

Ἀζόμενοι Διὸς υἱὸν ἑκηβόλον Ἀπόλλωνα·[35]

---

28 Il. α. 78. 29 Il. α. 113. 30 Il. α. 101. 31 Il. α. 5. 32 Il. α. 20. 33 Il. α. 1. 34 Il. α. 34. 35 Il. α. 21.

εἴ γε οἱ δύο μὲν δάκτυλοι, οἱ δὲ τρεῖς σπονδεῖοι, κείσονται καὶ οὗτοι ἢ εἰς τὴν πρώτην καὶ δευτέραν χώραν·

Τῆς μὲν ἄρ' Ἀμφίμαχος καὶ Θάλπιος ἡγησάσθην· [36]

ἢ εἰς τὴν πρώτην καὶ τρίτην·

Μάντι κακῶν, οὐπώποτέ μοι τὸ κρήγυον εἶπας, [37]

ἢ εἰς τὴν πρώτην καὶ τετάρτην·

Οὕνεκα τὸν Χρύσην ἠτίμησ' ἀρητῆρα, [38]

ἢ εἰς τὴν πρώτην καὶ πέμπτην·

Μή νύ τοι οὐ χραίσμῃ σκῆπτρον καὶ στέμμα θεοῖο· [39]

ἢ εἰς τὴν δευτέραν καὶ τρίτην·

Τιμὴν ἀρνύμενοι Μενελάῳ σοί τε, κυνῶπα. [40]

ἢ εἰς τὴν δευτέραν καὶ τετάρτην·

Ἔκλαγξαν δ' ἄρ' ὀϊστοὶ ἐπ' ὤμων χωομένοιο· [41]

ἢ εἰς τὴν δευτέραν καὶ πέμπτην·

Ἀτρείδης τε ἄναξ ἀνδρῶν καὶ δῖος Ἀχιλλεύς· [42]

ἢ εἰς τὴν τρίτην καὶ τετάρτην·

Τῶν δ' αὖ Φείδιππός τε καὶ Ἄντιφος ἡγησάσθην. [43]

ἢ εἰς τὴν τρίτην καὶ πέμπτην·

Ἐξ οὗ δὴ τὰ πρῶτα διαστήτην ἐρίσαντε. [44]

ἢ εἰς τὴν τετάρτην καὶ πέμπτην·

Πολλὰς δ' ἰφθίμους ψυχὰς Ἄϊδι [45] προΐαψεν.

ὁμοῦ δέκα· εἰ δὲ δύο μὲν σπονδεῖοι, τρεῖς δὲ δάκτυλοι, κείσονται καὶ οὗτοι κατὰ τὴν αὐτὴν ἀναλογίαν ἢ εἰς τὴν πρώτην καὶ δευτέραν.

Ἡρώων· αὐτοὺς δὲ [46] ἑλώρια τεῦχε κύνεσσιν.

ἢ εἰς τὴν πρώτην καὶ τρίτην·

Κάλχας Θεστορίδης οἰωνοπόλων ὄχ' ἄριστος. [47]

ἢ εἰς τὴν πρώτην καὶ τετάρτην·

Ἀτρείδα δὲ μάλιστα δύω, κοσμήτορε λαῶν· [48]

ἢ εἰς τὴν πρώτην καὶ πέμπτην·

---

36 Il. β. 620. 37 Vind. Par. κρήγιον ἔειπας. Il. α. 106. 38 Il. α. 11. 39. Il. α. 28. 40 Il. α. 159. 41 Il. α. 46. 42 Il. α. 7. 43 Il. β. 678. 44 Il. α. 6. 45 Il. α. 3. 46 Vind. δ' ἑλώρ. — Il. α. 4. 47 Il. α. 69. 48 Il. α. 16

Αἰδεῖσθαί θ' ἱερῆα καὶ ἀγλαὰ δέχθαι [49] ἄποινα.

ἢ εἰς την δευτέραν καὶ τρίτην·

Ἂψ ἀπονοστήσειν αἴ κεν θάνατόν γε φύγοιμεν. [50]

ἢ εἰς τὴν δευτέραν καὶ τετάρτην·

Οὐλομένην, ἣ μυρί' Ἀχαιοῖς ἄλγε' ἔθηκεν. [51]

ἢ εἰς τὴν δευτέραν καὶ πέμπτην·

Στέμματ' ἔχων ἐν χερσὶν ἑκηβόλου Ἀπόλλωνος· [52]

ἢ εἰς τὴν τρίτην καὶ τετάρτην·

Κλῦθί μου, ἀργυρότοξ', ὡς Χρύσην ἀμφιβέβηκας. [53]

ἢ εἰς τὴν τρίτην καὶ πέμπτην·

Οἵ τε [54] Λίλαιαν ἔχον πηγῆς ἔπι Κηφισσοῖο·

ἢ εἰς τὴν τετάρτην καὶ πέμπτην, ὁμοῦ δέκα, πάντες λβ'.

Μηριόνης ἀτάλαντος ἐνυαλίῳ ἀνδρειφόντῃ [55]

καὶ ἄλλως. Πέντε εἰσὶν αἱ χῶραι, καὶ ἑκάστη δύο δέχεται ἢ δακτύλους ἢ σπονδείους, οὐκοῦν πεντάκις πολλαπλασίασον τὰ δύο, καὶ γενήσονταί σοι λβ'. οὕτως ἅπαξ δύο δύο, δὶς δύο τέσσαρα, δὶς τέσσαρα ή. δὶς ή ις'., δὶς ις' λβ'. πέντε τοίνυν αἱ πᾶσαι ἐκθέσεις, αἱ κατὰ τὸν διπλασιασμὸν ποιοῦσι τὰ λβ'. καὶ ἄλλως· τρεῖς εἰσιν αἱ διαφοραὶ, ὡς ἐδείξαμεν, τῶν σχηματισμῶν· μονόσχημα δύο· πεντάσχημα δύο, δεκάσχημα δύο, καθ' ἕνα δάκτυλον καὶ σπονδεῖον, κατὰ δύο δακτύλους καὶ τρεῖς σπονδείους, κατὰ δύο σπονδείους καὶ τρεῖς δακτύλους· λέγω γοῦν· ἅπαξ δύο δύο, δύο τὰ πέντε δέκα, δύο τὰ δέκα εἴκοσι, ὁμοῦ λβ'. διὰ τὸ ποικίλον τοίνυν, ὡς ἔφην, τῶν σχηματισμῶν καὶ τὸ πλῆθος ποικίλος καὶ πρὸς τὰς ποιότητας τῶν προσώπων ὁ ποιητὴς ταῖς μιμήσεσι μεταβάλλεται· ἀλλὰ γὰρ ἄξιον ἀπορῆσαι, εἰ διὰ τὸ πλῆθος τῶν σχημάτων πολυειδὴς ἡ μίμησις γίνεται, ἐχρῆν τοῦ ἰαμβικοῦ πολυειδέστερα γίνεσθαι· χίλια γὰρ κέ σχήματα ἔχει, ὧν ἡ εὕρεσις αὕτη· καὶ γὰρ τοῦτο ἐξ χώρας ἔχει

---

49 Par. Vind. δέχεσθαι. Il. α. 23. 50 Il. α. 60. 51 Il. α. 2. 52 Il. α. 14. 53 Il. α. 37. 54 Par. Vind. ὅτε. tum Par. Λίλαιας. Vind. Λίχαιον. Il. β. 523. 55 Il. β. 651.

τῆς ἕκτης οὔσης ἀδιαφόρου· καὶ δέχεται ἐν μὲν τῇ πρώτῃ καὶ τρίτῃ καὶ πέμπτῃ ἴαμβον, σπονδεῖον, δάκτυλον, ἀνάπαιστον, χορεῖον· καὶ γίνονται αἱ ἐκθέσεις τῶν πολυπλασίων κατὰ τὰς χώρας ε γ ε τρεῖς πέντε· λέγω οὖν ἅπαξ έ έ, τρὶς τὰ πέντε ιέ. πεντάκις τὰ ιέ οέ. τρὶς τὰ οέ διακόσια κέ. πεντάκις τὰ διακόσια κέ χίλια ἑκατὸν εἴκοσι πέντε· τοιούτων ὄντων σχημάτων τοῦ ἰαμβικοῦ, διὰ τί οὐ γίνεται πολυειδέστερα κατὰ τὰς μιμήσεις τῶν προσώπων τοῦ δακτυλικοῦ; φημὶ τοίνυν, ὡς οὐχὶ τὸ πλῆθος μόνον τὰς ποικιλίας τῶν σχημάτων ἐργάζεται, μᾶλλον δὲ οὐδὲ τοῦτο, ἀλλὰ πρῶτον μὲν ἡ διαφορὰ τῶν προσώπων τῶν ὑποπιπτόντων τῇ τοῦ Ὁμήρου ποιήσει· ἔπειτα δὲ καὶ ἡ τοῦ ποιητοῦ ἐπιστήμη καὶ πολυπειρία, ὧν τοῖς ἰαμβικοῖς κατὰ πολὺ τὸ ἐνδέον· διὸ οὐδεὶς Ὅμηρον φθάσαι δύναται· αὕτη οὖν αἰτία πρώτη τῆς ποικιλίας τῆς Ὁμηρικῆς ποιήσεως, ὡς ἐγὼ τίθεμαι, καὶ ἔστιν ἀληθής. Ἄλλως σχήματα λόγων· πρῶτον τίς ὁ λέγων κ.τ.λ. Vol. V. p. 556. v. 20.—p. 560. v. 4.

νγ'. Ὡς διδάσκουσιν, εἶπον, ἡμᾶς οἱ γραμματικοί· ἀλλ' οὐχ ὡς ἐμάθομεν αὐτοί· ὅτι μὴ ἰδία ἡ εὕρεσις γραμματικῶν, ἀλλὰ ἀριθμητικῶν· εἰ γὰρ καὶ μουσική τίς ἐστιν ἡ γραμματικὴ, ἡ δὲ μουσικὴ ἐξ ἀριθμητικῆς ἔχει τὴν σύστασιν, ἀλλ' οὐκ ἴδιον αὐτῆς τοσαῦτα αἰτιολογεῖν τῇ εὑρέσει· δευτέραν δέ φησι τὴν ἀνάπαυσιν τὴν ποιάν· ἥτις ποτὲ μὲν εἰς πόδας καταπαύει τὸ μέτρον, ὡς τὸ οὐλομένην, ποτὲ δὲ καὶ εἰς πόδα· καὶ ἡ μία, ὡς τὸ Ἀτρείδη· ποτὲ δὲ ἄλλως πως, ὡς ἔφην ἐν ταῖς τομαῖς, ὡς καὶ τὸ προκείμενον παράδειγμα· τὸ δὲ ἡρώων, αὐτοὺς δὲ εἰς τροχαῖον κατέληξε· τὸ δὲ αὐτοὺς δ' ἑλώρια μετὰ τὸν σπονδεῖον ἀνάπαιστός ἐστι, τὸ δὲ κύνεσι παίων τρίτος· οὐκ ὄντες τοιοῦτοι· οὐ γὰρ αὐτοὺς δέχεται τὸ μέτρον, ἀλλὰ διὰ τὴν τομὴν, καὶ τὸν τῆς ἐν-

νοίας

νοίας ἀπαρτισμὸν ἐφάνησαν τοιοῦτοι, καὶ ἁπλῶς κατὰ τὰς τομὰς καὶ τὰς ἐννοίας πάντα τὰ μέτρα δέχεσθαι δοκεῖ τὸ δακτυλικὸν ἐφ' Ὁμήρου μόνου.

νδ'. Ἀναπαιστικὸν δέ πως· εἶπε διὰ τοὺς ἁπλῶς ἀκούοντας· ὥσπερ γὰρ καὶ τὸ ἡρώων κρητικὸν ὑπολάβοι τις, ὁ μέντοι τεχνίτης εἰς τὰς καταλήξεις ἀποβλέπων τῶν τομῶν καὶ τῶν ὑποθέσεων εἴσεται, ὡς δοκεῖ μὲν, οὐκ ἔστι δέ· σαφῆ δὲ εἶναι τὴν τούτων εὕρεσίν φησι καὶ ῥαδίαν ἀπό τε τῶν προειρημένων, καὶ ἔτι τῆς μεθόδου τῆς κατὰ δεινότητα, ἐν ᾗ οὐδὲν περὶ τούτων μέμνηται· οὐ χρεία δὲ τρόπον τινὰ πλείονος διδασκαλίας, ὅτι τὰ ἤθη τῶν προσώπων καὶ τὰ πάθη τὴν τοιαύτην διάφορὰν ἀπεργάζεται· ταῦτα διδάξας μέτεισι λοιπὸν καὶ ἐπὶ τοὺς καθ' ἕνα τῶν ῥητόρων χαρακτῆρας, καὶ συντάττει ἀλλήλους, οὐ κατὰ τὴν ἕξιν τῆς ἐπιστήμης, ἀλλὰ κατὰ τὴν συγγένειαν καὶ κοινωνίαν τῆς ἰδέας, καθ' ἣν ἀλλήλοις κοινωνοῦσιν· ἁπλῶς δὲ πολιτικόν φησιν οὐ τὸν ἄριστον, ἀλλὰ τὸν καθόλου καὶ οὗ [56] πάντες μετέχουσι· σαφοῦς δὲ οὔσης τῆς ἐκθέσεως καὶ οὐ δεομένης ζητήσεως ἀναγκαῖον καταπαύειν ἡμᾶς τῆς πρόσω ἐξηγήσεως.

Τίς μὲν [57] ὁ τῶν πολιτικῶν ἄριστος λόγος, τίς δ' αὖ πάλιν τῶν πανηγυρικῶν; ἐδείξαμεν γὰρ, ὡς οὐ σφόδρα πολιτικὸς ὁ τοιοῦτος λόγος, ἀλλὰ μᾶλλον ἁρμόττων λέξει πεζῇ, ὡς ἔστι κατ' αὐτὸν φάναι τὸν τεχνικὸν, καὶ ποιήσει. [58] διδάξας ἀρκούντως ἐν τοῖς φθάσασι μέτεισιν

56 Vind. οὐ. scr. οὗ. 57 τίς μὲν ὁ τῶν πολιτικῶν — — οὐ πάντες ὅμοιοι ex T. VII. recepi. 58 Mon. ποιήσεις. Par. ποιήσει. Sch. m. Ἀπαιτῇ· οὕτω χρῆται τοῖς σχήμασιν, ὡς ἡ μίμησις ἀπαιτεῖ. Τόδε τὸ μέτρον· ἔτι τὸ κῶλον τυχὸν ἤ τι ἄλλο τῶν μερῶν. Καταληκτικὸν λέγεται τὸ ἔχον μίαν περιττὴν συλλαβήν. Στίχων τομάς· μετὰ γὰρ τὸ ἡρώων ἀναπαιστικὸν τὸ μέτρον τοῦ λοιποῦ γίνεται στίχου τοῦ ἐπαγομένου· αὐτοὺς δ' ἑλώρια τεῦχε κύνεσσιν· ὁ γὰρ ἀνάπαιστος ἐναντίως ἔχει τῷ δακτυλι-

ἐπὶ τὸν ἁπλῶς πολιτικὸν λόγον, καὶ οὐ τὸν ἄριστον καὶ Δημοσθενικόν, ἀλλ' οὗ [59] πάντες οἱ λοιποὶ μετέχουσι ῥήτορες, κατὰ δεύτερον καὶ τρίτον λόγον· ὁ γὰρ πολιτικὸς καὶ ἄριστος λόγος ἐκεῖνός ἐστιν ὁ Δημοσθενικὸς, ἐπεὶ καὶ οἱ ποιηταὶ πάντες τοῦ αὐτοῦ μετέχουσιν ὀνόματος, ἀλλ' οὐ πάντες ὅμοιοι.

Cap. XI.

Περὶ τοῦ ἁπλῶς πολιτικοῦ λόγου.

Τοῦ πιθανοῦ· καὶ τοσοῦτον, ὥστε καὶ εἰς τὸ ἀληθὲς μεταπεσεῖν. οὗ δὴ καὶ πάντες· τοῦτό φησι, τοῦ ἁπλῶς καλουμένου πολιτικοῦ λόγου πάντες μετέχουσιν οὓς ὀνομάζομεν πολιτικοὺς, πλὴν ἴσως τοῦ Ἰσοκράτους. Διαφέρουσιν· ἐπειδὴ [1] τούτου πλεῖστον μετέχειν παρὰ τοὺς ἄλλους τὸν Λυσίαν ἔφη, καὶ τὸν Ἰσαῖον καὶ τὸν Ὑπερίδην· καὶ κατὰ τί διαφέρουσιν ἀλλήλων διδάσκει.

Περὶ Λυσίου.

Ὅτι τῷ μὲν Λυσίᾳ· μετὰ τῶν ἄλλων ἃ τὸν ἁ-

κῷ, ἐκ δύο μακρῶν καὶ βραχείας συγκείμενος. Τοὺς προειρημένους· Πλάτωνα, Δημοσθένην, Ὅμηρον. Πάντες μετέχουσιν· τούτου, φησὶ, τοῦ ἁπλῶς καλουμένου λόγου πολιτικοῦ πάντες μετέχουσιν οἷς ὀνομάζομεν πολιτικοὺς, πλὴν ἴσως τοῦ Ἰσοκράτους. ib. ἔχει γὰρ ἐπιτετηδευμένον τὸ κάλλος, ᾧ καὶ πλεονεκτεῖ. Πιθανοί· καὶ τοσοῦτον, εἴτε καὶ εἰς τὸ ἀληθὲς μεταπεσεῖν. Μετὰ τούτων· μετὰ τῶν ἄλλων, ἃ τὸν ἁπλῶς πολιτικὸν ποιεῖ λόγον. ib. μετὰ τῆς σαφηνείας καὶ τῶν ἄλλων. Πρὸς ἐκείνοις· τοῖς ποιοῦσι τὸν πολιτικὸν λόγον. Μονώτατος· ὁ ἀκριβῶς μόνος. 59 Mon. οὐ. scr. οὗ. similiter Vind. infra v. 10.

1 ἐπειδὴ πλεῖστον — — ἀλλήλων διδάσκει habet T. VII.

πλῶς ποιεῖ πολιτικὸν λόγον· τῆς ἐπιμελείας· μετὰ τῆς σαφηνείας καὶ τῶν ἄλλων.

Περὶ Ἰσαίου.

Τῷ δὲ Ἰσαίῳ· πρὸς τοῖς [2] ἄλλοις τοῖς ποιοῦσι τὸν ἁπλῶς πολιτικὸν λόγον κέχρηται, φησὶ, καὶ τῇ γοργότητι δεόντως· ὥστε σχεδὸν πλεονάζειν [3] τῷ καλλίστῳ λόγῳ τῶν πολιτικῶν, ὧν ἔφημεν εἶναι καὶ Δημοσθενικόν· τὸ δὲ ἐπιμελὲς περιττότερον ἢ κατὰ Λυσίαν.

Περὶ Ὑπερίδου.

Καὶ γαλεάγρα·[4] γαλῆ ὄνομα ζώου, γαλεάγρα οὖν κυρίως κ. τ. λ. Vol. V. p. 160. v. 12—15. καὶ ἐστηλοκόπηται· οἷον ἐκκέκοπται καὶ καθῄρηται ἡ στήλη αὐτοῦ.

Περὶ Ἰσοκράτους.

Ὥσπερ θέσιν· ὅτι δεῖ καὶ νεωτέρους πρώτους λαλεῖν· τοῦ λόγου τούτου· τοῦ Ἰσοκρατικοῦ· ὑπαίτιον· μεμπτόν.

Περὶ Δεινάρχου τοῦ λεγομένου Κριθοδημοσθένους.

Γοργὸς μέντοι καὶ δεινός· τῇ μὲν λέξει, φησὶν, ἧττόν ἐστι σφοδρός· τοῖς δὲ παρὰ τὴν λέξιν οἷον σχήμασιν καὶ τοῖς λοιποῖς· καὶ μάλα σφοδρός τε καὶ τραχὺς καὶ ταῖς ἀπαντήσεσι γοργός· μᾶλλον δέ· οὐ γὰρ δεόντως [5] κ. τ. λ. Vol. V. p. 560. v. 19—22. ταῦτα καὶ περὶ Δεινάρχου, ὅτι ἐμφαινόμενον ἔχει τὸν Δημοσθενικὸν τύπον.

2 πρὸς τοῖς ἄλλοις — — ἢ κατὰ Λυσίαν habet Tom. VII. 3 T. VII. πλησιάζειν. 4 Quae sequuntur usque ad finem continentur omnia in T. VII. codicibus Parr., in Mon. nonnisi pauca, eaque numeris distincta inveniuntur. 5 οὐ γὰρ δεόντως — — Δημοσθενικὸν τύπον. habet Mon.

Περὶ Αἰσχίνου.

Ὁ δὲ Αἰσχίνης· κρίθινον Δημοσθένην νόθον ἐκ μεταφορᾶς σίτου καὶ κριθῆς· σοφιστικὸς δέ· λόγοις σοφιζόμενος καὶ παραλογιζόμενος τοὺς ἀκροατάς· καὶ γαῦρος· ἐπηρμένος, συγκεκροτημένος· ἀμελέστερος· ἐκλελυμένος· ἀναγκαίως· ἔστι καὶ αὐτὴ δηλονότι τούτῳ.

Περὶ Ἀντιφῶντος.

Θουκυδίδη γάρ· σημείωσαι, ὅτι ὁ Θουκυδίδης Ἀντιφῶντός ἐστι τοῦ Ῥαμνουσίου μαθητής· ἡ δὲ ἱστορία καὶ παρὰ τῷ Πλάτωνι κεκοινωνηκότα· τοῦτο λέγει, ὅτι ὁ μὲν Πλάτων φησὶ τὸν Θουκυδίδην Ἀντιφῶντος εἶναι τοῦ Ῥαμνουσίου μαθητήν, οὗ εἰσιν οἱ φονικοί· ἐγὼ δὲ οὐ πείθομαι κατανοῶν Θουκυδίδην οὐ χρώμενον τῷ εἴδει τῶν λόγων τῶν φονικῶν, ἀλλὰ τῷ εἴδει τῶν τῆς ἀληθείας· ὥστε μοι δοκεῖν τὸν Θουκυδίδην τοῦ ἑτέρου Ἀντιφῶντος εἶναι μαθητὴν τοῦ γράψαντος τοὺς περὶ ἀληθείας λόγους.

Περὶ ἑκατέρου διελθεῖν· εἴτε δύο εἰσὶν Ἀντιφῶντες, καὶ τούτων ὁ ἕτερος μὲν τοὺς φονικοὺς, ἕτερος δὲ τοὺς περὶ ἀληθείας ἔγραψε, τοσοῦτον ἀλλήλων τῷ εἴδει διεστηκότας, εἴτε εἷς ἐστιν Ἀντιφῶν, διαφόροις εἴδεσι λόγου χρησάμενος, χρὴ περὶ [τῶν] ἑκατέρου τῶν βιβλίων τῶν χαρακτήρων διαλαβεῖν.

Περὶ Ἀντιφῶντος τοῦ Ῥαμνουσίου.

Τοῖς χρόνοις· τῶν χαρακτηρισθέντων τοῖς χρό-

6 T. VII. Ἐπειδὴ πλείους φασὶν οἱ περὶ Δίδυμον τὸν γραμματικὸν Ἀντιφῶντας γεγονέναι, καὶ πολλὴ περὶ τούτων γέγονεν ἀμφισβήτησις, ἀνάγκην ἔσχε προδιορίσασθαι περὶ αὐτοῦ τοσοῦτον μόνον ὑπειπὼν, ὡς τοὺς μὲν ἄλλους δεῖ παραλιπεῖν, ἐπιμνησθῆναι δὲ τῶν σοφιστευσάντων. Par. τοῦτο τὸ ἱστορούμενον καὶ παρὰ Πλάτωνος καὶ τῶν λοιπῶν. ibid. paullo post: Ἄλλος Ἀντιφῶν, ὃν καὶ ὀνειροκρίτην φασίν. Ὑπέρογκος· τὸ μέγεθος ὄγκος καλεῖ.

νοις, φησὶ, νῦν ὑπὸ τούτου· διεστηκότι· τῶν ἄλλων ἰδεῶν διῃρημένῳ καὶ ἀμίκτῳ· σοφιστικῷ· ἀπατητικῷ, παραλογιστικῷ· διῃρημένης· μέγεθος ἐχούσης, γρ. καὶ διαιρουμένης.

Περὶ τοῦ ἑτέρου Ἀντιφῶντος.

Ἀποφάνσεων· ἀπόφανσις καὶ ἀπόφασις καὶ κατάφασις διαφέρει· ἀπόφανσις ὁ ὁρισμός· ἀπόφασις ἡ ἄρνησις· κατάφασις ἡ συγκατάθεσις· εἶπε περὶ αὐτῶν Ἀριστοτέλης ἐν τῷ περὶ ἑρμηνείας.

Κρίτιου λέξομεν· τὴν κοινωνίαν κ. τ. λ. Vol. V, p. 561, v. 1—5.

Περὶ Κριτίου.

Λυκούργου τοῦ· ἀναγκαῖόν [7] φησι μετὰ τὸν περὶ Ἀντιφῶντος τοῦ Ῥαμνουσίου λόγον καὶ περὶ Λυκούργου διαλαβεῖν· τὸν γὰρ Κριτίαν διὰ τὴν προλεχθεῖσαν αἰτίαν μεταξὺ τέταχεν· ὀνομασθέντος· ὠνομάσθη οὕτως διὰ τὸ ἔχειν δίαρμα καὶ πολλὴν ἐν τῷ λόγῳ σεμνότητα· Δεινάρχῳ· εἰ καὶ ἐπιμελείᾳ ἐχρῆτο δηλονότι.

Περὶ Λυκούργου.

Φαινομένην· εἰ γὰρ καταδρομὴν ἔχοιεν πρὸ τοῦ ἀποδεῖξαι τῆς μὴ οὔσης μὲν, φαινομένης δὲ δεινότητός εἰσιν· τροπικώτεροι· ἡ τροπικὴ λέξις ἰδία σφοδρότητος καὶ τραχύτητος· ἐν ἄλλοις δὲ τῶν βιβλίων τοπικώτερον εὑρίσκεται· θέλει δὲ ἡ λέξις δηλοῦν τὸ αὐξητικώτερον, ὥσπερ καὶ κοινὸν τόπον τὴν καταδρομὴν λέγομεν· ὥστε οὐχ ἁμαρτήσεις τροπικώτερον γράφων· ἀ-

---

7 Ἀναγκαῖόν φησι — — ἐχρῆτο δηλονότι habet Mon. Addit Par. διῃρημένος πρὸς ὄγκον· ὄγκον τὸ μέγεθος καὶ ἀξίωμα τοῦ λόγου καλεῖ.

ποδεδειγμένων· εἰ γὰρ καταδρομὴν ἔχοιεν, πρὸ τοῦ ἀποδεῖξαι, τῆς μὴ οὔσης μὲν φαινομένης δὲ δεινότητός εἰσιν.

Περὶ Ἀνδοκίδου.

Ἀδιάρθρωτος· οὐ διαφωτίζει, οὐ διευκρινεῖ [8] τὰ σχήματα, ἀλλὰ συγχεῖ.

Cap. XII.

Περὶ τοῦ ἁπλῶς πανηγυρικοῦ λόγου.

Τυγχάνουσιν· οἰκεῖον τῷ στοχάζονται τὸ τυγχάνουσιν, ἐκ μεταφορᾶς γάρ εἰσι τῶν κατὰ σκοπὸν ἱέντων.

Περὶ Ξενοφῶντος.

Μανώτερον· χαυνότερον ἢ ἀραιότερον· τὸν Τιγράνην δέ· οὗτος ὁ Τιγράνης κατεκόπη ἐν τῷ πολέμῳ, καὶ περὶ τούτου λέγει ὁ Ξενοφῶν· [9] ὥς που [10] καὶ περὶ τοῦ Ἀβραδάτου. ἐνεοῖς· ὁ ἠπορηκὼς κατά τι καὶ γεγονὼς ἀχανὴς ἢ ὁ εἰς ἑαυτὸν ἐστραμμένος· οἷον ὁ ἐν ἑαυτῷ ὢν καὶ μὴ [11] πρὸς ἄλλον λαλῶν· λεπτότερός ἐστι· σημειωτέον ὅτι πολλαχοῦ τὸ καθαρὸν καὶ εὐκρι-

8 Sicel. διευκρινεῖν. Par. ad marg. Σημείωσαι, ὅτι ὁ κάλλιστος πανηγυρικὸς μέγεθος ἔχει καὶ ἡδονήν. 9 Cyrop. III. 1, 36. 10 T. VII. Par. ὥσπερ. 11 καὶ μὴ πρὸς ἄλλον λαλῶν T. VII. Par. om. 12 T. VII. Par. λεπτότερος· ταπεινότερος. Σημείωσαι κ. τ. λ. Post λεπτὸν λέγει addit: ὥσπερ τὸ περιβεβλημένον μάλα μεστὸν σεμνόν. In eodem legitur: Πᾶν ἦθός τε καὶ πάθος· οὐδενὶ τῶν ἄλλων ἢ τούτῳ μόνῳ διαφέρειν ἀλλήλων φασὶν ἦθος καὶ πάθος, τῷ τὸ μὲν αὐτῶν τὸ ἦθος ἔμμονον εἶναι, τὸ δὲ ἐπιγίνεσθαι καὶ ἐξίστασθαι, τὸ πάθος. Ψιλόν·

νές, ἤγουν τὸ ἀφελὲς λεπτὸν λέγει· τῶν μυθικῶν· ὁ κυρίως μῦθός ἐστιν ὁ πάντη ψευδής· μυθικὸς δὲ ὁ παρ' ἑτέροις μὲν δοκῶν ἀληθὴς, παρ' ἄλλοις δὲ ψευδής.

Περὶ Νικοστράτου.

Ὁ δὲ Νικόστρατος· ὥσπερ [13] ἐν τοῖς πολιτικοῖς τὸν Κριτίαν διὰ τὴν ὁμοιότητα τοῦ χαρακτῆρος μετὰ τὸν Ἀντιφῶντα τέταχε πρὸ Λυκούργου καὶ Ἀνδοκίδου, τὸν αὐτὸν τρόπον καὶ ἐν τοῖς λογογραφικοῖς Νικόστρατον πρὸ τῶν ἄλλων διὰ τὴν ὁμοιότητα τὴν πρὸς Αἰσχίνην, ἐπεί τοι καὶ αὐτὸς διστάζει, εἰ ἄρα μετὰ τοῦτον δεῖ τάττειν αὐτόν. Οὐκ Αἰσωπείους μόνον· ὡς ὅταν διηγῆται τὰ περὶ τὴν χελιδόνα καὶ λαμίαν, [14] καὶ ὅλως τὰ ἐν τῷ δεκαμύθῳ εἰρημένα, οὐ πολιτικὰ ἀλλὰ δραματικὰ καὶ ποιητικά. [15]

Περὶ ἐλλογίμων ἱστορικῶν.

Πλὴν Ξενοφῶντος· ὑπεξαίρει τὸν Ξενοφῶντα· εἰ γὰρ καὶ ἱστορικός ἐστιν, ἀλλὰ διείληφεν ἤδη [16] περὶ αὐτοῦ.

Περὶ Ἡροδότου.

Πανηγυρικοῖς· μετὰ τῶν ἐν τῷ πανηγυρικῷ εὐδοκιμησάντων, καὶ δι' ἄλλα μὲν, πλεῖον δὲ τὴν ἀφέλειαν, ἥτις ἰδιαίτατόν ἐστι τοῦ πανηγυρικοῦ.

Περὶ Θουκυδίδου.

Τῷ [17] Πρόκνην· ἐνταῦθα τῶν λόγων Θουκυδίδου

χόρτον. 13 Sectio haec usque ad δραματικὰ καὶ ποιητικὰ est in Mon. Addit Par. ὑπέρισχνον· ἰσχνότης ἢ ταπεινότης, ἥτις καὶ ἐναντία τῷ μεγέθει τοῦ λόγου. 14 Sicel. βα sq. lacuna. supplevi ex T. VII. 15 καὶ ποιητικὰ ex Par. et Mon. adjeci. 16 Sicel. εἴδη. T. VII. ἤδη. 17 Sicel. Vind. τό. — Thuc. II. 29.

προσέγραψέ τις ἀστεῖος, ὅτι ὁ λέων ἐγέλασεν· οὐδαμοῦ γὰρ ἑτέρωθι εἰ μὴ ἐνταῦθα τῶν αὑτοῦ λόγων ἐχρήσατο τῇ γλυκύτητι· ἐγὼ [18] δὲ τὸν χαριεντισμὸν τοῦτον εὗρον ἐν τῇ β΄ συγγραφῇ, ἔνθεν διηγεῖται περὶ τῆς ἀπελάσεως τοῦ Κυλωνείου [19] ἄγους· ἐκεῖ γὰρ τὸ, ὅτι ὑπεμειδίασεν ὁ λέων· σαφέστατον γὰρ ἐκεῖ τὸ διήγημα καὶ παρὰ [20] τὴν τοῦ συγγραφέως ἐμβριθειαν. ἀμηγέπῃ· ὅπως δή ποτε καὶ κατὰ τρόπον [21] τινά.

Περὶ Ἑκαταίου.

Διά γε· οὐ μόνον, φησὶ, γλυκύτητα ἀδυνατοῦσιν ἐργάσασθαι αἱ [23] ἔννοιαι μόναι, ἀλλὰ δέονται [24] πρὸς τοῦτο καὶ λέξεως καὶ τῶν ἀκολούθων [25] αὐτῇ· ἀλλὰ μὴν καὶ τὰς ἄλλας ἰδέας τὰ ὀκτὼ μέρη πεφύκασιν ἐργάζεσθαι καὶ οὐχ ἕν.

18 ἐγὼ δὲ χαριεντισμὸν — — συγγραφέως ἐμβριθειαν Par. T. VII. om. 19 Sicel. Vind. et Par. Κυλλωνείου. 20 Sicel. περί. scripsi παρά. 21 καὶ κατὰ τρόπον τινὰ Par. T. VII. om. 22 Sicel. in Vind. et Par. Ἑκατίου. 23 αἱ Par. om. 24 Sicel. δεῖνται. T. VII. δέονται. 25 T. VII. ἀκολουθούντων. 26 In Med. excidit ultimum folium: Desinit pagina in Hermogenis verbis: διὰ τό ἀπό τε τοῦ περὶ ἰδεῶν λόγου, unde etiam a Par. et Vind. ultima scholiorum pars abest.

V.

ΓΕΩΡΓΙΟΥ ΤΟΥ ΔΙΑΙΡΕΤΟΥ

ΣΧΟΛΙΑ

ΕΙΣ ΤΟ ΠΕΡΙ ΕΥΡΕΣΕΩΣ ΕΡΜΟΓΕΝΟΥΣ.

De Georgio Diaereta quae scimus, ea omnia continentur titulo codicis Paris. 2919. *Σχόλια σὺν θεῷ εἰς τὴν διαίρεσιν ἀπὸ φωνῆς τοῦ αὐτοῦ Γεωργίου τοῦ μόνου σοφιστοῦ Ἀλεξανδρείας*, quocum consentit titulus a Leone Allatio Diatr. de Georgiis p. 321. ed. Paris. commemoratus: *Γεωργίου τοῦ Μόνου Σοφιστοῦ Ἀλεξανδρέως σχόλια εἰς τὴν διαίρεσιν· ἔστι δὲ ῥητορικὸν τὸ βιβλίον.* Fuit igitur Alexandrinus, sophista, monachus [*μόνου* enim est compendium scribendi pro *μονάχου*]. A commentario, quem in *διαίρεσιν* scripsit, Diaeretae cognomen accepit. Aetas ejus incerta est. Alius ejus commentarius ad Hermogenis libros de inventione servatur in Cod. Laurent. LVII. 5. hoc titulo: *Ἑρμογένους τέχνης ῥητορικῆς περὶ εὑρέσεως τόμος πρῶτος. Σχόλια εἰς τοὺς περὶ εὑρέσεων τέσσαρας τόμους, ἐκ πολλῶν βιβλίων φιλοπόνῳ μελέτῃ συναθροισθέντα καὶ εὐφυῶς τοῖς τοῦ τεχνικοῦ συναρμοσθέντα ῥητοῖς· εἰσὶ δὲ ἢ τοῦ Διαιρέτου Γεωργίου, ἢ τοῦ λεγομένου ἀνωνύμου Γεωργίου καὶ ἀδεσπότου.* Idem commentarius continetur in codice Vaticano 105. bombyc. forma octava, sec. 14. qui titulum in fronte gerit: *Προλεγόμενα εἰς τὸ περὶ εὑρέσεως Ἑρμογένους τοῦ Διαιρέτου Γεωργίου.* sed ante commentarii ipsius initium scriba in

nota, qua lectorem de commodo scholiorum usu monet,[1] Doxopatrum auctorem nominat. Quod quidem quo jure fecerit, cum Doxopatri commentarium in codice Parisiensi 2922. et Barocciano 175. servatum diligentius excutere neglexerim, dijudicare non possum. Sed a vero parum abesse mihi videor, ita statuens, Diaeretam, qui in titulo codicis Laur. commentarium suum ex multis libris compilasse dicitur, prolegomena sua partim proprio Marte conscripsisse, partim ex aliis libris congessisse, in commentarium vero Doxopatri potissimum interpretationem recepisse. Hoc modo etiam eam, quae inter codicem Vaticanum et Laurentianum intercedit, differentiam explicari posse puto. Non enim eadem omnia in utroque continentur; habet uterque nonnulla, quae absunt ab altero, uberior vero est Laurentianus. Id quidem hac ratione factum esse suspicor, si Diaereta ex Doxopatri commentario hic illic quaedam omisit, in eorumque locum alia ex aliis libris hausta substituit. Sed cum ante examinatum Doxopatri commentarium nihil certi de his statui possit, in specimine hujus commentarii acquiescendum esse censui. De hac igitur, quam typis impressam exhibeo, parte haec praemonenda. Prolegomena et commentarii litteram ά — ιή., quae etiam codice Vindobonensi 15. continentur, ex hoc transscripsi, deinde cum his codicem Vaticanum et hic illic Mediceum contuli, et litteras ϑ' — ιβ'. ex Vaticano adjeci: his denique cum Mediceo collatis pauca quaedam ex hoc ipso adoptavi. Haec certe sufficient ad sententiam de commentarii hujus indole ferendam.

---

1 Ἀρχὴ τοῦ ά. Ὀφείλεις, ὦ οὗτος, ἀναζητεῖν ἔν τε τῷ κειμένῳ καὶ ἐν τῇ ἐπεξηγήσει ἐγγεγραμμένῃ, καὶ οὕτως εὐμαρῶς διαγινώσκειν, ποίοις κώλοις τοῦ κειμένου αἱ ἐπεξηγήσεις τοῦ Δοξοπάτρου διαγορεύουσιν, ἅτινα δηλαδὴ στοιχεῖα ἄρχονται ἀπὸ τοῦ ά. μέχρι τοῦ ρ'., ἢ μετρούμενα ἀπὸ τοῦ ἑνὸς μέχρι ἑκατόν· καὶ πάλιν ἀναποδιζόμενα μέχρι τῆς τοῦ ὅλου βιβλίου συμπληρώσεως· καὶ ἰσάζοντα ἔν τε τῷ κειμένῳ καὶ ἐν τῇ ἐπεξηγήσει.

ΠΡΟΛΕΓΟΜΕΝΑ
ΕΙΣ ΤΟ
ΠΕΡΙ ΕΥΡΕΣΕΩΣ ΕΡΜΟΓΕΝΟΥΣ
ΤΟΥ ΔΙΑΙΡΕΤΟΥ ΓΕΩΡΓΙΟΥ.[1]

Τὰς στάσεις ὁ τεχνικὸς [2] ποιησάμενος μεταβῆναι ᾠήθη καὶ [3] εἰς τὴν περὶ εὑρέσεως τέχνην· καὶ γὰρ τὰ μὲν κεφάλαια τῶν στάσεων παρέδωκεν ἐν αὐταῖς, τὴν δὲ εἰσαγωγὴν καὶ τὴν κατασκευὴν αὐτῶν ὤφειλεν ἡμῖν δηλῶσαι ἐν τῷ περὶ εὑρέσεως· τοῦτο δὲ ποιεῖ, ἐπειδὴ κοινωνοῦσι τὸ κεφάλαιον καὶ ἡ εὕρεσις κατὰ τὸ φέρεσθαι κατὰ τῶν αὐτῶν πραγμάτων τὰ δύο· ἐξ ἀνάγκης γὰρ τῷ κεφαλαίῳ ἡ εὕρεσις ἕπεται, ὡς ἐπὶ τοῦ παρισταμένου νεοσφαγεῖ [4] σώματι· ὁ γὰρ κατήγορος κέχρηται τοῖς ἀπ' ἀρχῆς ἄχρι τέλους, ὅτι διὰ τοῦτο ἐφόνευσας, ἐπειδὴ παρίστασο· εἶτα [5] ὁ φεύγων τῇ μεταθέσει φήσει, ὅτι παριστάμην ἐλεῶν καὶ θάψαι βουλόμενος· τοῦτο γὰρ εὕρεσίς ἐστιν ὁρωμένη ἐν τῷ κεφαλαίῳ· οἷον καὶ ἐπὶ προδότου, ὅτι τοῖς πολεμίοις συνῇς· καὶ κεφάλαιον τυχὸν, ὅτι οὐ δίκαιον ἐποίεις· κοινωνοῦσιν οὖν ἀλλήλοις κεφάλαιον καὶ εὕρεσις, καθὸ πρὸς ἕνα σκοπὸν τὸν προκείμενον φέρονται· δεῖ γὰρ συμφυῶς τῇ ὑποθέσει ἑκά-

1 Titulum hunc habet Vind. 2 ὁ τεχν. ποιησάμενος Vat. per lacunam om. 3 καὶ Vat. om. 4 Vat. et Med. τῷ νεοσφ. 5 Vat. καὶ πάλιν, sed manu diversa.

τερον ἐξετάζεσθαι· εἰ γὰρ ἄλλο μὲν εἴη τὸ ζητούμενον, ἄλλο δὲ τὸ κατασκευάζον, ἢ ἀσύστατον ἔσται [6] τὸ ζήτημα, ἢ ἀμαθὴς ὁ μελετῶν· οἷον τί φημι, εἰ προκέοιτο στοχαστικὴ ζήτησις εἰς ἐξέτασιν, ἡμεῖς δὲ ἀντιλήψεως ἢ τινος ἑτέρας κεφάλαια στάσεως εἰσαγάγωμεν, ἀσύστατον εὐθέως τὸ ζήτημα· ἢ εἰ κοινὸν τόπον μέλλων [7] ἐρεῖν τὰ τῆς ἀνασκευῆς παραλάβω κεφάλαια παρὰ τὴν τέχνην ὁ λόγος προβήσεται· [8] κατὰ ταῦτα μὲν οὖν κοινωνοῦσι· διαφέρουσι δὲ ἀλλήλων τετραχῶς· πρῶτον μὲν, ὅτι τὰ κεφάλαια ὡρισμένα εἰσὶν ἐπὶ ἑκάστης στάσεως καὶ ἀεὶ φυλαττόμενα, οἷον ἐπὶ τῆς πραγματικῆς δίκαιον, συμφέρον καὶ νόμιμον, καὶ ταῦτα πάντως ἐν ἑκάστῃ στάσει πραγματικῇ ἐμπεσεῖται· καὶ πᾶς μεταχειριζόμενος χρήσεται, αἱ δὲ εὑρέσεις ἀόριστοι, ἢ πρὸς τὴν ἑκάστου φαντασίαν ἐγγιγνόμεναι· [9] διὸ οὐ πάντες οἱ μεταχειριζόμενοι χρήσονται τῇ αὐτῇ· [10] δύο γὰρ ταῖς αὐταῖς ἐννοίαις ἄνδρες οὐ κέχρηνται· ἀλλὰ πολλοὶ μὲν εὐπορωτέραις, οἱ δὲ στενωτέραις [11] πρὸς τὴν φύσιν μετρούμενοι· δεύτερον ἀπὸ τῆς τάξεως, ὅτι ἀεὶ τὰ κεφάλαια τάξιν ἔχουσιν, οἷον τὸ νόμιμον πρῶτον, τὸ δίκαιον δεύτερον, εἰ καὶ πολλάκις ἐναλλάττονται ὑπὸ τῶν ῥητόρων δι' οἰκονομίαν καὶ δεινότητα· [12] τρίτον ἀπὸ τοῦ τόπου διαφέρουσιν, ὅτι ἀεὶ ἐν τοῖς ἀγῶσι τὰ κεφάλαια ἐμπίπτει· ἐν παντὶ δὲ τόπῳ [13] εὑρέσεις εὑρίσκονται, καὶ ἐν προοιμίοις καὶ ἐν ἀγῶσι καὶ ἐπιλόγοις· εὑρίσκονται δὲ καὶ ἀγωνιστικὰ προοίμια σπερματικῶς, καὶ ὡς ὕλη τις σπερματικῶς [14] ἐμπίπτει

6 Vat. εἰσί. 7 Vind. μέλλει. Vat. Med. μέλλων. 8 Vat. προήσεται 9 Vat. ἐγγινόμεναι. 10 Vind. Med. πάντες χρήσονται αὐτῇ. Vat. πάντες οἱ μεταχειριζόμενοι χρήσονται τῇ αὐτῇ. 11 Med. Vat. στενοτέραις. 12 Vat. addit: ἡ δὲ εὕρεσις οὐκ ἀεὶ τὴν αὐτὴν τάξιν ἔχει, ἀλλὰ ποτὲ μὲν ἄρχεται ἀπὸ τῆς αἰτίας, ποτὲ δὲ ἀπὸ τοῦ προσώπου. 13 Vat. τρόπῳ. 14 Vat. σπερματικῶς om.

τῷ προοιμίῳ· ἢ κατὰ ἀναφώνησιν τῶν μελλόντων λεχθῆναι κεφαλαίων ἐν τῷ λόγῳ· ὥσπερ φασὶ[15] Δημοσθένην ἐν τῷ πρὸς Λεπτίνην ποιῆσαι, εἰπόντα, „μάλιστα μὲν εἵνεκα τοῦ νομίζειν." διὰ τοῦ νομίζειν προανεφώνησε τὸ νόμιμον· διὰ δὲ τοῦ εἰπεῖν συμφέρειν προανεφώνησε τὸ συμφέρον· τέταρτον διαφέρουσιν, ὅτι τὰ κεφάλαια περιέχει τὰς εὑρέσεις, αἱ δὲ εὑρέσεις οὐ περιέχουσι τὰ κεφάλαια, ἀλλὰ περιέχονται, καὶ τὸ πάντων μέγιστον, ὅτι τὰ μὲν κεφάλαια ἀπὸ τῶν ἀγώνων ἀρχόμενα εἰς τοὺς ἀγῶνας καταλήγει, αἱ δὲ εὑρέσεις καὶ τῇ παρεκβάσει καὶ τοῖς ἄλλοις μέρεσι τοῦ λόγου κεκλήρωνται· κεφάλαια δὲ λέγεται ἐκ μεταφορᾶς τῆς κεφαλῆς ὅτι τιμιωτάτη ἐστίν· ἰστέον δὲ, ὅτι τὸ κεφάλαιον διχῶς νοεῖται καὶ λέγεται· λέγεται γὰρ τὸ ὄργανον καὶ[17] ἡ μέθοδος ἡ διδάσκουσα ἡμᾶς τὸ πῶς δεῖ ἀποτελεῖν καὶ ἐργάζεσθαι τὰ ἐν τοῖς λόγοις κεφάλαια· οἷον· ὁ λόγος καὶ ἡ μέθοδος ἡ διδάσκουσα ἡμᾶς ὅτι κατὰ τέσσαρας τρόπους τυχὸν γίνεται τὸ παραγραφικὸν, τοῦτο ὄργανόν ἐστιν· καὶ πάλιν τὸ ἐν τῷ καθ' Αἰσχίνου ἐκτεθὲν καὶ ἀποτελεσθὲν καὶ τοῦτο κεφάλαιόν ἐστι· καὶ ταύτην ἔχουσι τὴν διαφορὰν, ὅτι τὸ μὲν ποιεῖ καὶ ἀποτελεῖ, τὸ δὲ ἀποτελεῖται, καὶ πρὸς μὲν τὸν ὅλον λόγον μέρη εἰσὶ τὰ κεφάλαια, πρὸς δὲ τὸ πεῖσαι ὄργανα. Ἔτι ῥητέον[19] διὰ πλείω σαφήνειαν περὶ τῶν κεφαλαίων, ὅτι ὡς ὁ στοχασμὸς διττὸν, οὕτω διττὸν καὶ τὸ κεφάλαιον κ. τ. λ. vide T. VII. p. 246. v. 16—p. 248. v. 14. Ἄξιον δέ ἐστι ζητῆσαι, διὰ τί τὸ βιβλίον περὶ εὑρέσεως ἔγραψεν, καίτοι καὶ τῶν ἄλλων αὐτοῦ πραγματειῶν εὑρέσεις εἰσηγουμένων[21] τινάς· ἡ γὰρ ἐπιγραφομένη στά-

15 Vat. post φασὶ habet καί. 16 Vind. εἵνεγκα. — Or. in Lept. init. 17 τὸ Vat. om. 18 Vat. λέγεται καὶ μέθοδος. 19 ἔτι ῥητέον usque ad v. 26: ἄξιον δέ ἐστι ζητῆσαι διὰ τί τὸ βιβλ. Vat. non habet. 20 Med. διττός. 21 Vat:

σις στάσεων εὕρεσιν καὶ διασκευὴν [22] διδάσκει· καὶ αὐτός φησιν, ὅτι τὸ βιβλίον ἐκεῖνο σχεδὸν ταὐτόν ἐστι τῷ περὶ εὑρέσεως· καὶ τὸ ἰσχυρότερον, ὅτι καὶ αὐτὸς καὶ τῷ τρίτῳ βιβλίῳ περὶ τῶν κεφαλαίων ἀρχόμενός φησι· „περὶ μὲν τῆς τῶν καφαλαίων εὑρέσεως κατὰ τὴν διαιρετικὴν ἐξεθέμην μέθοδον· ὥστε εὕρεσιν καὶ ἐν ταῖς στάσεσιν ἐκδιδάσκει· [23] καὶ αἱ ἰδέαι δὲ τὸ βιβλίον εὑρέσεις τινῶν διδάσκουσι· τί οὖν ἐστιν εἰπεῖν; ἢ ὅτι ἐν τοῖς ἄλλοις τάξιν μὲν καὶ μεταχείρισιν [24] τῶν εὑρημένων ἐν τῇ φύσει διδάσκει, οὐχ εὕρεσιν δέ· ἐνταῦθα δὲ εὕρεσιν μὲν προηγουμένως προοιμίων καὶ πολλῶν παράδοσιν ἄλλων· καὶ ἔτι ἐν μὲν τοῖς ἄλλοις κοινόν τι ἦν ὄνομα μόνον, [25] περὶ ὧν ἔμελλε διδάσκειν, ἐξ οὗ καὶ τὴν ἐπιγραφὴν εὐθέτως [26] ἦν ἐκλαμβάνειν· οἷον στάσεις, ἰδέας· περὶ στάσεων, περὶ ἰδεῶν· ἐν δὲ τῷ παρόντι βιβλίῳ οὐδὲν κοινὸν [27] γνώριμον ὄνομα κεῖται τοῖς περὶ ὧν αὐτῷ πρόεισιν ὁ λόγος· ἔστι γὰρ προοίμιον, διήγησις, κεφάλαια, ἐπιχειρήματα, καὶ τἄλλα, ὧν οὐδὲν κοινὸν ὄνομα· [28] τούτων δ' οὖν κοινόν [29] τι τὴν εὕρεσιν παραδίδωσιν· εἰκότως οὖν ἐν μὲν τοῖς ἄλλοις βιβλίοις, εἰ καὶ τινῶν αὐτοῖς παρεδίδοντο εὑρέσεις ἐκ τοῦ κοινοτέρου [30] ἐπεγράψατο· ἐνταῦθα δὲ, ἐπεὶ κοινότερον οὐδὲν [31] ἦν τῆς εὑρέσεως, ἀπ' αὐτῆς τὴν ἐπιγραφὴν ἐποιήσατο. Ὥρα δὲ εἰπεῖν, τί ἐστιν εὕρεσις· εὕρεσις τοίνυν ἐστὶν ἐπίνοια νοημάτων προσηκόντων καὶ ἁρμοδίων τῷ ὑποκειμένῳ ἢ ζητουμένῳ πράγματι· ἢ εὕρεσίς ἐστιν ἐπίνοια τῶν πιθανῶς προσόντων τοῖς προκειμένοις προβλήμασιν ὀνο-

---

εἰσαγο τινάς. 22 Vind. διασκαλίαν. Vat. διασκευήν. 23 Vat. στάσεσι διδάσκει. 24 Vat. μεταχείρησιν. 25 μόνον abest a Vat. 26 Vat. εὐθέως. 27 οὐδὲν κοινὸν Vat. per lacunam om. 28 ὄνομα· τούτων Vat. per lacunam om. 29 Vind. τι κοινόν τι. Vat. primum τι om. 30 κοινοτέρου abest a Vat. 31 οὐδὲν Vat. om.

μάτων τε καὶ νοημάτων· νοήματα δέ εἰσιν ἐνθυμήματα καὶ παραδείγματα· περὶ δὲ τὰς λέξεις [32] καταγίνεται ἡ εὕρεσις πρὸς τὸ εὑρεῖν ἐπιτηδείας λέξεις καὶ πεποιημένας[33] πρὸς τὸ ὑποκείμενον πρόσωπον. Ἰστέον δὲ, ὡς ὁ πολιτικὸς λόγος εἰς τέσσαρα μέρη [34] διαιρεῖται, προοίμιον, διήγησιν, πίστιν, ἐπίλογον, περὶ ὧν [35] νῦν Ἑρμογένης ἐν τοῖς τρισὶ τόμοις διδάσκει· χρῄζομεν γὰρ ἐν τῷ πολιτικῷ λόγῳ προοιμίων μὲν πρὸς τὸ προσεκτικωτέρους [36] ποιῆσαι τοὺς ἀκροατάς, διηγήσεως δὲ πρὸς τὸ διδάξαι τὸ πρᾶγμα, τῶν δὲ πίστεων πρὸς τὸ ἀνασκευάσαι καὶ κατασκευάσαι τὸ προκείμενον, τῶν δὲ ἐπιλόγων πρὸς τὸ ἐπιῤῥῶσαι τὸν ἀκούοντα εἰς τὴν ὑπὲρ ἡμῶν ψῆφον. Ἐπεὶ [37] οὖν ὁ τεχνικὸς τέλειον λόγον ἐβουλήθη ἡμῖν παραστῆσαι, πῶς τε γίνεται καὶ ἐκ ποίων μερῶν συνίσταται τὰ [38] περὶ αὐτοῦ πάντα προὔθετο ἡμῖν δηλῶσαι· φασὶ τοίνυν, ὡς ὁ λόγος σώματι ἔοικεν, ἀναλογεῖ δὲ τῇ κεφαλῇ τὸ προοίμιον, αἱ διηγήσεις τοῖς μετὰ τὴν κεφαλὴν, οἱ δὲ [39] ἀγῶνες τοῖς ἔτι κατωτέρω, τέλει δὲ σώματος ὁ ἐπίλογος· ἀνάγκη οὖν τὴν ἀρχὴν ἐκ προοιμίων ποιήσασθαι, εἶθ᾽ οὕτως ἐφεξῆς τα λοιπὰ παραδοῦναι· ὅθεν τῇ περὶ εὑρέσεως διδασκαλίᾳ ἐν πρώτοις περὶ προοιμίων ἀπήρξατο. Μετείληπται [40] δὲ τὸ προοίμιον ἀπὸ τῶν κιθαρῳδῶν ἐπὶ τοὺς λόγους· οἴμη μὲν γὰρ λέγεται ἡ ᾠδή· ἐκείνοις δὲ νόμος [41] ἦν πρὸ ἑκάστης ᾠδῆς κιθάρᾳ ᾀδομένης ἀναφωνεῖν τὸν Διόνυσον· τὸ οὖν πρὸ ἑκάστης οἴμης, τουτέστιν ᾠδῆς, λεγόμενον εἰς Διόνυσον ἀναφώνημα προοίμιον ἐκλήθη· ἐκεῖθεν δὲ καὶ ἐπὶ τοὺς ῥητορι-

32 *δὲ τὰς λέξεις* Vat. om. 33 Vind. *ἐπεποιημένας*. Praecedens *καὶ* om., est in Vat. 34 *μέρη* Vat. per lacunam om. 35 *περὶ ὧν νῦν — — τόμοις διδάσκει* Vat. non habet. 36 Vat. *προσεχεστέρους*. 37 Vat. *ἐπειδή*. 38 Vind. *τήν*. Vat. *τά*. 39 *δὲ* Vat. om. 40 *μεθείλκυσται*. 41 Vind. *μόνοις*.

κοὺς λόγους ἡ κλῆσις μεταληφθεῖσα [42] τοῦ προοιμίου κράτος εἶχε τῷ χρόνῳ συνήθης εἶναι τοῖς ῥητορεύουσιν· ἐκεῖνοι μὲν οὖν τὸ ἀνάκρουμα τὸ πρὸ τῆς ᾠδῆς [43] προοίμιον ἐκάλουν. οὗτοι δὲ τὸ προτιθέμενον τοῦ λόγου καὶ οἱονεὶ ὁδοποιοῦν τῇ διηγήσει καὶ τοῖς λοιποῖς τοῦ λόγου μέρεσιν· οἶμος γὰρ ἡ ὁδός. [44]

Ἀρχή· Ἡ πρώτη καὶ καλλίστη τῶν προοιμίων εὕρεσις καλλίστης καὶ πραγματικωτάτης εὑρέσεως τετύχηκε τῆς ἐκ τῶν ὑπολήψεων καλουμένης τῶν προσώπων καὶ τῶν πραγμάτων.

Τὸ περὶ εὑρέσεως βιβλίον οὐ περὶ προοιμίων εὑρέσεως [1] προδιαλαμβάνει μόνον, ἀλλὰ καὶ περὶ εὑρέσεως προδιηγήσεως, ἤτοι προκαταστάσεως καὶ περὶ διηγήσεως καὶ περὶ προκατασκευῆς ἐπιχειρημάτων τε καὶ ἐργασιῶν καὶ ἐνθυμημάτων καὶ ἄλλων τινῶν· τὸν οὖν περὶ εὑρέσεως τούτων [2] λόγον ποιούμενος εὐθὺς περὶ εὑρέσεως προοίμιον ἀπήρξατο. ἐπεὶ δὲ καὶ αὐτὰ ἐκ διαφόρων λαμβάνεται, ἔκ τε τῶν ὑπολήψεων καὶ ἐκ τῶν ὑποδιαιρέσεων, οὐ μόνον δὲ ἐκ τούτων, ἀλλὰ καὶ ἐκ περιουσίας καὶ ἀπὸ καιροῦ, διὰ τοῦτό φησιν, ὅτι τὴν ἀρχὴν τοῦ περὶ προοιμίων λόγου ἀπὸ τῶν ἐξ ὑπολήψεως λαμβανομένων ποιήσο-

---

Vat. νόμος. 42 μεταληφθεῖσα Vind. non habet. 43 Vat. τῆς ᾠδῆς τῆς κιθαρᾶς προοίμ. 44 Sequitur Ἰστέον δέ, ὅτι τὸ προοίμιον κ. τ. λ. Vol. VII. p. 53. v. 7 — p. 54. v. 1. Parva est lectionis varietas. — v. 11 — 13. Ἀλέξανδρος δὲ — — μετὰ τὰς πίστεις Vat. non habet. v. 11. Vind. Νουμινίου. v. 13. τάττεσθαι Vind. Vat. om. v. 16. Vat. ἦν ἐν ἡμῖν. v. 17. φησὶ Vat. Vind. om. ib. ἀλλὰ — v. 19. νομιστέον Vat. om. v. 19. φησὶ Vind. om. v. 22. Vind. Vat. προοίμιον γάρ. v. 24. δικαιότατοι Vat. om. p. 54. 1. Vat. ἐξευμενιζόμενος.

1 Vat. εὑρέσεως προοιμίων. 2 Vind. τοῦ τῶν. Vat. τούτων.

σομαι. εἶτα προϊὼν ἐρεῖ καὶ περὶ τῶν ἄλλων· πρώτην δὲ εἶπε, διότι καὶ ἄλλαι εἰσί. διὰ τὸ εἰπεῖν οὖν πρώτην τὰς διαφόρους ποιότητας τῶν ἐφεξῆς προοιμίων ἐδήλωσεν· ἡ γὰρ ἀπαρίθμησις τὸ σχῆμα τοῦτο δηλοῖ· εὕρεσις δέ ἐστι λόγος νοημάτων καὶ ἐπιχειρημάτων εὐπορίαν ἔχων. ἐκ προοιμίου δὲ ἐπήνεσε πρώτην καὶ καλλίστην εἰπών· πρώτην μὲν ὡς πρὸ τῶν ἄλλων προοιμίων λεγομένην· καλλίστην δὲ εὕρεσιν αὐτὴν ὀνομάζει, ὡς καλλίστης μεθόδου τυχούσης αὐτῆς τῆς ἐκ τῶν ὑπολήψεων καλουμένης τῶν τε προσώπων καὶ τῶν πραγμάτων. περὶ γὰρ τὰ πρόσωπα καὶ τὰ πράγματα ἢ φαῦλαί εἰσιν ὑπολήψεις ἢ χρησταί· προϊὼν δὲ καὶ αὐτὸς ἐρεῖ. ὅτι τῶν ἐξ ὑπολήψεως ἡ ἀρετὴ πανταχῇ φαίνεται, τουτέστιν ἐν πᾶσι τοῖς προβλήμασιν· ἐπήνεσε[3] δὲ ἐν ταὐτῷ καὶ τὰ καθόλου προοίμια, καλλίστην εὕρεσιν τὴν περὶ αὐτῶν εἰρηκώς· εἰ μὲν γὰρ ἐκεῖνα καλά, οὐκ ἂν ἦν αὕτη καλλίστη· εἰκότως δὲ καλὰ ὡς ἀντὶ κεφαλῆς ἐν ὅλῳ τῷ σώματι ἐν τῷ μελετωμένῳ λόγῳ τιθέμενα· καὶ ἄλλως δὲ ἄτεχνον τὸ ἀπροοιμίαστον ἐμβάλλειν ταῖς ὑποθέσεσιν, μὴ πρότερον προηυτρεπικότας περὶ ὧν λέξομεν. πρῶτον δὲ καὶ κάλλιστον τὸ ἐξ ὑπολήψεων προοίμιον· καὶ γὰρ αὐτὸς προϊὼν ἐρεῖ, ὅτι τῶν ἐξ ὑπολήψεως ἡ ἀρετὴ πανταχοῦ φαίνεται· τὸ δὲ πραγματικωτάτης ἀντὶ τοῦ ἐξεταστικωτάτης καὶ πολυϋλοτάτης· ὕλη[4] γὰρ ἐνταῦθα σημαίνει τὰ πράγματα, καὶ πλείστης καὶ ἐν πλείστοις θεωρουμένης καὶ κοινοτάτης[5] καὶ πορισμωτάτης. ἄριστα δέ φησιν εἶναι τῶν προοιμίων τὰ ἐξ ὑπολήψεως, τὴν δόξαν γὰρ τὴν ὑπὲρ ἑαυτῶν θεραπεύομεν ὡς ὁ Μιτυληναῖος παρὰ τοῖς Λακεδαιμονίοις· „τὸ μὲν[6] καθεστηκὸς τοῖς Ἕλλησι νόμιμον,

3 ἐπήνεσε — — ἡ ἀρετὴ πανταχοῦ φαίνεται om. Vat. 4 ὕλη γὰρ ἐντ. σημ. τὰ πράγματα Vat. om. tum habet. καὶ πλε. καὶ ἐν πλ. 5 καὶ κοινοτατ. καὶ πορισμ. Vat. om. 6 μὲν Vat. om. idem pro ὦ ἄνδρες bis ὧδε, cfr. ep. crit. p. 28. — Thuc. III. 9.

ὦ ἄνδρες Λακεδαιμόνιοι," καὶ πάλιν τὸ [7] τῶν Κερκυραίων· „δίκαιον, ὦ ἄνδρες, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς μήτε εὐεργεσίας μήτε ξυμμαχίας μεγάλης προοφειλομένης ἥκοντας παρὰ τοὺς πέλας ἐπικουρίας ὥσπερ καὶ ἡμεῖς νῦν δεησομένους ἀναδιδάξαι." καὶ γὰρ ἐνταῦθα ὑπόληψιν θεραπεύει τὴν τοῦ μὴ δεδωκέναι συμμαχίαν, καὶ προτέρους ἥκοντας ἔστιν ἃ μὴ δεδωκότας αἰτεῖν.

β΄. Ὅπως [8] δὲ ταῦτα ἔχει, διελὼν ἐκθήσομαι καὶ καθ' ἕκαστον ἐν μέρει· τουτέστι τίνες εἰσὶν αἱ ὑπολήψεις τῶν προσώπων καὶ τῶν πραγμάτων· διελὼν, φησὶ, τὴν ὑπόθεσιν εἴς τε πρόσωπα καὶ πράγματα ἐρῶ, κατὰ μέρος τὴν ἔκθεσιν αὐτῶν ποιούμενος· τουτέστιν οὐ περὶ παντὸς προσώπου λέγων [9] καθολικῶς τὰς παρακολουθούσας ὑπολήψεις· τοῦτο γὰρ οὐδὲ γενέσθαι δυνατόν· ἀλλὰ μερίζων τὸ πρόσωπον εἴς τε τοὺς δικαστὰς καὶ κατηγόρους καὶ ἀπολογουμένους καὶ εἰς αὐτὰ τὸ κρινόμενα πρόσωπα καὶ εἰς τὰ [10] ἔξωθεν ἐμφαινόμενα, καὶ οὕτως τὰς ὑπολήψεις ἑκάστου τούτων λαμβάνει· ἐξ ὧν καὶ ἡ τῶν προοιμίων εὕρεσις γνωσθήσεται τῶν ἐξ ὑπολήψεων. θέλει οὖν εἰπεῖν [11] ἑκάστου προοιμίου εὕρεσιν ἐν μέρει διαιρῶν αὐτά.

γ΄. Τεθείσης [12] γάρ τοι πάσης ὑποθέσεως ἀνασκοπεῖν ἄξιον, πρῶτον τὸ πρᾶγμα τὸ γεγενημένον ὁποῖόν ἐστιν· ὥστε πᾶσα ὑπόθεσις ἐν ταῖς ὑποληπτικαῖς [13] ἐννοίαις καθυποβάλλεται. ἐξ ὧν δὲ ἔφη [14] τὸ γεγενημένον, τὸ πλεῖστον καὶ κυριώτατον τῶν συμβουλευτικῶν λόγων παρῆκεν. εἴπερ οὐ περὶ τῶν γεγενημένων

---

7 τὸ Vat. addit. — Thuc. I. 32. 8 ὅπως δὲ ταῦτα — ἐν μέρει Vat. om. 9 Vat. λέγων. Vind. λέγω. 10 Vat. εἴς τι ἔξωθεν ἐμφαινόμενον. 11 Vat. ἑκάστου προοιμίου εἰπεῖν εὑρ. 12 τεθείσης — ὁποῖόν ἐστιν Vat. om. 13 Vat. ὑπολληπτικαῖς. 14 ὧν δὲ ἔφη Vat. per lacunam om.

μόνον, ἀλλὰ καὶ περὶ οὗ εἰ δεῖ γενέσθαι τόδε τι[15] ἢ μὴ γενέσθαι μάλιστα συμβουλεύειν ἐγειρόμεθα.[16]

δ'. Καὶ περὶ οὗ ἡ κρίσις ἢ τὸ βουλευτήριον συνέστηκε. Τρία τῆς ῥητορικῆς εἰσιν εἴδη, δικανικὸν, συμβουλευτικὸν, πανηγυρικόν· συμπροελθοῦσα γὰρ τῇ τοῦ ἀνθρώπου ψυχῇ ἡ ῥητορικὴ εἰς ἀναλογοῦντα διῃρέθη ταῖς δυνάμεσι τῆς ψυχῆς· ἅτινά ἐστι λόγος, θυμὸς, ἐπιθυμία· καὶ τὸ μὲν συμβουλευτικὸν ἀναλογεῖ τῷ λόγῳ· ὥσπερ γὰρ ὁ λόγος ἐστὶν ἐν ἡμῖν διὰ τὸ κυβερνᾷν ἡμᾶς ἐπὶ τὰ χρηστὰ, οὕτω καὶ τὸ συμβουλευτικὸν ἀπὸ μὲν τῶν ἀχρήστων ἀποτρέπει ἡμᾶς, πρὸς[17] δὲ τὰ χρηστὰ παροξύνει· τῷ δὲ θυμῷ ἀναλογεῖ τὸ δικανικόν· φασὶν γὰρ εἶναι θυμὸν ζέσιν τοῦ περὶ καρδίαν αἵματος δι' ὄρεξιν ἀντιλυπήσεως· πρὸς γὰρ τὸ λυπῆσαι τὸν ἀντιλυπήσαντα διανίσταται ὁ θυμός· ὁμοίως[18] δὲ καὶ τὸ δικανικόν ἐστιν·

Ἄνδρ' ἐπαμύνεσθαι, ὅτε τις πρότερος χαλεπήνῃ.

τὸ δὲ πανηγυρικὸν ἀναλογεῖ τῇ ἐπιθυμίᾳ. ἡ γὰρ ἐπιθυμία τέλος ἔχει τὸ καλόν· τριῶν οὖν εἰδῶν ὄντων τῆς ῥητορικῆς δοκεῖ τισι μὴ διαλαβεῖν[19] τὸν τεχνικὸν περὶ προοιμίων τῶν τριῶν εἰδῶν, ἀλλὰ τοῦ δικανικοῦ καὶ[20] συμβουλευτικοῦ, ἧττον δὲ τοῦ πανηγυρικοῦ φροντίσαι· ἀλλὰ μὴ φορητὴν ἡγούμενος τὴν τοῦ τεχνικοῦ διαβολὴν δέον ἐνενόησα[21] ὑποδηλῶσαι ὡς καὶ περὶ[22] τοῦ πανηγυρικοῦ ἐν αὐτοῖς διείληφεν· ἄλογον γὰρ ἦν οἶμαι τέχνην διδάσκοντα μὴ διαλαβεῖν περὶ πάντων τῶν ὑπ' αὐτῆς περιεχομένων, ἀλλὰ τινὰ μὲν διδάξαι καὶ καλῶς ἑρμηνεῦσαι,

---

15 τό δε τι Vat. om. 16 Med. Vind. ἀγειρόμεθα. Vat. ἐγειρ. 17 Vat. εἰς. 18 ὁμοίως δὲ — ἐπαμύνεσθαι Vind. om. contra Vat. alteram versus partem τῆς πρότερον χαλεπήνῃ per lacunam om. — Il. Τ. 183. ἄνδρ. ἐπαρέσσασθαι. 19 Vat. διαλαμβάνειν. 20 Vat. καὶ τοῦ συμβ. 21 Vat. ἐνόμισα. 22 περὶ Vat. om.

τινὰ δὲ καὶ μάλιστα χρειώδη τε καὶ ἀναγκαῖα καταλιπεῖν[23] *ἀμνημόνευτα· προσέτι*[24] *γὰρ καὶ ἀποτεινάμενος*[25] *περὶ τῶν δυὸ εἰδῶν διαλαβὼν ἐσίγησε τὰ τοῦ πανηγυρικοῦ· ἆρα γὰρ ὡς δυσχεροῦς ὄντος καὶ τοῦ τεχνικοῦ μὴ ἐξικνουμένου τὰ περὶ αὐτοῦ διελθεῖν, ἢ ὡς*[26] *μὴ ὄντος ἀναγκαίου τοῦ πανηγυρικοῦ· καὶ διὰ τοῦτο παρ' αὐτοῦ ὀλιγωρηθείτω· καὶ ὅτι μὲν οὐκ ἀδυναμίας γραφὴν κατ' αὐτοῦ τις εἰσαγάγοι, παντί που δῆλον· τίς γὰρ ἂν ἄλλος, εἰ οὐκ αὐτός, περὶ αὐτῶν διαλήψεται· τίς δὲ καὶ φαίη μὴ εἶναι τὴν τοῦ ἐπιδεικτικοῦ διδασκαλίαν τῶν πάνυ ἀναγκαίων·* [27] *ἢ οὐχὶ καὶ αὐτὸς ὁ καθηγεμὼν τῷ εἴδει ἐκείνῳ φαίνεται χρησάμενος ἔν τε*[28] *τῷ ἐπιταφίῳ καὶ τισιν ἑτέροις, ἐν οἷς δικαζόμενος καὶ κατηγορῶν τὰ τοῦ ψόγου κεφάλαια τίθησι λίαν ἠκριβωμένως· καὶ πάλιν ὑπεραπολογούμενος τὰ τοῦ ἐγκωμίου, ὡς ἐν*[29] *τοῖς κατὰ Ἀνδροτίωνος καὶ τοῖς παραπρεσβείας*[30] *καὶ ἄλλοις πλείστας ἐνέφηνεν. Ἰσοκράτην δὲ καὶ κατολιγωρῆσαι μὲν τῶν ἄλλων, τοῦ δὲ ἐπιδεικτικοῦ ὅλον γενέσθαι· ἀλλ' ὥσπερ ἐν ταῖς στάσεσι περὶ τοῦ δικανικοῦ διαλαμβάνων καὶ τοῦ συμβουλευτικοῦ συμπεριέλαβε καὶ τὸ ἐπιδεικτικόν, κἂν οὐκ ἰδίως τὸν αὐτὸν δὴ τρόπον καὶ ἐν τοῖς περὶ προοιμίου διδάσκων*[31] *τὰ δικανικὰ καὶ τὰ συμβουλευτικὰ συμπεριείληφε καὶ τὰ ἐπιδεικτικά· καὶ εἰ μὴ ἐν τοῖς ὑπομνήμασι τῶν παλαιῶν ἡ μαρτυρία τῶν προλεχθέντων εὑρίσκετο, ὅπως ἐν τῷ περὶ στάσεων συμπεριλαμβάνεται τὸ ἐπιδεικτικὸν τοῖς λοιποῖς εἴδεσι, τῷ τε δικανικῷ φημι καὶ τῷ συμβουλευτικῷ, τάχα ἂν ἡμεῖς τοῦτο σαφῶς ἐπεδείξαμεν·*[32] *ἀλλά, φασί τινες, ὅτι κρίσιν εἰπὼν καὶ βουλευτήριον τὰ δύο μόνα εἴδη τῆς ῥητορικῆς δοκεῖ μνήμης ἀξιῶ-*

23 *παραλιπεῖν* Vat. 24 Vat. *πρὸς τί.* 25 Vat. *ἀποτεινόμενος.* 26 *ὡς* Vind. *καὶ* Vat. 27 Vat. *οὐ.* 28 *ἐν τε τῷ — ἑτέροις* Vat. om. 29 *ἐν* Vat. om. 30 Vat. *τοῖς περὶ πρεσβ.* 31 *διδάσκων* Vat. om. 32 Vat. *ἐνεδείξαμεν.*

σαι· καὶ δῆλός ἐστι καὶ αὐτὸς εἰδὼς, ὅτι περὶ τῶν ἐγκωμιαστικῶν προοιμίων οὐδεμίαν φροντίδα εἰσενήνοχεν·[33] ἀλλὰ περὶ τούτου τάχα τις τὸ τῆς κρίσεως ὄνομα βιασάμενος ἐρεῖ συμπεριειληφέναι καὶ τὰ ἐγκώμια· κρίνουσι γὰρ οἱ ἀκροαταὶ ἤδη καὶ πράξεις[34] τῶν ἐπαινουμένων ἢ ψεγομένων· ἐν[35] τῷ τῆς κρίσεως οὖν ὀνόματι καὶ τὸ πανηγυρικὸν συμπεριέλαβεν· κρίσις γάρ ἐστι γενικῷ λόγῳ ἀγαθοῦ ἢ κακοῦ, καὶ ἡ κατὰ τὸ πανηγυρικὸν ἐπισκοποῦσα τὰ πράγματα μεταχείρισις· τάχα δ' ἄν τινα τὸ εἰρημένον παρεῖχε[36] παραμυθίαν τῷ ῥητῷ, εἰ μὲν[37] αὐτὸς ἐφεξῆς παρ' ὅλην τὴν διαίρεσιν δικάζοντας καὶ κατηγοροῦντας καὶ ἀπολογουμένους καὶ ἐγκλήματα ἔχοντας εἰσάγει, ἐπαινοῦντας δὲ ἢ ψέγοντας ἢ ἐπαινουμένους οὐδαμοῦ· ἢ ἐρεῖ τις, ὅτι τούτῳ γε τῷ λόγῳ οὐδὲ περὶ συμβουλευτικῶν προοιμίων συγχωρεῖ[38] τις αὐτῷ λόγον ποιεῖσθαι, καίτοι φανερός ἐστι καὶ ἐπισημαινόμενος καὶ παραδείγματα φέρων λόγου συμβουλευτικοῦ. ἀλλ' οὖν κατὰ τὴν διαίρεσιν οὐ λέγει συμβούλους ἢ συμβουλευόμενον, ἀλλ' οἶδεν ἴσως, ὡς ἀφ' ἑνὸς τῶν τριῶν εἰδῶν τοῦ λόγου καὶ περὶ τῶν ἄλλων ἀφορμὴν τοῦ κοινοῦ νοήματος διδούς· διὸ[39] ἀπέριττος μᾶλλον καὶ σαφὴς δόξειεν ἂν[40] αὐτοῖς συγγνωμονοῦσιν.[41]

ε'. Ἐν προβλήμασι[42] γὰρ ἢ κρίνομεν ἢ βουλευόμεθα· κρίσις μὲν γίνεται ἐπὶ τῶν προβλημάτων τῶν δικανικῶν, ἅ τινα ὑποπίπτει πάσαις ταῖς στάσεσι, πλὴν τῆς πραγματικῆς· βουλὴ δὲ συνίσταται ἐπὶ τῆς πραγματικῆς μόνης· καὶ γὰρ αὕτη μόνη περιέχει τὸ συμβουλευτικὸν εἶδος τῆς ῥητορικῆς· προβλήμασι δὲ λέγει

33 Vat. εἰσενήνεγκεν. 34 Vind. addit: ἀκούοντος, quod Vat. om. 35 ἐν Vat. om. 36 παρεῖχε Vat. addit, Vind. om. 37 μὲν Vind. μὴ Vat. 38 Vat. συγχωρεῖ. Vind. ἐγχωρεῖ. 39 διὸ Vat. om. 40 ἂν Vat. om. 41 Vat. εὐγνωμονοῦσιν. 42 Vind. ad marg. Ἐν τοῖς ζητήμασιν ἢ ταῖς ὑποθέσεσι.

τοῖς ἐξεταζομένοις ζητήμασιν, ἣ πρόβλημα καλεῖ, ὃ ἀνωτέρω εἶπεν, ὑπόθεσιν, ὡς τοῦτο· παρίστατό τις ἐπ᾽ ἐρημίας νεοσφαγεῖ σώματι βαστάζων ξίφος ᾑμαγμένον, καὶ φεύγει φόνου· οὐ τὸ πανηγυρικὸν δὲ ἐκβαλεῖν βουλόμενος ἐκ τοῦ περὶ προοιμίων[43] ταῦτά φησιν, ἀλλὰ παραλαμβάνει καὶ τοῦτο· κρίσιν γὰρ γενικῷ λόγῳ[44] καὶ τὴν ἀγαθοῦ καὶ κακοῦ ἐπίσκεψιν δηλοῖ, ὡς ἤδη εἴρηται, ἤ τινι καὶ τὴν ἐν πανηγυρικῷ λόγῳ[45] μέτιμεν μεταχείρισιν.

ς΄. Δεῖ τοίνυν σκοπεῖν τὸ πρᾶγμα εἴτε καλόν ἐστιν εἴτε φαῦλον· οὐκ ἀπὸ τοῦ[46] πράγματος μόνον ἀλλὰ καὶ ἀπὸ τῶν ἄλλων περιστατικῶν γίνεται προοίμια· διὰ δὲ τοῦ ἑνὸς καὶ τὰ ἄλλα εἶπεν· ἐπιτηρητέον δὲ τὴν διαίρεσιν, οὐ γὰρ ἀνάγκη τὸ πρᾶγμα ἢ χρηστὸν ἢ φαῦλον ὑπολαμβάνειν τοὺς ἀκροατάς· πολλῶν γὰρ καὶ οὐδετέρων φέροντες ἐν αὐτοῖς τὴν ὑπόληψιν μέσως περὶ τὸ πρᾶγμα ποιοῦνται τὴν ἀκρόασιν· ἔτι πρὸς τούτῳ πολλαὶ τυγχάνουσιν ὑποθέσεις, ὧν οὐδόλως ἔχοντες ὑπολήψεις, οὐδὲ γὰρ γνῶσιν, ὅμως ἥκουσιν[47] ὡς ἀκοῦσαι· ὥστε τὰ ἐπὶ τούτων προοίμια διαφεύγει καὶ αὐτὴν τὴν ἐπιβολὴν τῆς διαιρέσεως· ἐχρῆν οὖν διαιρούμενον τὰ περὶ τὸ πρᾶγμα λέγειν ὡς ἢ[48] ἔχουσιν ὑπόληψιν ἢ οὐκ ἔχουσιν, περὶ αὐτὸ οἱ ἀκροαταί· καὶ εἰ[49] ἔχουσιν, ἢ χρηστὴν ἢ φαύλην ἢ μεσάζουσαν· καίτοι οὐδὲ τοῦτο ἀπόχρη. πολλάκις μὲν γὰρ ἔχουσί[50] τινας οἱ ἀκροαταὶ περὶ τὸ πρᾶγμα ὑπολήψεις, ὁ δὲ ῥήτωρ ταύτας παρεὶς ἐκ τοῦ μᾶλλον αὐτῷ συμφέροντος προοιμιάζεται· ὥστε ἔδει ἐπιδιαιροῦντα λέ-

43 Vat. βουλόμενος τοῦ προοιμίου. 44 Vind. λόγου. Vat. λόγῳ. cfr. Vol. V. p. 370. v. 13—15. 45 λόγου μέτειμεν, scr. λόγῳ μέτιμεν. tum Vind. μεταχείρησιν. Vat. μεταχείρισιν. 46 τοῦ Vat. addit. 47 Vind. ἡκουσίως. Vat. ἥκουσ'. scripsi ἥκουσιν ὡς. 48 ἢ Vat. addit. 49 εἰ Vat. οἱ Vind. 50 Vat. πολλ. γὰρ ἔχουσι μέν.

γειν, καὶ τούτων ἑκάστην ὑπόληψιν ἢ συμφέρουσαν οἶδεν, ὁ ῥήτωρ, ἐὰν μνημονεύσῃ·[51] ἢ μᾶλλον ταύτης ἑτέραν[52] ἔχει συμφέρουσαν καὶ ταύτην ἑξῆς ὑποτέμνειν. εἰ δὲ σχολῆς δεῖσθαι[53] φήσει τις τὴν[54] ἐπὶ τοιοῦτον τῆς τομῆς πρόοδον, ἴστω ὡς οὐδεμία τέχνη ἐξ ἐφόδου ἀπαρτίζεται, καὶ ὅτι οὐδὲ τὴν ἀρχὴν ἔδει τάττειν ὑπὸ διαίρεσιν τὰ προοίμια, ἀλλὰ τὸ πλῆθος αὐτῶν ὀκνεῖν ὁμολογεῖν,[56] ἢ ἀρξάμενον μὴ πολλὰ παρέντα δόξαι τι σοφὸν ποιεῖν.

ζ. Εἶτα ἑξῆς τὰς περὶ τὸ πρόσωπον ὑπολήψεις ἑκάστου τῶν δικαζόντων, τῶν[57] κατηγορούντων, τῶν ἀπολογουμένων, τῶν ἐχόντων αὐτὰ τὰ πράγματα καὶ τὰ ἐγκλήματα· ἐκ τούτων δηλοῦται, ὅτι ἀπὸ τῶν περιστατικῶν τὰ προοίμια λαμβάνεται· ὁ δὲ τεχνικὸς τὸ μὲν[58] εἰπών σοι νοεῖν τὰ ἄλλα κατέλιπε· πρὸς δὲ τούτοις διαίρεσιν τῶν προοιμίων ποιούμενος ἕκαστον λέγει προοίμιον λαμβάνεσθαι ἢ ἐξ ὑπολήψεως ἢ ἐξ ὑποδιαιρέσεως, ἢ ἐκ περιουσίας, ἢ χρόνου. ἔχειν δὲ[59] τὰ πράγματα ἢ χρηστὰ ἢ φαῦλα πρὸς τούτοις καὶ τὰ ἐμφερόμενα τῷ πράγματι πρόσωπα λέγει, ὡς ἔνεισι καὶ τούτοις ὑπολήψεις. ἀγαθοῦ γὰρ ὄντος ἀγαθὴν εἶναι ἀνάγκη καὶ τὴν ὑπόληψιν. δικάζοντες μὲν οὖν εἰσιν οἱ κριταὶ, κατηγοροῦντες δὲ οἱ τοῖς διώκουσι συναγωνιζόμενοι, ἀπολογούμενοι δὲ οἱ τοῖς φεύγουσι βοηθοῦντες· οὓς ἡ συνήθεια ἀμφοτέρους ἐντελεῖς[60] οἶδε καλεῖν· οἱ ἔχοντες δὲ τὰ πράγματα καὶ τὰ ἐγκλήματα ὁ διώκων ἐστὶν καὶ ὁ φεύγων, ὡς ὁ Δημοσθένης καὶ Μειδίας ὁ τὴν κατηγορίαν ἔχων τῆς ὕβρεως καὶ τῆς ἀσεβείας.

51 Vat. μνημονεῦσαι. 52 Vat. ἑτέραν Vat. om. 53 δεῖσθαι Vat. addit. Vind. om. 54 Vind. τὸν, Vat. τήν. 55 Vind. ταύτην. 56 ὁμολογεῖν Vat. per lacunam om. 57 τῶν ex Hermog. inserui. 58 Vat. τὸ μὲν εἰπὼν τούτοις om. 59 δὲ καὶ Vat. 60 Vat. ἀτολεῖς.

η'. Τῶν ἔξωθεν ἐμφαινομένων· οἱ ἔξωθεν ἐμφαινόμενοί εἰσιν οἱ ἔξω τούτων,[61] οἷον οἱ πολέμιοι καὶ οἱ ἐχθροὶ, οἷον τρισαριστέως εἰκόνα ἔστησαν οἱ πολέμιοι·[62] τίνος ἕνεκα εἰκόνα ἔστησαν; οὗτοι γοῦν πάντες οἱ συνειλεγμένοι δικάσοντες ἢ κατηγορήσοντες[63] ὑπολήψεις ἔχουσιν· ἢ γὰρ εὐμενεῖς εἰσιν οἱ δικασταὶ ἢ οὔ ἢ οὐδέτερον· ἂν μὲν οὖν εὐμενεῖς ὦσιν ἡμῖν, ἢ παρήσομεν τὸ περὶ τῆς εὐνοίας ἢ πρὸς ὀλίγον θήσομεν.[64]

θ'. Δειχθέντος, φησὶ, τούτου, τοῦ καὶ τὰ πρόσωπα καὶ τὰ πράγματα ὑπολήψεις ἔχειν, ἀναγκαῖον εἰπεῖν, ὅπως εἰς τὰ προοίμια ταῦτα παραληψόμεθα, ἀντὶ τοῦ πῶς ἔχομεν ἐξ αὐτῶν τὸ προοίμιον κατασκευάσαι.

ι'. Τὴν ποιότητα τοῦ πράγματος λέγει, τὸ γὰρ ποταπόν ἐστι, δήλωσιν ἔχει τοῦ πολλάκις χρηστὸν εἶναι, μὴ τοιοῦτον δὲ ὑπολαμβάνεσθαι· διὸ καὶ προσθήκη τοῦ ποταπὸν ὑπείληπται, ἐνδέχεται γὰρ ἕτερον μὲν εἶναι τὸ πρᾶγμα, ἑτέραν δὲ ὑπόληψιν ἔχειν περὶ αὐτοῦ τοὺς πολλούς· ἡ γὰρ περίστασις ποιεῖ, μὴ χρηστὸν εἶναι αὐτὸ, οἷον ὡς ἐπὶ τοῦ στρατηγοῦ τοῦ διακόψαντος τὸ τεῖχος,

---

61 Vat. τούτων πάντων. 62 οἱ πολέμιοι — ἔστησαν Vind. om., recepi ex Vat. 63 Vat. δικάσασθαι ἢ κατηγορήσασθαι. 64 Quae sequuntur, eadem sunt, quae Vol. V. p. 371. v. 1. — p. 372. v. 9. cum additamento tomi VII. v. 2. Vat. τὴν ἔχθραν. v. 4. Vat. Vind. οὐ δίκαιον. v. 8. et 9. Vat. πειρασώμεθα, ἐπαινεσώμεθα. v. 14. Vind. φεύγῃ in Vind. et Vat. sequitur additamentum tomi VII. Vind. θρασ. τις κ. σκλ. ἀεὶ. Vat. ἀεὶ om. tum Vind. ἢ καὶ καλλωπ. Vat. ἢ εἰ καλ. v. 15. Vind. Vat. ἀπὸ τῶν ἔξωθεν ἐμφαινομένων, τουτέστι γνωρίμων καὶ φίλων, οἷον εἰ. v. 16. consentiunt cum Vol. VII. v. 17. τῶν ante παρεπομ. Vat. om. v. 19. Vind. μεταχειριζόμεθα. Vind. et Vat. τὸ δὲ πρ. p. 372. v. 1. Vind. Vat. οἷον λοιδ. v. 2. Vind. Vat. διαβάλοις [Vind. διαβάλλει] οὕτως, ὅτι. v. 4. Vat. ἀκατάσκευος. uterque λύσεις δὲ οὕτω τως δ. v. 16. Vat. ἔχομεν. v. 17. Vat. καὶ διά. v. 18. ὡς Vind. om. v. 20. Vind. Vat. μὴ κοινωνεῖν. v. 21. Vat. ταῖς δὲ — διαβολαῖς.

καὶ ὡς ἐπὶ τοῦ ξένου, τοῦ ἐπὶ τὸ τεῖχος ἀναχθέντος[65] *καὶ ἀριστεύσαντος. Πρᾶγμα μὲν γὰρ οὗτος εἴργασται καλὸν, τοιοῦτον γὰρ ἡ ἀριστεία· ἡ μέντοι περίστασις τοῦ προσώπου παρανομίας ὑπόληψιν αὐτῷ παρέχει.*

ιά. Κοινότερον ἐνταῦθα φησὶ δικαστὰς τούς τε ἰδίως λεγομένους δικαστὰς καὶ τοὺς βουλευτάς.

ιβ. Εἰπὼν ἀνωτέρω σκοπεῖν τὰς περὶ τὸ πρόσωπον ὑπολήψεις ἑκάστου τῶν δικαζόντων, τῶν κατηγορούντων, τῶν ἀπολογουμένων, τῶν ἐχόντων αὐτὰ τὰ πράγματα καὶ τὰ ἐγκλήματα τῶν ἔξωθεν ἐμφαινομένων ἑκάστου βούλεται εἰπεῖν διαίρεσιν. καὶ τέως νῦν λέγει περὶ τῶν δικαζόντων, ὅτι οἱ δικάζοντες ἢ χαρᾶς ὑπόληψιν ἔχουσιν, ὡς χρηστοῦ ὄντος τοῦ πράγματος, ὡς νίκης κατὰ πολεμίων ὑπὸ φυγάδων γενομένης, ἢ χαλεπαίνουσιν, ὡς φαύλου ὄντος τοῦ πράγματος, οἷον εἰργάσατό τις φόνον, ἢ οἰκτείρουσιν, ὡς ὠμῆς πράξεως γενομένης· οἷον ἐνώπιόν τις τῆς μητρὸς ἀπέκτεινε τὸν αὐτῆς υἱὸν, ἢ χαλεπαίνουσιν ἅμα καὶ οἰκτείρουσιν, ὡς δύο τινῶν φαύλων γεγενημένων, οἷον ἐνώπιόν τις τῆς μητρὸς ἀπέκτεινε τὸν υἱὸν, καὶ ἀπέθανεν ἡ μήτηρ τοῦ ἀναιρεθέντος. Πρὸ[1] *δὲ τῆς τῶν προοιμίων ἐκθέσεως ἀναγκαῖόν ἐστι τοῦτο μαθεῖν, ὅτι δεῖ ζητεῖν ἐν αὐτοῖς κεφάλαια τρία, τί τὸ γεγονὸς πρᾶγμα, καὶ*[2] *τὸ πρόσωπον, δι' οὗ ἐγένετο, καὶ τὸ κεφάλαιον, πρὸς ὃ ἀνάγεται· εἶτα δεῖ ζητεῖν ἐπὶ τοῦ γεγονότος πράγματος*[3] *χρόνον, τόπον,*[4] *τρόπον, αἰτίαν, πρᾶξιν, οἷον τί τὸ γεγονὸς πρᾶγμα, καὶ πότε ἐγένετο, καὶ πῶς καὶ ποῦ, καὶ διὰ τί· οἷον κλοπὴ, φησὶν, ἐστὶ τὸ πρᾶγμα, ἥτις ἐν ὥρᾳ μέσης νυκτὸς γέγονεν ἐν τῇ ἐμῇ ἔνδον οἰκίᾳ, τοῦ τοίχου διορυχθέντος, ἵνα ἐγὼ πτωχὸς γένωμαι· ἐπὶ δὲ τοῦ προσώπου δεῖ ζητεῖν τὰ ἐπακολουθοῦντα τῷ προσώ-*

---

65 Vat. *ἀνεχθέντος.* scr. *ἀναχθέντος.*

1 Haec sunt etiam in Med. 2 *καὶ* Med. om. 3 Vat. *πρᾶγμα.* Med. *πράγματος.* 4 *τόπον* Med. ponit post *αἰτίαν.*

πω, γένος, ἀγωγὴν, παίδευσιν, ἡλικίαν, φύσιν, τύχην,[5] ἐπιτήδευμα, πρᾶξιν, οἷον τίς ὁ πεπραχὼς, τί[6] τὸ γένος αὐτοῦ, τίς ἡ ἀγωγὴ, τίς ἡ παίδευσις, ἡ ἡλικία, ἡ φύσις, ἡ τύχη, καὶ τὰ ἑξῆς, οἷον Χαρίδημός ἐστιν ὁ πεπραχὼς, ὁ ὑπάρχων γένους πονηροῦ, ἀγύρτης, κάπηλος, ἀμαθὴς, νέος, θυμώδης, τέκτων, ἄγαμος.[7] Περὶ δὲ τοῦ κεφαλαίου, ὅτι ιγ' τὰ κεφάλαια τὰ ζητούμενα, στοχασμὸς, ὅρος, πραγματικὴ, ἀντίληψις, ἀντίστασις, ἀντέγκλημα, μετάστασις, συγγνώμη, ῥητὸν καὶ διάνοια, ἀντινομία,[8] συλλογισμὸς καὶ ἀμφιβολία· ἡ δὲ μετάληψις ἐν τούτοις πᾶσιν[9] εὑρίσκεται· δεῖ οὖν τὸ κεφάλαιον εὑρίσκειν οὕτως· διαστήσας τὸν ἐλέγχοντα καὶ ἐλεγχόμενον λέγε, ἆρά γε, ὅπερ φατὲ, φανερόν ἐστι παρ' ἀμφοτέροις ἐπ' ἴσης ὁμολογούμενον γεγονέναι ἢ ἀφανές· καὶ εἰ μὲν ἀφανὲς, ἀπό τινος δὲ[10] φανεροῦ σημείου γενόμενον, ἔσται στοχασμός· εἰ δὲ φανερὸν, πάλιν λέγε· τέλειόν ἐστιν ἐπὶ τελείᾳ τῇ πράξει συγκατατιθέμενον, ἢ ἀτελές· ἔστι γάρ τινα, ὧν ἡ μὲν ἀρχὴ γέγονε, τέλος δὲ οὔ· ζητήσας οὖν καὶ εὑρὼν, ὅτι ἀτελές ἐστιν, ὅρος ἐστὶν, εἰ δὲ τέλειον, λέγε, περὶ τίνος ἄρα δικαιολογεῖσθε, περὶ αὐτὸ τὸ πρᾶγμα, εἰ δίκαιόν ἐστιν ἢ ἄδικον, ἢ[11] μὴ περὶ αὐτό. εἰ μὲν οὖν μὴ περὶ αὐτὸ, ἢ περὶ ῥητὸν καὶ διάνοιαν, ἢ συλλογισμὸν ἢ ἀμφιβολίαν· εἰ δὲ περὶ αὐτὸ τὸ πρᾶγμα, περὶ τοῦ ἤδη γεγονότος πράγματός ἐστιν, ἢ περὶ μέλλοντος, καὶ εἰ μὲν περὶ μέλλοντος, ἔσται πραγματική· εἰ δὲ περὶ τοῦ ἤδη γεγονότος πράγματος, ἐπερώτα πάλιν· ὁμολογεῖ τοῦτο πεποιηκέναι ὡς ἀδίκημα, ἢ οὐχ ὁμολογεῖ· καὶ εἰ μὲν οὐχ

---

5 τύχην Med. om. 6 Med. τί αὐτοῦ τὸ γένος. 7 Vat. ἄσημος. Med. ἄγαμος. 8 Med. συλλογισμὸς, ἀντινομία. 9 Med. πᾶσιν. Vat. πάλιν. 10 Med. δὲ σημείου φανερούμενον. Vat. δὲ φανεροῦ οὐ σημεῖον γενόμενον. 11 Med. ἢ περὶ ῥητὸν καὶ διάνοιαν. καὶ εἰ μὲν περὶ ῥητόν ἐστι καὶ διάνοιαν, ἢ συλλογισμὸς ἔσται ἢ ἀμφιβολία.

ὁμολογεῖ, ἔστιν ἀντίληψις, εἰ δὲ ὁμολογεῖ, πάλιν ὅρα, εἰς τί τῶν ἔξωθεν μεθίστησι τὸ ἔγκλημα, ἢ εἰς αὐτὸν τὸν παθόντα· καὶ εἰ μὲν εἰς αὐτὸν τὸν παθόντα, ἔσται ἀντέγκλημα· εἰ δὲ εἴς τι τῶν ἔξωθεν, ἢ εἰς πάντη ἀνεύθυνον πρᾶγμα ἢ [12] πρόσωπον, καὶ ἔσται συγγνώμη· ἢ εἰς ὑπεύθυνον, καὶ ἔσται μετάστασις· μετὰ ταῦτα πάντα ἀπάρχεσθαι τοῦ λέγειν θέλων ἀπάρχου τριχῶς· ἢ ἐκ τῆς σεαυτοῦ [13] διαθέσεως, ἢ ἐκ τῆς τῶν ἀκροατῶν ἕξεως, ἢ ἐκ τοῦ ἀναιρεῖν τὴν ἑαυτοῦ ὑπόληψιν. Ἐκ δὲ τῆς σεαυτοῦ [14] διαθέσεως εἰ δεῖ προοιμιάσασθαι, ὅρα τὴν σεαυτοῦ διάθεσιν, καὶ τὸ [15] ὅπως ἄρα περὶ τοῦ προτεθέντος κεφαλαίου διετέθης, οἷον εἰ ἀγανακτῶν, ἀπιστῶν, [16] ἐλεῶν, ὀργιζόμενος, θυμούμενος, καὶ ἐντεῦθεν ἄρχου· εἰ μὲν γὰρ πρὸς τὸ γεγονὸς ἀγανακτεῖς, λέγε, εἴθε [17] μὴ τοιοῦτον ἀκήκοα γεγονὸς πρᾶγμα, εἰ δὲ πρὸς τὸ πρόσωπον, οἷον Χαρίδημον, λέγε, [18] εἴθε μηδὲ τοῦ ὀνόματος τούτου ἀκήκοα [19] ποτε· εἰ δὲ πρὸς τὸν χρόνον, λέγε, πονηρός μοι [20] ὁ χρόνος· ὁμοίως ἐπὶ τόπῳ καὶ τρόπῳ· [21] ἐκ δὲ τῆς τῶν ἀκροατῶν ἢ δικαστῶν ἕξεως, ὅρα ὡς περὶ τὰ ὑπόδικα πρόσωπα ἢ χρησταί εἰσιν αἱ ὑπολήψεις, ἢ φαῦλαι· καὶ εἰ μὲν χρησταὶ, λέξομεν οὕτως, οἷον τὸν Χαρίδημον οὐκ ἀγνοῶ, ὡς ἀγαθὸν μέν τινα, [22] ὦ ἄνδρες, ὑπολαμβάνετε· ἐγὼ δὲ οὐ μόνον μὴ [23] ἀγαθὸν, ἀλλὰ καὶ δεινὸν πειράσομαι δεῖξαι· εἰ δὲ φαῦλαι, ταύτας μεγαλυνοῦμεν, οἷον, „τὴν [24] μὲν ἀσέλγειαν καὶ τὴν ὕβριν, ᾗ πρὸς πάντας κέχρηται Μειδίας, οἶμαι μηδένα ὑμῶν ἀγνοεῖν·“ πάλιν οἱ ἀκροαταὶ, καθά φησι καὶ

---

12 Med. ἢ εἰς. 13 Med. ἑαυτοῦ. 14 Med. αὐτοῦ. 15 τὸ Med. om. 16 Med. ἢ ἀπ. ἢ ἐλ. ἢ ὀργ. ἢ θυμ. 17 Vat. Med. εἴτε, scr. εἴθε. 18 Med. οὕτως. 19 Med. ἀκήκοα τούτου. 20 Med. μέν. 21 Med. καὶ τρόπῳ. Vat. ἢ om. 22 Med. τινὰ, Vat. τινὲς ὑμῶν. 23 μὴ Med. om. 24 Or. in Mid. init.

ὁ τεχνικὸς, ἐπειδὴ περὶ τὰ γεγονότα, εἰ μὲν χρηστά εἰσιν, εὐφραίνονται, εἰ δ' ἄχρηστα, χαλεπαίνουσιν· ἐπὶ μὲν τῶν χρηστῶν λέγε· ὁρῶ μὲν ὑμᾶς, ὦ δικασταὶ, [25] χαίροντας ἐπὶ τῷ γεγονότι, εἰ δὲ χαλεπαίνουσιν, [26] ὁρῶ μὲν ὑμᾶς χαλεπαίνοντας.

ιγ'. Ἀντὶ τοῦ εἰπεῖν, ὦ ἄνδρες βουλευταὶ, πραγματικῆς οὔσης τῆς στάσεως, καὶ συμβουλευτικοῦ τοῦ εἴδους τῆς ῥητορικῆς, ἔφη, ὦ ἄνδρες δικασταί· χρὴ δὲ σκοπεῖν ἐν τοῖς προοιμίοις πρῶτον τὰς καθολικὰς ἐννοίας καὶ γενικὰς, εἶτα τὰς μερικωτέρας καὶ εἰδικὰς, καὶ ὅτι αἱ καθολικαὶ ἁρμόζουσι ταῖς μερικαῖς, ὡς ἐπὶ τῶν ὑπαλλήλων γενῶν τε καὶ εἰδῶν, οὐ μὴν τὸ ἀνάπαλιν.

ιδ'. Φυγάδες οἱ ἐξόριστοι, οἱ ἐπί τισιν αἰτίαις ψυχὴν καταδικασθέντες.

ιε'. Ἀντὶ τοῦ ἀνακαλεῖσθαι ἐκ τῆς ἐξορίας· τὸ δὲ γράφει ἀντὶ τοῦ συμβουλεύει, ὡς καὶ τὸ προοίμιον δηλοῖ, τοῦ συμβουλευτικοῦ ὄν.

ις'. Ἰστέον, ὅτι τρεῖς τόπους τὸ προοίμιον ἐπιδέχεται, πρότασιν, κατασκευὴν καὶ συμπέρασμα, ὃ καὶ ἀξίωσις καὶ ἀπόδοσις λέγεται· ἃ κατὰ τί διαφέρουσιν, ἐροῦμεν· καὶ γὰρ πᾶν προοίμιον πρῶτον ἐκ προτάσεως θέλει συγκεῖσθαι· οἷον ἀνάγνωθι· εἶτα κατασκευή· [27] συμβάλλεται γάρ σοι ἡ τῆς ἀναγνώσεως ἐπιμονή· εἶτα συμπέρασμα, ἐπειδὴ οὖν συμβάλλεταί σοι, ἀνάγνωθι, ὅπερ συμπέρασμα ἐνταῦθα ἀπόδοσις λέγεται· τὸ γὰρ προσῆκον κελεύει γίνεσθαι, ὅπερ ἴδιον ἀποδόσεως· ἀξίωσις δὲ ἡ ἱκετεία λέγεται· ὁ γὰρ ἀξιῶν τόδε γενέσθαι οὐ κελεύει, ἀλλ' ἀξιοῖ δεόμενος· πολὺ δὲ διέστηκε τὸ δεῖσθαι τοῦ

25 Med. ὦ ἄνδρες. 26 Vat. χαλεπαίνοντας. Med. χαλεπαίνουσιν, ὁρῶ ἡμᾶς χαλ. Sequitur in eodem: ἰσχὺν τοῦ λόγου· ἰσχὺς τοῦ λόγου, τὸ συντόνως καὶ συνεστραμμένως εἰπεῖν· τοῦτο δέ ἐστι τὸ ἐκθιασκεύως λέγειν, σύντονον γὰρ λέγομεν λόγον τὸν ἐγκατάσκευον. 27 Med. ἀνάγνωθι h. l. repetit.

κελεύειν· τέλειον οὖν προοίμιόν ἐστι τὸ ἐκ τριῶν τούτων συγκείμενον τόπων· εἰσὶ δέ τινα προοίμια ἀπὸ δύο μόνον [28] τόπων, προτάσεως καὶ κατασκευῆς, ἢ ἐκ προτάσεως καὶ συμπεράσματος, οὐδέποτε δὲ γίνεται προοίμιον ἄνευ προτάσεως, οὔτε πάλιν ἐκ προτάσεως μόνης. Τήρει δὲ τοὺς τρεῖς τόπους τοῦ προοιμίου, καὶ [29] ἐπὶ τοῦ ῥηθέντος τῷ τεχνικῷ προοιμίου. πρότασις μὲν γὰρ τοῦ προοιμίου, „τῷ μὲν θεῷ, ὦ ἄνδρες πολῖται," καὶ τὰ [30] ἑξῆς· αἰτία δὲ τῆς προτάσεως ἡ [31] κατασκευή· „ἐπεὶ δὲ καὶ οἱ πολῖται·" ἀπόδοσις δέ, ἣ καὶ ἀξίωσις, „συμβουλεύσων παρελήλυθα, κατάγειν αὐτούς." Ἀξίωσις μέντοι ἐνταῦθά ἐστιν· ὁ γὰρ „συμβουλεύσων παρελήλυθα" λέγων, [32] „ἀποδιδόναι τῇ πόλει, ἣν ἔσωσαν αὐτοί," οὐ κελεύει, ἀλλὰ δεῖται· πᾶν δὲ προοίμιον εἰς ἀξίωσιν τελευτᾷ. ἐπιστατέον δέ, ὅτι δικανικοῦ μὲν καὶ συμβουλευτικοῦ λόγου προοίμια, ὡς καὶ διὰ τῆς διαιρέσεως αὐτῶν καὶ διὰ τῶν παραδειγμάτων ἐστὶ σαφῶς συνιδεῖν παραδέδωκεν· ἐγκωμιαστικοῦ δὲ οὐδ' ὁπωσοῦν οὐδ' ἐφήψατο. ὥστε τὸ ὅλον γένος αὐτῷ τῶν ἐπιδεικτικῶν παρεῖται προοιμίων· ἀλλ' εἰ καὶ διὰ τῶν παραδειγμάτων οὐκ ἔστιν ἰδεῖν αὐτῶν τὴν γένεσιν, ἀλλ' οὖν ἐν τῇ διαιρέσει περιέχεται· ἔστι γὰρ ἀπὸ τῆς χρηστῆς τῶν ἀκροατῶν περὶ τὸ πρᾶγμα ὑπολήψεως ἢ φαύλης, ἐγκωμίου καὶ ψόγου πορίσασθαι προοίμιον, καὶ ἐπεὶ προὐθέμεθα, τὴν διδασκαλίαν τῶν προοιμίων τῶν τριῶν εἶναι εἰδῶν, φέρε τὰ τῆς ἐπαγγελίας ἐκπληρώσωμεν, καὶ ἕκαστον τόπον τῶν προοιμίων παραθέμενοι, τὰ οὐχ ἥκιστα ἀμφιβαλλόμενα ἐξ αὐτῶν καὶ περὶ τῶν λοιπῶν τὴν ἀφορμὴν τοῖς σπουδαίοις παρέξομεν. Ποιησώμεθα οὖν τὴν ἀρχήν, ὅθεν καὶ τῷ τεχνικῷ γέγονεν· ὁ γὰρ θαυμάσιος οὗτος ἀπὸ τῶν πραγμάτων

28 Med. μόνων. 29 καὶ — τεχν. προοιμίου Med. om. 30 τὰ Med. om. 31 Med. ἢ καὶ κατ. 32 λέγων Med. ponit post ὁ γάρ.

ἀρχὴν ποιησάμενος λέγει,[33] πρῶτον μὲν οὖν σκοπητέον τὸ πρᾶγμα, ποταπόν ἐστι, καὶ ποταπὸν ὑπείληπται, χρηστὸν ἢ φαῦλον, καὶ τίνα γνώμην ἔχουσιν οἱ δικασταὶ περὶ αὐτοῦ· καὶ ἑξῆς ὅρα, τί φησιν, τίνα γνώμην ἔχουσιν οἱ δικασταί· ποίου εἴδους εἶναι φήσομεν τοὺς δικαστάς, ἆρα τοῦ συμβουλευτικοῦ τοῦ ἐπιδεικτικοῦ, ἢ τοῦ δικανικοῦ· ἀλλὰ διὰ τῶν δικαστῶν ἀπέφηνε καὶ τοὺς βουλευτὰς τοὺς ἐν τῷ βουλευτηρίῳ, καὶ τοὺς πανηγυριστὰς τοὺς ἐν τῇ ἐκκλησίᾳ· εἰ δὲ μή γε ἐξῶσαι βουλόμενοι ἐπιδεικτικὸν, πλέον ἐφυγαδεύσατε τὸ συμβουλευτικὸν, καὶ καταλέλειπται μόνον τὸ δικανικόν· ἀλλὰ μὴν οὐδεὶς ἂν εἴπῃ σεσιγῆσθαι τὸ συμβουλευτικὸν, ἀλλ' ὑπεισέρχεται ἐξ ἀναλογίας τῷ δικανικῷ. ὅπερ φάναι δεῖν καὶ περὶ τοῦ ἐπιδεικτικοῦ, ἐπεὶ μάτην φασὶ περὶ τοῦ συμβουλευτικοῦ διδάσκειν τὸν Ἑρμογένην, εἴγε μόνον περὶ τῆς στάσεως ψιλῆς διαλαβὼν τῆς πραγματικῆς, τῶν λοιπῶν αὐτῆς λίαν κατεφρόνησεν· ἀλλὰ μὴν καὶ ἐν τῇ τοῦ νόμου εἰσφορᾷ, καὶ ἐν τῷ περὶ μετοικίας, πολέμου τε καὶ εἰρήνης, τί ἄλλο ἢ περὶ τοῦ συμβουλευτικοῦ διαλαμβάνει· ὥστε εἰ διὰ τοῦ εἰπεῖν δικαστὰς καὶ τοὺς ἐν τῇ βουλῇ περιέλαβεν, ἀκόλουθον καὶ περὶ τῶν ἐν τῇ ἐκκλησίᾳ τὸ αὐτὸ καὶ ἡμᾶς οἴεσθαι, ὡς ἂν τὴν τέχνην σχῶμεν τελείαν, μηδενὸς ἐπιδεᾶ τῶν δεόντων ὑπάρχουσαν· καὶ ἅλις μὲν τῶν τοιούτων. τὴν ἀρχὴν δὲ, ὅθεν καὶ ὁ τεχνικὸς, ποιησώμεθα. Τοῦ πράγματος τοίνυν ὄντος χρηστοῦ χαίρειν εἰκὸς τοὺς παρόντας καὶ γεγηθέναι, ὡς ἐπ' ἐκείνου τοῦ προβλήματος· ἤχθησαν τυράννῳ στρατιῶται, γραφὴν ἐσχηκότες Χριστωνυμίας, ἠρωτήθησαν, οὐκ ἠρνήσαντο, ἀντεπηρωτῶντο, ὡμολόγουν, αἰκιζόμενοι ἐκαρτέρησαν, ταῖς τιμωρίαις ἐξέθανον· ἐστεφανώθησαν ἄνωθεν, παρῆλθέ τις ζηλωτὴς τούτους ἐπ' ἐκκλησίας ἐγκωμιάσων· φήσει τοίνυν, ἵνα παρὰ πόδας τοὺς Ἑρμογένους ἀπεικάσω οὑτωσί· „ὁρῶ

33 λέγε πρῶτον ego posui, in codice locus est tineis exesus.

ὑμᾶς, ὦ ἄνδρες εὐσεβεῖς καὶ φιλόχριστοι, περὶ τοὺς τῶν μαρτύρων ἀγῶνας ἀεὶ σπουδαίους καθεστηκότας, καὶ γεγηθότας ἐπὶ τῇ τῶν δυσσεβῶν τυράννων ἥττῃ καὶ τῇ τῶν ἀγωνιζομένων καρτερίᾳ, ἣν καὶ οὗτοι ἔναγχος ἐν ταῖς αἰκίαις ὡς ἀσώματοι ἐνεδείξαντο· ἥκω τῶν ἄθλων ἐπὶ πίνακι λόγοις ὑμῶν παρόντων ὑποζωγραφῆσαι τὰ σκώμματα, μετέπειτα καταλιπεῖν λυσιτελὲς ὑπόδειγμα διὰ τῶν γεγραμμένων οἰόμενος· καὶ ἄλλως τῷ μὲν θεῷ χάρις, ὦ φιλόχριστος καὶ θεία ὁμήγυρις, ταύτην ἰσχὺν παρασχόντι τοῖς ὑπὲρ αὐτοῦ ἀγωνιζομένοις, καὶ τοῖς εἰς αὐτὸν ὁμολογίαν φυλάττουσι, καὶ ὥσπερ τινὰ φύσιν ἀνίκητον[34] τὴν ἀσθενῆ ταύτην καὶ πᾶσι τοῖς πάθεσιν εἴκουσαν ἀναδείξαντι. ἐξ οὗπερ τοὺς νῦν ἐπὶ τὸ βῆμα τὸ τυραννικὸν ἐληλυθότας ἀνωτέρους πάσης τιμωρίας κατείδομεν, καὶ μέχρι τῆς τελευταίας ἀναπνοῆς τὸ στερεὸν τῆς γνώμης πικρῶς αἰκιζομένης διαφυλάξαντας.

ιζ'. Μή τις ὑποδράμῃ σε, φησί, φροντὶς ἕνεκεν τῆς κατὰ τὴν φράσιν ἁπλῆς ἐξαγγελίας, τὸ γὰρ προσῆκον διδασκάλοις πεποίηκα, σαφέστερα καὶ ἁπλούστερα τὰ τῆς τέχνης ἐκθείς.

ιη'. Τὴν ἰσχὺν περιάρας τοῦ λόγου φησίν· ἰσχὺς δὲ λόγου τὸ συντόνως καὶ συνεστραμμένως εἰπεῖν· τοῦτο δέ ἐστι τὸ ἐγκατασκεύως λέγειν, σύντονον γάρ φαμεν λόγον τὸν ἐγκατάσκευον. γυμνὰ δὲ εὔκολα καὶ σαφῆ.

ιθ'. Λέξομεν οὖν τὸ προοίμιον οὕτω λαβόντες, χαλεπαίνειν μόνον, ὡς ἐπὶ φόνου ἁπλῶς, κ. τ. λ. Vol. VII. ιγ'. p. 702.

κ'. Ἀμφοῖν καὶ ὀργῆς καὶ λύπης δηλωτικὸν τὸ παράδειγμα, ὀργῆς μὲν ἐπὶ τῷ τὸν υἱὸν ἀποκτείναντι χάριν τοῦ κατειργασμένου αὐτῷ φόνου, ὃς καὶ τῆς ὀργῆς αἴτιος, ἐλέου δὲ καὶ λύπης ἐπί τε τῇ μητρὶ καὶ ἀναιρεθέντι παιδί.

---

34 Cod. ἀνίκηται.

κά. Τὸ μὲν προοίμιον τοῦ τεχνικοῦ δῆλον· ἀναγκαῖον δὲ ἡμᾶς ἀκόλουθα τούτῳ θεῖναι προοίμια, διὰ τὸ δεῖξαι ἐμπεριεχόμενον τὸ πανηγυρικὸν τοῖς αὐτοῦ· „εἰ δὲ φαῦλον εἴη," φησὶν ὁ τεχνικὸς, „τὸ γεγενημένον, ἀνάγκη τοὺς δικαστὰς (ἡμεῖς δὲ διὰ τὸ ἐπιδεικτικόν φαμεν τοὺς παρόντας) „ἢ χαλεπαίνειν ἢ οἰκτείρειν, ἢ ἑκάτερον πάσχειν." οἷον τύραννος ὑπὲρ εὐσεβείας ἐτιμωρήσατο· τῶν λθ' ἀθλησάντων ὁ εἷς ἐν τῷ τέλει τῶν αἰκισμῶν ἐνέδωκε καὶ παραυτίκα τέθνηκε· λέξομεν οὖν τὸ προοίμιον οὕτως· ἐπειδὴ καὶ ὑμᾶς, ὦ ἄνδρες εὐσεβεῖς καὶ φιλόχριστοι, τῆς ὀλιγωρίας τοῦ ἀθλίως τελευτήσαντος ὁρῶ καὶ λελυπημένους καὶ σκυθρωπάζοντας, καὶ τοῦτον μὲν οἰκτείροντας ὡς πλείστας καὶ ἀνηκέστους τιμωρίας ὑπομείναντα, διὰ δὲ τὸ ἄγαν σκληρὸν καὶ ἀπάνθρωπον τοῦ τυράννου ἀνυποίστους αἰκίας ὑπάγοντας, ἑλκυσθέντας πρὸς τὴν τῆς εὐσεβοῦς πίστεως ἄρνησιν, ἥκω κατηγορήσων μὲν πάνυ δικαίως ὠμότητος τυραννικῆς, ἀποδύρασθαι δὲ τὸν ἀπολωλότα, καὶ τῆς ἑκατέρας ζωῆς ἐπίσης ἀποτυχόντα· ἐμπεριεχομένου οὖν τοῦ πανηγυρικοῦ, ὡς ἐδείξαμεν τοῖς εἰρημένοις τῷ τεχνικῷ εἴδεσι, χρὴ ποιεῖσθαι τὴν διαίρεσιν τῶν πραγμάτων οὕτως· ὑπόληψίς ἐστι τοῖς ἀκροαταῖς περὶ τοῦ προκειμένου πράγματος ἢ χρηστὴ ἢ φαύλη· καὶ εἰ μὲν χρηστὴ, ἢ τινος δεδρακότος, καὶ ἀναφαίνονται συμβουλαὶ καὶ δίκαι καὶ ἐπιδεικτικοὶ λόγοι· συμβουλαὶ, ὡς ἐπὶ τῶν ἀνασωσαμένων Μεγαρέων τὰ γένη τῶν Ἀθηναίων· δίκαι, ὡς ἐπὶ τοῦ ἀριστεύσαντος ξένου ἐπὶ τὸ τεῖχος· ἐπιδεικτικοὶ λόγοι, ὡς ἐπὶ ἐγκωμίου ἢ αὐτομάτως, ὡς ἐπὶ γεγονότος, ὡς ἐπὶ πολεμίων δυσπραξίας, καρπῶν εὐθηνίας, καί τινος τοιούτου· εἰ δὲ φαύλη, ὁμοίως ἢ τινος δεδρακότος, καὶ ἀναφαίνονται συμβουλαὶ καὶ δίκαι καὶ ψόγοι· συμβουλαὶ, ὡς ἐπὶ τοῦ ἀριστεύσαντος μοιχοῦ, καὶ τὴν πανοπλίαν βουλομένου ἀναθεῖναι αὐτοπαρουσιάστως εἰς τὸ ἱερὸν, νόμου τὸν μοιχὸν ἀπείργοντος τῶν ἱερῶν ἐπιβα-

τεύ-

τεύειν· δίκαι ὡς ἐπὶ τοῦ τὸν υἱὸν ἀποκτείναντος ἐνώπιον τῆς μητρὸς, εἶτα καὶ αὐτῆς ἀποθανούσης καὶ κρινομένου αἰτίας θανάτου· ψόγοι, ὡς ἐπὶ Φιλίππου πολλὰ παρασπονδοῦντος, ἢ φύσεως ἀνάγκῃ, καὶ γίνονται ἐπιδεικτικοὶ λόγοι, ὡς ἐπὶ πατρὶ ἢ τινι τῶν οἰκείων τετελευτηκότι, ἢ τινι ἄλλῃ συμφορᾷ περιπαρέντι.

κβ΄. Σκοπεῖν, φησὶ, χρὴ, ὅτι τὰ προοίμια εἰς ἀξίωσιν τελευτᾷ.

κγ΄. Εὑρέσεις τῶν ὑποθέσεων ἢ ὑπολήψεων. Εὑρέσεις γὰρ τὰς ὑπολήψεις κ. τ. λ. Vol. V. p. 373. v. 20. — p. 374. v. 4. Ἀπὸ τῆς εὑρέσεως οὖν τῶν προοιμίων διδασκόμεθα τούτων τὰς προτάσεις εὑρίσκειν, περὶ δὲ τῶν ἄλλων μερῶν τοῦ προοιμίου, κατασκευῆς καὶ ἀποδόσεως, ἤτοι ἀξιώσεως, οὐδὲν ἡ τῶν προοιμίων εὕρεσις πραγματεύεται· ἀ γὰρ καὶ περὶ αὐτῶν μετὰ τὸ συμπληρῶσαι τὴν τῶν προοιμίων εὕρεσιν ἰδίαν ποιεῖται διδασκαλίαν, ἡνίκα περὶ τῶν τοῦ προοιμίου μερῶν διαλαμβάνει, ἀλλ᾽ ὡς φθάσαντές ἔφημεν, ἀπὸ τῆς εὑρέσεως τῶν προοιμίων οὐδὲν ἄλλο πλὴν τὴν πρότασιν εὑρίσκειν διδασκόμεθα.

κδ΄. Δριμύτητα προοιμίου τὴν πρότασιν ἐκάλεσεν· αὐτὸ γάρ ἐστι τὸ συνεκτικώτατον παντὸς προοιμίου. Τὸ οὖν ἀναγκαῖόν ἐστι τὸ δριμὺ, τὸ καθαπτόμενον τῆς διανοίας τῶν δικαστῶν, καὶ αὐτοῦ μὴ δοθέντος οὐδὲν τῶν λοιπῶν ἔσται· [35] τοῦτο δέ ἐστι δριμύτης προοιμίου, τὸ εὐθὺς ἐν τῷ προοιμίῳ ἐμφανίζειν τὴν πᾶσαν ὑπόθεσιν· ὡς τὸ „τί δαὶ οἱ Μακκαβαῖοι, τούτων γὰρ ἡ παροῦσα πανήγυρις.“

Ἐκ τοῦ κατηγόρου.

κε. Ἑξῆς τρεπτέον ἐπὶ τοὺς κατηγόρους. Μετὰ [36] ταῦτα ἤγουν ἀπὸ τῶν δικαζόντων ἐπὶ τοὺς κα-

35 cfr. Vol. VII. ιζ΄. p. 703. et cum sequentibus Vol. V. p. 374. not. 48. 36 Med. non habet: sed est inter schol.

τηγόρους. Καὶ μὴν καὶ τὰ λεχθέντα πρὸ τούτων κατηγορούντων ἦν, καὶ πῶς λέγει; „ἑξῆς τρεπτέον ἐπὶ τοὺς κατηγόρους.“ ἢ ἐκεῖνα μὲν τὰ δύο ἐπὶ τῷ παραστῆσαι[37] τῶν δικαζόντων τὰς ὑπολήψεις εἴρηται, τὰ δὲ νῦν λεχθησόμενα τῶν κατηγορούντων τὰς οἰκείας παραστῆσαι[38] προαιρέσεις βούλεται.

κϛ'. Διαίρεσιν ποιεῖται τῶν κατηγορούντων τοιάνδε· οἱ κατηγοροῦντες ὑπολήψεις[39] ἔχουσι πολλάκις ἢ ἔχθρας ἢ φθόνου· τὰς μὲν οὖν ἔχθρας ἢ ὁμολογήσομεν ἢ ἀρνησόμεθα, καὶ ἐὰν μὲν προαδικηθέντες ἀμυνώμεθα, ὁμολογήσομεν· ἀρνησόμεθα δὲ, ἢ ἐὰν ἔχωμεν πρὸς ἔνδοξον πρόσωπον καὶ ὑπερέχον, οἷον Περικλέα, ἢ πρὸς κοινὸν εὐεργέτην καὶ νομοθέτην, οἷον Ἀριστοκράτην, ἢ ἐξ ἀπονοίας ὠμὸν καὶ δι' ἐξουσίας, ὡς τὸν πλούσιον, τὸν ὑποσχόμενον θρέψαι τοὺς πολίτας, εἰ λάβοι τὸν πένητα ἐχθρὸν ὄντα, πρὸς ἀναίρεσιν· τὸν δὲ φθόνον εἰ φαίνοιτο, τῷ προβλήματι διακρουσόμεθα· ἐμφαίνεται[40] δ' οὗτος ἢ διὰ δόξαν ἢ διὰ[41] πλοῦτον.

κζ'. Καλόν ἐστι, φησὶν, ἀπὸ τοῦ κατηγόρου λαμβάνοντας τὸ προοίμιον τὴν βασκανίαν ἀποκρούεσθαι· φαίνεται γὰρ οὐ διὰ τὴν ἀλήθειαν, ἀλλὰ διὰ τὸν φθόνον κινεῖσθαι λαλῶν, ὃ καλόν ἐστιν, ἀποκρούσασθαι, ἔπειθ' οὕτως εἰπεῖν, εἰς τὸ τοῖς πολλοῖς νομιζόμενον μὴ οὕτως ἔχειν· φθονεῖται δὲ πάντως ἡ δόξα ἢ πλοῦτος.

κη'. Παρὰ Φιλίππου πρέσβυς ἀφικόμενος Αἰσχίνης ἐτραγῴδησε, τουτέστι δημοσίᾳ εἶπε τραγῳδίαν, καὶ ὡς εὐδοκίμησε, δηλονότι ἐστεφάνωται.

κθ'. Ὀρθῶς ἀντὶ τοῦ ἀτεχνῶς, καλῶς.

λ'. Ἐκ τοῦ κατηγόρου τὸ τρίτον προοίμιον ἔχει τὴν ἀρχήν· ἔστι δὲ ἀπὸ τῆς δόξης, ἢ οὐ φθονεῖν δείκνυσι

---

min. Farn. 37 Farn. περιστῆσαι τὰς ὑπολ. τῶν δικαζόντων. 38 Farn. περιστῆσαι. 39 Med. ὑπόληψιν. 40 Med. ἐμφαίνοιτο. 41 διὰ Med. om.

τὸ προοίμιον, ἐπλάσατο δὲ τοῦτο τὸ προοίμιον χάριν σαφηνείας, ὡς καθ' ὑπόθεσιν.

λά. Ἡ ἐπίδοσις ἣ παρὰ τοῦ πατρὸς τοῦ ξίφους διεγείρουσα πρὸς ἀνδρείαν ἣν τὸν υἱόν· συνεθίζων γὰρ ὁ πατὴρ τὸν παῖδα διὰ τούτου βελτιόνων ἐρᾷν ἐπιτηδευμάτων, καὶ μονονουχὶ παραινῶν τὴν τρυφὴν ἀποθέσθαι, δι' ἣν ἀπεκηρύχθη, καὶ τῶν καλῶν ὀρέγεσθαι, πονοῦντα [41]* καὶ τῷ σώματι παραβαλλόμενον εὐπορίαν συνάγειν, ἐπιδέδωκε τούτῳ τὸ ξίφος, καὶ τοῦτο διὰ τοῦ ἐμισθοφόρησε δηλοῦται· ἐπάρας γὰρ τὴν σπάθην μισθῷ ἐπολέμησεν, ἐξ οὗ καὶ πλούσιον αὐτὸν συνέβη ἐπανελθεῖν, καὶ δέον τὴν υἱῷ πρέπουσαν διάθεσιν ἐπιδειξάμενον [42] ἀγάπην ἀνασώσασθαι, τῇ ὁμοίᾳ τοῦ ξίφους ἐπιδόσει σφαγῆς αἴτιος γέγονε τῷ πατρί.

λβ· Ὑπονοεῖται, φησὶ, διὰ τὸν πλοῦτον κατηγορεῖν, τῷ βούλεσθαι ἡμᾶς ἀπὸ τοῦ κατηγορουμένου λαβεῖν τι, ἢ βασκαίνειν ἐπὶ τῷ πλούτῳ, διὰ τοῦτο οὖν ἀποκρουσόμεθα τὸ τοῦ πατρὸς πρόσωπον ἀναλαβόντες. Δικανικὸν [43] δὲ καὶ τὸ προοίμιον τὸ λεχθὲν ἀπὸ τοῦ κατηγόρου ἔχον τὴν ἀρχὴν, ἀποκρουομένου τὸ μὴ φθονεῖν πλούτῳ δηλονότι.

λγ'. Ἐπ' ἔχθρας. Ἕκαστον καιρὸν καὶ τὸν τῆς ἀρνήσεως καὶ τὸν τῆς ὁμολογίας διδάσκει· οὐ γὰρ ἁπλῶς τοῦτο ποιεῖν δέδοται, ἀλλ' ὅτε δεῖ ὁμόσε χωρεῖν ἐπ' ἀμφότερα, τουτέστιν ἀναιδῶς καὶ ἀπερικαλύπτως χωρεῖν καὶ λέγειν.

λδ'. Ἀρνητέον, φησὶ, τὴν ἔχθραν περὶ προοίμια,

41* Med. καὶ πονοῦντα καὶ σώματι παραβαλλόμενον ἐμπορίαν. Vat. νυοῦντα καὶ τῷ σώματι παραβαλλομένην υποçίαν. scr. εὐπορίαν. 42 Med. ἐπιδειξ. διάθεσιν ἀνασώσεσθαι πατρὶ κἂν ἀγάπην. – 43 Sch. Farn. τὴν κατηγορίαν ἐνστήσασθαι. καὶ τοῦτο δικανικὸν, ἀπὸ τοῦ κατηγόρου etc. cfr. tum T. VII. Sch. min.

ὅτε ἐστὶ πρόσωπον πλούσιον, ἢ ἔνδοξον, ἢ ἐπαινούμενον ἢ χρηστὸν, ἢ ὠμὸν, ἐξουσιάζον δέ.

λέ. Πρὸς νομοθέτην· καὶ τοῦτο τοῦ δικανικοῦ τὸ προοίμιον.

λς΄. Ὡς ὁ Δημοσθένης. Ἀριστοκράτους ψήφισμα γράψαντος ἐν τῇ βουλῇ περὶ Χαριδήμου τοῦ στρατηγοῦντος παρὰ Χερσοβλέπτῃ, τῷ Θρᾴκης βασιλεῖ τοιοῦτον· ἐάν τις ἀποκτείνῃ Χαρίδημον, ἀγώγιμος ἔστω ἐξ ἁπάσης τῆς Ἀθηναίων συμμαχίδος, ἐὰν δέ τις τὸν[44] ἀγόμενον ἀφέληται, ἢ πολίτης ἢ ἰδιώτης, ἔκσπονδος ἔστω. Πολίτην δὲ σφῶν αὐτὸν οἱ Ἀθηναῖοι τὸν Χαρίδημον ἐποιήσαντο, τὰ μὲν χρήσιμον αὐτοῖς γεγονότα, τὰ δὲ προσδοκῶντες ἔτι μᾶλλον γενήσεσθαι παρὰ νόμον τὸ ψήφισμα τοῦτο δεῖξαι βουλόμενος, κρίσεις [45] ἀναιροῦν καὶ δικαστήρια, ἀλλὰ μήτε συμφέρον Ἀθηναίοις, τοιαύτην Χαριδήμῳ δοῦναι δωρεὰν, εὐθὺς ἐκ τοῦ προοιμίου ἀρνεῖται τὴν ἔχθραν, τῷ μὴ δόξαι χάριν ἰδίας ἔχθρας Ἀριστοκράτους τὸ ἐκείνου ψήφισμα διαβάλλειν.

λζ. Πρὸς δὲ ὑπερέχον πρόσωπον. Τοῦ συμβουλευτικοῦ τὸ προοίμιόν ἐστιν· ἐκφεύγει δὲ τὸ δοκεῖν δι᾽ ἔχθραν λέγειν· τὸ γὰρ πρόσωπον τὸ τοῦ Περικλέους [46] τῶν ἄγαν ἐνδόξων, καὶ δείκνυσι τὸ εὐδοκιμοῦσι προσκρούειν οὐ καλὸν, ὡς φροντίζων δὲ καὶ κηδόμενος τοῦ προσώπου λέγει.

λή. Ἐξ ἀπονοίας δὲ ὠμόν. Ἀκόλουθα τῇ διαιρέσει τὰ προβλήματα παρατίθησιν· [47] ἀρνεῖσθαι γὰρ τότε τὴν ἔχθραν ὑπέθετο, ὅτε πρὸς ἔνδοξον καὶ ὑπερέχον ἔχομεν πρόσωπον, ἢ τοὐναντίον πρὸς ὠμὸν καὶ ἀπηνῆ ἐξ ἀπονοίας, τουτέστιν ἀλαζονείας καὶ ἐπάρσεως· τί δὲ ὠμότερον τοῦ ἐγκειμένου τῷ προβλήματι πλουσίου,

---

44 τὸν Vat. om., est in Med. 45 Med. κρίσιν. 46 τὸ τοῦ Περικλέους Med. om. Post τοῦ προσώπου λέγει inserit T. VII. κβ΄. tum κ. 47 Med. παρατίθησι τὰ προβλήματα.

ὃς πρὸς τῇ ἀναιρέσει τοῦ πένητος καὶ τοὺς ἐκείνου παῖδας παρεσκεύασε διαφθαρῆναι λιμῷ; [48]

μ'. *Καὶ μυρίους ἂν εὕροι τις.* Ὡς ὑπολήψεως οὔσης ἐπὶ τῶν τοιούτων προσώπων, χάριν τοῦ εὐδοκιμεῖν αὐτοὺς κινεῖσθαί τινας πρὸς κατηγορίαν, ἢ ἐχθραίνοντας, ἢ διαφθονουμένους, ἀναγκαῖον ἐνόμισεν ἡ τέχνη εὐθὺς ἐκ προοιμίου τὴν ἐνοῦσαν ὑπόληψιν παραιτεῖσθαι, ὡς προσεχεστέρους ἔχειν τοὺς ἀκροωμένους, ἀλλὰ μὴ διὰ τοῦτο τὴν ἀκοὴν ἀποφράττοντας· τὸ δὲ [49] παραιτήσασθαι τὸ συγγνώμην αἰτεῖν σημαίνει καὶ τὸ ἀπολογεῖσθαι, νῦν δὲ τὸ ἀπαρνεῖσθαι καὶ διακρούεσθαι.

μα'. *Ὁμολογεῖν δὲ δεῖ τὰς ἔχθρας.* Οὐδὲν, φησὶ, τότε ἡ τῆς ἔχθρας προφανὴς ὁμολογία λυμαίνεται, ὅτε παρά τινός τι μέγα ἀδίκημα προπεπονθότες ἐγκαλοῦμεν, καὶ τὴν ἐκ τῶν νόμων ἰσχὺν προκαλούμεθα. [50] Εἰδέναι δὲ χρὴ καὶ τοῦτο, ὅτι ἐν οἷς μὲν ἂν ἐγχωρῇ λανθάνειν, ἀρνησόμεθα τὸ δι' ἔχθραν κατηγορεῖν· ἐν οἷς δὲ ἐπίδηλος ἡ δυσμένεια, τὸ ὁμολογεῖν [51] πιθανώτερον, ἵνα μὴ ἁλῶμεν ἐν τοῖς φανεροῖς οὕτω ψευδόμενοι.

μβ'. *Ἀνεπίφθονον γάρ.* Οὐδὲ [52] γὰρ μέμψαιτο ἄν τις οὐδὲ μισήσειεν τὸν τὴν ἐκ τοῦ νόμου ζητοῦντα ἐκδίκησιν. Τιμωρία γὰρ ἐνταῦθα οὐ τὴν κόλασιν, ἀλλὰ τὴν ἐκδίκησιν σημαίνει.

μγ'. *Ὡς καὶ ὁ Δημοσθένης.* Νόμος [53] ἦν ἐπιτάττων τῇ βουλῇ, ποιεῖσθαι τριήρεις καινὰς, [54] ἐὰν δὲ

---

48 Litt. λθ'. vide T. VII. κά. 49 Hoc et sqq. exstant in Cod. Farn. 50 Farn. προκαλοῦμεν. 51 Farn. πιθανώτερον τὸ ὁμολογεῖν. 52 Med. haec om. Farn. οὐδεὶς γὰρ μισεῖ τὸν ζητοῦντα ἐκδίκησιν ἐκ τοῦ νόμου. nihil ultra. 53 Litt. μγ'. et μδ'. exstant in Farnes. manu ab aliis, quae in illo apparent, diversa. 54 Vat. ναῦς. Farn. καινάς.

μὴ ποιήσηται, κωλύεσθαι παρὰ τοῦ δήμου αἰτεῖν δωρεάν. Μὴ πεποιηκυίας οὖν τῆς βουλῆς τὰς τριήρεις Ἀνδροτίων γέγραφεν ἐν τῷ δήμῳ τὸ ψήφισμα, στεφανῶσαι [55] τὴν βουλήν· ἐπὶ τούτῳ παρανόμων κρίνεται, κατηγορούντων αὐτοῦ δύο, Εὐκτήμονος καὶ Διοδώρου, καὶ προείρηκε μὲν ὁ Εὐκτήμων, δεύτερον δὲ ὁ Διόδωρος ἐπαγωνίζεται, τὸν λόγον ἐξειληφὼς παρὰ [56] Δημοσθένους. Κατὰ παράθεσιν [57] δὲ προῆκται τὸ προοίμιον· συγκρίνει γὰρ τοῖς γενομένοις κατ' Εὐκτήμονος, ὥσπερ αὐτὸς [58] ἠδίκηται, οὑτωσὶ λέγων· [59] συμβέβηκε δὲ πολλὰ καὶ δεινὰ καὶ παρὰ πάντας τοὺς νόμους Εὐκτήμονος ὑβρισμένου, ἐλάττω ταῦτ' εἶναι τῶν ἐμοὶ γεγενημένων δι' Ἀνδροτίωνα πραγμάτων· μεστὴ δὲ καὶ ἡ πρότασις ἤθους· οὐ γὰρ εἶπε, [60] θαῤῥῶ πάντως αὐτὸν δίκην εἰςπράξασθαι, ἀλλὰ πειράσομαι, ἐὰν ἄρα [61] οἷός τε ὦ. Ἔστιν οὖν δικανικὸν τὸ προοίμιον καὶ ὁμολογοῦν τὴν ἔχθραν· ἵνα δὲ μὴ δόξῃ μόνος ὡς φιλοπράγμων κατηγορεῖν Διόδωρος, δείκνυσιν, ὡς καὶ ἄλλον ἠδίκηκε. Προείρηκε γὰρ Εὐκτήμων, καὶ ἔστι δευτερολογία τοῦ Διοδώρου ὁ λόγος, τῇ ἐξαγγελίᾳ καὶ τῇ τῶν ὀνομάτων συνθέσει σφόδρα εὔρυθμος ὤν, ἅτε πρὸς Ἰσοκρατικὸν ἄνδρα συγκείμενος· πολλαὶ γοῦν παρισώσεις καὶ ὁμοιοκαταλήξεις καὶ ὁμοιοτέλευτα κατέσπαρται.

μδ'. Καὶ ἐν τῷ κατὰ Νεαίρας. Νικαιρέτης [62] μὲν ἡ Νέαιρα γέγονε δούλη· ἑταιρήσασα [63] δὲ πρῶτον μετὰ ταῦτα Στεφάνῳ συνῴκησε· νόμου δὲ κελεύοντος, ἐὰν ἀνδρὶ Ἀθηναίῳ ξένη συνοικῇ, πεπρᾶσθαι ταύτην,

55 Vat. στεφανοῦσθαι. Farn. στεφανῶσαι. 56 Vat. περί. Farn. παρά. 57 παράθεσιν δὲ προῆκται τὸ Vat. per lac. om. 58 Vat. αὐτῷ. Farn. αὐτός. 59 οὑτωσὶ λέγων — νόμους ex Farn. recepi. 60 οὐ γὰρ εἶπε — δίκην Vat. per lac. om. 61 ἄρα Vat. om. 62 Vat. Νικαρέστης. Farn. Νικαιρέτης. 63 Vat. ἑταιρίσασα. Med. ἑταιρήσασα.

κατὰ τοῦτον τὸν νόμον ἐπὶ Νέαιραν ἥκει Θεόμνηστος, ἐκλαβόμενος παρὰ Δημοσθένους τὸν λόγον, λέγων, νόμῳ συνοικεῖν αὐτὴν Στεφάνῳ, καὶ πεπαιδοποιημένην ἐξ αὐτοῦ· ἔχει δὲ καὶ τὸ εἰς ταύτην προοίμιον ὁμολογίαν τῆς ἔχθρας, οὗ ἡ ἀρχή· „Πολλά με τὰ παρακαλοῦντά ἦν, ὦ Ἀθηναῖοι, γράψασθαι Νέαιραν τὴν γραφὴν ταύτην, καὶ εἰςελθεῖν εἰς ὑμᾶς· καὶ γὰρ ἠδικήμεθα ὑπὸ Στεφάνου μεγάλα, καὶ εἰς κινδύνους τοὺς μεγάλους κατέστημεν ὑπ' αὐτοῦ, ὅ τε κηδεστὴς καὶ ἐγὼ, καὶ ἡ ἀδελφὴ καὶ ἡ γυνὴ ἡ ἐμὴ, ὥστε οὐχ ὑπάρχων, ἀλλὰ τιμωρούμενος ἀγωνιοῦμαι τὸν ἀγῶνα τουτονί· τῆς γὰρ ἔχθρας πρότερος οὗτος ὑπῆρξεν, οὐδὲν ὑφ' ἡμῶν πώποτε οὔτε λόγῳ οὔτε ἔργῳ κακὸν παθών.“

με. *Καὶ περὶ τοὺς ἀπολογουμένους.* Καὶ οἱ ἀπολογούμενοι, φησὶν, ὑπολήψεις ἔχουσι πολλάκις, ἢ εὐνοίας ἢ κέρδους· ἢ γὰρ κατηγορεῖ τις ἢ ἀπολογεῖται· οἱ δὲ ἀπολογούμενοι ὑπέρ τινος καὶ βοηθοῦντές τινας ἔχουσιν ὑπολήψεις ἢ ἀγάπης ἢ κέρδους. Παραιτητέον οὖν, φησὶν, ἀεὶ τὸ κέρδος, ὅτι [64] ὡς χρηστόν τι παρ' αὐτοῦ παθὼν λαλῶ· πλὴν εἰ μὴ κέρδος εἴη αὐτῶν ἡ σωτηρία τῶν βοηθουμένων, ὡς ἐφ' οὗ ὅ τε τεχνικὸς εἶπε προβλήματος, τῶν ἀναιρουμένων Μεγαρέων τὰ γένη τῶν Ἀθηναίων, καὶ διὰ τοῦτο ἀναιρεῖσθαι συμβουλεύοντος τὸ κατ' αὐτῶν πινάκιον· μισθὸς γὰρ, φήσει νῦν ὁ ἀπολογούμενος, καὶ κέρδος τῶν βοηθουμένων ἡ σωτηρία.

μς. *Οἷον* [66] *ἐπὶ τῶν τριάκοντα.* Ἐπολιορκήθησαν ὑπὸ Λακεδαιμονίων Ἀθηναῖοι, καὶ ἐκράτησαν

---

64 ὅτι Med. om. 65 Med. συμβουλεύοντος. Vat. μέλλοντος. 66 Med. *Τριάκοντα τυράννων*· τέκνα τῶν Ἀθηναίων ἔτρεφον οἱ Μεγαρεῖς· ἐπολιορκήθ. γὰρ ὑπὸ Λακ. καὶ ἐκράτουν λ' τύρ. καὶ οὐκ εἴων αὐτοῖς τὰ τέκνα τὰ ἴδια, ἀλλ' ἐφόνευον αὐτὰ ὡς ἐπὶ τῶν Αἰγυπτίων. [Idem est in Par. 2977.] Tum sequitur: Οἷον ἐπὶ τῶν λ' τύρ. ut litt. μς'.

λ' τύραννοι. Οὗτοι οὖν [67] τὴν δυναστείαν παρὰ τῶν Ἀθηναίων εἰς ἑαυτοὺς ἐποίησαν, καὶ οὐκ εἴων τὰ τέκνα τὰ ἴδια, ἀλλ' ἀνῄρουν αὐτά· γεννώμενα οὖν ἐξετίθεσαν ἤγουν [68] ἀπεδίωκον· φιλελεύθερον γὰρ τὸ Ἑλληνικόν· ἀναιρούμενοι οὖν τουτέστιν ἀναλαμβάνοντες τὰ τέκνα τῶν Ἀθηναίων οἱ Μεγαρεῖς ἔτρεφον· ἦσαν δὲ καὶ οἱ Μεγαρεῖς ἀρχῆθεν τῶν Ἀθηναίων ἐχθροί, ὥστε καὶ πίνακα γράψαι τὸν ἀποκτείναντα Μεγαρέα ἀζήμιον εἶναι.

μζ'. Ἄριστον γὰρ ἐνταῦθα ὁμολογήσασθαι. Τοῦτο τοῦ συμβουλευτικοῦ τὸ προοίμιον, ἀρχόμενον ἀπὸ τοῦ ἀπολογουμένου· ἐπειδὴ δὲ ὕποπτός ἐστι δωροδοκεῖσθαι ὑπό τινος, παρεῖται τὸ κέρδος καὶ ἀρνεῖται· δεῖ γάρ, [69] φησιν, ἀεὶ τὸν μισθὸν παραιτεῖσθαι τοῦ κέρδους· οἷον τὸ ὡς παθεῖν, ὑπὲρ οὗ λέγει· πιθανὸν δὲ τοῦτο δῶρον προβάλλεται τὴν σωτηρίαν τῶν βοηθουμένων.

μη'. Τὴν δὲ εὔνοιαν φανερῶς ἐστιν ὁμολογεῖν. Τότε δέ, φησί, τὴν ἄνευ κέρδους ὁμολογεῖν φανερῶς εὔνοιαν, ὅτ' ὁ λέγων ὑπὲρ τῶν κοινῇ τὴν πόλιν εὐεργετησάντων λέγῃ, ἢ ὅτε [70] ὑπὲρ συγγενῶν ποιῆται λόγους· τοὺς ἀπολογουμένους δὲ διαλύειν μὲν τὰς πονηράς, βεβαιοῦν δὲ τὰς χρηστάς, καὶ εἴτινες εἰσιν κακαί, ἀφιέναι, ὡς ἐν τούτοις γίνεσθαι προοίμια δ', τὸ διαλῦσαι τὰς χρηστὰς ὑπολήψεις, τὸ βεβαιῶσαι τὰς φαύλας, τὸ βεβαιῶσαι τὰς χρηστάς, τὸ διαλῦσαι τὰς φαύλας.

Οἷον μελλόντων μονομαχεῖν ἀδελφῶν. Ἀριστεύσαντες οὗτοι ἀντέσπων ἕκαστος εἰς ἑαυτὸν γέρας, καὶ ὡς μέλλοντος διακρίνεσθαι τοῦ ἀμφισβητουμένου παρ' αὐτοῖς, μονομαχεῖν διεγνώκεισαν. [71]

μθ'. Οἷον φιλῶν μὲν τοὺς ἀδελφούς. Καὶ

67 οὖν ex Med. recepi. 68 Vat. ἢ. Med. ἤγουν. 69 δεῖ γὰρ — κέρδους Med. om. 70 ἢ ὅτε — λόγους ex Med. recepi, qui sqq. usque ad διαλῦσαι τὰς φαύλας om. 71 Med.

τοῦτο δικανικὸν τὸ προοίμιον, ἔχον τὴν ἀρχὴν αὐτὴν τοῦ ἀπολογουμένου αὐτοῦ.

ν'. Ἢ ἂν ὑπὲρ συγγενῶν. Ὁμολογεῖν τὴν εὔνοιαν φανερῶς δίδωσιν ἡ ὑπόθεσις, ἢ ὅταν διὰ γένος λέγῃ τις, χρὴ γὰρ ὑπὲρ συγγενῶν λέγειν, ἢ διὰ κοινοὺς εὐεργέτας, ἢ ὅλως τὸ ὑπὲρ προσηκόντων λαλεῖν· ἀνεπίφθονος γὰρ τότε φαίνεται ὁ λέγων, ὡς μὴ φθονῶν τῷ κατηγορουμένῳ ἢ μισῶν, ἀλλὰ διὰ τὸ προσῆκον λαλῶν.

να'. Ὡς καὶ ὁ Δημοσθένης ἐν τῷ πρὸς Λεπτίνην. Πολλοῖς μὲν καὶ ἄλλοις ἡ τῶν Ἀθηναίων πόλις ἐτίμα τοὺς εὐεργέτας, ἐτίμησε δὲ καὶ ἀτελείᾳ λειτουργιῶν· διὰ δὲ τὸ πολλοὺς λαμβάνειν αὐτὴν, σπάνις τῶν λειτουργησάντων ἐγένετο, διὰ τοῦτο Λεπτίνης νόμον εἰσήνεγκε, μηδένα εἶναι ἀτελῆ, μηδὲ τὸ λοιπὸν ἐξεῖναι τῷ δήμῳ δοῦναι· ἐγράψαντο τοῦτον τὸν νόμον Φορμίων καὶ Κτήσιππος ὁ Χαβρίου παῖς, οἷς συνήγορος ὁ Δημοσθένης γίνεται· Χαβρίας γὰρ χρήσιμος τῇ πόλει γενόμενος ἀτέλειαν ἔλαβεν, ἣν κατέλιπε τῷ παιδί· ἀποθανόντος οὖν τοῦ Χαβρίου τοῦ τὴν ἀτέλειαν εἰληφότος ὁ παῖς αὐτοῦ κατὰ τὸν[72] τοῦ Λεπτίνου νόμον ἀφῃρεῖτο τὴν ἀτέλειαν· ἐπεὶ τοίνυν ὁ Λεπτίνου νόμος πάντων τῶν λαβόντων ἀτέλειαν ἀφῃρεῖτο τὰς δωρεὰς, ἀφῃρεῖτο δὲ καὶ ὁ Χαβρίου παῖς τὴν ἀτέλειαν, ἣν εἰλήφει παρὰ[73] τοῦ πατρὸς, παραμένειν αὐτὴν τῷ παιδὶ μέλων ὁ Δημοσθένης ὡς[74] ἀσύμφορον τῇ πόλει τὸν Λεπτίνου νόμον ὄντα[75] [τῇ πόλει] λέγει λελύσθαι, ἔπειτα καὶ διὰ τὸν τοῦ Χαβρίου παῖδα. Ἰσχύει δὲ τῷ δικαίῳ καὶ τῷ ἐνδόξῳ· τῷ δικαίῳ μὲν, ὅτι δίκαιόν ἐστι τοὺς εὐποιήσαντας ἀντιπεπονθέναι,[76] καὶ τοὺς ὀρ-

---

διεγνώκεισαν. Sqq. litt. μθ'. et ν'. Med. om. 72 Med. κατὰ τὸν νόμον τοῦ Λεπτίνου τὴν ἀτέλειαν ἀφῃρεῖτο. 73 Vat. εἴληφε περὶ, Med. εἰλήφει παρά. 74 Med. ὡς. Par. καὶ. sq. τῇ πόλει Vat. om. 75 ὄντα Med. om. 76 Vat. καὶ εὖ πεπονθέναι. Med. ἀντιπεπονθέναι.

θῶς ἀντιλαβόντας τῶν δοθέντων μὴ ἀφαιρεῖσθαι, τῷ δὲ ἐνδόξῳ, διότι τάχα μὲν καὶ ἄλλοις αἰσχίονα δεδώκασιν ἀφαιρεῖσθαι, Ἀθηναίοις δὲ οὐχ ἥκιστα.[77]

νβ΄. Οὕτω περὶ τῶν κατηγορούντων καὶ τῶν ἀπολογουμένων. Ἰστέον, ὅτι ὁ ἀπολογούμενος ἢ περὶ ἑαυτοῦ ἢ περὶ ἑτέρου ἀπολογεῖται, καὶ ὁ κατηγορῶν ὡσαύτως, ἢ χάριν αὐτοῦ ἢ χάριν ἑτέρου. Διάφορα οὖν ἔσται καὶ τὰ προοίμια· ὁ δὲ Ἑρμογένης μονοειδῆ τὸν κατηγοροῦντα καὶ τὸν ἀπολογούμενον ἐν τῇ διαιρέσει παραλαμβάνων τὰ ἐκ τοῦ ἑτέρου μέρους συνιστάμενα προοίμια παρέλιπεν· ἢ ῥητέον, ὅτι εἰ καὶ μὴ διεῖλεν Ἑρμογένης ταῦτα, ἀλλ' οὖν καὶ τῶν ὑπὲρ ἑτέρων λεγόντων παραδείγματα τέθεικεν, ὡς τό· „ἄνδρες δικασταί, μάλιστα μὲν οὖν εἵνεκα τοῦ νομίζειν,“ καὶ τὰ ἑξῆς· καὶ ἄλλα δὲ τίθησι τοιαῦτα· ἀλλὰ τοῦτο τὸ προοίμιον ἐξ αἰτίας ἂν μᾶλλον ῥηθείη, οὐκ ἐξ ὑπολήψεως· διατί γὰρ εἰς τὸ λέγειν ἦλθεν ἑρμηνεύει, οὐκ ἀποσκευάζεται ὑπόληψιν ἀγαθήν· εἰδέναι μέντοι χρὴ, ὡς τοῖς ὀνόμασι τούτοις, τῶν κατηγορούντων φημὶ καὶ ἀπολογουμένων, συμπεριλαμβάνονται καὶ τὰ τοῦ δικαστικοῦ καὶ συμβουλευτικοῦ καὶ ἐπιδεικτικοῦ πρόσωπα, καὶ γὰρ καὶ ἐν ταῖς δίκαις κατηγορία ἐστὶν ἀπὸ τοῦ διώκοντος καὶ ἀπολογία τοῦ φεύγοντος, καὶ ἐν τῷ συμβουλευτικῷ ὁ προτρέπων[78] καὶ ἀποτρέπων κατηγοροῦντος καὶ ἀπολογουμένου ἔχουσιν ἀπολογίαν· ὁ γὰρ προτρέπων ἀναλογεῖ τῷ ἀπολογουμένῳ· ὥσπερ γὰρ ὁ ἀπολογούμενος διαλύει τὰ ἐγκλήματα, κατασκευάζει δὲ τὰ εὔλογα ἢ δικαιοῦντα αὐτὸν ἢ ᾧ συνηγορεῖ, ὡσαύτως καὶ ὁ προτρέπων ἐπί τι πρᾶγμα καὶ συμφέρειν αὐτὸ δεικνύων κατασκευάζει αὐτὸ δίκαιον ἢ συμφέρον ἢ ἔννομον· ὁ δὲ ἀποτρέπων τοῦ γενέσθαι κατηγορεῖ τοῦ πράγματος, ἀποδεικνύων αὐτὸ ἀσύμφορον, ἢ ἄδικον, ἢ ἄνομον, καὶ ὅσοις κεφαλαίοις ἡ πραγματικὴ διαιρεῖ-

---

77 Med. ἧττον. 78 Vat. τρέπων. Med. προτρέπων.

non *μνημοσύνην*, verum *μίμησιν* nostrum scripsisse. 45 Par. *ἑρμην. δέ.* 46 Tot fere omnes numerant, verum alii aliter appellant. Aristoteli lib. III. Rhet. sunt perspicuitas, puritas, dignitas, decentia: vel si graeca malumus, *σαφήνεια, ἑλληνισμός, ἀξίωμα, πρέπον.* Crasso apud Cic. III. de Orat. puritas, perspicuitas, ornatus, decor. Fabius quoque lib. VIII. cap. 1. in singulis intuendum, ait, ut sint latina, perspicua, ornata, accomodata, et in praecedentibus: Nam cum Latina, significantia, ornata apte sint collocata, quid amplius laboremus? At aliter Sulpitius. In elocutione, inquit, haec observanda sunt, Latinitas, perspicuitas, robur, nitor, compositio, tum decens vel decorum. Ut hic plura, ita Alcuinus requirit pauciora. Ubi enim quaeritur, qualis esse debeat elocutio, respondet: facunda debet esse et aperta. 47 *λέγω* Par. om. 48 Ubi nil simpliciter, omnia per figuras proponuntur. 49 Edd. Par. *μεθεστήκασιν.* recepi coniecturam Maximi. 50 Hanc virtutem generatim requiri in omni elocutione, neminem docere video. Nec apparet satis, quid per eam intelligat. in sequentibus dicit, idem esse ac *γοργότητα*, at, ut opinor, haec in oratione omni non est necessaria. Concisum sane genus, uti Graecum significat, alicubi adeo non necessarium. ut potius sit vitiosum. Sed fortasse illud innuit, in quo nil deest, nil abundat. Quicquid sit, brevitatem aut ce-

της, [51] μεγαλοπρέπεια. [52] ὡς Ἰσοκράτει [53] καὶ Ἐμπεδοκλεῖ, [54] Διονυσίῳ, [55] Φιλοστράτῳ, [56] Ἰαμβλίχῳ [57] καὶ πᾶσι παλαιοῖς, καὶ τοῖς σοφωτέροις τῶν νέων δοκεῖ, καὶ τῷ Ἑρμογένει ἐν ταῖς ἰδέαις· ὁ τῶν ὀνομάτων γὰρ ἑλληνισμὸς [58] νεωτερικόν ἐστιν, ὧν ἡ σαφήνεια [59] ἐκ μυ-

---

leritatem inter generales orationis virtutes praeter nostrum nemo refert. 51 Quomodo haec virtus sit elocutionis, parum liquet. potius effectus est τοῦ πρέποντος seu decori. Decora enim oratio, hoc est talis, qualem ingenium et mores personarum ratioque rei requirit, efficit, ut ei fides habeatur. Et sic ipse noster in sequentibus. 52 Per hanc intelligere τὸ ἀξίωμα seu ornatum, vel ut Sulpitius appellat, nitorem existimo. In sequentibus appellat μέγεθος, quod ab ἀξιώματος non multum differt. 53 Qui aetate Platonis vixit. Patet autem ex hoc loco, aliqua de elocutione Rhetorica scripsisse eaque vidisse nostrum, eorumque respectu hic laudasse. Tzetzes Chiliad. 9. de arte integra opus edidisse testatur, 54 Miror, quod hunc alteri postponat. Fuit enim hic vetustior, imo autor artis Rhetoricae esse primusque scripto eam comprehendisse dicitur. Vid. Laërtium. [Ruhnk. Diss. de Antiphonte p. 151. ed. Lindem. scribendum censet, Νεοκλεῖ qui laudatur a Scholiaste Hermogenis p. 362 et p. 263]. 55 Halicarnassensi puto. 56 Constat ex hoc loco, etiam Philostratum de arte Rhetorica quid scripsisse. Puto autem seniorem intelligi, cuius ζητούμενα παρὰ τοῖς ῥήτορσι et ῥητορικὰς ἀφορμὰς laudat Suidas. Vixit hic temporibus Neronis ut ex eodem cognoscimus. 57 Ergo et hic nonnulla scripsit in Rhetoricis, in quorum respectu inter Rhetores laudatur. At hoc neque Eunapius, neque Suidas commemorant, ut tanto magis sit observandum. Vixit tempore Constantini, nescioque, quare inter παλαιοὺς relatus sit a nostro. 58 Quam et ipsam aliqui ut virtutem elocutionis singularem laudabant, et ab aliis puritas et καθαρότης appellatur. Porro ἑλληνισμὸν cur novum aliquid noster esse dicat, ego equidem non video, cum eo usus sit Aristoteles lib. III. Rhet. cap. 5. Forte

μυριολεξιῶν [60] καὶ σαφηνισμοῦ [61] γίγνεται· [62] ἔστι δὲ τῆς [63] ὡραιότητος καὶ τοῦ κάλλους· [64] ἡ συντομία δὲ

---

locus eius non occurrebat, aut aetate nostri magis a quibusdam illa pars exigebatur, propter barbarismos, quibus lingua Graeca tum scatebat. 59 Exponit praecedentes quatuor virtutes ac quomodo etiam illa contineant, quae requirunt oratores alii, ipse etiam Hermogenes, ostendit, quam bene ipse viderit. Equidem Hermogeni in Ideis non fuit propositum, quatuor istas monstrare virtutes, aut in septem ideas amplificare, sicque numerum eum augere, multo minus istis opponere, sed praeter ista quatuor, quae in omni oratione requiruntur, ostendere septem non contraria istis quatuor, sed tamen diversa, quae in orationibus inveniuntur, modo plura, modo pauciora, pro ratione argumenti ac materiae, quae tractantur. 60 Par. μυρίων λέξεων. Edd. μυριολεξιῶν. sic appellat, quae multitudine usurpantur, quomodo apud Pollucem lib. 6. cap. 53. μυριόλεκτον ex Xenophonte idem est, ac πολυθρύλλητον γνώριμον, δῆλον. Est igitur idem ac καθαρὸν, ἀκατάσκευον, simplex inartificiosum, omnibus notum. 61 Non video, quomodo haec altera sit pars, quae ad σαφήνειαν requiritur. σαφήνεια Hermogeni efficitur ἐκ λόγου καθαρότητος, seu ut noster, μυριολεξιῶν, de σαφηνισμοῦ nil loquitur, et quid est, σαφήνεια fit ἀπὸ vel ἐκ τοῦ σαφηνισμοῦ? perspicuitas fit a perspicuo? Tautologiam sapit. Sed forte per hoc nomen noster respexit ad tractationem, et non modo verba clara et pura ad perspicuitatem requirit, verum et verborum collocationem tractationemque totius orationis non intricatam, sed planam simplicemque ipsique respondentem naturae. 62 Par. γίνεται. 63 Ostendit, unde praedicta virtus oriatur, quomodo facit et in sequentibus virtutibus. nam in praecedentibus non iam monstravit, unde proveniat, quam quae partes eius sit, quae ipsam constituant. 64 Puto hic addendum esse ex sequentibus ἔργον τοῦ ῥήτορος. Vult monstrare, quae in oratore requirantur, ut virtutibus istiusmodi ornare orationem suam possit. Ac ad primam quidem, id est perspicuitatem, duo ait, sunt necessaria, ὡραιότης καὶ

τῆς μεγαλοφυΐας [65] ἔργον τοῦ ῥήτορος· ἡ πιθανότης δὲ τῆς τέχνης [66] προέρχεται· τὸ δὲ μεγαλοπρεπὲς τῆς πολυμαθίας [67] ἐστί· καὶ αἱ παρ' [68] Ἑρμογένει δὲ ἰδέαι ἑπτὰ [69] οὐδὲν ἕτερον δηλοῦσιν, ἢ ὅτι δεῖ τὸν ῥητορικὸν λόγον τὰς τέσσαρας ἔχειν ταύτας, καὶ δεινότητα ἤτοι πρέπουσαν ἑκάστῳ οἰκονομίαν καὶ μεταχείρισιν· [70] ἡ σαφήνεια γὰρ καὶ τὸ κάλλος ῥητορικοῦ λόγου [71] κεκαλλωπισμένου δηλοῦσι

κάλλος. Quid per duo ista significet,.non satis assequor, nisi velimus referre ad animum, quomodo mox συντομίαν quoque inde deducit. Ac hoc quidem pacto ὡραιότης opponi obscuritati aut tenebrositati posse videtur, κάλλος negligentiae, supinitati, tumultui, foeditati, quasi dicat, requiri ad virtutem perspicuitatis in oratione exprimendam, ut orator ingenium habeat apertum primo, deinde excultum et laboris patiens, vel quod alias uno efficacique verbo elegans vocari solet. 65 Magnanimos enim oratione uti non prolixa, sed brevi certum. Hinc apud Tacitum Imperatoria brevitas, pro ea, quae Imperatores virosque graves decet. Vide eum lib. 1. Hist. c. 18. In oratore igitur ut ingenium elegans sic animus magnus requiritur. 66 Ex qua novit pro natura rerum loqui, omnia convenienter personis, temporibus, locis dicere, quae cuncta docet ars Rhetorica. Et hoc tertium, quod in Oratore necessarium praeter animum magnum, et ingenium elegans ac apertum. Ars videlicet, qua ista omnia idonee ac decenter sciat proferre, orationique suae fidem facere. 67 Quartum, quod in Oratore necessarium, varia eruditio, puta de diis, de rebus naturalibus, de republica illiusque multiplici administratione, de bello et pace, de legibus ac iure, et quae alia sunt huius generis. Ista enim sunt, quae orationem reddunt gravem, quotiens ei admiscentur. [Par. Scheff. in notis: πολυμαθείας] 68 Par. παρά. 69 Dixi de his aliquid in praecedentibus, et in sequentibus apparet, quam obtorto, quod aiunt collo aliquae harum idearum ad virtutes praecedentes referantur. 70 Edd. Par. μεταχείρησιν. 71 Duas hic Her-

σαφήνειαν, ἀλλ᾽ οὐκ ἰδιώτου καὶ ἀκαλλοῦς· ἡ γοργότης δὲ συντομία [72] πάντως ἐστί· τὸ ἦθος καὶ ἡ ἀλήθεια [73] τὸν πιθανὸν λόγον ποιοῦσιν· εἰ γὰρ μὴ προσφυῶς τις μιμοῖτο τὰ ἤθη, καὶ τῇ ἐμφάσει τοῦ ἀληθινοῦ λόγου χρῷτο τοῖς περιστατικοῖς, [74] καὶ ταῖς ἐπιεικέσιν ἐννοίαις,

---

mogenes recenset ideas, sub una virtute σαφηνείας. De priore certum est, de posteriore minus. Sane omni pulcritudini, quae Hermogeni κάλλος, aut venustati inest σαφήνεια seu perspicuitas, non tamen vice versa quicquid perspicuum, id statim pulcrum et ornatum. Nec profecto verum esse puto, quod sequitur, οὐκ ἰδιώτου καὶ ἀκαλλοῦς λόγου σαφήνειαν εἶναι, vel plebeium et inornatum sermonem carere perspicuitatem. Contra enim sentit Hermogenes, ut qui in perspicuitate vel maxime requirit sententias omnibus notas, voces communes vulgaresque, conformationem orationis decentem, rectam et simplicem, quae omnia insunt etiam plebeiae ac vulgari orationi, quae nec aliis rebus ab oratione ornata comptaque et gravi distinguitur. 72 Tertia idea, quam comparat cum virtute secunda et eandem ait esse. Ego vero multum censeo differre. συντομία enim talis in oratione brevitas, quando quaecunque ad amplificationem, illustrationem, circumductionem faciunt, praeciduntur omnia, eaque afferuntur tantum, quae simpliciter sunt necessaria, sine circumstantiarum, causarum et similium adiectione, etiamsi in ipsa oratione respectu verborum formularumqae omnia sint plena. Talis fere brevitas Laconum fuit, in quotidianis etiam colloquiis. At ab hac longe differt γοργότης, quae locum saepe habet tum, cum non modo necessaria, sed prope superflua adducuntur, et consistit in ipsa brevitate quadam sententiarum, verborum, formularum, ut, Quid igitur faciam? non eam? ne nunc quidem, cum accersor ultro? Exclusit, revocat, redeamne? Non, si me obsecret. Atque talis frequens in Sallustio, quem ob causam hanc non pauci brevem appellant. 73 Quarta et quinta idea, comparatur cum virtute tertia. 74 Par. ταῖς

καὶ τοῖς δικαστικοῖς [75] σχήμασιν, ἀλλ' ἐναντίον ταῦτα ἐκφέροι, οὐκ ἂν πιθανὸς δόξειε [76] ῥήτωρ· τὸ μέγεθος δὲ ὅτι ταὐτόν ἐστι τῇ μεγαλοπρεπείᾳ, οὐδεὶς ἀντερεῖ· [77] ἡ δεινότης δὲ, ὥσπερ ἔφημεν, τὸ εἰς τὰ δέον ταύτοις πᾶσι χρῆσθαι. Τέσσαρες οὖν ἀρεταὶ ῥητορικοῦ λόγου, σαφήνεια, συντομία, πιθανότης, μεγαλοπρέπεια· [78] καὶ ἐπ' αὐταῖς ἡ [79] δεινότης, τῆς τέχνης τὸ ἀκροκόρυφον· [80] ὁράτω γοῦν πᾶς ὁ βουλόμενος καὶ τήνδε τὴν βίβλον τὴν μετρικὴν [81] χρονικὴν, πρωτοτύπως μὲν, ἢ [82] τὰς τέσσα-

---

περιστατικαῖς. 75 Par. διαστατικαῖς. 76 Par. δόξει. 77 Sexta Hermogenis idea. 78 Quam distinguit noster a reliquis quatuor virtutibus, licet non faciat diversam, cum nil aliud sit, quam idoneus illarum virtutum usus. Vide, quae ipse de ea habet in praecedentibus, et nos ante diximus. 79 ἡ Par. om. 80 Recte: quandoquidem absque hac reliquae virtutes omnes nil efficiunt, neque finem suum consequuntur. 81 Par. μετρικήν. Edd. μερικήν. Quem noster librum indigitet non promptum est definire; neque enim quisquam est, quantum nos scimus, qui in Rhetorico argumento librum ediderit sub hoc titulo. Quia tamen sequitur, κατὰ ῥήτορας γράφοντα inducor, ut existimem, Hermogenis partitiones significari. Sed obstat, quod Rhetorem eum laudet in sequentibus, contra vituperare soleat Hermogenem. Vix enim dici potest tam celeriter sui dememinisse. Ergo magis est, ut putemus aliquod hic laudare opus Theodectis aut Minuciani potius, quod firmatur eo, quoniam ipsum hunc Minucianum in praecedentibus appellat φύσις θείας μετεσχηκὸν [sic] (distinguenda enim omnino ea verba a praecedentibus τεχνογράφος, et ad Minucianum referenda). Iam vero illud optime cum eo convenit, quod de antro Mercurii sequitur. Imo videtur noster nihil aliud agere his verbis, quam ut reducat nos ad illum ipsum auctorem, unde ista, quae de virtutibus orationis tradidit, desumpsit. Ille autem non Hermogenes, sed ut ipse ait in praecedentibus, Minucianus est. Quod si ipse non dixisset, constare tamen poterat ex eo, esse alium, quam Her-

ρας τῆς διηγήσεως ἔχει ῥητορικὰς ἀρετάς, καὶ σὺν αὐ-
ταῖς ἔπειτα τὴν δεινότητα, κατὰ ῥήτορα γράφοντα, διὰ
τῶν ἑρμαϊκῶν ἄντρων, [83] ἃν Ὀρφεὺς λέγει, διαδραμόν-
τα, καὶ διὰ τῶν παρακρήμνων ἐκείνων ἀτραπιτῶν, [84]
ἃς Ἰσοκράτης καὶ Λυσίας καὶ Δημοσθένης καὶ οἱ ὁμό- 15 17
χρονοι τούτων, καὶ μετ' αὐτοὺς ὀλίγοι τινὲς διέδραμον
ῥήτορες, ἀλλὰ μὴ κατὰ τὰ ἀγοραῖα καθάμματα τὰ τῷ
ἄττα καὶ τῷ κἆτα [85] ἐναβρυνόμενα, καὶ οἷς ἄλλοις ὁ

---

mogenem, qui hic significatur, quoniam expresse loquitur de quatuor virtutibus orationis, de quibus nihil scripsit Hermogenes, sed Ideis septem, quae modo maiore modo minore numero in virtutibus istis deprehenduntur. 82 Par. εἰς omisso sq. ἔχει. 83 Alludit ad fabulam de Orpheo, qui dicitur lyram accepisse ab Apolline, qui eam princeps acceperat a Mercurio inventore eius in Cyllene, monte Arabiae. Vide Hygin. lib. II. Fab. vel respicit fabulam aliam de Mercurio, cumulum nescio quem bonorum servante in antro, unde sumsisse eruditionem suam aiebat Orphaeus. Fabula est apud Tzetzen et Orpheum ipsum in libro de gemmis. Adde Iunii Adagiorum Cent. VII. ad 86. 1. 84 Par. ἀταρπητῶν. 85 Genus loquendi proverbiale, ut existimo. puto autem significare illos, qui antiquum semper obtinent, et eadem oberrant chorda, denique ut ad propositum nostrum applicemus, semper exordio, semper narratione opus esse existimant, semper eo modo apud populum, quo in Senatu, eo modo in causa favorabili, quo in odiosa dicendum arbitrantur. Ἄττα nempe ille sonus, quem frequenter edunt pueri, cum primum loqui incipiunt, sicut et Grammatici observant, sicut autem non parentes modo, sed quosvis alios appellant, imo hoc unum ingeminant perpetuo. Atque hinc proverbii occasio in eos, qui puerulorum more absque iudicio eadem semper ac ubique recantant. porro pro τῷ κἆτα puto geminata littera scribendum κἄττα, ut sit, καὶ ἄττα, sic enim ipsa ratio proverbii postulare videtur, quo idem semper sonus reprehenditur. 86 Edd. ἐναμβρυνόμενα. Par. ἐναβρ. 87 Quis

Σύρος ῥήτωρ [87] φησὶ, καὶ τοῖς σφῶν ὑποξύλοις συμμορίαις [88] ἐξογκούμενα. [89] Δεῖ δὲ τοὺς ὀρθῶς βουλο-

---

hic Syrus Rhetor? An hoc proprium eius nomen? Num potius desumptum a patria? Syrum sane proprio nomine scio neminem Rhetorum. At ex Syria quosdam, interque eos Andromachum Syrum, qui vixit temporibus Taciti et Aureliani Imperatorum, uti discimus ex Eunapio, vita Porphyrii. Item Sopatrum Syrum ex eodem auctore, qui vixit post tempora Constantini. Sed et magister eius, Iamblichius fuit Syrus, natus Chalcis Syriae, quae Coele dicitur, civitate notissima. Ac fortasse non alius hoc in loco indigitatur, quandoquidem et nominatus est in superioribus. καὶ ταῖς σφῶν ὑποξύλοις συμμορίαις. Censeo haec esse verba ipsa Syri illius, quibus ineptos oratores temporum suorum exagitabat. Imitatus autem in his, quicunque eorum auctor, Hermogenem videtur, qui hoc ipso vocabulo compellare tales solebat. Sic enim lib. I. de Ideis cap. 5., παράδειγμα τούτου Δημοσθενικὸν μὲν οὐκ ἂν λάβοις, οὐ δὴ γάρ ἐστι, παρὰ δὲ τοῖς ὑποξύλοις τουτοισὶ σοφισταῖς πάμπολλα εὕροις. Huius exemplum apud Demosthenem non invenies, nullum enim est; sed apud Rhetores ligneos scriptores multa invenies. Sunt autem ὑπόξυλοι apud Hermogenem, rudes crassique, ut mox latius ostendam. 88 Suspectum mihi est hoc verbum, quid enim συμμορίαι faciunt hic loci? συμμορίαι Hesychio πολιτικὸν σύστημα, πλῆθος, σύνταγμα (sic enim distinguendum puto apud eum, aut scribendum πλήθους σύνταγμα). At quid hoc ad Sophistas? Sed videant, qui forte melius libelli huius accipient exemplum. 89 Edd. ἐξογκυλόμεθα. Notandum, quod hoc verbum uno λ hic scribatur, alias geminata littera scribi solet. Videtur autem verborum istorum auctor alludere ad praecedens ὑποξύλοις, tanquam ligneos istos sermones sequantur in animis audientium timores, sicut ex attrita durioris materiae in corpore delicatiori oriuntur rumores livoresque. Nimirum per ὑποξύλους duras asperas et insolentes intellexit figuras, ut cum

μένους[90] μὴ τὸ πάντῃ δίκαιον ἐξακριβοῦντας[91] βλάπτεσθαι, ἀλλὰ καὶ τῷ ἐπιεικεῖ προσχρωμένους σώζεσθαι.

Τὰ ἐπιχειρήματα[92] λαμβάνονται ἐκ τῶν ἓξ περιστατικῶν.

Προσωπικόν. Μεγαλουργοί εἰσιν οἱ Βυζάντιοι καὶ δέονται καὶ τὸν Ἰσθμὸν ὀρύξαι.

Πρᾶγμα. Ἄλλως τε καὶ ἡ ὄρυξις πολλοῖς πολλάκις ἐν μέρει παιδείας καθέστηκεν.

Τόπος. Καὶ ταῦτα σομφῆς οὔσης τῆς γῆς ταύ-

Gorgias vultures aves τάφους ἐμψύχους, animata sepulcra, quod exemplum adducit Hermogenes, et metaphoram σκληρὰν, παχεῖαν, hoc est crassam, densam, asperam, rudem appellat. Tales igitur figurae cum audiuntur, laedunt veluti ac tumores faciunt. — Max. coni. ἐξογκυλόμενα. Par. ἐξοκειλόμεθα. scripsi ἐξογκούμενα, quod respondet antecedenti ἀναβρυνόμενα. — Quae sequuntur Par. non habet. 90 Causae nimirum suae, si quando tractare illam debent in iudicio. 91 Cum sit res invisa, summum exigere ius, et intima quaeque eius eruere proponereque. Unde fit, ut saepe bona perdatur causa, nec interdum plus prodesse reo potest, quam nimia adversarii vehementia. Adde Tacitum II. Hist. cap. 10. 92 Exemplo monstrat tractationem argumentorum Rhetoricorum. Sunt autem ea desumpta ex Hermogene lib. III. et aliis de Invent. qui volet, ibi legat.

τῆς καὶ χαυνώδους, ἀλλ' οὐχὶ πετρώδους καὶ στεγανώδους.

Χρόνος. Ἀλλ' οὐδὲ χειμὼν ἡμῖν ἐνοχλεῖ συστέλλων τὰς χεῖρας τῶν ὀρυττόντων, ἀλλ' ἔαρ ἐστίν.

18 *Τρόπος.* Ἔτι τε ὀργάνοις σιδηρέοις χρησώμεθα πρὸς εὔκαιρον ὑπουργίαν.

Αἰτία. Ἵνα μὴ οἱ πολέμιοι διαβαίνοντες δι' ἐκείνου τοῦ Ἰσθμοῦ ληΐζωνται τὰ ἡμέτερα.

Αἱ ἐργασίαι λαμβάνονται ἐκ τούτων.

Παράδειγμα. Καὶ γὰρ ὁ Ξέρξης πάλαι ποτὲ τοιούτου κατετόλμησεν ἔργου, ὅθεν καὶ τὸν Ἄθω διώρυξεν.

Παραβολή. Ὁρᾶτε, ὡς ἑκάστοτε καὶ χθόνια ζῶα καὶ πτηνὰ ὄρυξιν ἐργάζονται, καὶ ἃ μὲν ὄρνις κολάπτει δρῦας.

Ἐναντίον. Μῦς δὲ τὴν γῆν ἀναχώννυσι τὸ καινότερον, καὶ μύρμηξ.

Μεῖζον. Εἴπερ γὰρ καὶ μέγα τοὔργον, ἀλλ' οὐκ αἰθέρα τέμνομεν, οὐδὲ γεωργοῦμεν ἀέρα ὑπὲρ ἀνθρωπίνην τυγχάνον δύναμιν.

Ἴσον. Ἀλλ' ἔμμετρόν ἐστι πρὸς τὴν ἡμετέραν ἀναλογίαν.

Ἔλαττον. Ἐλάττονές εἰσι Μιλήσιοι, ἀλλ' ὅμως καὶ αὐτοὶ τετολμήκασι τὸ τοιοῦτον ἔργον, καὶ εἰς πέρας ἐξέθεντο.

Τὰ ἐνθυμήματα ἐκ τῶν ἐξ περιστατικῶν.

Πρόσωπον. Καὶ μὴν ὁ Ξέρξης, καὶ οἱ Πέρσαι οὐ μεγαλουργοὶ, οὐδὲ καινουργοὶ, καθάπερ Βυζάντιοι.

Πρᾶγμα. Εἶτα καὶ τὸ ἔργον ἀτελὲς καὶ οὐτιδανὸν ἐν ἀνδράσι καθέστηκε.

Αἰτία. Καί τοί γε ἐκεῖνος μὲν ὁ Πέρσης κενοδοξίᾳ νικώμενος· ἡμεῖς δὲ, ἵνα τὴν ἔφοδον τῶν ἐχθρῶν ἀποκρουσώμεθα.

Τρόπος. Κἀκεῖνος οὐκ ὀργάνοις τυχὼν ἰσχυροῖς· ἡμεῖς δὲ πολυχειρίᾳ καὶ σιδηροῖς ὀργάνοις.

Χρόνος. Ἄλλως τε καὶ χειμῶνος ἐκεῖνος ὤρυξε καὶ πολέμου τυχὸν ἐπικειμένου· ἡμεῖς δὲ ἔαρος ὄντος.

Τόπος. Κἀκεῖνος μὲν ὄρος λιθῶδες· ἡμεῖς δὲ γῆν ψαμμώδη.

Τὰ ἐπενθυμήματα ὁμοίως ἐκ τῶν ἐξ περιστατικῶν.

Πρόσωπον. Ὁ μὲν τῶν μειζόνων αὐτῷ πολέμων καθεστώτων, ὅμως ἕνεκα τοῦ πλεονεκτεῖν ἐπεχείρει τὰ φαυλότατα· ἡμεῖς δὲ οὐδενὸς ἢ τοῦ μὴ ζημιωθῆναι τὰ ἡμέτερα οὐ τὸν κόπον ὑποστησώμεθα;

Πρᾶγμα. Εἶτα ἐκεῖνος μὲν μεῖζον ἡμῶν ἔργον ἐπεχείρησεν· ἡμεῖς δὲ οὐδὲ τοὐλάχιστον ὑποίσομεν;

Τρόπος. Ἐκεῖνός τε φυλάργυρον γνώμην ἔχων αὐτίκα διεμποδίζετο· ἡμεῖς δὲ ἔχοντες ἐλευθερίαν ταχέως τελέσωμεν.

Τόπος. Ἄλλως τε κἀκεῖνος μὲν ἐν ἀποδημίᾳ καὶ ἀπουσίᾳ τῶν ἀναγκαίων τυγχάνων, ἡμεῖς δὲ ἐνδημοῦντες οἴκοι.

Χρόνος. Κἀκεῖνος μὲν ὑπὸ χειμῶνος ἐμποδιζόμενος οὐκ ἤνυσε τοὔργον ῥᾳδίως· ἡμεῖς δὲ ἔαρος ὄντως ἀνύσομεν.

Αἰτία. Καί τοί γε οὗτος μέν, ἵνα τοῖς ἀλλοτρίοις ἐπιθήσῃ χάρακα· ἡμεῖς δέ, ἵνα τὰ ἡμέτερα φυλάξωμεν.

Τέλος σὺν θεῷ.

VII.

ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ ΚΑΙ ΛΟΓΙΩΤΑΤΟΥ

ΚΥΡΙΟΥ

ΜΑΤΘΑΙΟΥ ΤΟΥ ΚΑΜΑΡΙΩΤΟΥ

ΡΗΤΟΡΙΚΗΣ ΕΠΙΤΟΜΗ

ΕΚ ΤΩΝ ΤΟΥ ΕΡΜΟΓΕΝΟΥΣ.

De *Matthaeo Camariota* vide Prolegomena ad Georgium Plethonem p. 545. Titulus, quem praefixi, est in Vind. 338. Taurin. 230. Par. 3052. In Par. 2981. post *Ἑρμογένους* additur: *ὅρων ῥητορικῆς*. Idem habet scholia nonnulla ad marginem. Par. 2973. *Ἐπιτομὴ εἰς τὴν ῥητορικὴν ἐκ τῶν εἰρημένων τῷ ῥήτορι Ἑρμογένει, ἐκδοθεῖσα ὑπὸ τοῦ σοφωτάτου καὶ ῥητορικωτάτου κυρίου Ματθαίου τοῦ Καμαριώτου.* Par. 2972. *Ἐπιτομὴ ῥητορικῆς ἐκ τῶν τοῦ Ἑρμογένους συντεθεῖσα παρὰ τοῦ σοφωτάτου καὶ λογιωτάτου κυρίου Ματθαίου Καμαριώτου τοῦ Βυζαντίου.* Mutila sub finem exstat epitome in Par. 2090. Ejusdem Epitome Aphthonii Progymnasmatum, quam Vol. V. p. 121—126. ex cod. Taurin. 230. edidi, continetur in codicibus Parr. 2929. 2972. 2963. In Cod. Par. 817. continetur *τοῦ σοφωτάτου καὶ λογιωτάτου κυρίου Ματθαίου τοῦ Καμαριώτου ἐγκώμιον εἰς τοὺς ἁγίους τρεῖς ἱεράρχας Βασίλειον τὸν μέγαν, Γρηγόριον τὸν θεολόγον καὶ Ἰωάννην τὸν Χρυσόστομον.*

In edenda hac epitome hanc secutus sum rationem: primum incidi in Vindobonensem, qui desinit in capite περὶ πραγματικῆς paullo ante finem. Finem capitis περὶ πραγματικῆς et caput περὶ ῥητοῦ καὶ διανοίας descripsi ex Taurinensi: reliqua ex Paris. 2929. [Par. 1.] collato Par. 2981. [Par. 2.] Totam Epitomen edere operae pretium non duxi.

ΜΑΤΘΑΙΟΥ ΤΟΥ ΚΑΜΑΡΙΩΤΟΥ

ΡΗΤΟΡΙΚΗΣ ΕΠΙΤΟΜΗ ΕΚ ΤΩΝ ΤΟΥ ΕΡΜΟΓΕΝΟΥΣ.

Ὅρος ῥητορικῆς.

Ῥητορική ἐστι δύναμις τεχνικὴ πιθανοῦ λόγου ἐν πράγματι πολιτικῷ, τέλος ἔχουσα τὸ καλῶς εἰπεῖν κατὰ τὸ ἐνδεχόμενον.[1]

Ζήτημα πολιτικόν ἐστιν ἀμφισβήτησις λογικὴ ἐπὶ μέρους, ἐκ τῶν παρ' ἑκάστοις κειμένων νόμων ἢ ἐθῶν περὶ τοῦ νομισθέντος δικαίου, ἢ τοῦ καλοῦ, ἢ τοῦ συμφέροντος, ἢ καὶ πάντων ἅμα, ἢ τινῶν.

Τὸ πολιτικὸν ζήτημα καὶ στάσις λέγεται ἀπὸ τοῦ στασιάζειν τοὺς ἀγωνιζομένους πρὸς ἀλλήλους.

Τῆς ῥητορικῆς τρία ἐστὶν εἴδη· δικανικὸν, συμβουλευτικὸν καὶ[2] ἐπιδεικτικὸν, εἴτουν πανηγυρικόν. Τούτων δὲ ἕκαστον διαιρεῖται εἰς δύο· τὸ μὲν δικανικὸν εἰς κατηγορίαν καὶ ἀπολογίαν· τὸ δὲ συμβουλευτικὸν εἰς προτροπὴν καὶ ἀποτροπὴν, εἴτουν εἰς τὸ ἀξιοῦν γενέσθαι τόδε τι, ὅπερ ἐστὶ τῆς προτροπῆς, καὶ εἰς τὸ ἀξιοῦν μὴ γενέσθαι τόδε τι, ὅπερ ἐστὶ τῆς ἀποτροπῆς· τὸ δὲ ἐπιδεικτικὸν,

---

1 Taur. addit: τὸ γὰρ ὡς ἀληθῶς τε καὶ καθόλου καλὸν ἢ συμφέρον ἢ τὰ τοιαῦτα ζητεῖν οὐ ῥητορικῆς ἐστιν, ἀλλὰ τῆς φιλοσοφίας. 2 Vind. ἤ. scr. καί. — v. 16. προτροπῆς, καὶ εἰς τὸ ἀξιοῦν μὴ γενέσθαι τόδε τι, ὅπερ ἐστὶ τῆς Taur. addit ad marg.

εἴτουν πανηγυρικὸν, εἰς ἐγκώμιον καὶ ψόγον, ὑφ' ὃ ταχτέον καὶ τοὺς ὕμνους, καὶ τοὺς διὰ βραχέων ἐπαίνους, καὶ τὰ διηγηματικὰ πάντα.

Τῶν τριῶν εἰδῶν τῆς ῥητορικῆς τὰ μὲν δύο στασιάζεται, τουτέστιν ἀμφισβήτησιν ἐπιδέχεται, τὸ δικανικὸν δηλαδὴ καὶ τὸ συμβουλευτικόν· τὸ δὲ ἐπιδεικτικὸν εἴτουν πανηγυρικὸν οὐ στασιάζεται, εἰ μὴ κατὰ συμβεβηκός· ὁπόταν δηλαδὴ τύχῃ ἀγνοούμενον τὸ ἐπαινούμενον ἢ τὸ[3] ψεγόμενον, ἢ ὁπόταν εὔνοιά τις ἢ ἀπέχθειά καὶ φθόνος, ἢ ἄλλο τι πάθος τοιοῦτον ἐνοχλῇ τοῖς ἀκροωμένοις. Ἡ πᾶσα οὖν τῶν στάσεων πραγματεία καὶ ἡ διαίρεσις τῶν κατ' αὐτὰς κεφαλαίων περὶ τὰ δύο θεωρεῖται τῆς ῥητορικῆς εἴδη, τὸ δικανικὸν καὶ τὸ συμβουλευτικὸν, καὶ περὶ ταῦτα τὸ πολιτικὸν καταγίνεται ζήτημα, ὅπερ ὁσαχῶς πέφυκε γίνεσθαι, ἐντεῦθεν ἐστι καταμαθεῖν ἀκριβῶς, ἐκεῖνο πρότερον θεωρήσαντας, ὅτι πᾶσα πολιτικὴ ἀμφισβήτησις περὶ πρόσωπα γίνεται καὶ πράγματα, ἅπερ διαφέρουσιν ἀλλήλων, πρόσωπα δηλαδὴ προσώπων, καὶ πράγματα πραγμάτων, ὡς ἐκθησόμεθα.

Ἰστέον οὖν, ὡς τῶν προσώπων τὰ μὲν ἐξετάζεται, τὰ δὲ οὐκ ἐξετάζεται· ὁμοίως καὶ τῶν πραγμάτων τὰ μὲν ἐξετάζεται; τὰ δὲ οὐκ ἐξετάζεται· ὅτε οὖν οὐκ ἐξετάζεται τὸ πρόσωπον, ἐλλείπει τὰ προσωπικὰ κεφάλαια· ὁμοίως καὶ ὅτε τὸ πρᾶγμα οὐκ ἐξετάζεται, ἐλλείπει τὰ πραγματικὰ κεφάλαια· ὅπερ ὡς γίνεται, μικρὸν ὕστερον λέξομεν.[4]

Περὶ τῶν ἐξεταζομένων προσώπων.

Τὰ οὖν ἐξεταζόμενα τῶν προσώπων διαφέρουσιν ἀλλήλων ἑπταχῶς· πρῶτον, ἐὰν ὡρισμένον ᾖ τὸ πρόσωπον

3 τὸ Vind. om.; est in Taur. — v. 11. Vind. πραγματία.
4 Vind. ad marg. Ἰστέον ἐστὶν, ὅτι προσωπικὰ καὶ πραγματικὰ λέγονται κεφάλαια, εἰς ἃ αἱ στάσεις διαιροῦνται.

καὶ κύριον, οἷον ὁ Περικλῆς, ὁ Δημοσθένης καὶ τὰ ὅμοια, ἅπερ καὶ ἰσχυρότατα εἰς κατάσκευὴν λόγου, ὡς πολλὴν εὐπορίαν διδόντα τῷ λέγοντι. Δεύτερον, ἐὰν ἔχωσι πρὸς ἄλληλα, ὡς τὰ πρός τι, οἷον πατὴρ, υἱὸς, δοῦλος, δεσπότης. Τρίτον· διαφέρει τῶν προειρημένων καὶ τῶν ἐφεξῆς τὰ διαβεβλημένα, οἷον ἄσωτοι, μοιχοὶ, κόλακες. Τέταρτον τὰ ἠθικὰ, οἷον γεωργοὶ, λίχνοι καὶ τὰ ὅμοια. Πέμπτον τὰ κατὰ συμπλοκὴν δύο προσηγοριῶν, οἷον νέος πλούσιος, ἅπερ οὐχ ἰδίᾳ ἀλλ' ὁμοῦ ἐξεταζομένῳ τῷ ἐξετάζοντι δίδωσιν εὐπορίαν. Ἕκτον τὰ κατὰ συμπλοκὴν προσώπου καὶ πράγματος, οἷον μειράκιον καλλωπιζόμενον φεύγει πορνείας. Ἕβδομον τὰ ἁπλᾶ προσηγορικὰ, οἷον στρατηγὸς, ῥήτωρ.[5]

Περὶ τῶν ἐξεταζομένων πραγμάτων.

Τὰ ἐξεταζόμενα τῶν πραγμάτων κατὰ τρεῖς γίνονται τρόπους. Πρῶτον ὅταν τις κρίνηται[6] ἐπί τινι ὡς ποιήσας αὐτός· ὡς ὁ θάπτων τὸ νεοσφαγὲς σῶμα ἐπὶ ἐρημίας, καὶ φωραθεὶς καὶ φόνου φεύγων. Δεύτερον, ὅταν ἑτέρου πράξαντος ἄντικρυς εἰς αὐτὸν ἀναφέρηται[7] τὸ κρινόμενον. οἷον τρισαριστέως εἰκόνα ἔστησαν οἱ πολέμιοι καὶ κρίνεται προδοσίας. Τρίτον, ὅτε μεταξὺ τούτων ᾖ τὰ κρινόμενα πράγματα· οἷον ἔγραψεν ὁ Περικλῆς εἰς δέον ἀνηλωκέναι πεντήκοντα τάλαντα, καὶ Ἀρχίδαμος δώρων φεύγει· ἑτέρου γὰρ πράξαντος ὡς ποιήσας αὐτὸς κρίνεται· καὶ ὡς εἰς αὐτὸν φανερῶς ἀναφερομένου τοῦ πράγματος· ἢ ὡς ὁ ἄσωτος ἐπὶ τῷ πατρὶ ἀφανεῖ[8] γενομένῳ

5 Vind. ad marg. Ταῦτά ἐστι δῆλον μὲν, ὅτι καὶ καθ' ἓν ἐμπίπτει τοῖς ζητήμασι, καὶ κατὰ πλείονα, αὐτίκα ὁ Δημοσθένης. καὶ πατὴρ ἦν δήπου καὶ ῥήτωρ καὶ πρεσβευτὴς [Cod. πρεσβύτης], ἤδη δὲ καὶ στρατιώτης· ὅθεν καὶ μείζονα δύναμιν ἔχουσι τὰ ὡρισμένα καὶ κύρια. 6 Taur. κρίνεται. 7 Taur. ἀναφέρεται. 8 Vind. ἀναφανεῖ. Taur. ἀφανεῖ.

φόνου φεύγων. Τὰ μὲν οὖν ἐξεταζόμενα τῶν προσώπων καὶ τῶν πραγμάτων ταῦτα.

Περὶ τῶν μὴ ἐξεταζομένων προσώπων.

Τὰ δὲ μὴ ἐξεταζόμενα τῶν προσώπων κατὰ δύο θεωρεῖται τρόπους· κατά τε τὸ ἀόριστον, οἷον ὅστις, καὶ κατὰ τὸ διόλου ἐξισάζον,[9] οἷον δύο νέοι πλούσιοι, εἰ ἐπί τῳ κρίνοιεν ἀλλήλους.

Περὶ τῶν μὴ ἐξεταζομένων πραγμάτων.

Πρᾶγμα δὲ ἀνεξέταστον οὐκ ἂν ἄλλως γένοιτο, εἰ μὴ ὅλως διόλου ἐξισάζοι, ὡς ἐπὶ τοῦ προσώπου· οἷον πένης καὶ πλούσιος, ἑκάτεροι ὡραίας ἔχοντες γυναῖκας, κατὰ ταὐτὸν ἄμφω πεφωράκασιν ἀλλήλους ἐξιόντας ἐκ τῶν ἀλλήλων οἰκιῶν, καὶ μοιχείας ἀλλήλοις ἀντεγκαλοῦσιν.[10] ἐνταῦθα τὰ πρόσωπα διαλλάττοντα ἐπιδέχεται ἐξέτασιν, τὰ δὲ πράγματα οὐκ ἐπιδέχονται· ἐξισάζει γὰρ λέγων δὴ μὴ ἐπιδέχεσθαι ἐξέτασιν τὸ πρόσωπον ἢ τὸ πρᾶγμα, οὐ διὰ τὸ ἀπεῖναι· κατὰ τίνος γὰρ ὁ λόγος ἔσται, ἢ ὑπὲρ τίνος καὶ περὶ τίνος, ἀλλ᾽ ἢ διὰ τὸ ἀπεῖναι τὰ προσωπικὰ ἢ πραγματικὰ κεφάλαια, ὡς μικρῷ πρόσθεν ἐλέγετο.

Περὶ συνεστηκότος ζητήματος.

Συνεστηκός ἐστι ζήτημα τὸ κρινόμενον, τὸ ἔχον καὶ

---

9 Vind. ad marg. Ἰστέον, ὅτι τὸ ἐξισάζον διόλου οὐ δέχεται ἐξέτασιν, διότι ἐστὶ κοινόν· οἷον δύο νέοι πλούσιοι, εἰ ἐπί τινος κρίνοιεν ἀλλήλους· ἐνταῦθα ἐξισάζουσι τὰ πρόσωπα, καὶ γίνεται κοινόν· καὶ εἰ μὲν ὁ ῥήτωρ βούλοιτο λέγειν τι ὅπερ ἐκείνου τοῦ νέου πλουσίου, ὃν δεφενδεύει, ἐξ ἀνάγκης ὁ δεφένσιος λόγος οὗτος διαβαίνει εἰς βοήθειαν καὶ τοῦ ἑτέρου νέου πλουσίου, καθ᾽ οὗ λέγει· καὶ τὸ ἀνάπαλιν· ἂν μὲν λέγῃ τι κατὰ τοῦ ἑτέρου νέου πλουσίου, τὸ αὐτὸ, ὅπερ λέγει, νοεῖται καὶ κατὰ τοῦ ἑτέρου νέου πλουσίου, ὃν δεφενδεύει. 10 Vind. ἀνεγκαλοῦσιν. Taur. ἀντεγκ.

καὶ πρόσωπον καὶ πρᾶγμα, ἢ τὸ ἕτερον, καὶ τοὺς ἐξ ἑκατέρου μέρους λόγους πιθανοὺς καὶ διαφόρους, καὶ τὰς πίστεις ἰσχυρὰς, τό τε ἀφανὲς τῆς κρίσεως καὶ μὴ προειλημμένον τῇ κρίσει παρὰ τοῖς δικασταῖς, καὶ πρὸς τούτοις δυνάμενον πέρας λαβεῖν.

Περὶ ἀσυστάτου ζητήματος, εἴτουν προβλήματος.

Ἀσύστατον δέ ἐστι τὸ οὑτινοσοῦν τῶν εἰρημένων ἐνδέον, ὅπερ ὀκταχῶς ἐστιν εὑρεῖν διαφέρον. Πρῶτον τὸ μονομερὲς, [11] ᾧ τὰ τῶν λόγων μὴ ἑκατέρωθεν ἰσχυρὰ, οἷον πορνοβοσκὸς δέκα νέους κωμάζοντας ἐπὶ τὴν οἰκίαν αὐτοῦ ὄρυγμα ποιήσας καὶ ὑποδεξάμενος ἀπέκτεινε καὶ φεύγει φόνου.

Δεύτερον τὸ ἰσάζον διόλου· οἷον δύο νέοι πλούσιοι, ὡραίας ἔχοντες γυναῖκας, κατὰ ταὐτὸν ἄμφω πεφωράκασιν ἀλλήλους ἐξιόντας ἐκ τῶν ἀλλήλων οἰκιῶν, καὶ μοιχείας [12] ἀλλήλοις ἀντεγκαλοῦσι.

Τρίτον κατὰ τὸ ἀντιστρέφον· οἷον ἀπῄτει τις δάνειον καὶ τόκους, ὁ δὲ παρακαταθήκην φάσκων ἔχειν, οὐκ ὀφείλειν ἔλεγε τόκους· μεταξὺ πεποίηται χρεῶν ἀποκοπὰς ὁ δῆμος, καὶ ὁ μὲν ὡς παρακαταθήκην ἀπῄτει, ὁ δὲ ὡς χρέος οὐκ ὀφείλειν ἔτι φησί.

Τέταρτον κατὰ τὸ ἄπορον, οὗ μή ἐστι λύσιν λαβεῖν μηδὲ πέρας· οἷον Ἀλέξανδρος ὄναρ εἶδεν, ὀνείροις μὴ πιστεύειν καὶ βουλεύεται.

Πέμπτον κατὰ τὸ ἀπίθανον· οἷον εἰ Σωκράτην τις πλάττει πορνοβοσκοῦντα ἢ Ἀριστείδην ἀδικοῦντα.

Ἕκτον κατὰ τὸ ἀδύνατον· οἷον εἰ Σιφνίους ἢ Μαρωνείτας λέγει τις περὶ ἀρχῆς τῶν Ἑλλήνων βουλεύεσθαι.

---

11. Vind. ad marg. Διὰ τοῦτο καλεῖται μονομερὲς, διότι οὐκ ἔχει ἑκατέρωθεν ἰσχυρὰ τὰ τῶν λόγων· ἀλλὰ μόνον ἐξ ἑνὸς μέρους ἢ ἐκ τοῦ πορνοβοσκοῦ· φήσει γὰρ, ἐγὼ ὢν πορνοβοσκὸς μᾶλλον ἐφίλησα ἢ ἀπέκτεινα, πῶς δὲ καὶ ἀπέκτεινα δέκα, εἷς ὤν. 12. Vind. μοιχίας h. l. et p. 604. v. 19.

Ἕβδομον κατὰ τὸ ἄδοξον, οἷον ἐκμισθώσας τις τὴν ἑαυτοῦ γυναῖκα τὸν μισθὸν οὐκ ἀπολαβὼν δικάζεται τῷ μισθωσαμένῳ.

Ὄγδοον, κατὰ τὸ ἀπερίστατον, οἷον ἀποκηρύσσει τις τὸν υἱὸν ἐπ' οὐδεμιᾷ αἰτίᾳ, ταῦτα γὰρ οὐ ζητήματά ἐστιν, ἀλλὰ προβλήματα

Περὶ ἄλλων εἰδῶν προβληματικῶν.

Ἔστι δὲ καὶ ἄλλα προβληματικὰ εἴδη, ἐγγὺς μὲν ἀσυστάτων, μελετᾶσθαι δὲ δυνάμενα. Πρῶτον τὸ ἑτεροῤῥεπὲς, οἷον καταφυγόντος Κριτίου ἐπὶ τὰς Ἁρμοδίου καὶ Ἀριστογείτονος εἰκόνας βουλεύονται Ἀθηναῖοι, εἰ δεῖ ἀποσπᾷν.

Δεύτερον τὸ κακόπλαστον· οἷον μετὰ τὴν Νικίου ἐπιστολὴν γράφει τις Κλέωνα στρατηγεῖν· τέθνηκε γὰρ ὁ Κλέων πρὸ τῶν Σικελικῶν.

Τρίτον τὸ προειλημμένον τῇ κρίσει, οἷον μηδενὸς ἐπιγνῶναι δυναμένου τὴν ἄνοδον τὴν ἐπὶ τὸν τύραννον, ἔδειξε γυνή τις τῷ ἑαυτῆς ἀνδρί· ὁ δὲ ἀπελθὼν ἀπέκτεινεν ἐκεῖνον, καὶ μοιχείας αὐτῇ ἐγκαλεῖ· κἂν γὰρ ἐλεγχθῇ μεμοιχευμένη, οὐδεὶς ἴσως αὐτῆς καταψηφιεῖται, δι' ἣν ὁ τύραννος ἀνῄρηται· ταυτὶ μὲν οὖν ἴσως ἱκανῶς εἰσιν εἰρημένα· νῦν δὲ ὁσαχῶς τὸ πολιτικὸν ζήτημα πέφυκε γίνεσθαι, θεωρήσομεν τοιαύτην περὶ αὐτοῦ προχειρισάμενοι μέθοδον ἢ διαίρεσιν.

Περὶ διαιρέσεως τῶν δεκατεσσάρων στάσεων.

Τὸ κρινόμενον ζήτημα ἢ ἀφανές ἐστιν ἢ φανερὸν, κἂν μὲν ἀφανὲς ᾖ, ποιεῖ τὸν στοχασμόν, εἰ δὲ φανερὸν, ἢ τέλειόν ἐστιν ἢ ἀτελές. ἀτελὲς δὲ λέγεται, ᾧ προστεθέντος τινὸς ὡς λείποντος ὄνομα εὐθὺς γίνεται ὡρισμένον, καὶ οὐκέτι ἔχει ζήτησιν τὸ πρᾶγμα· ἂν μὲν οὖν ἀτελὲς ᾖ, ὁρικὴν ποιεῖ τὴν στάσιν· ἂν δὲ τέλειον γενικὸν, πάλιν ὄνομα τούτῳ ποιότης· ἤτοι δὲ περὶ πρᾶγμα ἔχει

τὴν ζήτησιν, ἢ περὶ ῥητόν· ἂν μὲν περὶ πρᾶγμα, λογικὴ γίνεται ἡ στάσις· διπλοῦν δὲ τοῦτο· ἢ γὰρ περὶ μέλλοντος πράγματος ἔχει τὴν ζήτησιν, καὶ ποιεῖ τὴν πραγματικήν, ἢ περὶ γεγονότος. κοινὸν δὲ πάλιν ὄνομα τούτῳ δικαιολογία. Διπλοῦν δὲ καὶ τοῦτο· ἢ γὰρ ὁ φεύγων ἐρεῖ πεποιηκέναι τι ὡς ἀδίκημα καὶ κατά τι κεκωλυμένον, ἢ οὔ. κἂν μὲν μηδαμῶς φάσκῃ κεκωλῦσθαι τὸ πεπραγμένον, ἀντίληψιν ποιεῖ, ἂν δὲ ὁμολογῇ τι πεποιηκέναι ὡς ἀδίκημα, ὄνομα πάλιν τούτῳ γενικὸν ἀντίθεσις. Διαιρήσομεν δὲ τοῦτο πάλιν διχῇ· ἢ γὰρ εἰς ἑαυτὸν ἀναδέχεται ὁ φεύγων τὸ γεγονός, ἀνθιστὰς ἕτερόν τι εὐεργέτημα μεῖζον τοῦ ἀδικήματος δι' αὐτοῦ πεπραγμένον, καὶ ποιεῖ ἀντίστασιν, ἢ εἴς τι τῶν ἔξωθεν μεθίστησι, καὶ ἤτοι εἰς αὐτὸν τὸν παθόντα ἀντεγκαλούμενον, ὡς ἄξιον παθεῖν, ὃ ἔπαθε καὶ γίνεται ἀντέγκλημα ἢ εἴς τι τῶν ἔξωθεν· τοῦτο δὲ αὖθις ἢ εἴς τι ὑπεύθυνον δυνάμενον γενέσθαι, καὶ πεποίηκε τὴν συγγνώμην. Ἂν μὲν οὖν περὶ πρᾶγμα ἡ ζήτησις ᾖ, αἱ λογικαὶ γίνονται στάσεις, ὡς ἐμάθομεν, ἂν δὲ περὶ ῥητόν, ἡ στάσις ἐστὶ νομική· ἡ δὲ τοιαύτη ζήτησις ἤτοι περὶ ἓν ῥητὸν ἔχει τὴν ζήτησιν, ἢ περὶ πλείονα· πλείονα δὲ λέγω, κἂν ἕν τι ῥητὸν εἰς δύο διαιρῆται, καὶ τῶν κρινομένων ἑκάτερος ἑκατέρῳ μέρει φαίνηται χρώμενος· ἂν μὲν οὖν περὶ ἓν ῥητὸν ἡ ζήτησις ᾖ, ἢ περὶ τὰς διανοίας αὐτοῦ γίνεται μόνας ἑκατέρωθεν, ἢ ἀπὸ μὲν τοῦ ἑτέρου τῶν κρινομένων περὶ τὸ ῥητὸν καθ' αὑτό· ἀπὸ δὲ θατέρου περὶ τὴν διάνοιαν· καὶ γίνεται ἡ λεγομένη στάσις κατὰ ῥητὸν καὶ διάνοιαν· ἢ τῷ ῥητῷ παρατίθησί τι πρᾶγμα, εἰς ταὐτὸν ἄγον τὸ ἄγραφον τῷ ἐγγράφῳ, καὶ ποιεῖ τὸν συλλογισμόν· ἂν δὲ περὶ δύο ῥητὰ ἡ ζήτησις ᾖ, ἢ καὶ πλείονα, ἢ καὶ ἓν εἰς δύο διαιροῦμεν, ἀντινομία γίνεται· τὴν δὲ ἀμφιβολίαν καὶ αὐτὴν ἴσως ὑπὸ τὴν κατὰ ῥητὸν καὶ διάνοιαν τάξεις· παρὰ δὲ ταύτας ἐστὶν ἡ μετάληψις, καθ' ἣν οὔτε τὸ εἰ

ἐστι ζητεῖται, ὡς ἐν στοχασμῷ, οὔτε τὸ τί ἐστιν, ὡς ἐν ὅρῳ, οὔτε τὸ ὁποῖον, ὡς ἐν ταῖς λοιπαῖς· ἀλλὰ εἰ ὅλως δεῖ ζητῆσαί τι τούτων, καὶ ἔστι παραγραφὴ, δύο δὲ αὐτῆς εἴδη· ἡ μὲν γάρ ἐστιν ἔγγραφος ἀπὸ ῥητοῦ τινος τὴν ζήτησιν ἔχουσα, ἥτις ἐστὶν ἀπαγωγὴ τῆς εὐθυδικίας κατὰ παραγραφὴν ἀπὸ ῥητοῦ, τὴν ἐξέτασιν ἔχουσα κατὰ ῥητὸν καὶ διάνοιαν, μεθ' ἣν ζητεῖται τὸ στοχαστικὸν εἰ ἐφόνευσεν. Ἡ δὲ ἄγραφος ἀπαγωγὴ καὶ αὕτη τῆς εὐθυδικίας κατὰ παραγραφὴν ἀπὸ ῥητοῦ, τὴν ζήτησιν οὐ περὶ ῥητὸν ἔχουσα, ἀλλὰ περί τι τῶν περὶ τὸ πρᾶγμα, τόπον ἢ χρόνον ἢ πρόσωπον ἢ αἰτίαν ἢ τρόπον, ὅταν τὸ μὲν πρᾶγμα συγχωρῶμεν, ἓν δέ τι τούτων αἰτιώμεθα. Αἱ μὲν οὖν στάσεις ἐκ τοιαύτης μεθόδου κατὰ τὸ πρόχειρον ἐπιγινώσκονται, ἑκάστη δὲ αὐτῶν τοῦτον ὁρίζεται τὸν τρόπον.

Περὶ στοχασμοῦ.

Ὅρος στοχασμοῦ.

Ὁ στοχασμός ἐστιν ἀδήλου πράγματος ἔλεγχος οὐσιώδης, ἀπό τινος φανεροῦ σημείου ἢ ἀπὸ τῆς περὶ τὸ πρόσωπον ὑποψίας· οἷον πεφώραταί τις θάπτων νεοσφαγὲς σῶμα ἐπὶ ἐρημίας, καὶ φόνου φεύγει· ἀπὸ γὰρ τοῦ θάπτειν φανεροῦ ἀφανές τι ζητεῖται τὸ τίς ὁ φονεύσας.

Περὶ ὅρου.

Ὅρος τουτέστιν ὁρικὴ στάσις ἐστὶν ὀνόματος ζήτησις περὶ πράγματος, οὗ τὸ μὲν πέπρακται, τὸ δὲ λείπει πρὸς αὐτοτέλειαν τοῦ ὀνόματος, οὗ προστεθέντος τέλειόν ἐστι καὶ ὡρισμένον τὸ πρᾶγμα, καὶ οὐκ ἔχει ζήτησιν· οἷον ἐξ ἱεροῦ ἰδιωτικά τις ὑφείλετο χρήματα· νόμου κελεύοντος, τὸν μὲν ἱερόσυλον τεθνάναι, τὸν δὲ κλέπτην διπλᾶ διδόναι, ὡς ἱερόσυλος ὑπάγεται[1] ὁ δὲ κλέπτης εἶναι λέγει.

---

1 Vind. ὑπάγεται.

Περὶ πραγματικῆς.

Ὅρος πραγματικῆς.

Πραγματική ἐστιν ἀμφισβήτησις περὶ μέλλοντος πράγματος, εἰ δεῖ γενέσθαι τόδε τι, ἢ μὴ γενέσθαι, δοῦναι, ἢ μὴ δοῦναι, οἷον βουλεύονται Ἀθηναῖοι, εἰ δεῖ θάπτειν τοὺς ἐν Μαραθῶνι πεσόντας τῶν βαρβάρων.

Περὶ ἀντιλήψεως.

Ὅρος ἀντιλήψεως.

Ἀντίστασίς ἐστιν ὁμολογία τινὸς πράγματος, ὡς ἀδικήματος, ἀνθιστῶσα ἕτερόν τι εὐεργέτημα μεῖζον τοῦ ἀδικήματος δι' αὐτοῦ πεπραγμένον· οἷον ἐν λιμῷ καὶ πολιορκίᾳ συμβουλεύων ὁ στρατηγὸς ἐξιέναι καὶ μάχεσθαι οὐκ ἔπεισε, διέκοψε λαθὼν μέρος τοῦ τείχους, καὶ νενικήκασι μὲν ἐξελθόντες· δημοσίων δὲ ὕστερον φεύγει.

Περὶ ἀντεγκλήματος.

Ὅρος ἀντεγκλήματος.

Ἀντέγκλημά ἐστιν, ὅταν ὁμολογῶν ὁ φεύγων πεποιηκέναι τι ὡς ἀδίκημα ἀντεγκαλῇ τῷ πεπονθότι ὡς ἀξίῳ παθεῖν ἃ πέπονθεν, οἷον ἀριστεὺς πορνεύοντα τὸν υἱὸν ἀπέκτεινε καὶ φεύγει φόνου.

Περὶ μεταστάσεως.

Ὅρος μεταστάσεως.

Μετάστασίς ἐστιν ὁμολογία τινὸς ὡς ἀδικήματος μεθιστῶσα τὸ ἔγκλημα εἴς τι δυνάμενον ὑπεύθυνον γενέσθαι· οἷον ἔδει τὸν πρεσβευτὴν εἴσω τριάκοντα ἡμερῶν ἐξιέναι, λαβόντα παρὰ τοῦ ταμείου χιλίας δραχμὰς εἰς ἐφόδιον· οὐκ ἔλαβεν, οὐδὲ ἐξῆλθε, καὶ κρίνεται.

Περὶ συγγνώμης.

Ὅρος συγγνώμης.

Συγγνώμη ἐστὶν ὁμολογία τινὸς ὡς ἀδικήματος, εἰς

ἀνευθυνόν τι μεθιστῶσα τὸ ἔγκλημα· οἷον στρατηγοὶ διὰ τὸν χειμῶνα μὴ ἀνελόμενοι τὰ σώματα κρίνονται.

Περὶ ῥητοῦ καὶ διανοίας.

Ὅρος ῥητοῦ καὶ διανοίας.

Ῥητὸν καὶ διάνοιά ἐστιν, ὅταν τοῦ ἑτέρου τὸ ῥητὸν προβαλλομένου, καὶ ὡς ἐπὶ τὸ πλεῖστον τοῦ διώκοντος, τὸ θάτερον μέρος χρῆται ταῖς διανοίαις· οἷον ξένος ἐπὶ τεῖχος εἰ ἀνέλθοι, τεθνάτω, πολιορκίας οὔσης ἀνελθών τις ἠρίστευσε, καὶ ὑπάγεται τῷ νόμῳ.

Περὶ συλλογισμοῦ.

Ὅρος συλλογισμοῦ.

Συλλογισμός ἐστιν ἀγράφου πράγματος πρὸς ἔγγραφον παράθεσις, εἰς ταὐτὸν συνάγοντος τὸ ἄγραφον τῷ ἐγγράφῳ· οἷον τὸν ἐξ ἑταίρας μὴ λέγειν· ἐκ πόρνου τινὰ γεγονότα λέγειν κωλύει τις.[2]

Περὶ ἀντινομίας.

Ὅρος ἀντινομίας.

Ἀντινομία ἐστὶ δύο ἢ καὶ πλειόνων ῥητῶν, ἢ καὶ ἑνὸς διαιρουμένου, μὴ φύσει ἐναντίων, κατὰ περίστασιν δὲ μάχη· καὶ ὅλως διπλῆ τίς ἐστι ζήτησις ῥητοῦ καὶ διανοίας· οἷον ἀποκήρυκτος μὴ μετεχέτω τῶν πατρῴων, καὶ ὁ ἐπιμείνας χειμαζομένῃ νηῒ δεσπότης ἔστω τῆς

---

2 Vind. ad marg. Νόμος ἐστὶ, τὸν τεχθέντα ἐξ ἑταίρας ἢ ἐκ πόρνης μὴ δημηγορεῖν· οὐκοῦν καὶ τὸν γεννηθέντα ἐκ πόρνου κωλύει τις μὴ δημηγορεῖν. Ἰστέον ὅτι πόρνος λέγεται ὁ μετὰ πορνῶν γυναικῶν συμμιγνύμενος· πόρνος καὶ ὁ παθαίνων τὰς σοδομικὰς πράξεις· ἐνταῦθα δὲ τὸν παθόντα τὰς σοδομικὰς πράξεις λέγει· τουτέστι τὸν γεννηθέντα ἐκ τοιούτου πόρνου κωλύει τις μὴ δημηγορεῖν. καὶ τὸν μὲν ἐξ ἑταίρας τεχθέντα ὁ νόμος κωλύει δημηγορεῖν, ὅπερ ἐστὶν ἔγγραφον, πρὸς ὃ γίνεται καὶ ἡ παράθεσις τοῦ ἀγράφου. ἄρα ἕπεται καὶ τὸν ἐκ πόρνου γεννηθέντα μὴ δημηγορεῖν.

νεώς· ἀποκήρυκτος ἐπέμεινε χειμαζομένῃ νηΐ, καὶ εἴργεται αὐτῆς ὡς πατρῴας. Καὶ πάλιν· ἡ βιασθεῖσα ἢ γάμον ἢ θάνατον αἱρείσθω τοῦ βιασαμένου· δύο τις κατὰ ταὐτὸν ἐβιάσατο κόρας, καὶ ἡ μὲν γάμον,[3] ἡ δὲ θάνατον αὐτοῦ αἱρεῖται.

Περὶ ἀμφιβολίας.

Ὅρος ἀμφιβολίας.

Ἀμφιβολία ἐστὶν ἀμφισβήτησις περὶ ῥητὸν ἐκ προσῳδίας· οἷον ἑταίρα χρυσία εἰ φοροίη, δημοσία ἔστω· πεφώραταί τις φοροῦσα χρυσία, καὶ ἡ μὲν τὰ χρυσία φησὶν εἶναι δημόσια, οἱ δὲ οὐ τὰ χρυσία, ἀλλ' αὐτήν. Περὶ δὲ διάστασιν συλλαβῶν, οἷον δύο ἦσάν τῳ παῖδες, Λέων καὶ Πανταλέων· τελευτῶν ὁ πατὴρ διέθετο οὕτως· ἐχέτω τὰ ἐμὰ πάντα Λέων· καὶ ἑκάτερος ἀντιποιεῖται πάντων· ὁ μὲν ὑφ' ἓν ἀναγινώσκων, Πανταλέων, ὁ δὲ διϊστὰς, πάντα, εἶτα Λέων.

Περὶ μεταλήψεως.

Ὅρος μεταλήψεως.

Μετάληψίς ἐστιν ἔγγραφος ἀπαγωγὴ τῆς εὐθυδικίας εἰς παραγραφὴν,[4] ἀπὸ ῥητοῦ τινος περὶ οὗ ἡ ζήτησις. οἷον δὶς περὶ τῶν αὐτῶν πραγμάτων δίκας μὴ εἶναι. φόνου κρινόμενός τις ἀπέφυγεν· ὕστερον αὐτῷ χρωμένῳ ὁ θεὸς ἀνεῖλεν, ἀνδροφόνοις οὐ χρῶ, καὶ πάλιν φεύγει· ἡ δὲ ἄγραφός ἐστιν ἀπαγωγὴ[5] καὶ αὐτὴ τῆς εὐθυδικίας

3 Vind. γάμου, ἡ δὲ θανάτου αὐτὸν αἱρεῖται. 4 Vind. ad marg. Παραγραφή ἐστιν, ὅταν λέγῃ τις τὸ πρᾶγμα, περὶ οὗ τὸ ἔγκλημά ἐστιν, ὅπερ εἰσήχθη πρότερον εἰς δικαστήριον καὶ γεγένηται περὶ αὐτοῦ γνῶσις· διὰ τοῦτό φησι μὴ δεῖν ἔτι περὶ αὐτοῦ συνίστασθαι κρίσιν, μάλιστα δὲ τοὺς νόμους ἀναγινώσκειν τοῖς δικασταῖς, οἵ τινες πλεονάκις δικάζεσθαι περὶ τῶν αὐτῶν πραγμάτων οὐ συγχωροῦσι. 5 Vind. ad marg. Ἀπαγωγή ἐστι μήνυσις ἔγγραφος διδομένη τῷ ἄρχοντι περὶ τοῦ δεῖν ἀπαχθῆναι τὸν δεῖνα.

κατὰ παραγραφὴν ἀπὸ ῥητοῦ οὐ περὶ ῥητὸν, ἀλλὰ περί τι τῶν περὶ τὸ πρᾶγμα, τόπον ἢ χρόνον, ἢ πρόσωπον ἢ αἰτίαν, ἢ τρόπον, ὅταν τὸ μὲν πρᾶγμα συγχωρῶμεν, ἕν δέ τι τούτων αἰτιώμεθα μεταλαμβάνοντες· οἷον ἐξῆν ἀποκτεῖναι τὸν μοιχὸν καὶ τὴν μοιχευομένην· τὸν μοιχὸν ἀποκτείνας τις μόνον, χρόνῳ ὕστερον ἐπὶ τῷ τάφῳ τοῦ μοιχοῦ δακρύουσαν εὑρὼν ἀπέκτεινε τὴν γυναῖκα, καὶ φεύγει φόνου· τὸν γὰρ τρόπον καὶ τὸν χρόνον αἰτιώμεθα δήπουθεν.

Περὶ στοχασμοῦ.

Στοχασμοῦ διαίρεσις.

Ὁ στοχασμὸς διαιρεῖται, ὅτι καὶ πρόσωπα ἔχει καὶ πράγματα κρινόμενα, παραγραφικῷ ἔστιν ὅτε, ἐλέγχων ἀπαιτήσει, βουλήσει, δυνάμει, τοῖς ἀπ᾽ ἀρχῆς ἄχρι τέλους, ἀντιλήψει, μεταλήψει, μεταθέσει αἰτίας, πιθανῇ ἀπολογίᾳ, ποιότητι κοινῇ.

Περὶ παραγραφικοῦ.

Τὸ παραγραφικὸν γίνεται κατὰ τρόπους τέσσαρας· ἤτοι ἀπὸ τοῦ λείποντος, οἷον ἀσώτου πατὴρ ἀφανὴς γέγονε καὶ φεύγει φόνου· ἀξιώσει γὰρ δεικνύναι πρῶτον, εἰ ἀνῄρηται· ἢ ἀπὸ τοῦ ὑπερβάλλοντος, οἷον δέκα νέοι συνώμοσαν μὴ γῆμαι, καὶ φεύγουσι κακοῦ βίου. ἕκαστος γὰρ αὐτῶν ἀξιώσει κρίνεσθαι ἰδίᾳ· ἢ ὅτι ἀφ᾽ ὧν ἕτεροι πεποιήκασιν, οὐ δεῖ κρίνεσθαι, ὡς ὁ τριςαριστεὺς οὗ εἰκόνα ἔστησαν οἱ πολέμιοι, καὶ φεύγει προδοσίας· ἢ κατὰ χρόνον· οἷον δειλοῦ παῖς ἠρίστευσε, καὶ μοιχείας κρίνει τὴν γυναῖκα· τοσούτοις γάρ φησι μὴ δεῖν κρίνεσθαι χρόνοις ὕστερον. Τοῦτο μὲν εἰ ἀπὸ ῥητοῦ τινος γίνοιτο, ἰσχυρότερόν ἐστι, καὶ τελεία γίνεται παραγραφὴ καὶ μετάληψις, ὡς ἐπ᾽ ἐκείνου· κριθείς τις φόνου ἀπέφυγεν· ὕστερον αὐτῷ χρωμένῳ ὁ θεὸς ἀνεῖλεν· ἀνδροφόνοις οὐ

χρῷ, καὶ πάλιν φεύγει· δὶς γὰρ περὶ τῶν αὐτῶν κρίνεσθαι οἱ νόμοι κωλύουσιν. Ἡ τῶν ἐλέγχων ἀπαίτησις διπλῆ ἐστιν, ἢ γὰρ παρόντας διαβάλλει, ὡς μὴ ἀξίους πιστεύεσθαι, ἢ ἀπόντας ἐπιζητήσει, ἀξιῶν μὴ ἀμάρτυρον γίνεσθαι τὴν κρίσιν. Δεῖ δὲ καὶ ἀντιτιθέναι τοῖς μάρτυσι τοὺς μάρτυρας, ὁπότεροι ἀξιοπιστότεροί εἰσι μᾶλλον· ὁ μὲν οὖν φεύγων ἀπαιτήσει τοὺς μάρτυρας τοῖςδε· προσώπῳ, οἷον τίς ὁ δρῶν; πράγματι, οἷον τί; τόπῳ, οἷον ποῦ; τρόπῳ, οἷον πῶς; χρόνῳ, οἷον πότε; αἰτίᾳ, οἷον διὰ τί; ὁ δὴ κατηγορῶν τὸν διὰ τῶν πραγμάτων ἔλεγχον ἀξιοπιστότερον ἀποφανεῖ τοῦ διὰ τῶν μαρτύρων.

Ἡ βούλησις καὶ ἡ δύναμις ἀπὸ τῶν παρακολουθούντων τῷ προσώπῳ γίνεται, δηλονότι τῶν ἐγκωμιαστικῶν, ἅτινά ἐστι ταῦτα· γένος, ἀγωγὴ, παίδευσις, ἡλικία, φύσις ψυχῆς καὶ σώματος, ἐπιτηδεύματα, πράξεις, τύχη, οἷον πλοῦτος, πενία, καὶ τὰ τοιαῦτα· ταῦτα δὲ ἢ πάντα ἢ ἔνια ἐμπίπτει.

Τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους ὡς ἐπὶ τὸ πλεῖστόν εἰσι τοῦ κατηγόρου· γίνεται δὲ καὶ ταῦτα, ἀφ' ὧνπερ καὶ ἡ τῶν ἐλέγχων ἀπαίτησις, τῶν περιστατικῶν δηλαδὴ, ἅ τινά ἐστι ταῦτα, τίς, τί, ποῦ, πῶς, πότε, διατί· ἐὰν μὲν οὖν μόνου τοῦ κατηγόρου τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους ᾖ, τὰ ἑξῆς ἅπαντα πλὴν τῆς μεταλήψεως ἔσται κοινά· ἐὰν δὴ κοινὰ τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους ᾖ, καὶ τὰ λοιπὰ κεφάλαια ἀμφοῖν ἔσται κοινά.

Ἡ ἀντίληψις ἐὰν μὲν ἀφ' ὧν αὐτὸς πεποίηκε κρίνηταί τις, πάντως ἐμπεσεῖται· ἐὰν δὲ, ἀφ' ὧν ἄλλος, οὐκέτι· οἷον νέος πλούσιος τοὺς ἀποκηρύκτους πάντας τρέφει, καὶ φεύγει τυραννίδος ἐπιθέσεως· ἐρεῖ γὰρ, ὅτι ἔξεστι τρέφειν οὓς βούλεταί τις.

Ἡ μετάληψις ἀεὶ καὶ πανταχοῦ ἐναντία ἐστὶ τῇ ἀντιλήψει· γίνεται δὲ κατὰ ἔνστασιν καὶ ἀντιπαράστασιν· φήσει γὰρ μηδὲ ἐξεῖναι τοῦτο ἡ ἔνστασις· εἰ δὲ καὶ ἐξε-

ὅτιν, ἀλλ' οὐκ ἐπὶ τοῖς τοιούτοις· τοῦτο ἡ ἀντιπαράστασις, οἷον μειράκιον καλλωπιζόμενον φεύγει πορνείας· οὐκ ἔξεστιν ἀνδράσι καλλωπίζεσθαι· εἰ δὲ καὶ ἔξεστιν, οὐχ οὕτως οὐδὲ ἐπὶ τοῖς τοιούτοις· οὐκ ἀεὶ δὲ προτέρα ἡ ἔνστασις τῆς ἀντιπαραστάσεως, ἀλλ' ὡς ἡ χρεία ἀπαιτεῖ μεθοδεύεται.

Ἡ μετάθεσις τῆς αἰτίας, ἥτις καὶ χρῶμα λέγεται, πρὸς τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους γίνεται· ἐκεῖνα δὲ ἢ ἐν λόγοις ἐστὶν, ἢ ἐν ἔργοις, ἢ ἐν πάθεσιν· ἂν μὲν οὖν ἐν λόγοις ᾖ, κατὰ ῥητὸν καὶ διάνοιαν ἡ μετάθεσις εἰσάγεται· οἷον νέος πλούσιος νύκτωρ κωμάσας ἐπὶ τὸ δεσμωτήριον ἐβόησε, Θαῤῥεῖτε, ὦ δεσμῶται οὐκ εἰς μακρὰν λυθήσεσθε· καὶ φεύγει τυραννίδος ἐπιθέσεως· ὁμολογῶν γὰρ εἰρηκέναι, τίνι διανοίᾳ εἶπε, σκοπεῖν ἀξιοῖ, ἐὰν δὲ ἐν ἔργοις ἐκεῖνα ᾖ, ἀντιθετικῶς ἐξετάζεται, οἷον πεφώραταί τις ἐπ' ἐρημίας θάπτων νεοσφαγὲς σῶμα καὶ φόνου φεύγει· ἐρεῖ γὰρ, ὅτι καλὸν τὸ τοὺς ἀτάφους θάπτειν· ἂν δὲ ἐν πάθεσι, συγγνωμονικῶς ἐξετάζεται· οἷον συνεχῶς εἰς τὴν ἀκρόπολιν νέος πλούσιος ἀφορῶν δακρύει, καὶ φεύγει τυραννίδος ἐπιθέσεως· ἐλεήσας γὰρ, φησὶ, τοὺς τυραννουμένους οὕτω διετέθην· ἔτι ἀφ' ὧν ἕτεροι πεποιήκασιν ἡ κρίσις γίνεται· ἡ μετάθεσις τῆς αἰτίας ἔσται καὶ πεπλανημένη καὶ ἐναντία πως ἑαυτῇ· οἷον τριςαριστέως εἰκόνα ἔστησαν οἱ πολέμιοι, καὶ φεύγει προδοσίας· ἐρεῖ γὰρ, ἢ θαυμάζοντας αὐτὸν ἐκείνους στῆσαι ἢ προτρέποντας τοὺς παρ' ἑαυτοῖς, ἢ ἐξιλεουμένους αὐτὸν, ἢ ἄλλως πως φθόνον κινῆσαι βουλομένους· ἐὰν δὲ ἀφ' ὧν αὐτός τις πεποίηται, κρίνηται, ἢ ἕν τι μόνον ἐρεῖ, ἢ καὶ πλείονα, πλὴν ἀκόλουθα ἀλλήλοις, οἷον νύκτωρ τις μεταιτῶν λῃστείας φεύγει, ἐρεῖ γὰρ διὰ τοῦτο νύκτωρ, ὅτι αἰσχύνεται, καὶ ὅτι τηνικαῦτα μᾶλλον διδόασιν οἱ ἄνθρωποι, ἀνειμένοι τὴν γνώμην.

Ἡ πιθανὴ ἀπολογία ἀντιστρέφει πρὸς τὰ ἀπ' ἀρ-

χῆς ἄχρι τέλους· οἷς γὰρ ὁ ἕτερος χρῆται ὡς σημείοις τοῦ εἶναί τι, τούτοις ὁ ἕτερος ὡς σημείοις χρῆται τοῦ μὴ εἶναί τι· οἷον ὅπου ἀφορᾷς καὶ δακρύεις, τυραννήσεις; καὶ μή, εἰ ἔμελλον τυραννεῖν, οὐκ ἂν ἀφειδῶν, ὥστε εἶναι καταφανής· τοῦτο δὲ τὸ κεφάλαιον ἐστιν ὅτε ἐκλείπει, ὅταν τὰ σημεῖα, ἀφ' ὧν ἡ κρίσις, ἀναγκαίως ἑπόμενα ᾖ τῷ πράγματι, οἷον τῷ ἐπιτιθεμένῳ τυραννίδι ἀναγκαῖον ὅπλα παρασκευάζεσθαι·[6] σκηπτοῦ κατενεχθέντος εἰς τὴν Περικλέους οἰκίαν εὕρηνται χίλιαι πανοπλίαι, καὶ φεύγει τυραννίδος ἐπιθέσεως· οὐ δύναται δὲ εἰπεῖν, καὶ μὴν εἰ ἔμελλον τυραννεῖν, οὐκ ἂν ὅπλα παρεσκευαζόμην. Ἐν τοῖς τοιούτοις τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους ὁ κατήγορος ὁρικῶς ἐξετάσει, καὶ ἀντὶ τῆς πιθανῆς ἀπολογίας ὁ φεύγων τῷ μὴ ἀντιστρέφειν χρήσεται λέγων, οἱ μὲν μέλλοντες τυραννεῖν ὅπλα παρασκευάζονται, οὐ μὴν οἵ γε παρασκευαζόμενοι καὶ τυραννίδι ἐπιτίθενται.

Ἡ κοινὴ ποιότης οἱ ἐπίλογοί εἰσι καὶ αἱ δευτερολογίαι, γινόμεναι ἐν παντὶ ζητήματι, καὶ οὐκ ἐν στοχασμῷ μόνον· τῶν μὲν κατηγόρων τοπικῶς μετὰ τὰς ἀποδείξεις κατατρεχόντων τοῦ ἐγκλήματος, οἷον κατὰ τυράννου ἢ πόρνου ἤ τινος τοιούτου, καὶ ἐπανακεφαλαιουμένων ἕκαστα, τῶν δὲ φευγόντων καὶ αὐτῶν μὲν ἐπανακεφαλαιουμένων ἕκαστα, οὐχ ὁμοίως δέ, ἀλλ' ἐλεεινολογουμένων καὶ πάθη κινούντων, ἐν οἷς καὶ παραγωγαὶ χρήσιμοι παίδων καὶ γυναικῶν καὶ φίλων, καὶ ὅσα τοιαῦτα, ἃ ὁ κατήγορος ἀναιρήσει τῷ συμφέροντι· κοινὰ δὲ ἀμφοῖν τὰ τελικὰ κεφάλαια· τὸ νόμιμον, τὸ δίκαιον, τὸ συμφέρον, τὸ δυνατὸν καὶ ἔνδοξον καὶ ἐκβησόμενον· οἷςπερ καὶ ὁ κοινὸς τόπος κατασκευάζεται, καὶ πρὸς τούτοις τῷ ἐκ τοῦ ἐναντίου, τῇ ἐκθέσει, οὐχ ὡς διδάσκοντος, ἀλλ' ὡς παροξύνοντος τὸν ἀκροατὴν τῇ λεγομένῃ κρίσει, ἐν ᾗ ἐκ παραθέσεως συνάγεται τῷ κατηγορουμένῳ τὸ μεῖζον· εἶτα γνώμη, ἐξ

6 Vind. παρά. scr. παρασκευάζεσθαι.

ἧς διαβάλλεται τοῦ πράξαντος ἡ διάνοια, παρεκβάσει, στοχαστικῶς καινιζομένου τοῦ φθάσαντος βίου· ἐλέου ἐκβολῇ, μεθ' ἣν ἐπάγονται τὰ εἰρημένα τελικὰ κεφάλαια.

Ὁ μὲν δὴ τέλειος καὶ ἁπλοῦς στοχασμὸς οὕτω διαιρεῖται· εἰ δέ τινές εἰσι καὶ ἀτελεῖς ἄλλοι, ὥσπερ δὴ καὶ εἰσί, κἀκείνων ἡ διαίρεσις τοῖς σπουδαιοτέροις γνώριμος ἐκ τῶν εἰρημένων· στοχασμῶν οὖν εἴδη τοσαῦτα· ἁπλοῦς τέλειος, ἁπλοῦς ἀτελὴς, ἐμπίπτων, προκατασκευαζόμενος, καὶ συγκατασκευαζόμενος. Τέλειος μὲν οὖν ἐστω ὁ πρόσωπον ἔχων καὶ πρᾶγμα κρινόμενον. Ἀτελὴς δὲ ὁ θάτερον μόνον πρόσωπον ἢ πρᾶγμα, διπλοῦς[7] δὲ ὁ δύο πρόσωπα καὶ δύο πράγματα ἔχων· οἷον Αἰσχίνης καὶ Δημοσθένης ἀπὸ τῆς παρὰ Φιλίππου ἥκοντες πρεσβείας ἀντεγκαλοῦσι δώρων ἀλλήλοις· ἐπειδὴ ὁ μὲν χρυσίον εὕρηται κατορύττων, ὁ Δημοσθένης, ὁ δὲ ἀπολογίαν παραπρεσβείας γεγραφὼς, ὁ Αἰσχίνης. Καὶ πάλιν, ἐμπίπτων μέν ἐστιν, ὅταν ἐν τῇ μεταθέσει τῆς αἰτίας ὁλόκληρον ἐμπέσῃ ζήτημα, καὶ ἀναγκαῖον γένηται καὶ αὐτὸ διελεῖν τελείως.

Προκατασκευαζόμενος δὲ, ὅταν πρὸ τοῦ ζητήματος ἕτερον ἀναγκαῖον ᾖ προκατασκευασθῆναί τι πρᾶγμα στοχαστικῶς, ὡς ὂν ἢ οὐκ ὄν. Συγκατασκευαζόμενος δὲ, ὅταν τὰ σημεῖα τοῦ πράγματος δι' ἀλλήλων κατασκευάζηται. Καὶ τοῦ μὲν προτέρου παράδειγμα· ἔδει τὸν ἁλόντα προδοσίας[8] δεδέσθαι παρὰ τῷ στρατηγῷ, μέχρις ἂν εἴποι τοὺς συνειδότας· ἁλοὺς τις στρατηγὸς προδοσίας ἐδέθη παρὰ τῷ συστρατήγῳ, ὁ δὲ ἀπέκτεινεν αὐτὸν, ὡς ἐπὶ τῇ γυναικὶ εὑρὼν, καὶ συνειδότος φεύγει· μετατιθέντος γὰρ τὴν αἰτίαν, καὶ λέγοντος ἀπεκτονέναι μοιχὸν, ζητεῖται, εἰ εἰκὸς δεσμώτην ὄντα μοιχεῦσαι.

Τοῦ δὲ δευτέρου· πλούσιος στρατηγὸς τρεῖς παῖδας ἐχθροῦ πένητος ὡς προδιδόντας συνέλαβε· καὶ τοὺς μὲν

δύο

7 Vind. ad marg. διπλοῦς δὲ τέλειος δηλαδή. 8 Vind. προδοσίᾳ.

δύο μηδὲν ὁμολογήσαντας ἀπέκτεινεν ἐν ταῖς βασάνοις, τὸν δὲ τρίτον πρὸ τῶν βασάνων ὁμολογήσαντα προδιδόναι, καὶ μὴ ἐπεξιόντα τὸν πατέρα κρίνει συνειδότος· δεῖ γὰρ ὑφ' ἑκατέρου πρῶτον συσταθῆναι, τοῦ μὲν πλουσίου τὸ εἶναι προδότας, τοῦ δὲ πένητος τὸ μὴ εἶναι.[9]

Τοῦ δὲ τρίτου· ἔδει τοὺς δεσμώτας λελύσθαι τοῖς Θεσμοφορίοις· μοιχείαν ὑπονοήσας τις τῆς γυναικὸς πρὸς τὸν οἰκέτην δήσας ἐκεῖνον ἀπεδήμησε· λυθεὶς τοῖς Θεσμοφορίοις ὑπὸ τῆς γυναικὸς ἀπέδρα, μετὰ ταῦτα εὕρηται ὁ ἀνὴρ πεφονευμένος καὶ συνειδότος ἡ γυνὴ φεύγει. Ἔστι παρὰ τούτους ὁ ἀπὸ γνώμης· φανεροῦ ὄντος τοῦ πράγματος καὶ τοῦ πράξαντος, μόνης τῆς γνώμης ἐξεταζομένης· οἷον ἐν δόξῃ μανίας μητρυιὰ τὸν μὲν υἱὸν ἔτρωσε, τὸν δὲ πρόγονον ἀπέκτεινε, καὶ ἀνενεγκοῦσα φόνου φεύγει.

Ὅρου διαίρεσις.

Ὁ ὅρος διαιρεῖται προβολῇ, ὅρῳ, ἀνθορισμῷ, συλλογισμῷ, γνώμῃ νομοθέτου, πηλικότητι, πρός τι, μιᾷ τῶν ἀντιθετικῶν ἔστιν ὅτε, ἤ τις εἰ ἐμπέσοι, εὑρεθήσεται καὶ μετάληψις καὶ ἀντίληψις εὐθὺς ἑπόμεναι, εἶτα ποιότητι καὶ γνώμῃ. Ἡ προβολή ἐστιν αὐτὰ τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους, οἷον τύραννον ἔπεισε φιλόσοφος ἀποθέσθαι τὴν τυραννίδα, καὶ αἰτεῖ τὸ γέρας, προβολή· ἔπαυσα τὴν τυραννίδα, καὶ δεῖ λαμβάνειν με τὴν δωρεάν.

Ὅρος, οὐκ ἔστι τοῦτο τυραννοκτονῆσαι, ἀλλ' ἐκεῖνο, ὃ παρεῖται.

---

9 Vind. ad marg. Διπλοῦς δὲ ἀτελὴς ἐκ μὲν τῶν πραγμάτων, ὅταν μόνα τὰ πράγματα κρίνηται, οἷον δύο ῥήτορες πρεσβεύσαντες παρὰ τύραννον καὶ ἐπανήκοντες ἀλλήλοις ἀντεγκαλοῦσι δώρων, ἐπειδὴ ὁ μὲν χρυσίον εὕρηται κατορύττων, ὁ δὲ ἀπολογίαν παραπρεσβείας γεγραφώς. Διπλοῦς δὲ ἀτελὴς ἐκ μόνων προσώπων, ὅτι μόνα τὰ πρόσωπα κρίνεται, οἷον ἐπὶ σημείοις φαρμάκων ἀριστεὺς ἐτελεύτα, μητρυιὰν ἔχων καὶ αἰχμαλωτὸν παλλακίδα, καὶ ἀντεγκαλοῦσιν ἀλλήλαις.

Ὁ ἀνθορισμός· οἷον· οὐχὶ, ἀλλὰ τὸ παῦσαι τὴν τυραννίδα· ὁ συλλογισμὸς, ὅτι μηδὲν διαφέρει τοῦτο ἐκείνου· μάχεται γὰρ ὁ συλλογισμὸς τῷ ὅρῳ πανταχοῦ.

Ἡ γνώμη τοῦ νομοθέτου ὑπ' ἀμφοῖν πρὸς τὸ οἰκεῖον συμφέρον ἐξετασθήσεται.

Ἡ πηλικότης μέγα τὸ γεγονὸς ἀποδείξει τὸ πρός τι, ὅτι καὶ μεῖζον τὸ δίχα σφαγῶν καὶ θορύβων καὶ ταραχῆς παῦσαι τὴν τυραννίδα, τοῦ μετὰ τῶν ὅπλων παῦσαι αὐτὴν δηλαδή.

Ἡ ἀντίθεσις ἐνταῦθα μὲν οὐκ ἐμπέπτωκε· θεωρεῖται δὲ ὅμως, ὡς ἐπ' ἐκείνου τοῦ ζητήματος· εὐνοῦχόν τις εὑρὼν ἐπὶ τῇ γυναικὶ ὡς μοιχὸν ἀπέκτεινε καὶ φόνου φεύγει. μετὰ γὰρ τὸ τίς ὁ μοιχὸς, διὰ τῶν προειρημένων περανθὲν, ἀντεγκαλέσει ὡς ἀξίῳ παθεῖν, ἃ πέπονθεν· ᾧ ἕπεται ἡ μετάληψις· κρίνειν ἔδει· ταύτῃ δ' ἀναγκαίως ἡ ἀντίληψις, ὅτι ἐξῆν· ἡ ποιότης ἀπὸ τῶν παρακολουθούντων τῷ προσώπῳ λαμβάνεται, δηλαδὴ τῶν ἐγκωμιαστικῶν.

Ἡ γνώμη ὡσαύτως ἐπ' ἀμφοτέρων· ποίᾳ γνώμῃ τόδε τι ἔπραξε καὶ ποίᾳ γνώμῃ τόδε τι ἔπραξε, καὶ ποίᾳ γνώμῃ κατηγορεῖ ἢ ἀντιλέγει. Ἡ κοινὴ ποιότης συμπεπλεγμένως ἐνταῦθα τῇ ποιότητι τοῦ προσώπου καὶ τῇ γνώμῃ ἐξετασθήσεται. Ἔστι καὶ ὅρων εἴδη πλείονα, ἁπλοῦς μὲν ὁ προειρημένος, οἱ δὲ ἄλλοι διπλοῖ, καὶ πρῶτος μὲν ὁ ἀντονομάζων καλούμενος, ὅταν ὄνομα ὀνόματι ὁ φεύγων ἀντιτιθῇ· οἷον ὑφείλετό τις ἐξ ἱεροῦ ἰδιωτικὰ χρήματα· νόμου ὄντος, τὸν μὲν ἱερόσυλον τεθνάναι, τὸν δὲ κλέπτην διπλᾶ διδόναι, ὡς ἱερόσυλος ὑπάγεται· ὁ δὲ κλέπτης εἶναι φάσκων διπλᾶ καταθέσθαι ἀξιοῖ. Δεύτερος δὲ ὁ κατὰ σύλληψιν ὀνομαζόμενος, ὅταν τοῦ φεύγοντος ἀντονομάζοντος ὁ διώκων καὶ τούτῳ καὶ ἐκείνῳ ὑπεύθυνον αὐτὸν εἶναι λέγῃ, οἷον πρεσβεύων τις παρέθετο τῷ στρατηγῷ τὴν θυγατέρα· ἐβιάσατο αὐτὴν ἐκεῖνος· καὶ δημοσίων

ἀδικημάτων ὁ πατὴρ αὐτὸν ἐπανελθὼν κρίνει· ὁ δὲ τὰς μυρίας δραχμὰς καταθέσθαι ἀξιοῖ· τὸ ὁρισθὲν τῷ βιαίῳ ἐνταῦθα τοῦ φεύγοντος· βίαιός εἰμι, ἀλλ' οὐ δημοσίᾳ ἠδικηκώς· ὁ διώκων ἀμφοτέροις αὐτὸν ὑπεύθυνον εἶναί φησιν, ἐπειδὴ τῇ βίᾳ ἕπεται τὸ δημόσιον ἀδίκημα, ἧς μὴ οὔσης οὐδὲ ἐκεῖνο ἔσται. Τρίτος δὲ ὁ κατὰ πρόσωπα διπλοῦς· ὅταν πρᾶγμα ὁλόκληρον ὑπὸ δυοῖν ᾖ πεπραγμένον, ἢ ἄλλως δύο τισὶ προσώποις ὑπάρχον, οἷον νόμος τὰς ἱερωσύνας τοὺς παῖδας διαδέχεσθαι· παῖδα ἔχων ἠρίστευσέ τις, καὶ ᾔτησεν ἱερωσύνην τινὸς ἀφελέσθαι, καὶ αὐτοῦ παῖδα ἔχοντος· ἔλαβε· τεθνᾶσιν ἀμφότεροι, καὶ ἀμφισβητοῦσιν οἱ παῖδες τῆς ἱερωσύνης. ἐπὶ τούτοις ὁ ἐμπίπτων, ὅταν μεταξὺ τῶν κεφαλαίων ἄλλο ἐμπέσῃ ζήτημα ὁλόκληρον, οἷον ἀμύητος ὄναρ ἰδὼν τὰ μυστήρια ἤρετό τινα μυηθέντα εἰπεῖν ἃ εἶδεν εἰ οὕτως ἔχει. συγκατέθετο ὁ ἐρωτηθεὶς, καὶ ὡς ἐξειπὼν ὑπάγεται· τί γὰρ τὸ ἐξειπεῖν οὔσης τῆς ζητήσεως, καὶ μέχρι τοῦ πρός τι προϊούσης, ἐμπεσεῖται καὶ τίς ὁ ἀμύητος ἄλλο ζήτημα· παρὰ τούτοις· οἱ δύο καλούμενοι ὅροι, ὅταν περὶ δύο ὀνομάτων ἐφ' ἑνὸς προσώπου ἡ ζήτησις ᾖ, οἷον τὸν καθαρὸν καὶ ἐκ καθαροῦ ἱερᾶσθαι· πατέρα μοιχὸν ἀποκτείνας τις εἴργεται ἱερᾶσθαι· ἡ γὰρ ζήτησις, τίς ὁ καθαρὸς, καὶ τίς ὁ ἐκ καθαροῦ.

Διαίρεσις ἀντιλήψεως.

Περὶ ἀντιλήψεως.

Ἡ ἀντίληψις διαιρεῖται προβολῇ, μορίῳ δικαίου, προσώπῳ, ὅρῳ, καὶ τοῖς ἑπομένοις τῷ ὅρῳ μέχρι τοῦ πρός τι, οἷον ἀνθορισμῷ, συλλογισμῷ, γνώμῃ νομοθέτου, πηλικότητι, πρός τι, αὐτῇ τῇ ἀντιλήψει, μεταλήψει, ἀντιθέσει, ἑτέρᾳ μεταλήψει, θέσει, ποιότητι καὶ γνώμῃ· οἷον ζωγράφος ναυάγια γράψας ἀνέθηκε πρὸ

τῶν λιμένων, καὶ μηδενὸς καθαίροντος δημοσίων ἀδικημάτων φεύγει.

Ἡ προβολὴ γίνεται ὡς ἐν τῷ ὅρῳ.

Τὸ μόριον τοῦ δικαίου ταὐτόν ἐστι τῇ ἀντιλήψει, ὅτι οὐ δεῖ ἐπὶ τούτοις κρίνεσθαι, ἃ μηδεὶς κεκώλυκε νόμος.

Τὸ πρόσωπον· εἰ καὶ δεῖ, ἀλλὰ δημοσίων γε, οὐ τοὺς ἰδιώτας, ἀλλὰ ῥήτορας, ἢ πρεσβευτὰς ἢ στρατηγούς. Ὁ ὅρος, ἐπὶ ἄλλοις αἱ τῶν δημοσίων ἀδικημάτων γραφαὶ, οἷον ναῦς προδοῦναι, τείχη, συμμάχους, τὰ ἀπόῤῥητα ἐξειπεῖν.

Ὁ συλλογισμὸς, καὶ ταῦτα κἀκεῖνα δημόσιον ἀδίκημα· πλειόνων γὰρ ὄντων τρόπων, καθ' οὓς ἄν τις ἀδικήσειεν, οὐκ εἰ μὴ κατὰ πάντας τις ἀδικεῖ, διὰ τοῦτο ἀθῷος ἔσται, ἀλλ' εἰ καὶ καθ' ἕνα δώσει δίκην.

Γνώμη νομοθέτου, εἰ ἐμπίπτει, χρήσεται ἑκάτερος πρὸς τὸ λυσιτελοῦν.

Ἡ πηλικότης, ὅτι μέγα τὸ γεγονὸς ἀποδείξει· τὸ πρός τι, ὅτι καὶ μεῖζον ἢ προβάλλεται·[1] ἐπὶ τούτοις ἀναγκαίως ἐμπίπτει τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους. Πρὸς ἃ ἡ ἀντίληψις.

Ἡ μετάληψις, ὅτι μὴ ἔξεστιν, εἰ δὲ καὶ ἔξεστιν, ἀλλ' οὐκ ἐπὶ τοῖς τοιούτοις.

Ἡ ἀντίθεσις ἀντιστατική· οἷον ὑπὲρ τῶν πλεόντων πεποίηκα, ἵνα εἰδότες, οἵοις εἰκὸς περιπίπτειν κακοῖς, εἰ παρὰ καιρὸν πλέοιεν, φυλάττοιντο.

Ἑτέρα μετάληψις, ἄλλως ἔδει συμβουλεύειν, πρὸς ἣν ἑτέρα ἀντίληψις οἷον ἕκαστος ὡς δύναται συμβουλεύει, καὶ οὐ κεκώλυται, ὁ ῥήτωρ τοῖς λόγοις, ὁ ζωγράφος τῇ τέχνῃ. Καὶ γίνεται ἡ θέσις ἀκόλουθος, διαιρουμένη με-

1 Vind. ad marg. οἷον τὰς ναῦς ἢ τὰ τείχη προδοῦναι, ἐν σπάνει καταστῆσαι τῶν ἀναγκαίων, μηδενὸς καθαίροντος τῶν ἐμπόρων.

τὰ τὴν καλουμένην ἔφοδον τοῖς τελικοῖς κεφαλαίοις· ἤ ἔστιν ὅτε χρῆται καὶ ὁ κατήγορος ἀναστρέψας.[2]

Ἡ ποιότης καὶ ἡ γνώμη ὡς ἐν τῷ ὅρῳ μεμαθήκαμεν γίνεται.

Ἔστι δὲ καὶ ἀντιλήψεων εἴδη πλείονα, αἱ μὲν γὰρ εἰσιν ἁπλαῖ, αἱ δὲ διπλαῖ· τῶν ἁπλῶν ἡ μὲν ἀπ' αὐτοῦ τοῦ πεπραγμένου τὴν κρίσιν ἔχει, οἷον Ἀλκιβιάδης μετὰ τὰ κατὰ Κύζικον κατελθὼν, εἶτα ἔχων ἐν ἐκτυπώμασι τὰ περὶ Σικελίαν, φεύγει δημοσίων ἀδικημάτων· ἡ δὲ ἀπ' αὐτοῦ τοῦ πεπραγμένου[3] καί τινος ἐπισυμβεβηκότος ἑτέρου τὴν κρίσιν ἔχει, ὡς ἐπὶ τοῦ ζωγράφου τοῦ τὰ ναυάγια γράψαντος, καὶ ἐπεὶ μὴ καταίρουσί τινες κρινομένου[1] ἢ ἐπὶ τοῦδε· μετὰ τὰ κατὰ Χαιρώνειαν ἔπεμψε Φίλιππος διδοὺς αἵρεσιν ἢ τοὺς δισχιλίους αἰχμαλώτους λαμβάνειν, ἢ τοὺς χιλίους νεκρούς· ἔπεισε Δημοσθένης τοὺς χιλίους ἑλέσθαι, καὶ ἀποκτείναντος Φιλίππου τοὺς αἰχμαλώτους δημοσίων ἀδικημάτων φεύγει. Ἐνταῦθα ἴδιον ἐμπίπτει κεφάλαιον ὡς παραγραφικόν· δυνάμενον καὶ πρὸ τῶν ἄλλων τίθεσθαι, καὶ μεταξύ ἐστιν αὐτῶν τῶν κεφαλαίων· καὶ ὅλως, ὡς λυσιτελεῖ· ἔστι δὲ τοιοῦτον· ἐπὶ τίσι με κρίνεις; ἐπὶ τοῖς ὕστερον πραχθεῖσιν· ἀλλ' οὐ δεῖ, ἐφ' οὓς ἐξ ἀρχῆς συνεβούλευσα ἢ ἔπραξα, τότε ἔδει ἀντιλέγειν ἢ εἴργειν· ἐν ταῖς τοιαύταις πρὸ τοῦ ἀντιθετικοῦ ἐμπίπτοντος συγγνωμονικῷ χρηστέον κεφαλαίῳ· οἷον οὐδεὶς οἶδε τὰ μέλλον, οὐκοῦν οὐδὲ ἐγὼ ἀγνοήσας ὑπεύθυνός εἰμι.[4]

Τῶν διπλῶν ἀντιλήψεων ἡ μὲν ἐστι κατὰ συμπλοκὴν,

---

2 Vind. ad marg. οἷον εἰ μὴ δεῖ ταῖς τέχναις ἁπλῶς καταχρῆσθαι ἐπὶ λύμῃ τῶν καινῶν. 3 Vind. ad marg. ἀντὶ τοῦ ἐπ' αὐτῷ γενομένῳ πράγματι, ὡς ἐπὶ τοῦ ζωγράφου· εἰ μὴ γὰρ ὕστερόν τι συνέβη, τὸ γράφειν οὐδὲν δεινόν. 4 Vind. ad marg. ἐπειδὴ αἰσχύνην ἔφερεν αὐτῷ τὸ λέγειν ὅτι ἠγνόουν, καθολικῶς αὐτὸ πρῶτον ἐμεθόδευσεν· ἔπειτα μερικῶς.

ἡ δὲ κατὰ διαίρεσιν· κατὰ συμπλοκὴν μὲν, ὅταν δυοῖν ὄντοιν τοῖν ἐγκλημάτοιν μὴ δύνηται χωρὶς ἑκάτερον αὐτῶν εἶναι ἔγκλημα; μετὰ δὲ τῆς ἑτέρου συμπλοκῆς, οἷον ταῖς πάντων γνώμαις ἀντιλέγει τις, αὐτὸς οὐδὲν ἀποφαίνεται καὶ δημοσίων φεύγει· δεῖ οὖν ἐν τούτοις ἀπολογουμένους μὲν διαιρεῖν, κατηγοροῦντας δὲ συμπλέκειν, κατὰ διαίρεσιν δὲ διπλῆ ἀντίληψις γίνεται, ὅταν δύο ἐγκλήματα ᾖ δυνάμενα καὶ χωρὶς ἀλλήλων κρίσιν ἐπιδέξασθαι· οἷον πολλάς τις ἀμείβων γυναῖκας καὶ πολλοὺς τιθέμενος παῖδας [5] κακοβίου φεύγει· ἐνταῦθα ὁ μὲν κατήγορος συμπλέξει χάριν αὐξήσεως, ὁ δὲ φεύγων διαιρήσει, μειώσεως ἕνεκα, ἐπειδὴ καὶ καθ' ἑαυτὰ κρίσιν ἑκάτερον ἐπιδέξασθαι δύναται. Ἀντιθετικά εἰσιν, ἀντίστασις, ἀντέγκλημα, μετάστασις καὶ συγγνώμη.

Περὶ τῶν ἀντιθετικῶν.

Διαίρεσις τῶν ἀντιθετικῶν.

Αἱ ἀντιθετικαὶ πᾶσαι διαιροῦνται προβολῇ, ὅρῳ, ἔστιν ὅτε, καὶ τοῖς ἑπομένοις τῷ ὅρῳ μέχρι τοῦ πρός τι, διανοίᾳ, ἀντιθέσει, ὁμωνύμῳ τῇ στάσει ἀντιστατικῇ ἢ ἀντεγκληματικῇ ἢ μεταστατικῇ ἢ συγγνωμονικῇ· πάλιν διανοίᾳ, μεταλήψει, πρός τι, ὅρῳ βιαίῳ, θέσει, ἑτέρᾳ μεταλήψει, ἀντιλήψει, ποιότητι καὶ γνώμῃ.

Ἡ προβολὴ φανερὰ ἀπὸ τῶν συμβεβηκότων· τὸ δὲ ὁρικῷ, ὅτε ἐμπίπτει ὡς καὶ ἐν τῇ μεταλήψει χρησόμεθα, καὶ μετὰ τὴν αὔξησιν τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους ἐστί· πρὸς ἃ τῇ διανοίᾳ ὁ φεύγων χρήσεται.

---

5 Vind. ad marg. πολλοὺς τιθέμενος παῖδας, ἤτοι πολλοὺς δούλους ποιῶν, παῖς γὰρ οὐχ ὁ υἱὸς μόνον, ἀλλὰ καὶ ὁ νέος δοῦλος, ἡ γὰρ τῶν κακοβίων ὄρεξις, οὐκ ἀρκεῖται ἐν ὀλίγοις· τὴν γὰρ ὑποψίαν φοβούμενοι οἱ κακόβιοι προσποιοῦνται τὴν κτῆσιν τῶν δούλων· ἤτοι οὐχ ἕνεκα κακῆς ὀρέξεως τίθενται πολλούς, ἀλλὰ χάριν ἐργασίας τῶν ἀναγκαίων.

Παράδειγμα δέ ἐστι τόδε· ἀριστεὺς πορνεύοντα τὸν υἱὸν ἀπέκτεινε καὶ φεύγει φόνου· τὸ μὲν ὁρικὸν οὐκ ἐμπέπτωκε, μετὰ δὲ τὴν προβολὴν θήσει ὁ κατήγορος τὰ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους, πρὸς ἃ ὁ φεύγων τῇ διανοίᾳ χρήσεται· ἀξιῶν μὴ τὸ γεγονὸς μόνον ἐξετάζειν, ἀλλὰ καὶ μεθ᾽ οἵας γνώμης ἐποίησεν. Ἡ ἀντίθεσις ἐνταῦθα ἀντεγκληματική, ὅτι ἄξιος ἦν· καὶ τόπον ἐρεῖ [6] κατὰ πόρνου ὡς ἐν πάσῃ ἀντεγκληματικῇ. Ἐρεῖ δὲ καὶ ἀντιστατικὸν, ὡς καὶ ὑπὲρ αὐτοῦ πεποίηκε τοῦτο τοῦ παθόντος· αἱ γὰρ ἀντιθετικαὶ ἀλλήλαις συμπλέκονται καὶ ταῖς ἄλλαις στάσεσιν· ἡ ἑτέρα διάνοια τοῦ διώκοντός ἐστιν, ὅτι οὐ διὰ τοῦτο, ἀλλὰ διὰ ἄλλο τι.

Ἡ μετάληψις· ἄλλως, ἀλλ᾽ οὐχ οὕτως ἐχρῆν· τὸ πρός τι ἀμφοῖν ἐστι, πότερον μεῖζον ἀνταποδεικνύντων τὸ εὐεργέτημα, ἢ τὸ ἀδίκημα· ὁ βίαιος ὅρος ὁμοίως ἀμφοτέρων ἐστίν· οἷον ἐν λιμῷ καὶ πολιορκίᾳ συμβουλεύων ὁ στρατηγὸς ἐξιέναι καὶ μάχεσθαι οὐκ ἔπειθε· διέκοψε λαθὼν μέρος τοῦ τείχους, καὶ νενικήκασι μὲν ἐξελθόντες, δημοσίων δὲ ὕστερον φεύγει· ὁ βίαιος ὅρος οὖν, εἰ μηδὲ νίκη τοῦτό ἐστιν, ἀλλὰ ἅλωσις πόλεως καὶ κατασκαφή· καὶ πάλιν ὑπὸ τοῦ φεύγοντος, εἰ μηδὲ διακόψαι τεῖχος τοῦτό ἐστιν, ἀλλὰ στῆσαι πεπτωκός· θέσις οὖν ἕπεται· ὅτι δεῖ τὸν στρατηγὸν πάντα, ὃν ἂν ἐγχωρῇ τρόπον, εὐποιεῖν τὴν πόλιν, καὶ ἀκόντων ἐνίοτε τῶν πολιτῶν δι᾽ ἄγνοιαν τοῦ βελτίστου καὶ βλάπτειν μικρὰ ἀντὶ μεγάλων. Ἡ ἑτέρα μετάληψις πάλιν τοῦ διώκοντός ἐστιν· ἐχρῆν τοῦτο αὐτὸν κοινοῦν τῷ δήμῳ, τοῖς ταξιάρχαις, τοῖς λοχαγοῖς· ἡ ἀντίληψις, στρατηγὸς ἦν, καὶ ἐξῆν δήπου· ἢ ὅτι πατρί γε ὄντι ἐξῆν μοι βουλεύσασθαι περὶ τοῦ παιδός.

Ποιότης καὶ γνώμη γίνεται, ὡς ἐν τῷ ὅρῳ ἐμάθομεν.

---

6 Vind. εὑρεῖ.

Διαίρεσις τῆς πραγματικῆς.

Περὶ πραγματικῆς.

Ἡ πραγματικὴ διαιρεῖται νομίμῳ, δικαίῳ, συμφέροντι, δυνατῷ, ἐνδόξῳ, τῷ ἐκβησομένῳ· ἔστι δὲ ἡ μὲν ἔγγραφος, ἡ δὲ ἄγραφος.

Ἔγγραφος μὲν ἡ ἀπὸ ῥητοῦ τὴν ζήτησιν ἔχουσα· οἷον ἐν τρισὶν ἡμέραις περὶ πολέμου βουλεύεσθαι νόμος ἐκέλευσεν. Ἐλάτειαν[7] ἔχοντος Φιλίππου γράφει Δημοσθένης αὐθημερὸν ἐξιέναι.

Ἄγραφος δὲ ἡ μὴ ἀπὸ ῥητοῦ, οἷον ἀξιοῖ μετὰ τὰ κατὰ Πύλον Κλέων Πύθιος καλεῖσθαι. Τὸ νόμιμον ἐν μὲν τῇ ἐγγράφῳ μιᾷ τῶν νομικῶν ὑποπίπτει στάσεων· δηλονότι μεταλήψει, ἢ ῥητῷ καὶ διανοίᾳ, ἢ ἀντινομίᾳ, ἢ συλλογισμῷ, ἢ ἀμφιβολίᾳ, καὶ κατ' ἐκείνην διαιρεθήσεται. Ἐν δὲ τῇ ἀγράφῳ τὸ ἔθος ὡς νόμιμον ἐξεταστέον· ἐν στάσει τε καὶ ἀντιπαραστάσει μεθοδεύουσιν, οἷον καινὰ ἀξιοῖς· ναί, καινὰ ἀξιῶ· καινὰ γὰρ καὶ τὰ πεπραγμένα· τοῦτο ἡ ἀντιπαράστασις· εἶτα μέντοι οὐδὲ καινὰ, τοῦτο ἡ ἔνστασις. Τὸ δίκαιον μιᾷ τῶν δικαιολογικῶν ὑποπίπτει στάσεων, ἀντιλήψει δηλαδὴ, ἢ τῶν ἀντιθετικῶν μιᾷ, καὶ κατ' ἐκείνην διαιρεθήσεται, ὡς ἐγχωρεῖ. Τὸ συμφέρον διττόν· ὅτι χρήσιμον καὶ ὅτι ἀναγκαῖον· οἷον χρήσιμον προσλαβεῖν Ὄλυνθον· μᾶλλον δὲ ἀναγκαῖον· τοῦτο δὲ διχῶς ἐξετάσεις, τί ποιοῦσιν ἡμῖν τόδε τι συμβήσεται, καὶ τί μὴ ποιοῦσιν οὐ συμβήσεται; ἑκάτερον δὲ αὐτῶν πάλιν τετραχῶς, οἷον, εἰ μὲν ἑλοίμεθα αὐτὸ, τὰ μὲν ὑπάρχοντα ἀγαθὰ παραμενεῖ, τὰ δὲ οὐκ ὄντα προσέσται· καὶ τὰ μὲν ὑπάρχονται φαῦλα ἀποτριψόμεθα, τὰ δὲ οὐκ ὄντα οὐ προσληψόμεθα. εἰ δὲ μὴ ἑλοίμεθα, τὰ μὲν ὑπάρχοντα ἀγαθὰ ἀπολεῖται, τὰ δὲ

7 Vind. Ἐλάττειαν.

οὐκ ὄντα ἐσόμενα δ' ἂν, οὐ προσέσται· καὶ τὰ μὲν ὑπάρχοντα φαῦλα παραμενεῖ, τὰ δὲ οὐκ ὄντα προσέσται.

Τὸ δυνατὸν ὑποδιαιρήσεις, πρῶτον μὲν ὅτι οὐ χαλεπὸν δεικνὺς, ἐνστάσει χρώμενος, εἶτα ἀντιπαραστάσει, ὅτι εἰ καὶ χαλεπὸν, ἀλλὰ ἀναγκαῖον· καὶ ὅτι δεῖ ὑπὲρ τῶν χρηστῶν καὶ πόνους καὶ κινδύνους ὑφίστασθαι, καὶ ὅτι ὑπὲρ τοῦ μὴ χαλεπωτέροις περιπεσεῖν· εἶθ' ὅτι καὶ ῥᾴδιον· ἐὰν δὴ περὶ πολέμου ἤ τινος τοιούτου ᾖ τὸ δυνατὸν, ἀπὸ τῶν παρακολουθούντων τοῖς προσώποις σκόπει· ὡς ἐν Ὀλυνθιακῷ δευτέρῳ ὁ Δημοσθένης, πῶς ἔχει Φίλιππος, ὅτι ἀθυμεῖ· ἢ ὡς τὰ ἔξωθεν, οἷον Θετταλοὶ, Ἰλλυριοὶ, τὰ χρήματα, οἱ περὶ αὐτὸν ξένοι καὶ πεζέταιροι.[8] Τὸ ἔνδοξον, ὁμοίως τῷ συμφέροντι, τίς δόξα ὑπάρχουσα παραμενεῖ, καὶ τίς οὐκ οὖσα περιέσται, καὶ τίνα ἀπωσόμεθα ἀδοξίαν οὖσαν, καὶ τίνα οὐ προσληψόμεθα μὴ οὖσαν, καὶ πάλιν, τίνα αἰσχύνην οὖσαν οὐκ ἀπωσόμεθα, καὶ τίς οὐκ οὖσα καταλήψεται ἡμᾶς, καὶ τίς ὑπάρχουσα δόξα διαφεύξεται, καὶ μὴ ὑπάρχουσα προσδοκωμένη δ' ἂν οὐ προσέσται. Τὸ δὲ ἐκβησόμενον καθ' ὑπόθεσιν λαμβάνεται ἐφ' ἑκάτερα τῶν ἀποβαινόντων· οἷον ὅτι, ἐάν τε κρατήσωμεν, ἐάν τε μὴ, λυσιτελεῖ βοηθῆσαι.

Μετάληψις, ἡ μὲν ἔγγραφός ἐστιν, ἡ δὲ ἄγραφος· καὶ ἡ μὲν ἔγγραφος τελεία ἐστὶ παραγραφὴ, καὶ τὸ πρότερον ζήτημα περὶ μίαν εὑρίσκεται στάσιν τῶν νομικῶν. ἐνίοτε δὲ ὁρικῶς τέμνεται τὸ πρότερον ζήτημα, τὸ δὲ μετὰ τὴν παραγραφὴν καθ' ἑτέραν τινὰ διαιρεθήσεται τῶν λογικῶν στάσεων· οἷον τὸν ἀντιλέγοντα νόμῳ εἴσω τῶν τριάκοντα ἡμερῶν χρὴ ἀντιλέγειν, μετὰ δὲ ταῦτα μὴ ἐξεῖναι. Πρεσβεύοντος τοῦ πένητος ὁ πλούσιος ἐχθρὸς ὢν εἰσήνεγκε νόμον, τὸν εἴσω πέντε ταλάντων οὐσίαν κεκτημένον μὴ πολιτεύεσθαι μηδὲ λέγειν· ἐπανῆκεν ὁ πένης μετὰ τὰς τριάκοντα καὶ ἀντιλέγειν βούλεται τῷ νόμῳ.

[8] Vind. πεζέτεροι.

Ἡ προτέρα ζήτησις κατὰ ῥητὸν καὶ διάνοιαν, οἷον πότε καὶ τίσιν εἴσω τῶν τριάκοντά προστάττει ἀντιλέγειν ὁ νόμος.

Ἡ δευτέρα δὲ κατὰ τὴν πραγματικὴν, εἰ νόμιμον τὸ εἰσενεχθὲν πρᾶγμα, εἰ δίκαιον καὶ τὰ ἑξῆς.

Ἐμπέπτωκε δὲ ἐνταῦθα καὶ δεύτερόν τι ὡς παραγραφικὸν, οἷον οὐκ ἔχων τὰ πέντε τάλαντα οὐ δύνασαι λέγειν· ἀπαντήσεται δὲ καὶ πρὸς τοῦτο ὁ φεύγων τῇ φύσει τοῦ πράγματος. Ἡ δὲ ἄγραφος διαιρεῖται προβολῇ, παραγραφικῷ τῷ ἀπὸ ῥητοῦ, μεταλήψει, συλλογισμῷ, ὅρῳ, ἀντιθέσει, ἑτέρᾳ μεταλήψει, ἀντιλήψει, θέσει, ποιότητι καὶ γνώμῃ· οἷον ἀριστεὺς ᾔτησε πολίτου φόνον, καὶ ἔλαβεν· εὕρηται δὲ προαπεκτονὼς αὐτὸν, καὶ φόνου φεύγει.

Ἡ προβολή· ἀνδροφόνος εἶ· τὸ παραγραφικόν· οὐ δώσω λόγον ὑπὲρ τοῦ παραδοθέντος μοι πρὸς φόνον.

Ἡ μετάληψις, ὅτι οὐκ ἦν, ὅτε ἀνῄρητο παραδεδομένος σοι· μεταλαμβάνει γὰρ τὸ κατὰ χρόνον, καὶ τὸ μὲν πρᾶγμα συγχωρεῖ, τὸ δὲ περὶ τὸ πρᾶγμα κρίνει· ἐν ᾧ, ὅτι οὐκ ἂν ἔδωκεν ὁ δῆμος, εἰ παρῆν ὁ ἄνθρωπος, ἀντιλέγειν·[9] Ὁ συλλογισμὸς, ὅτι οὐδὲν διαφέρει, νῦν ἢ τότε.

Ὁ ὅρος· ὅτι πάμπολυ διαφέρει. Ἡ ἀντίθεσις· εἰ ὅπου ὁ δῆμος αὐτοῦ κατεψηφίσατο, ἄξιος ἦν.

Ἡ ἑτέρα μετάληψις· ὅτι ἐχρῆν αὐτὸ τοῦτο.[10] εἰπόντα σὲ ὡς ἀπέκτεινας, καὶ ὅτι ἄξιος ἀποσφαγῆναι αἰτεῖν ἄφεσιν.

Ἡ ἀντίληψις ἀκολούθως· ἐξῆν ὅπερ ἐβουλόμην αἰτεῖν, καὶ οὐχ ἡμᾶς ὁριστὰς δεῖ εἶναι τοῦ τρόπου, καθ' ὃν ἐχρῆν αἰτεῖν.

---

9 Vind. ἀντέλεγεν, omisso sq. ὁ, correxi ex Taur. 10 in hoc verbo desinit Cod. Vindob.

Ἡ θέσις εἰ δεῖ ταῦτα ἐπιτρέπειν, ἢ οὐ δεῖ.

Ἡ ποιότης καὶ ἡ γνώμη, ὡς ἐν τοῖς ἔμπροσθεν.

Περὶ ῥητοῦ καὶ διανοίας.

Διαίρεσις ῥητοῦ καὶ διανοίας.

Ἡ κατὰ ῥητὸν καὶ διάνοιαν ζήτησις διαιρεῖται προβολῇ ῥητοῦ, διανοίᾳ νομοθέτου, τῷ μὴ προςδιωρίσθαι· πάλιν τῇ διανοίᾳ τοῦ νομοθέτου, συλλογισμῷ, ὅρῳ, ἀντιθέσει, μεταλήψει, πρός τι, ποιότητι καὶ γνώμῃ· οἷον ξένος εἰ ἀνέλθοι ἐπὶ τὸ τεῖχος, τεθνάτω· πολέμου ὄντος ἀνελθών τις ἠρίστευσε καὶ ὑπάγεται τῷ νόμῳ.

Ἡ προβολὴ, ὅτι ἀνῆλθεν.

Ἡ διάνοια διχῶς, τοῦ νομοθέτου καὶ τοῦ ὑπευθύνου· τοῦ μὲν νομοθέτου, οἷον πότε λέγει τοὺς ἀνελθόντας ξένους καὶ ἐπὶ τίνι καὶ διατί· τοῦ δὲ ὑπευθύνου, οὐκ εἰ ἀνῆλθον δεῖ σκοπεῖν μόνον, ἀλλὰ καὶ μεθ' ἧς γνώμης.

Τῷ μὴ προςδιωρίσθαι τοῦ χρωμένου τῷ ῥητῷ ἐστιν, οἷον οὐδὲν τούτων προσδιώρισεν ὁ νομοθέτης.

Ἡ ἑτέρα διάνοια κοινή ἐστιν ἀμφοῖν· ὁ μὲν γὰρ φεύγων ἐρεῖ, οὐδὲν ᾤετο δεῖν περὶ τῶν φανερῶν ὁ νομοθέτης διορίζειν, ὁ δ' αὖ διώκων, ὅτι ἄτοπον ἡγήσατο ἁπλῶς, ἐπιτρέπειν ἀνιέναι τοὺς ξένους.

Ὁ συλλογισμὸς, μηδὲν διαφέρει τὸ προςδιωρίσασθαι, εἰ μὴ τῷ ἐγγράφῳ, ὃ καὶ ἄνευ ἐκείνου φανερόν.

Ὁ ὅρος ὅτι πλεῖστον διαφέρει καὶ πάντη.

Ἡ ἀντίθεσις· αὐτό ἐστι τὸ γεγονὸς καὶ πλέον ἕξει ὁ φεύγων ἐν αὐτῇ.

Ἡ μετάληψις· ἑτέρως ἔδει καὶ ὡς ἐξῆν σοι ποιεῖν εὖ τὴν πόλιν, εἰ προῄρου μὴ παρανομεῖν.

Τὸ πρός τι, ὡς ἐν ταῖς ἀντιθετικαῖς, πότερον μεῖζον τὸ εὐεργέτημα, ἢ τὸ ἀδίκημα, καὶ ἔστι κοινὸν ἀμφοῖν.

Τὰ δὲ λοιπὰ ὡς ἐν ταῖς ἀντιθετικαῖς.

Περὶ ἀντινομίας.

Ἡ ἀντινομία διαιρεῖται προβολῇ ῥητοῦ, διανοίᾳ, ἑτέρᾳ προβολῇ ῥητοῦ· πάλιν ἑτέρᾳ διανοίᾳ· τῶν δὲ ἑξῆς κεφαλαίων ἐλλείπει τινὰ διὰ τὸ ἐξισάζειν· οἷον τὸ μὴ προςδιωρίσθαι [1] ἡ ἑτέρα διάνοια τοῦ νομοθέτου· ὁ συλλογισμὸς καὶ ὁ πρὸς αὐτὸν ὅρος· τὰ δὲ μετὰ ταῦτα κεφάλαια δῆλα· διαιρεῖται γὰρ ἀντιθέσει, μεταλήψει, πρός τι, ὅρῳ βιαίῳ, ἑτέρᾳ μεταλήψει, θέσει, ποιότητι καὶ γνώμῃ. Ἴδιον δὲ ἀντινομίας κεφάλαιον ἡ περὶ τοῦ πότερον περιέχει καὶ πότερον περιέχεται τῶν ῥητῶν ζήτησις, οἷον ποτέρου γενομένου μηδέτερον ἀναιρεθήσεται τῶν ῥητῶν· ὅπερ κεφάλαιον μετὰ τὸ πρός τι τεθήσεται· ἀπὸ δὲ τοῦ παραδείγματος ἔσται φανερὰ πάντα· οἷον ὁ ἀποκήρυκτος μὴ μετεχέτω τῶν πατρῴων, καὶ ὁ ἐπιμείνας χειμαζομένῃ νηῒ δεσπότης ἔστω αὐτῆς· ἀποκήρυκτος ἐπέμεινε χειμαζομένῃ νηῒ, καὶ εἴργεται αὐτῆς ὡς πατρῴας. Ἡ προβολὴ τοῦ ῥητοῦ· ἀποκηρύκτῳ ὄντι σοι οὐ μέτεστι τῶν πατρῴων· ἡ διάνοια, τότε λέγει δήπουθεν ὁ νόμος, ὅταν ὡς κληρονομήσων, ὅταν ὡς διαδεξόμενός τι τοῦ πατρὸς, κατὰ τοὺς περὶ τῶν παίδων νόμους ἀντιποιῆταί τις, οὐχ ὅταν ὡς ἀλλοτρίων καὶ μηδέν τι προσηκόντων· εἶτα ἕπεται ἡ ἑτέρα προβολὴ τοῦ ῥητοῦ· οἷον, ἄλλως τε καὶ ὅταν ὁ νόμος τοῦτο σαφῶς δίδωσι, τὸ κύριον εἶναι τὸν ἐπιμείναντα τῆς νεὼς, πρὸς ἣν ἡ ἑτέρα διάνοια· ἀλλὰ τηνικαῦτα δίδωσιν, ὅταν μὴ πατρῷον ᾖ τὸ κτῆμα· ὅταν ἀλλότριον, ὅταν μὴ ἀποκήρυκτός τις ᾖ· εἶτά ἐστι τὸ μὴ προςδιωρίσθαι, ᾧ ἐὰν ὁ ἕτερος χρήσηται, καὶ τῷ ἑτέρῳ ἐστὶ χρήσασθαι, καὶ ἰσάζει· ἀκολούθως δὲ καὶ ὁ ὅρος ἰσάζει, καὶ ὁ συλλογισμός.

Ἡ ἑτέρα διάνοια, ἥ ἐστι γνώμη τοῦ νομοθέτου, διαφόρως ἐξετάζεται ὑπ' ἀμφοῖν· οἷον διατί τὸν ἀποκήρυκτον εἴργει ὁ νομοθέτης τῶν πατρῴων· ὁ μὲν διώκων

---

1 Par. 1. προςδιορίσθαι.

ἐρεῖ, ὅτι νομίσας οὐκ ἄξιον εἶναι τὸν ἀπηχθημένον τῷ πατρὶ τῶν ἐκείνου μετέχειν τινός· ὁ δὲ φεύγων οὐχὶ, ἀλλ' ἵνα καθ' ἑαυτοὺς πονοῦντες καὶ παραβαλλόμενοι τοῖς κινδύνοις κτᾶσθαι ἀναγκάζωνται.

Ἡ ἀντίθεσις διπλῆ, οἷον ἀλλὰ ἀποκήρυκτος εἶ, καὶ καταδρομὴ ἐνταῦθα τοπική· ὁ δὲ, ἀλλ' ἐπέμεινα τῇ νηΐ, καὶ ἔστιν οἷον ἀντιστατικόν τι ἐνταῦθα· καὶ ἔκφρασις τῶν παρὰ τὸν χειμῶνα· ἡ μετάληψις διπλῆ, οἷον, ὅτι οὐ δικαίως εἰργοίμην ἂν τῆς νεώς, οὐ γὰρ νῦν καιρὸς ταῦτα κατηγορεῖν, ὁ δὲ, ἐπὶ ἑτέροις σε ἔδει ἀνδρίζεσθαι. Τὸ πρός τι· πότερον βέλτιον φυλάξαι τῶν νόμων, ὁ μὲν γὰρ, εἰ τύχοι, παλαιὸς, ὁ δὲ νέος· καὶ ὁ μὲν κοινὸς, ὁ δὲ ἴδιος, καὶ τὰ τοιαῦτα· ἐπὶ τούτοις τὸ ἴδιον ἀντινομίας κεφάλαιον, ποῖον τὸ περιέχον καὶ τὸ περιεχόμενον οἷον; πότερου γενομένου οὐδέτερος ἀναιρεθήσεται τῶν νόμων· ὡς ἐπὶ τοῦδε· δύο τις κατὰ ταὐτὸν ἐβιάσατο κόρας, καὶ ἡ μὲν γάμον, ἡ δὲ θάνατον αἱρεῖται τοῦ βιασαμένου· ἡ γὰρ ἀξιοῦσα τεθνάναι αὐτὸν ἐρεῖ, ὅτι ἀμφοτέραις δώσει δίκην εἰ τεθναίη. Ὁ βίαιος ὅρος, εἰ καὶ μὴ τοῦ πατρός ἐστιν ἡ ναῦς, τοῦ κλύδωνος δὲ, καὶ ὅτι οὐδ' εἰ μὴ τοῦ πατρός ἐστιν, ἀλλ' οὐχ ἑτέρου τινός· ἡ θέσις καὶ τὰ ἑξῆς ὡς ἐν ταῖς ἀντιθετικαῖς.

Περὶ συλλογισμοῦ.

Ὁ συλλογισμὸς διαιρεῖται προβολῇ πράγματος, τῷ ῥητῷ, συλλογισμῷ,[1] ὅρῳ, γνώμῃ νομοθέτου, πηλικότητι, ὅρῳ βιαίῳ, πρός τι, ἀντιθέσει ἔστιν ὅτε· ἧς ἐμπεσούσης εὑρεθήσεται καὶ μετάληψις, ᾗ ἕπεται πάντως ἀντίληψις· εἶτα ποιότητι καὶ γνώμῃ, οἷον ὀνομαστὶ καὶ

---

1 Schol. ἐν ἄλλῳ οὕτω· συλλογισμῷ, ὅρῳ βιαίῳ, πρός τι, ἀντιθέσει ἔστιν ὅτε· ἧς ἐμπεσούσης, καὶ τὰ ἑξῆς· καὶ τήρησον τὴν διαίρεσιν τῶν κεφαλαίων ἐν Ἑρμογένει.

μῳδεῖν· ὁ νόμος ἐκώλυσεν· αὐτοπροσώπως εἰςάγων τις τοὺς κωμῳδουμένους ὑπάγεται τῷ νόμῳ, ὡς ὀνομαστὶ κωμῳδῶν· ἡ προβολὴ, παρὰ τὸν νόμον κωμῳδεῖς τοὺς πολίτας· τὸ ῥητὸν, καὶ μὴν οὐκ ὠνόμασα οὐδένα, τοῦτο γὰρ ἦν τὸ κωλυόμενον. Ὁ συλλογισμὸς, οὐδὲν διαφέρει τοῦτο ἐκείνου· ὁ ὅρος, ὅτι πλεῖστον διαφέρει· ἡ γνώμη τοῦ νομοθέτου ἐστὶ κοινὴ, τί βουλόμενος τοῦτο ἐκώλυσεν ὁ νομοθέτης; πηλικότης, μέγα τὸ γεγονός· ὁ δὲ βίαιος ὅρος, ὅτι καὶ ὀνομαστὶ κωμῳδεῖν τοῦτό ἐστι. Τὸ πρός τι καὶ τὰ ἑξῆς πάντα, ὡς ἐν τῷ ὅρῳ· ἔστι καὶ συλλογισμῶν εἴδη πλείονα, ὁ ἀπὸ ἴσου, ὅτι οὐδὲν διαφέρει τοῦτο ἐκείνου, ὁ ἀπὸ τοῦ μείζονος, οἷον ὁ τὸ μεῖζον δοὺς καὶ τὸ ἔλαττον ἔδωκεν· ὁ ἀπὸ τοῦ ἐναντίου, οἷον, εἰ τῷ ἀριστεύοντι τὸ γέρας, τῷ λειποτακτοῦντι τὴν κόλασιν· ὁ ἀπὸ τοῦ ἐλάττονος, οἷον ὁ τὸ πρότερον δοὺς καὶ τὸ ἐξ αὐτοῦ ἀποβαῖνον ἔδωκεν.

Περὶ ἀμφιβολίας.

Ἡ ἀμφιβολία διαιρεῖται προβολῇ ῥητοῦ, ἑτέρᾳ τοῦ αὐτοῦ ῥητοῦ προβολῇ κατὰ ἀμφίβολον, διανοίᾳ τοῦ νομοθέτου, τῷ περιέχοντι καὶ περιεχομένῳ, ἀντιθέσει, μεταλήψει, θέσει, ποιότητι καὶ γνώμῃ· οἷον ἑταίρα χρυσία εἰ φοροίη, δημοσία ἔστω· πεφώραταί τις ἑταίρα φοροῦσα χρυσία, καὶ δημοσίαν τίς φησιν αὐτὴν εἶναι, ἡ δὲ οὐκ αὐτήν φησιν εἶναι δημοσίαν, τὰ χρύσια δέ· ἡ προβολὴ τοῦ ῥητοῦ· δημοσίαν σε εἶναι κελεύει ὁ νόμος· ἡ ἑτέρα προβολὴ κατὰ τὸ ἀμφίβολον, οὐκ ἐμὲ, ἀλλὰ τὰ χρυσία· ἡ γνώμη τοῦ νομοθέτου ἐπ᾽ ἀμφοῖν πρὸς τὸ λυσιτελοῦν τάττεται. Τὸ περιέχον καὶ περιεχόμενον, οἷον τῆς μὲν ἑταίρας δημοσίας γινομένης καὶ τὰ χρυσία δημόσια ἔσται, τῶν δὲ χρυσίων μόνων γενομένων δημοσίων ἡ ἑταίρα [3] ἀφίεται. Ἡ ἀντίθεσις ἀντεγκληματικὴ, καὶ τόπος

---

3 Par. 1. 2. ἑτέρα. correctum in Par. 2.

κοινὸς κατὰ ἑταίρας. Ἡ μετάληψις, οἷον εἰ καὶ ἑταίρα, ἀλλ' ἰδίαν ἔχουσα τῆς προαιρέσεως ταύτης ἐπιτιμίαν, μὴ ὁμοία εἶναι ταῖς ἐλευθέραις. Ἡ ποιότης καὶ ἡ γνώμη, ὡς ἐν τοῖς ἔμπροσθεν. Ἰστέον, ὡς καθ' ἑαυτὸ τὸ τῆς ἀμφιβολίας γλίσχρον πως καὶ ὑπόψυχρον· μέρος δὲ εἰ γένοιτο ζητήματος, χρήσιμον τὸ περὶ τὴν διαίρεσιν αὐτῇ, χρησιμεύει δὲ μάλιστα ἐν τοῖς ἀπὸ χρησμῶν καὶ λογίων πλαττομένοις ζητήμασιν.

ΠΕΡΙ ΕΥΡΕΣΕΩΣ.

Περὶ μὲν τῆς διαιρέσεως τῶν πολιτικῶν ζητημάτων τῆς εἰς τὰ λεγόμενα κεφάλαια ἐπὶ τοσοῦτον ἡμῖν εἰρημένα τῷ συντετμημένῳ λόγῳ ἀρκείτω· λοιπὸν δὲ περὶ τῆς τῶν κεφαλαίων εἰπεῖν κατασκευῆς, ὃ δὴ μέρος τῆς ῥητορικῆς εὕρεσιν ὀνομάζουσι· περὶ τούτου τοίνυν ἑξῆς ἂν εἴη λεκτέον· πρὸ δὲ τούτου περὶ τῆς ὅλης τοῦ ῥητορικοῦ ἢ πολιτικοῦ λόγου διατυπώσεως, ἵνα τούτου γνωσθέντος ἔχοιμεν εἰδέναι, πῶς ὁ πᾶς διασκευασθήσεται λόγος· πρὸ δὲ πάντων ὁριστέον τί ἐστιν εὕρεσις. Εὕρεσίς ἐστιν ἐπίνοια νοημάτων προσηκόντων καὶ ἁρμοδίων τῷ ὑποκειμένῳ καὶ ζητουμένῳ πράγματι. Παντὸς τοῦ πολιτικοῦ λόγου μέρη εἰσὶ τέσσαρα, προοίμια, διηγήσεις, πίστεις, αἵπερ καὶ ἀγῶνες λέγονται, ἐν οἷς ἐστι τὸ πᾶν κράτος τῶν κεφαλαίων καὶ ἐπίλογοι.

Περὶ προοιμίου.

Προοίμιόν ἐστι λόγος παρασκευάζων τὸν ἀκροατὴν πρὸς τὸ παραδέξασθαι ἢ ἀποθέσθαι τόδε τι πάθος τῆς ψυχῆς περὶ τοῦ προκειμένου πράγματος. Πᾶν προοίμιον σύγκειται ἐκ προτάσεως, ἐκ κατασκευῆς, ἐξ ἀποδόσεως ἢ

ἀξιώσεως, ἐκ βάσεως συναγούσης τὴν πρότασιν καὶ τὴν ἀπόδοσιν. Τὸ μὲν οὖν εἰς τὴν ἀξίωσιν στῆναι ψιλὸν πολιτικὸν ποιεῖ τὸ προοίμιον· τὸ δὲ καὶ τὴν αἰτίαν τῆς ἀξιώσεως προσθεῖναι ἁπτομένους τοῦ πράγματος αὐτοῦ πανηγυρικωτέραν ποιεῖ τὴν βάσιν· ἐν μὲν οὖν τοῖς πολιτικοῖς δεῖ τὸ προοίμιον ἑρμηνεῦσθαι, μακροτέροις κώλοις καὶ σχοινοτενέσιν· ἐν δὲ τοῖς παθητικοῖς συνεστραμμένοις καὶ εὐκόλοις μᾶλλον· περιβολὴ δὲ αὐτάρκης προοιμίων διπλασιάσαι κῶλον, καὶ προτάσεως ἐξ αἰτίας κατασκευήν· λεκτέον δὲ καὶ ἐπὶ παραδείγματος· πωλοῦσι τέκνα οἱ νησιῶται καὶ γράφει τις παρ' Ἀθηναίοις, ἐπανεῖναι τὸν φόρον.

Ἡ πρότασις, οἷα μὲν, ὦ Ἀθηναῖοι, πάσχουσιν οἱ νησιῶται κακὰ προφάσει τῶν φόρων, λέληθεν οὔτε ὑμᾶς οὔτε τῶν ἄλλων Ἑλλήνων οὐδένα. Ἡ κατασκευή· καὶ γὰρ οὐδὲ οὕτως ἐστὶ μέτριον ὃ τολμῶσι περὶ τὰ φίλτατα, ὥστε λαθεῖν ἐνεῖναι δύνασθαι. Ἡ ἀπόδοσις, ὑμᾶς δὲ προσήκει πρόνοιαν ποιουμένους τῆς ὑμετέρας εὐδοξίας ἐπανεῖναι τοῖς ἀθλίοις τὸν φόρον, καὶ μηκέθ' οὕτως ὀχληροὺς καθίστασθαι. Πολιτικῶς μὲν οὖν οὕτω στήσεις τὴν ἀξίωσιν· εἰ προσθῇς δὲ καὶ τὴν ἀξίαν τῆς ἀξιώσεως, τουτέστιν αὐτὸ τὸ πρᾶγμα, λέγω τὸ ἀπ' ἀρχῆς ἄχρι τέλους ἐπιφωνηματικώτερον, ἡ βάσις ἔσται πανηγυρική, οὕτω δ' οὓς ἀναγκαζόμεναι δυστυχοῦσιν ἀπαιδίαν αἱ νῆσοι.

Τῶν μὲν οὖν προοιμίων ἡ διαίρεσις ποικίλη τίς ἐστι καὶ πολυσχιδής, ὡς ἡ ἑκάστοτε προχειριζομένη διδάσκει ὑπόθεσις. Εἰς τέσσαρας οὖν τοὺς μάλιστα γνωριμωτέρους ἀνάγεται τρόπους, τὸν ἐξ ὑπολήψεως, τὸν ἐξ ὑποδιαιρέσεως, τὸν ἐκ περιουσίας, καὶ τὸν ἀπὸ καιροῦ.

Περὶ τῶν ἐξ ὑπολήψεως προοιμίων.

Τὸ ἐξ ὑπολήψεως προοίμιον συνέστηκεν ἐκ τῆς περὶ

τοῦ

τοῦ πράγματος ὑπολήψεως, εἰ χρηστὸν εἴη ἢ φαῦλον· ἐκ τῆς τῶν δικαζόντων, τῶν κατηγόρων, τῶν ἀπολογουμένων, τῶν ἐχόντων αὐτὰ τὰ πράγματα καὶ τὰ ἐγκλήματα· τῶν ἄλλων ἀκροατῶν τῶν ἔξωθεν ἐμφαινομένων, οἷον φιλίας, εὐνοίας, ἔχθρας, φθόνου, κέρδους, τῶν ὁμοίων· ἐκ τούτων οὖν καὶ τῶν τοιούτων ἁρμοδίως τῷ ὑποκειμένῳ πράγματι τὸ ἐξ ὑπολήψεως προοίμιον γίνεται, χαρὰν ἐμφαῖνον ἢ λύπην, ἢ εὔνοιαν παραιτούμενον, ἢ ἔχθραν ἀποποιούμενον, ἢ κέρδος ἀποσκευαζόμενον, ἢ φθόνον ἀποκρουόμενον, ἢ ἔστιν ὅτε ὁμολογίαν προσποιούμενον τῶν τοιούτων, ὅτε ἀνεπίφθονον ὁμολογεῖν τὰ τοιαῦτα.

Περὶ τῶν ἐξ ὑποδιαιρέσεως προοιμίων.

Τὰ ἐξ ὑποδιαιρέσεως προοίμια, τοῖς ἐξ ὑπολήψεως ἀναμεμιγμένα, κἀκεῖθεν τὴν ἰσχὺν ἔχοντα κατὰ τρεῖς γίνεται τρόπους· ἕνα μέν, ὅτε δύο ὄντων ἀδικημάτων ἰσοστασίων, ὧν καὶ θάτερον ἀναδέξασθαι δύναται κρίσιν, ποιήσομεν προοίμιον οὕτως· οἷον κατέσκαψάν τινες πόλιν ἐν πολέμῳ καὶ ἐγεώργησαν αὐτήν, οὐκ ἀνῆκεν ἡ γῆ καρποὺς καὶ κρίνονται ἀσεβείας. Τὸ προοίμιον, εἰ μὲν οὖν καὶ διὰ τὸ κατασκάψαι τὴν πόλιν ἔδωσαν δίκην, ὀρθῶς ἂν ἐγένετο· νῦν δὲ πολλῷ πλέον, ὅτε καὶ γεωργῆσαι διέγνωσαν ἣν καὶ κατέσκαψαν πόλιν· ἡ δὲ ἑνὸς πράγματος εἰς λεπτὸν τομὴ οὐκ ἐξ ὑποδιαιρέσεως προοίμιόν ἐστιν, ἀλλὰ τῆς ἀπ' ἀρχῆς ἄχρι τέλους ἐξ ὑποδιαιρέσεως κατασκευή· οἷον ἐν λιμῷ καὶ πολιορκίᾳ ῥήτωρ τὴν ἄχρηστον ἡλικίαν ἔπεισεν ἀποκτεῖναι· γέρων λαθὼν ἠρίστευσε, καὶ αἰτεῖ εἰς τὸ γέρας τὸν ῥήτορα· εἰ οὖν λέγοι, εἰ γὰρ μόνους τοὺς πατέρας ἔπεισεν ἀποκτεῖναι, ἢ μόνας τὰς γυναῖκας, ἄξιος ἦν θανάτου, οὐ προοίμιον λέγει, ἀλλὰ τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους κατασκευάζει· ἕνα μὲν οὖν τρόπον οὕτω γίνεται τὸ ἐξ ὑποδιαιρέσεως· ἕτερον δέ, ὅταν τοῖς προσώποις καὶ πρὸ τῶν πραγμάτων ἴδιαι παρακολου-

θῶσιν ὑπολήψεις, ἐκ δὲ τῶν πραγμάτων ἐπισυμβαίνωσι· δεύτερον, οἷον Δημάδης πρεσβεύσας παρὰ τὸν Φίλιππον· καὶ ἐρομένου τοῦ Μακεδόνος, ποταπαί εἰσιν αἱ Ἀθῆναι, ἐπὶ τῆς τραπέζης αὐτὰς κατέγραψε, καὶ ἐπανελθὼν ὕβρεως κρίνεται· καὶ διὰ τὸν ἄλλον μὲν βίον, ὦ ἄνδρες Ἀθηναῖοι, τὸν προσόντα Δημάδῃ καὶ τὴν προδοσίαν ἄξιον ἦν κολάσαι τοῦτον, οὐχ ἥκιστα δὲ καὶ διὰ τὰ νῦν αὐτῷ γεγενημένα. Τρίτος τρόπος, ἡ τοῦ ἀθρόου πρὸς τὸ μέλλον ὑποδιαίρεσις, ὁπόταν κακοῦ τινος τολμηθέντος λέγῃς δεῖν τὸν εἰργασμένον δοῦναι τιμωρίαν, καὶ διὰ τὸ τετολμημένον, καὶ ἵνα μὴ τολμηθῇ πάλιν.

Περὶ τῶν ἐκ περιουσίας.

Τὸ ἐκ περιουσίας προοίμιον γίνεται, ὅταν μικροτέρου τινὸς κρίνοντός τινα λέγειν ἔχωμεν, ὅτι ἠδυνάμην καὶ μείζονος κρίνειν· οἷον ἐὰν φόνου τινὰ κρίνωμεν, δυνάμεθα λέγειν, ὅτι ἠδυνάμην αὐτὸν καὶ δημοσίων ἀδικημάτων κρίνειν, ἢ ἐὰν ἀπολογούμενοι λέγωμεν, ἐγὼ μὲν καὶ γέρας ὑπελάμβανον ἐπὶ τοῖς πεπραγμένοις λήψεσθαι, μήτιγε δὴ καὶ κρίσεις ὑπομένειν· τὸ δὲ μείζονος κρίνοντα καὶ μικροτέρου δύνασθαι λέγειν ἄτεχνον, καὶ διὰ τοῦτο τὸ τοιοῦτον φευκτέον.

Περὶ τῶν ἀπὸ καιροῦ.

Τὸ ἀπὸ καιροῦ καλούμενον προοίμιον γίνεται, ὅταν δυνώμεθα τὴν ἀξίωσιν, ἣν εἰσφέρομεν, τρόπον τινὰ ἤδη δεῖξαι καὶ γεγενημένον, ὡς ἐπὶ τοῖς τὴν πόλιν κατασκάψασι καὶ σπείρασιν αὐτήν· θέλοντες γὰρ αὐτοὺς ἀσεβεῖν ἀποδεῖξαι, φαμὲν ὑπὸ τοῦ θεοῦ ἐληλέγχθαι, καὶ πρὸ τῶν ἡμετέρων λόγων, ὅτι εἰσὶν ἀσεβεῖς, ἐξ ὧν ὡς ἐναγεστάτοις οὐδὲ τοὺς καρποὺς ἀνῆκεν ἡ γῆ.

Περὶ διηγήσεως καὶ προδιηγήσεως.

Διήγησίς ἐστι παντὸς προβλήματος, αὐτὸ τὸ πρᾶγμα, ἐξ οὗ συνέστηκεν ἡ ὑπόθεσις. Διαιρεῖται δὲ ἡ διήγησις εἴς τε τὴν προδιήγησιν, τὴν καὶ προκατάστασιν λεγομένην, καὶ εἰς τὴν διήγησιν· ἔστι δὲ ἡ μὲν προδιήγησις τῶν πρεσβυτέρων τοῦ ζητουμένου, καί πως ἡνωμένων αὐτῷ· ἡ δὲ διήγησις τοῦ ἤδη ἐνισταμένου εἰς ζήτησιν. Χρὴ οὖν προδιηγουμένους τὰ πρεσβύτερα τοῦ πράγματος καὶ προσφαᾶ οὕτως ἤδη πρὸς τὴν ζητουμένην διήγησιν ἔρχεσθαι· τὸ γὰρ εὐθὺς τῆς διηγήσεως ἔχεσθαι, μὴ προδιηγησαμένους καὶ προκαταστήσαντας τὴν διήγησιν ἄτεχνον καὶ ἰδιωτικὸν, καὶ ὡς εἰπεῖν οὕτως ἀκέφαλον. Τῶν δὲ διηγήσεων ἡ μέν ἐστιν ἁπλῆ, ἡ δὲ ἐνδιάσκευος, ἡ δὲ ἐγκατάσκευος· ἁπλῆ μὲν οὖν ἐστιν ἡ αὐτὰ ψιλὰ τὰ πράγματα ἀπαγγέλλουσα μὴ προστιθεῖσα μήτε τρόπον μήτε αἰτίαν, ἀλλ' ὡς εἰπεῖν κεφαλαιωδῶς οὕτως ἀφηγουμένη· ἐγκατάσκευος δέ ἐστιν ἡ καὶ τὴν αἰτίαν προστιθεῖσα τῶν γινομένων τε καὶ λεγομένων ἑκάστου· ἐνδιάσκευος δὲ ἡ τὸν τρόπον ἐκτιθεμένη, καθ' ὃν ἕκαστον τῶν λεγομένων ἐγένετο· ὕλη δὲ διηγήσεως πάσης τὰ ἐξ καλούμενα περιστατικὰ, οἷον τὸ πρόσωπον τὸ πρᾶξαν, τὸ πρᾶγμα τὸ πραχθὲν, ὁ τρόπος ἐν ᾧ ἐπράχθη, ὁ χρόνος καθ' ὃν, ὁ τρόπος ὅπως, ἡ αἰτία δι' ἥν· ἀρεταὶ δὲ διηγήσεως ἡ σαφήνεια, ἡ συντομία καὶ ἡ πιθανότης καὶ τὸ Ἑλληνικὸν τῆς λέξεως. Πλατύνεται δὲ διήγησις καὶ κοσμεῖται τῷ τὸ αὐτὸ πρᾶγμα πολλάκις ἑρμηνευθῆναι, καὶ διὰ κώλων πλειόνων, ἃ χρὴ συντόμως καὶ σαφῶς καὶ πιθανῶς λέγειν. Πλατύνουσι δὲ διήγησιν καὶ οἱ λογισμοὶ, οἵ τε προηγούμενοι τοῦ πράγματος, ἐξ ὧν τις εἰς αὐτὸ τὸ πρᾶγμα ἐλήλυθε, καὶ οἱ ἑπόμενοι τῷ πράγματι γενομένῳ τε καὶ μὴ γενομένῳ· οἷον εἰ τόδε ποιήσομεν, ἔσται τόδε, εἰ μὴ ποιήσομεν, οὐκ

ἔσται. Ἔτι πλατύνει διήγησιν καὶ ἡ τοῦ παραλειφθέντος ἀφήγησις, κώλοις ὁπόσοις δυνατὸν λεγομένου κἀκείνου· ἐπεὶ εἰ μὴ ἐστενοχώρηται ῥητῷ μέτρῳ τῆς διηγήσεως ἡ δύναμις, μέτρον ἔχουσα τὴν βούλησιν τοῦ λέγοντος ἢ τὴν δύναμιν· οἷον τόδε μὲν οὐκ ἐποίησα, οὐδὲ εἰργασάμην, ἐκεῖνο δὲ οὐδὲ διεπραξάμην· ὅλως δὲ διήγησίς ἐστιν ἀφήγησίς τινος πράγματος, κατὰ βούλησιν ἢ δύναμιν τοῦ λέγοντος γινομένη.

Περὶ προκατασκευῆς καὶ κατασκευῆς.

Προκατασκευή ἐστι προέκθεσις καὶ προαπαρίθμησις τῶν ζητημάτων καὶ τῶν κεφαλαίων, οἷς περιπλακεὶς ὁ λόγος συμπληρώσει τὴν ὑπόθεσιν· κατασκευὴ δὲ ἡ τῶν προαριθμηθέντων προχείρισις καὶ ἐργασία· ἡ δὲ τάξις τῆς κατασκευῆς ὡς ἐπὶ τὸ πλεῖστον μὲν τῇ τάξει τῆς προαπαριθμήσεως ἕπεται· ἐνίοτε δὲ καὶ ἐναλλάττεται, ἢ κατ' οἰκονομίαν τοῦ ῥήτορος, ἢ καὶ δι' ἄλλην τινὰ τῶν πραγμάτων ὠφέλειαν. Λέγεται δὲ ἡ προκατασκευὴ καὶ προέκθεσις καὶ ἔκθεσις καὶ ἐπαγγελία καὶ ὑπόσχεσις· ἡ δὲ μετὰ τὴν κατασκευὴν τῶν εἰρημένων εἰς εὐσύνοπτον ἀνάμνησίν τε καὶ εἴδησιν ἀπαρίθμησις ἐπανάληψις λέγεται καὶ ἐπανακεφαλαίωσις.

Περὶ κεφαλαίου.

Κεφάλαιόν ἐστι μέρος λόγου, ἀπόδειξιν ἔχον τοῦ προκειμένου πράγματος, ἐκ νοημάτων καὶ ἐπιχειρημάτων συγκείμενον· πᾶν δὲ τὸ τῆς ῥητορικῆς ἰσχυρὸν ἐν τοῖς κεφαλαίοις συνίσταται· ἤτοι δὲ παρ' ἡμῶν αὐτῶν εἰσάγεται τὸ κεφάλαιον, ὃ δεῖται κατασκευῆς, ἢ παρὰ τῶν ἐχθρῶν τίθεται, ὃ δεῖται λύσεως. Κατασκευὴ δὲ κεφαλαίου ἢ λύσεως ἐπιχείρημα, ἐπιχειρήματος δὲ ἐργασία, ἐργασίας δὲ ἐνθύμημα· παρ' ἡμῶν μὲν οὖν εἰσαγόμενον τὸ κεφάλαιον ἁπλῆς δεῖται τῆς θέσεως, καὶ ἀπὸ τῶν

ἐπιχειρημάτων κατασκευάζεται μετὰ προτάσεως· οἷον ἐλέγχους πάρασχε· δεῖ γὰρ παντὸς πράγματος ἐλέγχους παρέχεσθαι· ὑπὸ δὲ τῶν ἐχθρῶν εἰσαγόμενον ἐντελέστερόν ἐστι· τότε γὰρ κοσμεῖται προτάσει, ὑποφορᾷ, ἀντιπροτάσει, λύσει, τῇ καὶ ἀνθυποφορᾷ καλουμένῃ· πρότασις μὲν οὖν ἐστιν ἡ ἐπαγγελία τῆς ὑποφορᾶς· ὑποφορὰ δὲ ὁ τοῦ ἐχθροῦ λόγος· ἀντιπρότασις δὲ ἡ τῆς λύσεως ἐπαγγελία· εἶτα ἡ λύσις ἐκ τῆς τῶν ἐπιχειρημάτων κατασκευῆς, οἷον κατατρέχει Φίλιππος Χεῤῥόνησον, καὶ γράφει Δημοσθένης διορύξαι τὸν Ἰσθμόν· τάχα τοίνυν καὶ τοιοῦτος ἥξει λόγος παρὰ τῶν ἀντιδίκων, τοῦτο ἡ πρότασις· ὡς χαλεπὸν διορύξαι Χεῤῥόνησον· τοῦτο ἡ ὑποφορά· ἔστι δὲ τοῦτον αὐτῶν οὐ χαλεπὸν διαλῦσαι τὸν λόγον· τοῦτο ἡ ἀντιπρότασις· τὸ γὰρ διορύσσειν πρᾶγμα ῥᾴδιον· τοῦτο ἡ λύσις ἐστὶν, ἥτις δεῖται ἐπιχειρημάτων· λείπει δὲ πολλάκις ἡ πρότασις, οὐ βλάπτουσα τὴν ὑποφοράν· κόσμος γάρ ἐστι τοῦ λόγου πολλάκις καὶ πλέον οὐδέν· λείπει δ' ἐνίοτε καὶ ἀντιπρότασις, οἷον ἡ μὲν ὑποφορὰ, χαλεπὸν, φησὶ, διορῦξαι Χεῤῥόνησον· ἡ δὲ λύσις χωρὶς τῆς ἀντιπροτάσεως, τὸ γὰρ διορύσσειν πρᾶγμα ῥᾴδιον.

Περὶ ἐπιχειρήματος.

Ἐπιχείρημά ἐστι συλλογισμὸς μετὰ τῆς οἰκείας τῶν μερῶν ἀποδείξεως· ἢ ἐπιχείρημά ἐστι λόγος ἔξωθεν λαμβανόμενος πρὸς ἀπόδειξιν τῶν ὑποκειμένων· τῶν δὲ ἐπιχειρημάτων τὰ μέν ἐστι διδασκαλικὰ, ὅσα ἐκ τῶν κοινῶν ἐννοιῶν ἢ τῶν ὑποκειμένων πραγμάτων, ἢ τῶν παρακολουθούντων τῇ περιστάσει εἰκότων ἢ τεκμηρίων ποιεῖται τὴν πίστιν· τὰ δέ ἐστι δυσωπητικὰ μόνον, ὁποῖα τυγχάνει ὄντα τὰ ὁμοιωματικὰ ἢ παραδειγματικὰ καλούμενα· τούτων δὲ εἴδη τρία, εἰκὼν, παραβολὴ καὶ παράδειγμα· εἰκὼν μὲν οὖν ἐστι σώματος πρὸς σῶμα παράθεσις, οἷον, ὥσπερ γὰρ

οἰκίας οἶμαι καὶ πλοίου, καὶ τῶν ἄλλων τῶν τοιούτων τὰ κάτωθεν ἰσχυρότατα εἶναι δεῖ, οὕτω καὶ τῶν πράξεων. Παραβολὴ δὲ πράγματός οἵου τε γενέσθαι ἀπομνημόνευσις εἰς ὁμοίωσιν τοῦ γενομένου· οἷον.

Ὡς δ' ὅτε τις δράκοντα ἰδὼν παλίνορσος ἐπέστη.

Παράδειγμα δέ ἐστι γενομένου πράγματος ἀπομνημόνευσις εἰς ὁμοίωσιν τοῦ νῦν ζητουμένου· οἷον δεῖ πολλῶν καὶ σοφῶν τὰ μαθήματα συλλέγειν, καὶ γὰρ ἡ μέλιττα ἐπὶ πολλὰ βλαστήματα ἕπουσα τὰ κάλλιστα ἀπ' αὐτῶν λαμβάνει· πᾶν δὲ ἐπιχείρημα ἀπὸ τῆς περιστάσεως γίνεται. Περίστασις δέ ἐστιν ὡς πολλάκις πρότερον εἴρηται, πρόσωπον, πρᾶγμα, τόπος, χρόνος, τρόπος, αἰτία. Ἐπιθεωρεῖται δὲ τούτοις καὶ ἡ λεγομένη ὕλη, ἧς τέσσαρά ἐστιν εἴδη· ἠθικὸν, παθητικὸν, πραγματικὸν ἤτοι δικανικὸν καὶ μικτόν· ἠθικὸν μὲν, ὡς σχέσις πατρὸς πρὸς υἱὸν, ἢ ἐρῶντος πρὸς ἐρώμενον· παθητικὸν δὲ, ἐν ᾧ ἐστι ψιλὴ μάχη· μικτὸν δὲ, τὸ ἐξ ἀμφοῖν τούτων· ἢ ἀκριβέστερον εἰπεῖν, ὕλη λέγεται ἡ ἐπακολουθοῦσα τοῖς περιστατικοῖς ποιότης, οἷον τόπῳ μὲν, τὸ ἐπιτήδειον ἢ ἀνεπιτήδειον· χρόνῳ τὸ πρόσφορον ἢ ἀπρόσφορον· τρόπῳ τὸ δικαίως ἢ ἀδίκως· προσώπῳ, τὸ πένης ἢ πλούσιος, καὶ ὅσα τοῖς προσώποις ἀκολουθεῖ· αἰτίᾳ, τὸ εὔλογον ἢ ἄλογον· πράγματι, τὸ καλὸν ἢ κακόν· ταῦτα γὰρ συναναφαίνεται τοῖς περιστατικοῖς· εἰ οὖν τι ἀξιοῦμεν γενέσθαι, φήσομεν ἐπιχειροῦντες, δεῖν γενέσθαι· καλὸν γὰρ εἶναι διὰ τὸν τόπον, ἢ διὰ τὸν χρόνον, ἢ διὰ τὸν τρόπον, ἢ διὰ τὸ πρόσωπον, ἢ διὰ τὴν αἰτίαν, ἢ διὰ τὸ πρᾶγμα, καὶ εἰ ἀντιλέγοιμεν, φήσομεν δηλαδὴ μὴ δεῖν γενέσθαι, μὴ γὰρ εἶναι καλὸν διὰ ταῦτα· πολλάκις δὲ ἀπὸ μιᾶς γενέσεως πλείω εὑρίσκεται ἐπιχειρήματα, οἷον ἀπὸ τοῦ προσώπου, ὁ δεῖνα τόδε ἐποίησεν· ἔστι γὰρ τὸ πρόσωπον τοῦ ποιοῦντος, ὅτι κατὰ τῶνδε ἐποίησεν. ἔστι γὰρ ἀπὸ τοῦ προσώπου, καθ' ὧν δοκεῖ πεποιηκέναι· εἶτα ὅτι ὑπὲρ

ῶν δὲ ἐποίησεν· ἔστι γὰρ ὑπὸ τοῦ προειδότος, τῶν δὲ οὓς κρίνεταί τις· ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων.

Περὶ ἐνστάσεως καὶ ἀντιπαραστάσεως.

Τὴν ἔνστασιν καὶ ἀντιπαράστασιν ἐναντία κεφάλαια τῆς ἀντιλήψεως ἡ περιοδικὴ παρέδωκε τέχνη· τῆς γὰρ ἀντιλήψεως ἐξῆν μοι τόδε ποιῆσαι λεγούσης· ἡ ἔνστασις οὐκ ἐξῆν φησιν, ἡ δὲ ἀντιπαράστασις, εἰ δὲ καὶ ἐξῆν, ἀλλ' οὐχ οὕτως· χρὴ δὲ καὶ καθέκαστον τῶν κεφαλαίων ἐν πάσῃ στάσει πειρᾶσθαι τὰς μάχας καὶ τὰς κατασκευὰς κατ' εἰκόνα τῆς ἐνστάσεως καὶ ἀντιπαραστάσεως εἰσάγειν· οὕτω γὰρ ὁ ῥήτωρ βιαιότερον δείκνυται καὶ πορομώτερον, καὶ μάλισθ' ὅτε ζητεῖ, ποτέρᾳ χρηστέον πρότερον, τῇ ἐνστάσει ἢ ἀντιπαραστάσει.

Περὶ βιαίου.

Πρὸς τῇ ἐνστάσει δὲ καὶ ἀντιπαραστάσει καὶ τρίτον ἐστὶν ἕτερον εἶδος λύσεως, τὸ ἰσχυρότατον καὶ νικητικώτατον, ὃ βίαιον καλεῖται· γίνεται δὲ ὅταν εἰς τὸ ἐναντίον περιϊστάναι δυνώμεθα τὸν λόγον, ἐξ αὐτῶν αἱροῦντες τὸν ἀντίδικον, οἷς θαῤῥῶν εἰςέρχεται, ἢ ὅταν ἐναντία δείξωμεν ποιοῦντα τὸν ἀντίδικον ὧν φησιν εἰργάσθαι· οἷον ἡ μὲν ἔνστασις, οὐ διὰ Φωκέας Χεῤῥόνησος σώζεται·[4] τὸ δὲ βίαιον, μᾶλλον μὲν οὖν κινδυνεύει διὰ Φωκέας Χεῤῥόνησος. Διαφέρουσι δὲ, ὅτι ἡ μὲν ἔνστασις ἀναιρεῖ τὸ λεγόμενον ὡς οὐκ ὂν, τὸ δὲ βίαιον παρίστησι τοῦ λεγομένου τὸ ἐναντίον.

Περὶ ἐργασίας.

Ὥσπερ καθ' ἕκαστον κεφάλαιον δεόμεθα τῶν ἐπιχει-

4 Post σώζεται Par. 1. inserit: τὸ δὲ βίαιον μᾶλλον μὲν οὖν κινδυνεύει διὰ Φωκέας Χεῤῥόνησος σώζεται. tum τὸ δὲ βίαιον etc.

ῥημάτων εἰς κατασκευὴν, οὕτω καθ᾽ ἕκαστον ἐπιχείρημα ἐργασίας δεησόμεθα· ἐργάζεται δὲ πᾶν ἐπιχείρημα ἀπὸ τούτων, ἃ δοκοῦσί τινες ἐπιχειρήματα εἶναι· οἷον ἀπὸ παραβολῆς, ἀπὸ παραδείγματος, ἀπὸ μικροτέρου, ἀπὸ μείζονος, ἀπὸ ἴσου, ἀπὸ ἐναντίου· ἡ μὲν γὰρ γένεσις τῶν ἐπιχειρημάτων ἀπὸ περιστάσεως· ταῦτα δὲ καθ᾽ ἕκαστον ἐπιχείρημα ζητηθήσεται· οὐ θαυμαστὸν, εἰ στρατευόμενος ἐκεῖνος καὶ παρὼν ἐφ᾽ ἅπασιν, ἡμῶν μελλόντων καὶ ῥᾳθυμούντων περιγίνεται; τοῦτο ἐπιχείρημα ἀπὸ τοῦ πράγματος, καὶ γὰρ τὰ θηρία τοῦτο ποιεῖ· ἐργασία ἐκ παραβολῆς. καὶ πάλιν ἔξεστι τῇ πόλει, παρ᾽ ἑαυτῇ ποιεῖν ἃ βούλεται· τοῦτο ἐπιχείρημα· καὶ γὰρ ἐν ταῖς οἰκίαις ἔξεστιν ἑκάστῳ δεσπότῃ ποιεῖν, ἃ βούλεται· τοῦτο ἐργασία ἀπὸ τοῦ μικροτέρου.

Περὶ ἐνθυμήματος.

Ἐνθύμημά ἐστι συνεσταλμένος[1] συλλογισμὸς ἀτελὴς καθ᾽ ἓν ἀξίωμα· ἢ ἐνθύμημά ἐστι τοῦ προηγουμένου ἐπιχειρήματος συμπέρασμα· ἢ ἐνθύμημά ἐστι συλλογισμὸς ῥητορικὸς, ὃ γὰρ τοῖς διαλεκτικοῖς ἡ ἐπαγωγὴ, τοῦτο τοῖς ῥήτορσι τὸ παράδειγμα· τῶν δὲ ἐνθυμημάτων τὰ μέν ἐστιν ἐλεγκτικὰ, τὰ δὲ δεικτικὰ, καὶ τὰ μὲν συλλογιστικὰ, τὰ δὲ μικτά. Δεικτικὰ μὲν οὖν ἐστι τὰ κατ᾽ ἔμφασιν ἀκολουθίας προϊόντα, οἷον τὸ εὖ πράττειν παρὰ τὴν ἀξίαν ἀφορμὴ τοῦ κακῶς φρονεῖν τοῖς ἀνοήτοις γίνεται, ἐλεγκτικὰ δὲ τὰ κατ᾽ ἔμφασιν μάχης, οἷον, οὐ γὰρ ἂν Σόλων μὲν αὐτὸ παρέλιπεν, Αὐτοκλῆς δὲ εὕρετο. Τόποι δὲ ἐνθυμημάτων κά.

ά. Ὁ ἐκ τοῦ ἐναντίου, οἷον εἰ ἡ σωφροσύνη καλὸν, ἡ ἀκολασία αἰσχρὸν, καὶ εἰ αἰσχρὸν ἡ ἀδικία, καλὸν ἡ δικαιοσύνη. β.

1 Par. 1. συνεσταμένος supra lineam Schol. γρ. ἐν ἄλλῳ παλαιῷ συνεστραμμένος.

β΄. Ὁ ἐκ τοῦ ἐνδεχομένου καὶ ἐπὶ μέρους· οἷον εἰ εὐεργετούμενοι μισοῦμεν, καὶ κακὰ πάσχοντες ἀγαπήσομεν.

γ΄. Ὁ ἐκ τοῦ πρός τι· οἷον, εἰ γὰρ μὴ ἡμῖν τὰ φαῦλα προστάσσειν παράνομον, οὐδὲ ἐμοὶ τὸ πεισθέντα ἐργάζεσθαι.

δ΄. Ὁ ἐκ τῶν αἰτίων τῶν ποιητικῶν καὶ τῶν γενέσεων καὶ φθορῶν· οἷον· εἰ ἀγαθὸν καὶ καλὸν ἡ φιλανθρωπία, καὶ τὸ ἐκ ταύτης γινόμενον.

ε΄. Ἐκ τοῦ μᾶλλον καὶ ἧττον· οἷον εἰ γὰρ υἱὸν ἀπέκτεινεν ἴδιον, πῶς ἀλλοτρίου φείσεται.

ϛ΄. Ἐκ τῆς ἀκολουθήσεως κατὰ τὸ μᾶλλον· οἷον εἰ ἀγαθὸν τὸ ποθεῖν, οἱ τὰ μάλιστα ποθοῦντες ἄριστ' ἂν ἔζων· ἀλλὰ μὴν ὁρῶμεν αὐτοὺς πολλάκις διαπταίοντας.

ζ΄. Ἐκ τῶν ἠργμένων πρὸς τὸν ὑποκείμενον, οἷον δεῖ τὸν μείζονα ὑπερέχειν κατ' ἀρετήν· εἰ δὲ μή, γελοῖον ἂν εἴη, εἰ ὁ χείρων ἀνακρίνει τὸν βελτίω.

η΄. Ἐκ τοῦ ἀναλόγου· οἷον ὥσπερ τις τοὺς μισθοφόρους ποιεῖται πολίτας δι' ἐπιείκειαν, οὕτω καὶ φυγάδας ποιεῖταί τις ἐν τοῖς μισθοφόροις, τὸ ἀνῆκον διατραττόμενος.

θ΄. Ἐκ παραδείγματος· ἄτοπον γὰρ εἰ κυβερνήτας μὲν τις μὴ κλήρῳ προβάλλεται, στρατηγοὺς δὲ κλήρῳ προβάλλεται.

ι΄. Ἐξ ἐπαγωγῆς· οἷον Ἀλυάττου[2] καὶ Κανδαύλου, ἔτι δὲ Γύγου καὶ Ἀλυάττου πολεμίων ἡμῖν φωραθέντων ἀεὶ, τίς ἂν πιστεύσειεν εὔνουν ἡμῖν καθιστάναι Κροῖσον;

ια΄. Ἐκ τῆς διαιρέσεως· οἷον εἰ τῶν φαύλων τὴν ἀλογίαν ἡγητέον, πῶς οὐκ ἐπαινετέα τῶν λογικῶν ἡ κατάστασις.

ιβ΄. Ἐκ τῆς κρίσεως, οἷον ὁρῶντες γὰρ Φίλιππον καὶ τὰ τοῦ Φιλίππου κατὰ τῶν Ἀθηναίων μηχανήματα δυσμενῆ καὶ κακόνουν πάντως[3] αὐτὸν τῇ πόλει λογισόμεθα.

2 Par. 1. 2. Ἀλυάτου bis. 3 Par. 1. πάντας. Par. 2. ες πάντως.

ιγ'. Ἐκ τοῦ καιροῦ· οἷον εἰ τοῖς μέλλουσιν ἄκυρος ἡ νίκη, καὶ τοῖς ἤδη νενικηκόσιν.

ιδ'. Ἐκ μεταλήψεως, οἷον, οὐ τὸ πεισθῆναι δεινὸν ἦν τῷ Ἀντιπάτρῳ, ἀλλ' ὃ προςδεχόμεθα, δουλείαν.

ιε'. Ἐκ τῶν ἑπομένων καὶ ἀποβαινόντων, καὶ ὅ ἐστι διὰ τῶν πρεπόντων, οἷον, οὐ δεῖ παιδείαν ἀσκεῖν· ἕπεται γὰρ φθόνος.

ιϛ'. Ἐξ ὁρισμοῦ·[4] οἷον εἰ ἡ σωφροσύνη πάντως ἀγαθὸν, καὶ ὁ ἀνδρεῖος πάντως ἀναγκαῖος.

ιζ'. Ἐξ ὑποθέσεως· οἷον εἰ Φιλίππῳ πιστεύοντες τριηραρχείας[5] ἀμελήσετε, οὐδὲν κωλύει καὶ τῶν φιλτάτων ἀθρόως στερηθῆναι.

ιη'. Ἐκ τῶν ἁμαρτανομένων καὶ κατηγοροῦντι καὶ ἀπολογουμένῳ· οἷον, κατηγοροῦσι γὰρ Μηδείας, ὡς ἀπέκτεινεν, ἥμαρτε γὰρ περὶ τὴν ἀποστολήν· ἀπολογεῖται δὲ, ὅτι οὐ[6] καὶ τὸν Ἰάσονα· τοῦτο γὰρ ἡμάρτανε μὴ ποιήσασα.

ιθ'. Ἐκ τοῦ οὗ ἕνεκα εἴη ἂν ἢ γένοιτο· οἷον τούτου χάριν φάναι γεγονέναι, ὅτι ὁ Διομήδης προείλετο τὸν Ὀδυσσέα καὶ τὸν ἐκ τοῦ Ὀδυσσέως.

κ'. Ἐκ τοῦ ὀνόματος· οἷον ὅτι οὐκ ἄν ποτε Ἱππονίκην ἔθετο ὁ τοῦ Ἑρμοῦ ὢν ἱερεὺς Ἑρμογένης, μὴ ὄντος υἱοῦ· καὶ ὡς Ἰφικράτης· ὁ γὰρ πατὴρ πρὸς μὲν ἀνδρῶν ἦν εὐπατριδῶν, ὧν τὴν εὐγένειαν ἐξ αὐτῆς τῆς ἐπωνυμίας ῥᾴδιόν ἐστι γνῶναι.

κα'. Ὁ τοῖς διαβεβλημένοις καὶ ἀνθρώποις καὶ πράγμασι τὴν αἰτίαν τοῦ παραδόξως λέγειν παρέχων· οἷον ἄτοπον γάρ, εἰ φεύγοντες μὲν ἐμαχόμεθα ὅπως κατέλθωμεν, κατελθόντες δὲ φευξόμεθα, ὅπως μὴ μαχώμεθα. Ἰστέον δὲ, ὅτι τὸ ἐνθύμημα εἰς κατασκευὴν τῆς ἐργασίας

4 Par. 1. ἐξ ὁρισμῷ. 5 Par. 2. πατριαρχείας. Par. 1. πατριαρχίας. scr. τριηραρχίας ex Vol. V; p. 405. v. 22. 6 Par. 1. 2. ὄν. in Par. 2. correct. οὐ.

λαμβάνεται τοῦτον τὸν τρόπον· χαλεπὸν διορύξαι Χεῤῥόνησον, κεφάλαιον· εἶτα ἡ λύσις ἀπὸ ἐνστάσεως, ὅτι οὐ χαλεπὸν, εἶτα ἐπιχείρημα ἀπὸ τοῦ πράγματος, γῆν γὰρ ὀρύξομεν, εἶτα ἐργασία ἐκ παραδείγματος· καὶ βασιλεὺς Περσῶν ποτε δεηθεὶς διώρυξε τὸν Ἄθω, εἶτα ἐνθύμημα· καίτοι ἐκεῖνος μὲν διώρυσσεν ὄρος, ἡμεῖς δὲ γῆν ὀρύξομεν.

Περὶ ἐπενθυμημάτων.[1]

Τῷ ἐνθυμήματι δὲ πολλάκις ἐπενθύμημα ἕπεται, ὅπερ ἐστὶν ἐπὶ φθάνοντι[2] ἐνθυμήματι ἕτερον ἐπινοούμενον ἐνθύμημα, οἷον ἐκεῖνος μὲν ἵνα πλεονεκτήσῃ, ἡμεῖς δὲ ἵνα μὴ πάσχωμεν κακῶς πλεονεκτούμενοι· τοῦτο δὲ ἐνθύμημα ὂν ἀπὸ τῆς αἰτίας τῶν προειρημένων ἐπενεχθὲν,[3] ἐπενθύμημα κέκληται. καὶ πάλιν ἕτερον ἀπὸ τοῦ καιροῦ· καὶ ὁ μὲν ταῦτα ἐποίει, ἐπείγοντος αὐτὸν τοῦ πολέμου, παρέργῳ χρώμενος τῷ πράγματι, ἡμεῖς δὲ ἐν ἔργῳ τοῦτο θέσθαι δυνάμεθα. Δεῖ δὲ εἰδέναι, ὡς ἡ τοῦ λόγου μεταχείρισις[4] ποιεῖ δοκεῖν τὸ δεύτερον εὑρεθὲν ἐνθύμημα ἐπενθύμημα εἶναι· εἴτις τὸ πρῶτον εἰπὼν καὶ παυσάμενος, εἶτα πάλιν ἐπαναλαβὼν αὐτὸ, συνάψειε καὶ τὸ δεύτερον, προστιθεὶς τῷ πρώτῳ, καθάπερ αὐτῷ λείποντι προσεξευρών· οἷον, καὶ ὁ μὲν Περσῶν βασιλεὺς ἵνα πλεονεκτήσῃ· ἡμεῖς δὲ ἵνα μὴ πλεονεκτώμεθα.

Περὶ τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους.

Τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους τὸ συνεκτικώτατον τῶν κεφαλαίων ἐστίν· ἐντεῦθεν γὰρ καὶ τὰ ἄλλα γίνεται κεφάλαια, οὐ τὴν αὐτὴν δὲ τῶν ἐπιχειρημάτων ἔχει κατασκευὴν τοῖς λοιποῖς, οὐ γὰρ ἡ περίστασις αὐτὰ κατασκευάζει, ἀλλ' ὥσπερ ἴδιος ἐπιχειρημάτων τόπος ἐστὶ τῶν

---

1 Par. 1. ἐνθυμημάτων. scr. ἐπενθυμ. 2 Par. 1. ἐπιφθάνοντι. scr. ἐπὶ φθαν. 3 Par. 1. ἐπενεγχθέν. 4 Par. 1. μεταχείρησις. scr. μεταχείρισις.

ἀπ᾽ ἀρχῆς ἄχρι τέλους, ἡ ὑποδιαίρεσις καλουμένη· ἔστι δὲ ὑποδιαίρεσις ἡ τοῦ ἀθρόου πράγματος εἰς λεπτὸν τομή· οἷον εἰ γὰρ μὴ τόδε πεποίηκας, ἀλλὰ μετριώτερον· εἰ γὰρ μὴ τοσαῦτα, ἀλλὰ ἐλάττονα· κατά τε γὰρ ποιότητα γίνεται καὶ ποσότητα τῶν μεγάλων εἰς μικρὰ τεμνομένων, καὶ τῶν πολλῶν εἰς ἐλάττω· οἷον τρεῖς τις ἀπέκτεινε κατὰ τὸν τῶν ἀκρίτων νόμον υἱεῖς καὶ ἀξιοῖ δημοσίᾳ τρέφεσθαι· νόμου κελεύοντος τὸν ἄπαιδα δημοσίᾳ τρέφεσθαι.

Addenda.

---

p. 415. not. 1. scribe: Greg. Naz. Apologet. p. 5. C. secutus Xen. Cyrop. I, 1, 5.

Vol. I.

In Rhetorum graecorum Tomi I. pagina paenultima, addend. ad pag. 144. lin. 4., corrigendus error, in quem non satis accurata b. Veesenmeyeri notatio me induxit. Scripserat ille mihi, in fine Paradigmatum eandem prorsus subscriptionem legi, quae in ultima Theonis pagina exstet, quaeque se ita habet: „Impressum Romae per Angelum Barbatum. Decimo octavo cal. Augusti. M. D. XX. Cautum est privilegio ne quis hoc opus imprimat, aut alibi impressum venale habeat.“ Atqui in fine Paradigmatum postrema tantum hujus subscriptionis verba: „Cautum est privilegio ne quis hoc opus imprimat, aut alibi impressum venale habeta [sic].“ Leguntur, non item loci et anni notatio: quod inspecto Veesenmeyeri exemplo jam pro certo affiirmare possum.

Guil. Bardili.